ΙΩΑΝΝΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ
ΑΠΑΝΤΑ ΤΑ ΕΡΓΑ

20

ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΑΣ ΕΠΙΣΤΟΛΑΣ
Β΄ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ 11,21 - 13,13
ΠΡΟΣ ΓΑΛΑΤΑΣ — ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ


ΕΙΣΑΓΩΓΑΙ
ΚΕΙΜΕΝΟΝ — ΜΕΤΑΦΡΑΣΙΣ — ΣΧΟΛΙΑ
Ὑπὸ
ΙΩΑΝΝΟΥ ΠΕΛΙΤΗ
Θεολόγου

Ἐπόπται

ΠΑΝ. Κ. ΧΡΗΣΤΟΥ, Καθηγητὴς Πανεπιστημίου
ΘΕΟΔ. Ν. ΖΗΣΗΣ, Ὑφηγητὴς Πανεπιστημίου

Ἐπιμεληταὶ

ΒΑΣ. Δ. ΦΑΝΟΥΡΓΑΚΗΣ, π. Θεολογίας
ΕΛΕΥΘ. Γ. ΜΕΡΕΤΑΚΗΣ, π. Θεολογίας



ΕΠΕ

ΠΑΤΕΡΙΚΑΙ ΕΚΔΟΣΕΙΣ «ΓΡΗΓΟΡΙΟΣ Ο ΠΑΛΑΜΑΣ»
ΘΕΣΣΑΛΟΝΙΚΗ 1979

ΠΙΝΑΞ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΗΝ Β΄ ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ

(11, 21 - 13, 13)

ΛΟΓΟΣ ΚΕ΄
Β΄ Κορ. 11, 21 - 33

«Ἐν ᾧ δ' ἄν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ».

1. Ὅρα πάλιν αὐτὸν ἀναδυόμενον, καὶ παραιτήσει χρώμενον, καὶ προδιορθώσει· καίτοι καὶ ἤδη πολλὰ τοιαῦτα εἴρηκεν· Ὤφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ»· καὶ πάλιν, «Μή τίς με δόξῃ ἄφρονα εἶναι· εἰ δὲ μή γε, κἂν ὡς ἄφρονα δέξασθε»· «Ὃ λαλῶ, οὐ κατὰ κύριον, ἀλλ' ὡς ἐν ἀφροσύνῃ»· «Ἐπεὶ πολλοὶ καυχῶνται κατὰ σάρκα, κἀγὼ καυχήσομαι»· καὶ ἐνταῦθα πάλιν, «Ἐν ᾧ δ' ἄν τις τολμᾷ, ἐν ἀφροσύνῃ λέγω, τολμῶ κἀγώ».

Τόλμαν καὶ ἀφροσύνην καλεῖ τὸ περὶ ἑαυτοῦ μέγα τι λέγειν, καὶ ταῦτα ἀνάγκης οὔσης, παιδεύων ἡμᾶς ἐκ περιουσίας τὸ τοιοῦτον φεύγειν. Εἰ γὰρ μετὰ τὸ πάντα ποιῆσαι, ἀχρείους δεῖ καλεῖν ἑαυτούς· οὐδεμιᾶς κατεπειγούσης αἰτίας, τίνος ἂν εἴη συγγνώμης ἄξιος ὁ ἐπαίρων ἑαυτὸν καὶ κομπάζων; Διὰ τοῦτο καὶ ὁ Φαρισαῖος ἔπαθεν ἅπερ ἔπαθε, καὶ ἐν λιμένι ναυάγιον ὑπέμεινεν, ὅτι τούτῳ προσέρρηξε τῷ σκοπέλῳ. Διὰ τοῦτο καὶ ὁ Παῦλος μυρίαν ἀνάγκην ὁρῶν, ὅμως ἀναδύεται, καὶ συνεχῶς ἀναμιμνήσκει ὅτι ἀφροσύνης τὸ τοιοῦτόν ἐστι. Καὶ τότε λοιπὸν κατατολμᾷ, τὴν ἀπὸ τῆς ἀνάγκης ἀπολογίαν προβαλλόμενος, καί φησιν, «Ἑβραῖοί εἰσι;

1. Β΄ Κορ. 11, 21.
2. Β΄ Κορ. 11, 1. 11, 16. 11, 17. 11, 18.

ΛΟΓΟΣ ΚΕ´
Β´ Κορ. 11, 21 - 33

«Εἰς ὁ,τιδήποτε καὶ ἂν τολμᾷ νὰ καυχηθῇ κανεὶς —διαπράττω ἀφροσύνην ποὺ τὸ λέγω — τολμῶ καὶ ἐγὼ νὰ καυχηθῶ»[1].

1. Κοίταξέ τον πῶς ἀναδύεται πάλιν καὶ πῶς χρησιμοποιεῖ καὶ ἀπολογίαν καὶ ἐκ τῶν προτέρων διόρθωσιν· ἂν καὶ ἔχει εἴπει ἤδη πολλὰ τέτοια[2]· «Εἴθε νὰ μοῦ ἐδείχνατε ἀνοχὴν εἰς κάποιαν μικρὰν ἀνοησίαν»· καὶ πάλιν, «Μὴ μὲ νομίσῃ κανεὶς ὡς ἄφρονα καὶ ἀνόητον. Ἐὰν ὅμως δὲν πείθεσθε, ἔστω, ἐκλάβετέ με ὡς ἀνόητον». «Αὐτὸ ποὺ λέγω, δὲν τὸ λέγω κατ' ἐντολὴν τοῦ Κυρίου, ἀλλ' ὡς ἀνόητος ὡς πρὸς τὸ ὅτι καυχῶμαι». «Ἐπειδὴ πολλοὶ καυχῶνται διὰ κοσμικὰ πράγματα, θὰ καυχηθῶ καὶ ἐγώ». Καὶ ἐδῶ πάλιν, «Εἰς ὁ,τιδήποτε καὶ ἂν τολμᾷ κανεὶς νὰ καυχηθῇ — ὁμιλῶν ὡς ἀνόητος — θὰ τολμήσω καὶ ἐγὼ νὰ καυχηθῶ».

Τόλμην καὶ ἀνοησίαν ὀνομάζει τὸ νὰ λέγῃ κάτι μεγάλο διὰ τὸν ἑαυτόν του, καὶ αὐτὰ ἐνῷ εἶναι ἀνάγκη, διὰ νὰ μᾶς διδάξῃ νὰ τὸ ἀποφεύγωμεν εἰς τὴν ὑπόλοιπον ζωήν μας. Διότι ἐὰν ἀκόμη καὶ ὅταν ἐφαρμόσωμεν ὅλας τὰς ἐντολὰς πρέπει νὰ ὀνομάζωμεν ἀχρείους τοὺς ἑαυτούς μας, ποίας συγγνώμης θὰ ἦτο ἄξιος αὐτὸς ποὺ ἐπαινεῖ τὸν ἑαυτόν του καὶ κομπάζει ἐνῷ δὲν ὑπάρχει καμμία ἀνάγκη; Δι' αὐτὸ καὶ ὁ Φαρισαῖος ἔπαθεν αὐτὰ ποὺ ἔπαθε, καὶ ἐναυάγησε μέσα εἰς τὸν λιμένα, διότι προσέκρουσεν εἰς αὐτὸν τὸν σκόπελον. Διὰ τοῦτο καὶ ὁ Παῦλος, ἂν καὶ βλέπει ὅτι ὑπάρχει πάρα πολὺ μεγάλη ἀνάγκη, πάλιν μὲ δισταγμὸν προβάλλει, καὶ συνεχῶς ὑπενθυμίζει ὅτι εἶναι ἀνοησία αὐτὸ τὸ πρᾶγμα. Καὶ μόνο τότε κάμνει τὸ τόλμημα, ἀφοῦ προβάλλει τὴν δικαιολογίαν ὅτι πράγματι εἶναι ἀνάγκη, καὶ λέγει, «Ἑβραῖοι

κἀγώ. Ἰσραηλῖταί εἰσι; κἀγώ». Οὐ γὰρ ἦν πάντας τοὺς Ἑβραίους Ἰσραηλίτας εἶναι· ἐπεὶ καὶ Ἀμμανῖται καὶ Μωαβῖται τοῦτο ἦσαν. Διὸ ἐπήγαγεν ἐκκαθαίρων τὴν εὐγένειαν, καί φησι, «Σπέρμα Ἀβραάμ εἰσι; κἀγώ. Διάκονοι Χριστοῦ εἰσι; παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ». Οὐκ ἠρκέσθη τῇ προτέρᾳ παραιτήσει, ἀλλὰ καὶ ἐντεῦθεν πάλιν αὐτῇ κέχρηται· «παραφρονῶν λαλῶ, ὑπὲρ ἐγώ». Κρείττων αὐτῶν ἐγὼ καὶ βελτίων. Καίτοι τὰς ἀποδείξεις εἶχε σαφεῖς τῆς ὑπεροχῆς· ἀλλ' ὅμως παραφροσύνην καὶ οὕτω τὸ πρᾶγμα καλεῖ.

Καὶ μὴν εἰ ψευδαπόστολοι ἦσαν, οὐκ ἔδει κατὰ σύγκρισιν εἰσάγειν τὴν ὑπεροχήν, ἀλλὰ ἀνελεῖν τὸ εἶναι αὐτοὺς διακόνους. Ἀνεῖλε μὲν οὖν αὐτὸ εἰπών, «Ψευδαπόστολοι, ἐργάται δόλιοι, μετασχηματιζόμενοι εἰς ἀποστόλους Χριστοῦ»· νῦν δὲ αὐτὸ οὐ ποιεῖ οὕτως· εἰς γὰρ ἐξέτασιν ἔμελλεν ὁ λόγος προβαίνειν· οὐδεὶς δέ, ἐξετάσεως οὔσης, ἁπλῶς ἀποφαίνεται· ἀλλὰ πρῶτον κατὰ σύγκρισιν θείς, τὴν διὰ τῶν πραγμάτων ἀναίρεσιν ἐπιδείκνυται τὴν καὶ πολὺ στερρὰν οὖσαν. Ἄλλως δέ, γνώμην αὐτῶν ἐκείνων τίθησιν, οὐκ αὐτοῦ ἀπόφασιν, λέγων, «Διάκονοι Χριστοῦ εἰσι;». Καὶ εἰπών, «Ὑπὲρ ἐγώ», προάγει τὴν σύγκρισιν, καὶ δείκνυσι πῶς οὐκ ἀποφαινόμενος, ἀλλὰ τὴν διὰ τῶν πραγμάτων ἀπόδειξιν ἐπάγων, τὸν χαρακτῆρα τῆς ἀποστολῆς διατηρεῖ. Καὶ ἀφεὶς τὰ σημεῖα πάντα, ἀπὸ τῶν πειρασμῶν ἄρχεται, οὕτω λέγων· «Ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως». Τοῦτο ἐκείνου μεῖζον, τὸ καὶ πλήττεσθαι καὶ μαστίζεσθαι. «Ἐν φυλακαῖς περισσοτέρως». Καὶ ἐνταῦθα πάλιν ἐπίτασις. «Ἐν θανάτοις πολλάκις». «Καθ' ἡμέραν γάρ», φησίν, «ἀποθνή-

3. Β' Κορ. 11, 22.
4. Β' Κορ. 11, 23.

εἶναι αὐτοί; Καὶ ἐγὼ εἶμαι. Ἰσραηλῖται εἶναι; Καὶ ἐγώ»[3]. Διότι δὲν ἦσαν Ἰσραηλῖται ὅλοι οἱ Ἑβραῖοι· ἐπειδὴ καὶ οἱ Ἀμμανῖται καὶ οἱ Μωαβῖται ἦσαν Ἑβραῖοι. Διὰ τοῦτο προσέθεσεν, ἀφαιρῶν τὸ θεωρούμενον ὡς πλεονέκτημα τῆς εὐγενοῦς καταγωγῆς, καὶ λέγει, «Ἀπόγονοι τοῦ Ἀβραὰμ εἶναι; Καὶ ἐγώ. Ὑπηρέται τοῦ Χριστοῦ εἶναι; Ὁμιλῶ ὡς παράφρων, ἐγὼ ὑπερτερῶ αὐτῶν»[4]. Δὲν ἠρκέσθη εἰς τὴν προηγουμένην ἀπολογίαν, ἀλλὰ καὶ ἐδῶ χρησιμοποιεῖ αὐτὴν πάλιν· «Ὁμιλῶ ὡς παράφρων, ὑπερτερῶ ἐγὼ αὐτῶν». Ἀνώτερος καὶ καλύτερος ἐγὼ ἀπὸ αὐτούς. Ἂν καὶ εἶχε σαφεῖς τὰς ἀποδείξεις τῆς ὑπεροχῆς, καὶ πάλιν ὅμως παραφροσύνην ὀνομάζει τὸ πρᾶγμα.

Καὶ ὅμως, ἐὰν αὐτοὶ ἦσαν ψευδαπόστολοι, δὲν ἔπρεπε νὰ δεικνύῃ τὴν ὑπεροχὴν κατόπιν συγκρίσεως, ἀλλὰ νὰ ἀναιρῇ τὸ ὅτι αὐτοὶ εἶναι ὑπηρέται. Αὐτὸ μὲν τὸ ἀνήρεσε λοιπὸν ὅταν εἶπε, «Τέτοιοι ἄνθρωποι εἶναι ψευδαπόστολοι, ἐργάται δόλιοι, ποὺ μεταμφιέζονται εἰς ἀποστόλους τοῦ Χριστοῦ»· τώρα ὅμως δὲν κάνει αὐτὸ μὲ τὸν ἴδιον τρόπον· διότι ὁ λόγος ἐπρόκειτο νὰ προχωρήσῃ εἰς ἔλεγχον· καὶ κανείς, ἐνῷ γίνεται ἔλεγχος, δὲν ἀποφαίνεται ἀναιτιολογήτως· ἀλλ' ἀφοῦ πρῶτον ἔθεσεν αὐτοὺς ὑπὸ σύγκρισιν, δεικνύει τὴν ἐκ τῶν πραγμάτων ἀναίρεσιν, ἡ ὁποία εἶναι καὶ πολὺ ἰσχυρά. Ἄλλως τε δέ, τὴν γνώμην ἐκείνων τῶν ἰδίων ἐκθέτει, καὶ ὄχι ἰδικήν του ἀπόφασιν, ὅταν λέγῃ, «Ὑπηρέται τοῦ Χριστοῦ εἶναι;», καὶ ἀφοῦ εἶπεν, «ἐγὼ ὑπερτερῶ αὐτῶν», προάγει τὴν σύγκρισιν καὶ δεικνύει ὅτι, ὄχι ἀποφαινόμενος, ἀλλὰ παρουσιάζων τὴν ἐκ τῶν πραγμάτων ἀπόδειξιν, διατηρεῖ τὴν ἰδιότητα τῆς ἀποστολῆς. Καὶ ἀφήνων ὅλα τὰ σημεῖα καὶ τὰ θαύματα, ἀρχίζει ἀπὸ τὰς δοκιμασίας, λέγων ἔτσι· «εἰς κόπους πολὺ περισσότερον, εἰς μαστιγώσεις εἰς μεγάλον βαθμόν». Αὐτὸ εἶναι μεγαλύτερον ἐκείνου, δηλαδὴ τὸ καὶ νὰ δέρεται καὶ νὰ μαστιγώνεται. «Εἰς φυλακίσεις πολὺ περισσότερον». Καὶ ἐδῶ πάλιν αὐξάνει ἡ σφοδρότης. «Πολλὰς φορὰς ἐκινδύνευσα νὰ θανατωθῶ». Διότι «Κά-

σκω». Ἐνταῦθα δὲ καὶ ἔργῳ· πολλάκις γὰρ εἰς κινδύνους παρεδόθην θάνατον ἔχοντας.

«Πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβον ὑπὸ Ἰουδαίων». Διὰ τί, «παρὰ μίαν»; Νόμος ἦν παλαιός, τὸν πλέον τῶν τεσσαράκοντα λαβόντα, ἄτιμον εἶναι παρ' αὐτοῖς. Ἵνα οὖν μὴ ἡ τοῦ τύπτοντος ῥύμη καὶ ὁρμὴ πλέον ἐπενεγκοῦσα τοῦ ἀριθμοῦ, ἄτιμον ποιήσῃ, ὥρισαν παρὰ μίαν τύπτεσθαι· ἵνα κἂν πλεονάσῃ ὁ τύπτων, μὴ ὑπὲρ τὰ τεσσαράκοντα ἐκπέσῃ, ἀλλ' εἴσω τοῦ ἀριθμοῦ τοῦ νενομισμένου μείνας, μὴ ἀτιμάσῃ τὸν τυπτόμενον.

«Τρὶς ἐρραβδίσθην, ἅπαξ ἐλιθάσθην, τρὶς ἐναυάγησα». Καὶ τί τοῦτο πρὸς τὸ εὐαγγέλιον; Ὅτι μακρὰς ὁδοὺς ἐστέλλετο καὶ διαποντίους. «Νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκα». Οἱ μὲν ἐν μέσῳ πελάγει φασίν, οἱ δέ, ὑπερνηχόμενος· ὅπερ καὶ ἀληθέστερον εἰπεῖν. Ἐκεῖνό γε οὔτε θαύματος ἄξιον, οὐδ' ἂν ὡς τῶν ναυαγίων μεῖζον ἔθηκε. «Κινδύνοις ποταμῶν». Ἠναγκάζετο γὰρ καὶ διαπορθμεύειν ποταμούς. «Κινδύνοις λῃστῶν, κινδύνοις ἐν πόλει, κινδύνοις ἐν ἐρημίᾳ». Πανταχοῦ μοι τὰ ἆθλα πούκειτο, ἐν τόποις, ἐν χώραις, ἐν πόλεσιν, ἐν ἐρημίαις. «Κινδύνοις ἐξ ἐθνῶν, κινδύνοις ἐν ψευδαδέλφοις». Ὅρα ἕτερον εἶδος πολέμου. Οὐ γὰρ οἱ ἐχθροὶ μόνον, ἀλλὰ καὶ οἱ ὑπεκρίνοντο, ἔβαλλον· καὶ πολλῆς ἐδεῖτο τῆς εὐτονίας, πολλῆς τῆς συνέσεως.

2. «Ἐν κόπῳ καὶ μόχθῳ». Κίνδυνοι πόνους, πόνοι κινδύνους διεδέχοντο ἐπάλληλοι καὶ συνεχεῖς, καὶ οὐδὲ μικρὸν

---

5. Α' Κορ. 15, 31.
6. Β' Κορ. 11, 24.
7. Β' Κορ. 11, 25.
8. Β' Κορ. 11, 26.
9. Β' Κορ. 11, 27.

θε ἡμέραν», λέγει, «ἀποθνήσκω»[5]. Ἐδῶ δὲ καὶ εἰς τὴν πρᾶξιν· διότι πολλὰς φορὰς παρεδόθην εἰς θανασίμους κινδύνους.

«Ἀπὸ τοὺς Ἰουδαίους πέντε φορὰς ὑπέστην σαράντα παρὰ μίαν μαστιγώσεις»[6]. Διατί «παρὰ μίαν»; Ὑπῆρχε κάποιος παλαιὸς νόμος, συμφώνως πρὸς τὸν ὁποῖον ἦτο ἠτιμασμένος δι' αὐτοὺς ὅποιος ὑφίστατο περισσοτέρας τῶν σαράντα μαστιγώσεων. Διὰ νὰ μὴ τὸν ἀτιμάσῃ λοιπὸν ἡ ὁρμὴ καὶ τὸ κτύπημα ἐκείνου ὁ ὁποῖος ἐμαστίγωνεν, ἀφοῦ ὑπερβῇ τὸν καθωρισμένον ἀριθμόν, ὥρισαν νὰ κτυπηθῇ μίαν φορὰν ὀλιγώτερον· ὥστε καὶ ἂν ἀκόμη μαστιγώσῃ περισσότερον ὁ κτυπῶν, νὰ μὴ ὑπερβῇ τὰς τεσσαράκοντα μαστιγώσεις, ἀλλ' ἀφοῦ σταματήσῃ μέσα εἰς τὸν ἀριθμὸν ποὺ ὥριζεν ὁ νόμος, νὰ μὴ ἀτιμάσῃ τὸν κτυπώμενον.

«Τρεῖς φορὰς μὲ ἐρράβδισαν, μίαν φορὰν μὲ ἐλιθοβόλησαν, τρεῖς φορὰς ἐναυάγησα»[7]. Καὶ ποίαν σχέσιν ἔχει αὐτὸ μὲ τὸ εὐαγγέλιον; Διότι ἐστέλλετο εἰς μακρὰς ὁδοὺς καὶ διὰ μέσου τῆς θαλάσσης. «Ἐπὶ ἓν εἰκοσιτετράωρον παρεσυρόμουν εἰς τὸ πέλαγος». Ἄλλοι λέγουν εἰς τὸ μέσον τοῦ πελάγους, ἄλλοι δέ, κολυμβῶν ἐπάνω εἰς αὐτό, τὸ ὁποῖον εἶναι κατὰ τὸ ὀρθότερον. Ἐκεῖνο βεβαίως οὔτε εἶναι ἄξιον νὰ ὀνομασθῇ θαῦμα, οὔτε θὰ τὸ ἔθετεν ὡσὰν κάτι μεγαλύτερον ἀπὸ τὰ ναυάγια. «Μὲ κινδύνους ἀπὸ ποταμούς»[8]. Διότι ἠναγκάζετο νὰ διαβαίνῃ καὶ ποταμούς. «Μὲ κινδύνους ἀπὸ ληστάς, κινδύνους εἰς τὴν πόλιν, κινδύνους εἰς ἔρημα μέρη». Παντοῦ εὑρίσκοντο ἐμπρός μου οἱ ἀγῶνες, εἰς τὰς ἐπαρχίας, εἰς τὰς χώρας, εἰς τὰς πόλεις, εἰς τὰς ἐρημίας. «Κινδύνους ἀπὸ τοὺς ἐθνικούς, κινδύνους μεταξὺ ψευδαδέλφων». Κοίταξε ἄλλο εἶδος πολέμου. Διότι ὄχι μόνον οἱ ἐχθροί, ἀλλὰ καὶ ἐκεῖνοι οἱ ὁποῖοι ὑπεκρίνοντο, ἔβαλλον ἐναντίον του· καὶ ἐχρειάζετο πολλὴ δύναμις καὶ πολλὴ σύνεσις.

2. «Μὲ κόπον καὶ μόχθον»[9]. Οἱ κίνδυνοι τοὺς κόπους, οἱ κόποι τοὺς κινδύνους διεδέχοντο, ἀλλεπάλληλοι καὶ συνε-

ἀναπνεῦσαι συνεχώρουν. «Ἐν ὁδοιπορίαις· πολλάκις, ἐν λιμῷ καὶ δίψει καὶ γυμνότητι, χωρὶς τὸν παρεκτός». Πλείονα τὰ παραλειφθέντα τῶν ἀπαριθμηθέντων· μᾶλλον δὲ οὐδὲ αὐτὰ τὰ ἀπαριθμηθέντα ὅσα, ἔστιν εἰπεῖν· οὐδὲ γὰρ κατ' εἶδος αὐτὰ τέθεικεν, ἀλλ' ὧν μὲν εὔληπτος ἦν ὁ ἀριθμὸς καὶ βραχύς, ἐμνήσθη τούτων, τρὶς καὶ τρίς, λέγων, καὶ ἅπαξ· τῶν δὲ ἄλλων οὐκέτι οὕτω, διὰ τὸ πολλάκις ὑπομεμενηκέναι. Καὶ οὐ λέγει τὰ ἐξ αὐτῶν, οἷον τοσούσδε καὶ τοσούσδε ἐπέστρεψεν, ἀλλ' ἃ ἔπαθε μόνον ὑπὲρ τοῦ κηρύγματος· ὁμοῦ μὲν μετριάζων, ὁμοῦ δὲ δεικνύς, ὅτι κἂν μηδὲν γένηται πλέον πονουμένῳ, καὶ οὕτω τὰ τῶν μισθῶν ἐστι πεπληρωμένα.

«Ἡ ἐπισύστασίς μου ἡ καθ' ἡμέραν». Οἱ θόρυβοι, αἱ ταραχαί, αἱ πολιορκίαι τῶν δήμων, καὶ τῶν πόλεων ἔφοδοι. Τούτῳ γὰρ μάλιστα πάντων ἐπολέμουν οἱ Ἰουδαῖοι, ἐπειδὴ μάλιστα πάντων αὐτοὺς συνέχεε, καὶ μέγιστος τῆς μανίας ἔλεγχος ἦν, μεταταξάμενος ἀθρόον. Καὶ πολὺς ὁ πόλεμος ἔπνει κατ' αὐτοῦ, παρὰ τῶν οἰκείων, παρὰ τῶν ἀλλοτρίων, παρὰ τῶν ὑποκρινομένων· καὶ πανταχοῦ κύματα καὶ κρημνοί, ἐν τῇ οἰκουμένῃ, ἐν τῇ ἀοικήτῳ, ἐν τῇ γῇ, ἐν τῇ θαλάσσῃ, ἔξωθεν, ἔσωθεν. Καὶ οὐδὲ τῆς ἀναγκαίας ηὐπόρει τροφῆς, οὐδὲ ψιλῆς περιβολῆς, ἀλλ' ὁ τῆς οἰκουμένης ἀγωνιστὴς γυμνὸς ἠγωνίζετο, καὶ λιμώττων ἐπύκτευε· τοσοῦτον ἀπεῖχε τοῦ χρηματίζεσθαι. Καὶ οὐκ ἐδυσχέραινεν, ἀλλὰ χάριτας ᾔδει τούτων τῷ ἀγωνοθέτῃ.

«Ἡ μέριμνα πασῶν τῶν Ἐκκλησιῶν». Τοῦτο τὸ κεφάλαιον ἁπάντων, ὅτι καὶ ἡ ψυχὴ διεσπᾶτο, καὶ ἡ διάνοια διε-

---

10. Β' Κορ. 11, 28.

χεῖς, καὶ δὲν τοῦ ἐπέτρεπον οὔτε δι' ὀλίγον νὰ ἀναπνεύσῃ· «Εἰς ὁδοιπορίας· πολλὰς φορὰς μὲ πεῖναν καὶ δίψαν, εἰς τὸ κρύο χωρὶς ἐπαρκῆ ἐνδύματα, ἐκτὸς τῶν ἄλλων»[1*]. Περισσότερα εἶναι τὰ ὅσα παρέλειψεν ἀπὸ αὐτὰ ποὺ ἔχει ἀπαριθμήσει· μᾶλλον δὲ οὔτε αὐτὰ τὰ ὁποῖα ἔχει ἀπαριθμήσει εἶπεν ὅλα· διότι δὲν ἐξέθεσεν αὐτὰ λεπτομερῶς, ἀλλ' ἐνεθυμήθη μόνον ἐκεῖνα τῶν ὁποίων ὁ ἀριθμὸς ἦτο εὐμνημόνευτος καὶ σύντομος, λέγων τρεῖς φορὰς καὶ ἄλλας τρεῖς, καὶ μίαν· διὰ τὰ ἄλλα ὅμως οὔτε ἔτσι ἀναφέρει τίποτε, διότι ὑπέφερε πολλὰς φοράς. Καὶ δὲν λέγει ἀπὸ αὐτὰ ὅτι παραδείγματος χάριν ἐπέστρεψεν εἰς τὸν Θεὸν τόσους ἢ τόσους, ἀλλὰ μόνον ὅσα ἔπαθε διὰ τὴν κήρυξιν τοῦ Εὐαγγελίου· αὐτὸ τὸ κάμνει καὶ ἀπὸ ταπείνωσιν, ἀλλὰ καὶ διὰ νὰ δείξῃ ὅτι ἀκόμη καὶ ἂν δὲν γίνῃ τίποτε ἀπὸ τὸ ὅτι ἐργάζεται μὲ τόσην ἐπιμέλειαν, ἀκόμη καὶ ἔτσι ἔχει πληρωθῆ ὁ κόπος του.

«Ἡ καθημερινὴ πίεσις καὶ ἐπίθεσις τῶν διωκτῶν μου». Αἱ συγχύσεις, αἱ ταραχαί, αἱ πολιορκίαι εἰς τὰς ἐπαρχίας, αἱ ἐπιθέσεις εἰς τὰς πόλεις. Διότι αὐτὸν ἐπολέμουν περισσότερον ἀπὸ ὅλους οἱ Ἰουδαῖοι, ἐπειδὴ περισσότερον ἀπὸ ὅλους τοὺς ἐξώργιζε, καὶ ἦτο μέγιστος ὀνειδισμὸς διὰ τὴν μανίαν των, ἐπειδὴ ἀπεστάτησε διὰ μιᾶς ἀπὸ τὰς τάξεις των. Καὶ ἦτο μεγάλος ὁ πόλεμος ὁ ὁποῖος ἐστρέφετο ἐναντίον του, ἀπὸ τοὺς ἰδικούς του, ἀπὸ τοὺς ξένους, ἀπὸ ἐκείνους οἱ ὁποῖοι ὑπεκρίνοντο ὅτι εἶναι φίλοι, καὶ ἀπὸ παντοῦ τὸν ἔζωνον κύματα καὶ κρημνοί, εἰς τὴν οἰκουμένην, εἰς τὰ ἀκατοίκητα μέρη, εἰς τὴν γῆν, εἰς τὴν θάλασσαν, ἀπὸ ἔξω, ἀπὸ μέσα. Καὶ ἐστερεῖτο καὶ τὴν ἀναγκαίαν τροφήν, καὶ τὴν πλέον στοιχειώδη περιβολήν, ἀλλ' ὁ ἀγωνιστὴς τῆς οἰκουμένης ἠγωνίζετο γυμνός, καὶ ἐπυγμάχει ἐνῷ ἦτο ἐξηντλημένος ἀπὸ τὴν πεῖναν· τόσον πολὺ ἀπεῖχεν ἀπὸ τοῦ νὰ ἀποκτᾷ χρήματα. Καὶ δὲν ἐδυσφόρει, ἀλλ' ἐδοξολόγει δι' αὐτὰ τὸν ἀγωνοθέτην.

«Ἡ μέριμνα δι' ὅλας τὰς ἐκκλησίας». Αὐτὸ ἦτο τὸ κυριώτερον ἀπὸ ὅλα, ὅτι καὶ ἡ ψυχὴ ἐπερισπᾶτο, καὶ ὁ νοῦς

τέμνετο. Εἰ γὰρ καὶ μηδὲν ἔξωθεν προσέβαλεν, ἱκανὸς ὁ ἔνδον πόλεμος, τὰ κύματα τὰ ἐπάλληλα, αἱ νιφάδες τῶν φροντίδων, ὁ πόλεμος τῶν λογισμῶν. Εἰ γὰρ οἰκίας τις μιᾶς προνοῶν, καὶ οἰκέτας ἔχων καὶ ἐπιτρόπους καὶ οἰκονόμους, οὐδὲ δὲ ἀναπνεῖ πολλάκις ὑπὸ τῶν φροντίδων, οὐδενὸς ὄντος τοῦ ἐνοχλοῦντος· ὁ οὐκ οἰκίας μιᾶς, ἀλλὰ καὶ πόλεων καὶ δήμων καὶ ἐθνῶν καὶ ὁλοκλήρου τῆς οἰκουμένης τὴν φροντίδα ἔχων, καὶ ὑπὲρ τηλικούτων πραγμάτων, καὶ τοσούτων ὄντων τῶν ἐπηρεαζόντων, καὶ μόνος ὤν, καὶ τοσαῦτα πάσχων, καὶ οὕτω κηδόμενος ὡς οὐδὲ πατὴρ παίδων, ἐννόησον τί ὑπέμενεν. Ἵνα γὰρ μὴ λέγῃς, τί γὰρ εἰ ἐμερίμνα μέν, ἐμερίμνα δὲ ἁπλῶς; ἐπήγαγε καὶ τὴν ἐπίτασιν τῆς φροντίδος, λέγων, «Τίς ἀσθενεῖ καὶ οὐκ ἀσθενῶ»; Οὐκ εἶπεν, οὐ κοινωνῶ τῇ ἀθυμίᾳ· ἀλλ' ὡς ἐν αὐτῷ ὢν τῷ πάθει, ὡς ἐν αὐτῇ ὢν τῇ ἀρρωστίᾳ, οὕτω θορυβοῦμαι καὶ ταράσσομαι.

«Τίς σκανδαλίζεται, καὶ οὐκ ἐγὼ πυροῦμαι;». Ὅρα πάλιν τὴν ὑπερβολὴν τῆς ὀδύνης πῶς παρίστησιν ἐν τῇ τῆς πυρώσεως προσηγορίᾳ. Ἐμπίπραμαι, καίομαι, φησίν· ὃ δὴ πάντων μεῖζον ἦν. Ἐκεῖνα μὲν γὰρ εἰ καὶ σφοδρά, ἀλλὰ καὶ παροδεύεται ταχέως, καὶ τὴν ἡδονὴν εἶχεν ἀμάραντον· τοῦτο δὲ ἦν τὸ θλῖβον αὐτὸν καὶ στενοχωροῦν, καὶ διατιτρῶσκον αὐτοῦ τὴν διάνοιαν, τὸ καθ' ἕκαστον τῶν ἀσθενούντων τοιαῦτα πάσχειν, εἰ καὶ ὁστισοῦν ἦν. Οὐδὲ γὰρ ὑπὲρ τῶν μειζόνων μὲν ἤλγει, τῶν δὲ ἐλαττόνων κατεφρόνει, ἀλλὰ καὶ τὸν ἀπερριμμένον ἐν τοῖς ἀναγκαίοις ἐτίθετο. Διὸ καὶ ἔλεγε, «Τίς ἀσθενεῖ;», ὅστις ἐὰν ᾖ· καὶ καθάπερ αὐτὸς ὢν ἡ Ἐκκλησία ἡ κατὰ τὴν οἰκουμένην, οὕτω καθ' ἕκαστον ὠδυνᾶτο μέλος.

«Εἰ καυχᾶσθαι δεῖ, τὰ τῆς ἀσθενείας μου καυχήσομαι». Ὁρᾷς ὅτι οὐδαμοῦ ἀπὸ σημείων, ἀλλ' ἀπὸ τῶν διωγμῶν

11. Β' Κορ. 11, 29.

ἐκομματιάζετο. Διότι καὶ ἂν ἀκόμη τίποτε δὲν τὸν προσέβαλον ἀπὸ ἔξω, ἦτο ἀρκετὸς ὁ πόλεμος ἀπὸ μέσα, τὰ ἀλλεπάλληλα κύμματα, αἱ ἀναρίθμητοι ὅπως αἱ νιφάδες φροντίδες, ὁ πόλεμος τῶν λογισμῶν. Διότι ἐὰν κάποιος ὁ ὁποῖος ἔχει τὴν φροντίδα μιᾶς οἰκίας, καὶ ἐνῷ τὸν βοηθοῦν ὑπηρέται καὶ ἐπίτροποι καὶ οἰκονόμοι, δὲν δύναται πολλὰς φορὰς νὰ ἀναπνεύσῃ ἀπὸ τὰς φροντίδας, ἐνῷ κανεὶς δὲν τὸν ἐνοχλεῖ, ἐκεῖνος ὁ ὁποῖος ἔχει τὴν φροντίδα ὄχι μιᾶς οἰκίας, ἀλλὰ καὶ πόλεων καὶ ἐπαρχιῶν καὶ ἐθνῶν καὶ ὁλοκλήρου τῆς οἰκουμένης καὶ διὰ τέτοια πράγματα καὶ ἐνῷ τόσον πολλοὶ ἦσαν οἱ πελομοῦντες, καὶ ἦτο μόνος καὶ ἐπάθαινε τόσα, καὶ ἐνδιεφέρετο καὶ ἐφρόντιζε τόσον, ὅσον οὔτε ὁ πατὴρ διὰ τὰ τέκνα του, σκέψου τί ὑπέμενε. Διότι, διὰ νὰ μὴ λέγῃς, Τί τάχα ἐὰν ἐμεριμνοῦσε μέν, ἀλλ' ἁπλῶς ἐμεριμνοῦσε; προσέθεσε καὶ τὸ μέγεθος τῆς φροντίδος, λέγων· «Ποῖος ἀσθενεῖ καὶ δὲν ἀσθενῶ καὶ ἐγώ;»[11]. Δὲν εἶπε, δὲν συμμετέχω εἰς τὴν θλῖψιν, ἀλλ' ὡσὰν νὰ εὑρίσκωμαι εἰς τὴν ἰδίαν δοκιμασίαν, ὡσὰν νὰ εὑρίσκωμαι εἰς αὐτὴν τὴν ἀσθένειαν, ἔτσι στενοχωροῦμαι καὶ ταράσσομαι.

«Ποῖος ἐκπίπτει καὶ ἐγὼ δὲν καίομαι;». Κοίταξε πάλιν πῶς παριστᾷ τὴν μεγάλην ὀδύνην ὡς πυρὰν ἡ ὁποία τὸν καίει. Πυρπολοῦμαι, καίομαι, λέγει, πρᾶγμα τὸ ὁποῖον ἦτο μεγαλύτερον ἀπὸ ὅλα. Διότι ἐκεῖνα μέν, ἂν καὶ σφοδρά, συντόμως παρέρχονται καὶ δὲν μαραίνουν τὴν χαράν· αὐτὸ δὲ ἦτο ἐκεῖνο τὸ ὁποῖον τὸν ἔθλιβε καὶ τὸν ἐστενοχώρει καὶ κατέτρωγε τὸν νοῦν του, τὸ νὰ πάσχῃ τέτοια ὁ καθένας ἀπὸ τοὺς ἀσθενοῦντας, ὅποιος καὶ ἂν ἦτο. Διότι δὲν ἐστενοχωρεῖτο διὰ τοὺς μεγάλους μόνον, περιφρονῶν τοὺς ἀσήμους, ἀλλὰ καὶ δι' ἐκείνους οἱ ὁποῖοι ἦσαν δοῦλοι. Διὰ τοῦτο καὶ ἔλεγε, «Ποῖος ἀσθενεῖ;», ὅποιος καὶ ἂν εἶναι· καὶ ὡσὰν νὰ ἦτο αὐτὸς ἡ ἐκκλησία εἰς τὴν οἰκουμένην, ἔτσι ᾐσθάνετο πόνον διὰ τὸ κάθε μέλος.

«Ἐὰν πρέπει νὰ καυχηθῶ, θὰ καυχηθῶ διὰ πράγματα ποὺ δείχνουν τὴν ἀδυναμίαν μου». Βλέπεις ὅτι πουθενὰ δὲν

καυχᾶται, καὶ τῶν πειρασμῶν; Τοῦτο γάρ, φησίν, ἀσθενείας. Καὶ ποικίλον τὸν πόλεμον δείκνυσι. Καὶ γὰρ οἱ Ἰουδαῖοι αὐτὸν ἐπολέμουν, καὶ τὰ ἔθνη πρὸς αὐτὸν ἵστατο, καὶ οἱ ψευδάδελφοι αὐτῷ ἐπύκτευον, καὶ ἀδελφοὶ αὐτὸν ἐλύπουν ἀσθενοῦντες καὶ σκανδαλιζόμενοι· πανταχόθεν αὐτῷ θόρυβος καὶ ταραχή, ἀπὸ τῶν οἰκείων, ἀπὸ τῶν ἀλλοτρίων. Οὗτος ἀποστολικὸς χαρακτήρ· διὰ τούτων ὑφαίνεται τὸ εὐαγγέλιον.

«Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου Ἰησοῦ οἶδεν, ὅτι οὐ ψεύδομαι. Ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με θέλων». Τί δήποτε ἐνταῦθα διαβεβαιοῦται καὶ πιστοῦται, ἐπ' οὐδενὸς τῶν προτέρων τοῦτο ποιήσας; Ὅτι ἴσως τοῦτο ἀρχαιότερον ἦν καὶ ἀδηλότερον· ἐκεῖνα δὲ καὶ αὐτοῖς γνώριμα, ἡ μέριμνα τῶν Ἐκκλησιῶν, καὶ τὰ ἄλλα πάντα. Θέα τοίνυν τὸν πόλεμον ὅσος, εἴγε δι' αὐτὸν τὴν πόλιν ἐφρούρει. Ὅταν δὲ τὸν πόλεμον εἴπω, τὸν ζῆλον λέγω τοῦ Παύλου· εἰ γὰρ μὴ σφοδρὸς ἔπνει, οὐκ ἂν εἰς τοσαύτην ἀνῆψε τὸν ἐθνάρχην μανίαν. Ταῦτα ψυχῆς ἀποστολικῆς, τὸ πάσχειν τοσαῦτα, καὶ μηδαμοῦ περιτρέπεσθαι, ἀλλὰ φέρειν γενναίως τὰ ἐμπίπτοντα, καὶ μὴ ὁμόσε χωρεῖν τοῖς κινδύνοις, μηδὲ ἐπιπηδᾶν.

Ὅρα γοῦν ἐνταῦθα πῶς ἠνέσχετο διαφυγεῖν τὴν πολιορκίαν, διὰ θυρίδος χαλασθεὶς ἐν σαργάνῃ. Εἰ γὰρ καὶ ἐπεθύμει τῆς ἐντεῦθεν ἀποδημίας, ἀλλ' ὅμως καὶ τῆς τῶν ἀνθρώπων ἤρα σωτηρίας. Διὸ πολλάκις καὶ τοιαῦτα ἐμηχανᾶτο, τηρῶν ἑαυτὸν τῷ κηρύγματι· καὶ οὐ παρῃτεῖτο οὐδὲ ἀνθρωπίνοις χρήσασθαι μηχανήμασιν, ἡνίκα ἀπῄτει καιρός· οὕτως ἦν νήφων καὶ ἐγρηγορώς. Ἔνθα μὲν γὰρ ἄφικτα

12. Β' Κορ. 11, 30.

καυχᾶται διὰ τὰ θαύματα, ἀλλὰ μόνον διὰ τοὺς διωγμοὺς καὶ τοὺς πειρασμούς. Διότι αὐτὸ ἐννοεῖ μὲ τὴν λέξιν ἀδυναμία. Καὶ δεικνύει ὅτι ἦτο ποικίλος ὁ πόλεμος. Διότι καὶ οἱ Ἰουδαῖοι τὸν ἐπολέμουν καὶ τὰ ἔθνη ἵσταντο ἐχθρικῶς πρὸς αὐτὸν καὶ οἱ ψευδάδελφοι τὸν ἐκτύπων καὶ οἱ ἀδελφοὶ τὸν ἐλύπουν μὲ τὴν πνευματικήν των ἀσθένειαν καὶ τὰς ἁμαρτίας των· ἀπὸ παντοῦ ἤρχετο εἰς αὐτὸν στενοχωρία καὶ ταραχή, ἀπὸ τοὺς ἰδικούς του, ἀπὸ τοὺς ξένους. Αὐτὸς εἶναι ἀποστολικὸς χαρακτήρ, μὲ τέτοια ὑφαίνεται τὸ εὐαγγέλιον.

«Ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ποὺ εἶναι εὐλογητὸς αἰωνίως, γνωρίζει ὅτι δὲν ψεύδομαι. Εἰς τὴν Δαμασκὸν ὁ ἐθνάρχης τοῦ βασιλέως Ἀρέτα ἐφρούρει τὴν πόλιν τῆς Δαμασκοῦ, ἐπειδὴ ἤθελε νὰ μὲ πιάσῃ»[12]. Διατί ἆρά γε ἐδῶ δίδει διαβεβαίωσιν καὶ πιστοποιεῖ, ἐνῷ εἰς οὐδὲν ἀπὸ τὰ προηγούμενα δὲν ἔκανεν αὐτό; Διότι ἴσως αὐτὸ ἦτο παλαιότερον καὶ περισσότερον ἄγνωστον· ἐνῷ ἐκεῖνα ἦσαν γνωστὰ καὶ εἰς αὐτούς, δηλαδὴ ἡ μέριμνα τῶν ἐκκλησιῶν καὶ ὅλα τὰ ἄλλα. Κοίταξε λοιπὸν πόσον μέγας ἦτο ὁ πόλεμος, ἀφοῦ δι' αὐτὸν καὶ μόνον ἐφρούρει τὴν πόλιν. Ὅταν δὲ λέγω πόλεμον, ἐννοῶ τὸν ζῆλον τοῦ Παύλου· διότι ἐὰν δὲ ἐκινεῖτο ἰσχυρὸς ὁ πόλεμος ἐναντίον του, δὲν θὰ προεκάλει τόσην μανίαν εἰς τὸν ἐθνάρχην. Αὐτὰ εἶναι γνωρίσματα ψυχῆς ἀποστολικῆς, τὸ νὰ πάσχῃ τόσα καὶ νὰ μὴ κλονίζεται καθόλου, ἀλλὰ νὰ ὑπομένῃ μὲ γενναιότητα τὰ ὅσα πίπτουν ἐπάνω του, καὶ νὰ μὴ ὑποχωρῇ εἰς τοὺς κινδύνους, οὔτε νὰ λιποτακτῇ.

Πρόσεξε λοιπὸν ἐδῶ πῶς ἠνέχθη νὰ διαφύγῃ τὸν κλοιόν, ἀφοῦ τὸν κατέβασαν διὰ παραθύρου μέσα εἰς δίκτυον. Διότι, ἂν καὶ ἐπεθύμει νὰ ἀποδημήσῃ ἀπὸ αὐτὴν τὴν ζωήν, ἠγάπα ὅμως καὶ τὴν σωτηρίαν τῶν ἀνθρώπων. Διὰ τοῦτο πολλὰς φορὰς καὶ τέτοια ἐσοφίζετο, συντηρῶν τὸν ἑαυτόν του διὰ τὸ κήρυγμα· καὶ δὲν ἀπέφευγε νὰ χρησιμοποιήσῃ οὔτε κοινὰ ἀνθρώπινα τεχνάσματα, ὅταν τὸ ἀπῄτει ἡ περίστασις· τόσον προσεκτικὸς καὶ ἄγρυπνος ἦτο. Διότι ὅπου μὲν

ἦν κακά, τῆς χάριτος ἔδει μόνης· ἔνθα δὲ σύμμετρος ὁ πειρασμός, πολλὰ καὶ οἴκοθεν ἐπινοεῖ· καὶ ἐνταῦθα πάλιν τῷ Θεῷ τὸ πᾶν λογιζόμενος. Καὶ καθάπερ τις σπινθὴρ πυρὸς ἀσβέστου εἰς πέλαγος ἐμπεσών, κυμάτων πολλῶν ἐπιόντων βαπτίζοιτο, καὶ πάλιν ἀνέρχοιτο λαμπρός· οὕτω δὴ καὶ ὁ μακάριος Παῦλος νῦν μὲν ἐχώννυτο κινδυνεύων, νῦν δὲ αὐτοὺς διαδύς, φαιδρότερος ἀνῄει τῷ πάσχειν κακῶς περιγινόμενος.

3. Αὕτη γὰρ ἡ λαμπρὰ νίκη, τοῦτο τῆς Ἐκκλησίας τὸ τρόπαιον, οὕτως ὁ διάβολος βάλλεται, πασχόντων ἡμῶν κακῶς. Ἡμῶν γὰρ πασχόντων ἁλίσκεται, καὶ πάσχει κακῶς, ὅταν ἡμᾶς ποιεῖν βούληται. Ὅπερ καὶ ἐπὶ Παύλου συνέβαινε· καὶ ὅσῳ μεῖζον ἐπῆγε τοὺς κινδύνους, τοσούτῳ μᾶλλον ἡττᾶτο. Οὐδὲ γὰρ ἓν εἶδος κατεσκεύαζε πειρασμῶν, ἀλλὰ ποικίλον καὶ διάφορον. Τὰ μὲν γὰρ πόνον εἶχε, τὰ δὲ ἀθυμίαν, τὰ δὲ φόβον, τὰ δὲ ὀδύνην, τὰ δὲ φροντίδα, τὰ δὲ αἰσχύνην, τὰ δὲ πάντα ὁμοῦ· ἀλλ' ὅμως ἐν πᾶσιν ἐκράτει. Καὶ καθάπερ στρατιώτης εἰς τὴν οἰκουμένην πολεμοῦσαν ἔχων, ἅπασαν ἐν μέσοις στρέφοιτο τοῖς τάγμασι τῶν πολεμίων, καὶ μηδὲν πάσχοι δεινόν· οὕτω καὶ Παῦλος μόνος ἐν βαρβάροις, ἐν Ἕλλησι, πανταχοῦ γῆς, πανταχοῦ θαλάττης φαινόμενος, ἀχείρωτος ἔμενε.

Καὶ ὥσπερ σπινθὴρ εἰς καλάμην καὶ χόρτον ἐμπίπτων, πρὸς τὴν ἑαυτοῦ φύσιν μετατίθησι τὰ καιόμενα· οὕτω καὶ οὗτος ἅπασιν ἐπιών, πάντα μεθίστα πρὸς τὴν ἀλήθειαν, χειμάρρου δίκην πάντα ἐπιών, καὶ ἀνατρέπων τὰ κωλύματα. Καὶ καθάπερ τις ἀθλητὴς αὐτὸς παλαίων, τρέχων, πυκτεύων, ἢ στρατιώτης τειχομαχῶν, πεζομαχῶν, ναυμαχῶν· οὕτω πᾶν εἶδος μετῄει μάχης, καὶ πῦρ ἐνέπνει, καὶ πᾶσιν ἀπρόσιτος

---

13. Β' Κορ. 11, 31-32.

ἦτο ἀδύνατον νὰ διαφύγῃ τὰ κακά, ἐχρειάζετο μόνον ἡ ἐπέμβασις τῆς θείας χάριτος· ὅπου ὅμως ὁ πειρασμὸς ἦτο ἀνάλογος τῶν δυνάμεών του, ἐπινοεῖ πολλὰ καὶ ὁ ἴδιος, ἀλλ' ἀποδίδων καὶ ἐδῶ τὸ πᾶν εἰς τὸν Θεόν. Καὶ ὅπως ἀκριβῶς ἐὰν κάποιος σπινθὴρ ἀπὸ πῦρ τὸ ὁποῖον δὲν σβήνει, ἀφοῦ πέσῃ εἰς τὸ πέλαγος καὶ ἀφοῦ ἐπέλθουν εἰς αὐτὸ πολλὰ κύματα θὰ ἐβυθίζετο καὶ πάλιν θὰ ἀνήρχετο λαμπερός, ἔτσι λοιπὸν καὶ ὁ μακάριος Παῦλος, ἄλλοτε μὲν ἐθάπτετο καθὼς ἐκινδύνευεν, ἄλλοτε δὲ διαφεύγων αὐτούς, λαμπρότερος ἀνήρχετο, νικῶν τὴν κακοπάθειαν.

3. Αὐτὴ λοιπὸν εἶναι ἡ λαμπρὰ νίκη, αὐτὸ εἶναι τὸ τρόπαιον τῆς Ἐκκλησίας, ἔτσι κτυπᾶται ὁ διάβολος, ὅταν ἐμεῖς πάσχωμεν εἰς τὰς δοκιμασίας. Διότι ὅταν ἐμεῖς πάσχωμεν κυριεύεται, καὶ πάσχει κακῶς ὅταν θέλῃ νὰ μᾶς κάνῃ κακό. Αὐτὸ συνέβαινε καὶ εἰς τὸν Παῦλον· καὶ ὅσον περισσότερον κατέφερεν ἐναντίον του κινδύνους, τόσον περισσότερον ἡττᾶτο. Διότι δὲν κατεσκεύαζε μόνον ἓν εἶδος πειρασμῶν, ἀλλὰ ποικίλους καὶ διαφόρους. Δηλαδὴ ἄλλοι περιεῖχον κόπον, ἄλλοι στενοχωρίαν, ἄλλοι φόβον, ἄλλοι ὀδύνην, ἄλλοι φροντίδα, ἄλλοι ἐντροπήν, ἄλλοι δὲ ὅλα μαζί· ἀλλ' ἐνίκα εἰς ὅλους. Καὶ ὅπως εἷς στρατιώτης ἔχει ὁλόκληρον τὴν οἰκουμένην ἀντίπαλον εἰς πόλεμον, καὶ ἐνῷ περιστρέφεται μέσα εἰς τὰ τάγματα τῶν ἐχθρῶν, δὲν παθαίνει τίποτε κακόν, ἔτσι καὶ ὁ Παῦλος μόνος μέσα εἰς τοὺς βαρβάρους, εἰς τοὺς Ἕλληνας, ἐνῷ ἐνεφανίζετο εἰς ὅλην τὴν γῆν καὶ εἰς ὅλην τὴν θάλασσαν, ἔμενε ἀκαταδάμαστος.

Καὶ ὅπως ὁ σπινθὴρ ὅταν πίπτῃ ἐπάνω εἰς καλάμην καὶ χόρτον ξηρὸν μεταθέτει εἰς τὴν ἰδικήν του φύσιν τὰ καιόμενα, ἔτσι καὶ αὐτὸς ἐπερχόμενος εἰς ὅλα, τὰ πάντα μετέθετεν εἰς τὴν ἀλήθειαν, ἐπερχόμενος ὡς χείμαρρος εἰς ὅλα καὶ ἀνατρέπων τὰ ἐμπόδια. Καὶ ὡσὰν ἀθλητὴς αὐτός, ὁ ὁποῖος παλαίει, τρέχει, πυγμαχεῖ ἢ στρατιώτης μαχόμενος εἰς τὸ τεῖχος ἢ πεζὸς ἢ εἰς τὴν θάλασσαν, ἔτσι μετεχειρίζετο κάθε εἶδος μάχης, καὶ ἤναπτε πῦρ, καὶ εἰς ὅλους ἀπρόσιτος

ἥν· ἑνὶ σώματι καταλαμβάνων τὴν οἰκουμένην, μιᾷ γλώττῃ πάντας τρεπόμενος. Οὐχ οὕτως αἱ πολλαὶ σάλπιγγες ἐνέπιπτον τοῖς λίθοις τῆς Ἱεριχουντίων πόλεως, καὶ καθῄρουν αὐτούς, ὡς ἡ τούτου φωνὴ ἠχοῦσα τὰ ὀχυρώματα τὰ διαβολικὰ καὶ ἔρριπτε χαμαί, καὶ τοὺς ἐναντίους πρὸς αὐτὸν μεθίστη. Καὶ ἡνίκα συνέλεξεν αἰχμαλώτων πλῆθος, αὐτοὺς τούτους ὁπλίσας, οἰκεῖον στρατόπεδον πόλιν ἐποίει, καὶ δι' αὐτῶν ἐκράτει.

Θαυμαστὸς Δαυῒδ τὸν Γολιὰθ καταφέρων ἀπὸ λίθου μόνον ἑνός· ἀλλ' εἰ τὰ Παύλου κατορθώματα ἐξετάσεις, παιδὸς ἔργον ἐκεῖνο, καὶ ὅσον ποιμένος καὶ στρατηγοῦ τὸ μέσον, τοσοῦτον ὄψει τὸ διάφορον. Οὗτος γὰρ οὐ λίθον ρίπτων κατέφερε τὸν Γολιάθ, ἀλλὰ φθεγγόμενος μόνον ἅπασαν τοῦ διαβόλου κατέλυε τὴν φάλαγγα, καθάπερ λέων βρυχώμενος, καὶ φλόγα ἀπὸ τῆς γλώττης ἀφιείς, οὕτω πᾶσιν ἀφόρητος, καὶ πανταχοῦ μετεπήδα συνεχῶς· ἔδραμεν ἐπὶ τούτους, ἦλθεν ἐπ' ἐκείνους, μετέστη πρὸς τούτους, ἀπεπήδησε πρὸς ἑτέρους, ἀνέμου ταχύτερον ἐπιών, καὶ καθάπερ μίαν οἰκίαν, ἢ πλοῖον ἕν, τὴν οἰκουμένην ἅπασαν κυβερνῶν, τοὺς μὲν βαπτιζομένους ἀνέλκων, τοὺς δὲ ἰλιγγιῶντας στηρίζων, τοῖς ναύταις παρακελευόμενος, ἐπὶ τῶν αὐχένων καθήμενος, τὴν πρώραν περισκοπῶν, σχοινία τείνων, κώπην μεταχειρίζων, ἱστὸν ἕλκων, πρὸς τὸν οὐρανὸν βλέπων, πάντα αὐτὸς ὤν, καὶ ναύτης, καὶ κυβερνήτης, καὶ πρωρεύς, καὶ ἱστίον, καὶ πλοῖον, καὶ πάντα πάσχων, ἵνα τὰ ἑτέρων λύσῃ κακά.

Σκόπει δέ. Ὑπέστη ναυάγιον, ἵνα τὸ ναυάγιον παύσῃ τῆς οἰκουμένης· νυχθήμερον ἐν τῷ βυθῷ πεποίηκεν, ἵνα τοῦ βυθοῦ τῆς πλάνης ἀνιμήσηται· ἐν κόπῳ γέγονεν, ἵνα τοὺς κοπιῶντας ἀναπαύσῃ· πληγὰς ὑπέμεινεν, ἵνα τοὺς ὑπὸ τοῦ διαβόλου πεπληγότας ἰάσηται· ἐν φυλακαῖς διέτριψεν, ἵνα

ἦτο, μὲ ἓν σῶμα καταλαμβάνων τὴν οἰκουμένην, μὲ μίαν γλῶσσαν μετατρέπων τοὺς πάντας. Οὔτε αἱ πολλαὶ σάλπιγγες αἱ ὁποῖαι ἔπιπτον μὲ ὁρμὴν ἐπάνω εἰς τὰ τείχη τῆς Ἱεριχοῦς καὶ κατεκρήμνιζον αὐτὰ εἶχον τόσην δύναμιν, ὅσον ἡ φωνὴ τοῦ Παύλου ὅταν ἠχοῦσε καὶ κατέρριπτε τὰ διαβολικὰ ὀχυρώματα καὶ μετέθετε τοὺς ἐχθροὺς τῆς πίστεως πρὸς αὐτόν. Καὶ ὅταν συνεκέντρωσε πλῆθος αἰχμαλώτων, ἀφοῦ ὥπλισεν αὐτοὺς τοὺς ἰδίους, τοὺς ἔκαμνεν ἰδικόν του στρατὸν πάλιν, καὶ δι' αὐτῶν ἐνίκα.

Εἶναι ἀξιοθαύμαστος ὁ Δαυΐδ ὁ ὁποῖος κατέβαλε τὸν Γολιὰθ μὲ ἕνα λίθον μόνον· ἀλλ' ἐὰν ἐξετάσῃς τὰ κατορθώματα τοῦ Παύλου, ἐκεῖνο εἶναι ἔργον παιδός, καὶ ὅση εἶναι ἡ ἀπόστασις μεταξὺ ποιμένος καὶ στρατηγοῦ, τόσην διαφορὰν θὰ εὕρῃς. Διότι αὐτὸς κατέβαλε τὸν Γολιὰθ ὄχι ρίπτων λίθον, ἀλλὰ μόνον ὁμιλῶν κατέλυεν ὅλην τὴν παράταξιν τοῦ διαβόλου, ὡς λέων βρυχώμενος καὶ ἐκβάλλων φλόγα ἀπὸ τὴν γλῶσσαν, τόσον ἀκαταμάχητος ἦτο δι' ὅλους, καὶ πανταχοῦ μετεκινεῖτο συνεχῶς· ἔτρεξεν εἰς αὐτούς, ἦλθεν εἰς ἐκείνους, μετετέθη πρὸς αὐτούς, μετεκινήθη πρὸς ἄλλους, ἐπερχόμενος γρηγορώτερον ἀπὸ ἄνεμον, καὶ ὡσὰν μίαν οἰκίαν ἢ ἓν πλοῖον κυβερνῶν τὴν οἰκουμένην ὁλόκληρον, τοὺς βυθιζομένους ἀνασύρων, τοὺς ζαλιζομένους στηρίζων, τοὺς ναύτας παρακινῶν, καθήμενος ἐπάνω εἰς τοὺς αὐχένας, παρατηρῶν γύρω ἀπὸ τὴν πλώρην, μὲ τὸ νὰ τείνῃ τὰ σχοινία, μὲ τὸ νὰ κωπηλατῇ, μὲ τὸ νὰ μαζεύῃ τὸν ἱστόν, μὲ τὸ νὰ βλέπῃ πρὸς τὸν οὐρανόν, μὲ τὸ νὰ εἶναι αὐτὸς τὰ πάντα, καὶ ναύτης, καὶ κυβερνήτης, καὶ πρωρεύς, καὶ ἱστίον, καὶ πλοῖον, καὶ μὲ τὸ νὰ πάσχῃ τὰ πάντα, διὰ νὰ καταλύσῃ τὰς συμφορὰς τῶν ἄλλων.

Πρόσεξε δέ. Ὑπέστη ναυάγιον, διὰ νὰ καταπαύσῃ τὸ ναυάγιον τῆς οἰκουμένης· ἔμεινεν εἰς τὸν βυθὸν ἕνα ἡμερονύκτιον, διὰ ν' ἀνασύρῃ ἀπὸ τὸν βυθὸν τῆς πλάνης· ὑπέμεινε κόπον, διὰ νὰ ἀναπαύσῃ τοὺς κοπιῶντας· ὑπέφερε πληγάς, διὰ νὰ ἰατρεύσῃ ὅσους ἐπληγώθησαν ἀπὸ τὸν διάβολον·

τοὺς ἐν φυλακῇ καὶ σκότῳ καθημένους εἰς φῶς ἐξαγάγῃ· ἐν θανάτοις πολλάκις, ἵνα θανάτων ἀπαλλάξῃ χαλεπῶν· πεντάκις τεσσαράκοντα παρὰ μίαν ἔλαβεν, ἵνα αὐτοὺς τοὺς ταῦτα ποιοῦντας ἐλευθερώσῃ τῆς τοῦ διαβόλου μάστιγος· ἐρραβδίσθη, ἵνα ὑπὸ τὴν ῥάβδον καὶ τὴν βακτηρίαν ἀγάγῃ τοῦ Χριστοῦ· ἐλιθάσθη, ἵνα ἀπαλλάξῃ τῶν ἀναισθήτων λίθων· ἐν ἐρημίᾳ γέγονεν, ἵνα τῆς ἐρημίας ἐξέληται· ἐν ὁδοιπορίαις, ἵνα στήσῃ πλανωμένους, καὶ τὴν εἰς τὸν οὐρανὸν φέρουσαν ὁδὸν ἀνοίξῃ· ἐν πόλεσιν ἐκινδύνευσεν, ἵνα τὴν ἄνω πόλιν ὑποδείξῃ· ἐν λιμῷ καὶ δίψει, ἵνα ἀφέληται τοῦ χαλεπωτέρου λιμοῦ· ἐν γυμνότητι, ἵνα ἀσχημονοῦντας ἐνδύσῃ τὴν στολὴν τοῦ Χριστοῦ· ἐν ἐπιστασίᾳ ὄχλου, ἵνα τῆς περιστάσεως τῶν δαιμόνων ἐπαγάγῃ· ἐπυρώθη, ἵνα σβέσῃ τὰ πεπυρωμένα τοῦ διαβόλου βέλη· διὰ θυρίδος ἀπὸ τοῦ τείχους ἐχαλάσθη, ἵνα κάτωθεν ἄνω διαπέμψῃ τοὺς ἐρριμμένους χαμαί.

Ἔτι οὖν φθεγξόμεθα, οὐδὲ εἰδότες ἅπερ ἔπαθε Παῦλος; ἔτι χρημάτων μνησθησόμεθα; ἔτι γυναικὸς καὶ πόλεως καὶ ἐλευθερίας, ἐκεῖνον αὐτῆς τῆς ζωῆς μυριάκις καταφρονοῦντα ἰδόντες; Ὁ μάρτυς ἅπαξ ἀποθνήσκει· ὁ δὲ μακάριος ἐκεῖνος ἐνὶ σώματι καὶ μιᾷ ψυχῇ τοσούτους κινδύνους ὑπέμεινεν, ὅσοι καὶ ἀδαμαντίνην ἱκανοὶ θορυβῆσαι ψυχήν· καὶ ἅπερ ἅπαντες ἐν τοσούτοις σώμασιν οἱ ἅγιοι ἔπαθον, ταῦτα αὐτὸς ἐν ἑνὶ πάντα ἤνεγκε, καθάπερ εἰς στάδιον τὴν οἰκουμένην εἰσελθών, καὶ πάντα ἀποδυσάμενος, οὕτως ἵστατο γενναίως. Καὶ γὰρ ᾔδει τοὺς πυκτεύοντας αὐτῷ δαίμονας. Διὸ καὶ λαμπρὸς εὐθέως ἐκ προοιμίων ἐφάνη, ἐξ αὐτῆς τῆς βαλβίδος, καὶ μέχρι τέλους ὅμοιος διέμεινε· μᾶλλον δὲ καὶ ἐπέτεινε τὸν διωγμόν, ἐγγὺς τοῦ βραβείου γινόμενος. Καὶ τὸ δὴ θαυμα-

ἔζησεν εἰς τὰς φυλακάς, διὰ νὰ ἐκβάλῃ εἰς τὸ φῶς ὅσους ἐκάθηντο εἰς τὰς φυλακὰς καὶ εἰς τὸ σκότος· ἐκινδύνευσε πολλὰς φορὰς νὰ θανατωθῇ, διὰ ν' ἀπαλλάξῃ ἀπὸ φοβεροὺς θανάτους· πέντε φοράς, σαράντα παρὰ μίαν μαστιγώσεις ἔλαβε, διὰ νὰ ἐλευθερώσῃ ἀπὸ τὸν διάβολον αὐτοὺς ποὺ τὸ ἔκαναν αὐτό· ἐρραβδίσθη, διὰ νὰ ὁδηγήσῃ ὑπὸ τὴν ράβδον καὶ τὴν βακτηρίαν τοῦ Χριστοῦ· ἐλιθοβολήθη, διὰ νὰ ἀπαλλάξῃ ἀπὸ τὴν ἀναισθησίαν τῶν λίθων· εἰς τὴν ἐρημίαν διετέλεσεν, διὰ νὰ ἐκβάλῃ ἀπὸ τὴν ἐρημίαν· εἰς ὁδοιπορίας, διὰ νὰ στηρίξῃ ὅσους ἐπλανῶντο καὶ νὰ ἀνοίξῃ τὴν ὁδὸν ἡ ὁποία ὁδηγεῖ εἰς τὸν οὐρανόν· εἰς τὰς πόλεις ἐκινδύνευσε, διὰ νὰ δείξῃ τὴν ἄνω πόλιν· εἰς πεῖναν καὶ δίψαν, διὰ νὰ ἀπαλλάξῃ ἀπὸ τὴν φοβερωτέραν πεῖναν· εἰς γυμνότητα, διὰ νὰ ἐνδύσῃ τοὺς ἀσχημονοῦντας μὲ τὴν στολὴν τοῦ Χριστοῦ· εἰς τὴν ἐξουσίαν τοῦ ὄχλου, διὰ νὰ ἀπαγάγῃ τοὺς εὑρισκομένους εἰς τὴν ἐξουσίαν τῶν δαιμόνων· ἐπυρώθη, διὰ νὰ σβήσῃ τὰ πεπυρωμένα βέλη τοῦ διαβόλου· ἐδέχθη νὰ τὸν κατεβάσουν ἀπὸ τὸ τεῖχος διὰ παραθύρου, ὥστε ἀπὸ κάτω νὰ στείλῃ ἐπάνω ὅσους εἶχον ριφθῇ χαμηλά.

Νὰ εἴπωμεν λοιπὸν ἀκόμη, ἂν καὶ δὲν γνωρίζωμεν, ὅσα ἔπαθεν ὁ Παῦλος; Νὰ ἐνθυμηθῶμεν τὰ ἀναγκαῖα τὰ ὁποῖα ἐστερήθη; Ἀκόμη νὰ ἴδωμεν αὐτὸν καὶ γυναῖκα καὶ πόλιν καὶ ἐλευθερίαν καὶ αὐτὴν τὴν ζωὴν χιλιάδας φορὰς νὰ καταφρονῇ; Ὁ μάρτυς ἀποθνήσκει μίαν φοράν· ἐκεῖνος ὅμως ὁ μακάριος μὲ ἕνα σῶμα καὶ μίαν ψυχὴν τόσους κινδύνους ὑπέμεινεν, ὅσοι εἶναι ἀρκετοὶ διὰ νὰ ταράζουν καὶ ἀδαμαντίνην ψυχήν· καὶ ὅσα ἔπαθον ὅλοι οἱ ἅγιοι εἰς τόσα σώματα, τόσα ὑπέφερεν αὐτὸς εἰς ἕνα σῶμα, ἀφοῦ εἰσῆλθεν εἰς τὴν οἰκουμένην ὡσὰν εἰς στάδιον καὶ ἀπεδύθη τὰ πάντα, ἔτσι ἵστατο μὲ γενναιότητα. Καὶ βεβαίως ἐγνώριζε τοὺς δαίμονας οἱ ὁποῖοι τὸν ἐκτύπων. Διὰ τοῦτο καὶ ἀνεδείχθη λαμπρὸς εὐθὺς ἐξ ἀρχῆς καὶ διέμεινεν ὁ αὐτὸς ἀπὸ τὴν ἀφετηρίαν μέχρι τέλους· μᾶλλον δὲ ἔκαμνε καὶ ἐντονώτερον τὸν διωγμόν, ὅσον ἐπλησίαζεν εἰς τὸ βραβεῖον. Καὶ τὸ πολὺ θαυ-

στόν, ὅτι τοσαῦτα πάσχων καὶ ποιῶν, σφόδρα μετριάζειν ᾔδει. Καὶ γὰρ εἰς ἀνάγκην ἐμπεσὼν τῆς διηγήσεως τῶν οἰκείων κατορθωμάτων, ταχέως ἅπαντα παρέδραμε· καίτοιγε μυρίας βίβλους ἐνέπλησεν ἄν, εἰ τῶν εἰρημένων ἕκαστον ἐξαπλῶσαι ἠβούλετο, εἰ τὰς ἐκκλησίας εἶπεν ἃς ἐμερίμνα, εἰ τὰς φυλακὰς καὶ τὰ ἐν αὐταῖς κατορθώματα, εἰ τῶν ἄλλων καθ' ἑκάστην τὰς περιστάσεις, τὰς ἐφόδους. Ἀλλ' οὐκ ἠθέλησε.

Τοῦτ' οὖν καὶ ἡμεῖς εἰδότες, μετριάζειν μάθωμεν, καὶ μηδέποτε ἐν πλούτῳ καυχᾶσθαι, μηδὲ ἐν τοῖς ἄλλοις βιωτικοῖς, ἀλλ' ἐπὶ ταῖς ὕβρεσι ταῖς διὰ τὸν Χριστόν, καὶ ἐπὶ ταύταις, ὅταν ἀνάγκη γένηται. Ὡς εἰ μηδὲν εἴη τὸ κατεπεῖγον, μηδὲ τούτων μνημονεύωμεν, ἵνα μὴ ἐπαιρώμεθα, ἀλλὰ ἁμαρτημάτων μόνων. Οὕτω γὰρ καὶ ἀπαλλαγησόμεθα αὐτῶν ῥᾳδίως, καὶ τὸν Θεὸν ἵλεων ἕξομεν, καὶ τῆς μελλούσης ἐπιτευξόμεθα ζωῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

μαστόν, ὅτι ἐνῷ ἔπασχε καὶ κατώρθωνε τόσα, ἐγνώριζε νὰ ταπεινοῦται πολύ. Διότι ἀκόμη καὶ ὅταν ἠναγκάσθη νὰ διηγηθῇ τὰ κατορθώματά του, συντόμως τὰ προσεπέρασε ὅλα· ἂν καὶ θὰ ἐγέμιζε χιλιάδας βιβλίων, ἐὰν ἤθελε νὰ ἐξαντλήσῃ τὸ καθένα, ἐὰν ἔλεγε τὰς ἐκκλησίας διὰ τὰς ὁποίας ἐμερίμνα, ἐὰν ἐδιηγεῖτο διὰ τὰς φυλακίσεις καὶ τὰ κατορθώματα κατὰ τὴν διάρκειάν των, ἢ τὰς ἄλλας, τὰς καθημερινὰς περιπετείας, τοὺς πολέμους. Ἀλλὰ δὲν ἠθέλησεν.

Αὐτὰ λοιπὸν καὶ ἐμεῖς ἀφοῦ ἐγνωρίσαμεν, ἂς μάθωμεν νὰ ταπεινούμεθα καὶ ποτὲ νὰ μὴ καυχώμεθα διὰ τὸν πλοῦτον, οὔτε διὰ τὰ ἄλλα βιωτικά, ἀλλὰ διὰ τὰς ὕβρεις τὰς ὁποίας δεχώμεθα διὰ τὸν Χριστόν, καὶ δι' αὐτὰς μόνον ὅταν παραστῇ ἀνάγκη. Ἐὰν δὲν μᾶς ἀναγκάζῃ τίποτε σοβαρόν, οὔτε αὐτὰς ἂς μὴ μνημονεύωμεν, διὰ νὰ μὴ ὑπεριφανευώμεθα, ἀλλ' ἂς ἐνθυμούμεθα μόνον τὰς ἁμαρτίας μας. Διότι ἔτσι θὰ ἀπαλλαγῶμεν ἀπὸ αὐτὰς εὐκόλως, καὶ θὰ ἐξιλεωθῶμεν εἰς τὸν Θεὸν καὶ θὰ ἐπιτύχωμεν τὴν μέλλουσαν ζωήν, τὴν ὁποίαν εἴθε νὰ ἐπιτύχωμεν ὅλοι, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΚΣΤ΄
Β΄ Κορ. 12, 1 - 10

«Καυχᾶσθαι δὴ οὐ συμφέρι μοι· ἐλεύσομαι γὰρ εἰς ὀπτασίας καὶ ἀποκαλύψεις Κυρίου».

1. Τί τοῦτο; ὁ τοσαῦτα εἰπών φησι, «Καυχᾶσθαι δή», ὡς οὐδὲν εἰρηκώς; Οὐχ ὡς οὐδὲν εἰρηκώς, ἀλλ' ἐπειδὴ μέλλει μεταβαίνειν εἰς ἕτερον καυχήσεως εἶδος, ὃ μισθὸν μὲν οὐκ ἔχει τοσοῦτον, λαμπρότερον δὲ δοκεῖ δεικνύναι τοῖς πολλοῖς, οὐ τοῖς ἀκριβῶς ἐξετάζουσι, φησί, «Καυχᾶσθαι δὴ οὐ συμφέρει μοι». Τὰ μὲν γὰρ μεγάλα καυχήματα ταῦτα, ἅπερ ἀπηριθμήσατο, τὰ τῶν πειρασμῶν· ἔχει δὲ καὶ ἕτερα λέγειν, τὰ τῶν ἀποκαλύψεων, τὰ τῶν ἀπορρήτων μυστηρίων. Καὶ τίνος ἕνεκέν φησιν «οὐ συμφέροι μοι»; Ἵνα μή με εἰς ἀπόνοιαν ἐπάρῃ φησί. Τί λέγεις; ἂν γὰρ μὴ εἴπῃς αὐτά οὐκ οἶδας αὐτά; Ἀλλ' οὐχ ὁμοίως ἐπαιρόμεθα αὐτοὶ εἰδότες αὐτά, καὶ εἰς ἄλλους ἐκφέροντες. Οὐ γὰρ ἡ τῶν κατορθωμάτων φύσις ἐπαίρειν εἴωθεν, ἀλλ' ἡ τῶν πολλῶν μαρτυρία καὶ γνῶσις. Διὰ τοῦτο οὖν φησιν, «οὐ συμφέρει μοι», καὶ ἵνα μὴ μείζονα ἐνθῶ περὶ ἐμοῦ ἔννοιαν τοῖς ἀκούουσιν.

Ἐκεῖνοι μὲν γὰρ οἱ ψευδαπόστολοι καὶ τὰ οὐκ ὄντα περὶ ἑαυτῶν ἔλεγον· οὗτος δὲ καὶ τὰ ὄντα ἀποκρύπτεται, καὶ ταῦτα ἀνάγκης τοσαύτης ἐπικειμένης· καί φησιν, «οὐ συμφέρει μοι», παιδεύων ἅπαντας ἐκ πολλῆς περιουσίας τὸ τοιοῦτον φεύγειν. Οὐδὲν γὰρ ἔχει τὸ πρᾶγμα κέρδος, ἀλλὰ καὶ βλάβην, πλὴν ἐὰν μὴ ἀναγκαία τις ᾖ πρόφασις καὶ ὠφέλιμος ἡ εἰς τοῦτο ἐνάγουσα.

1. Β΄ Κορ. 12, 1.

ΛΟΓΟΣ ΚΣΤ΄
Β΄ Κορ. 12, 1 - 10

«Τὸ νὰ καυχῶμαι λοιπὸν δὲν εἶναι συμφέρον μου, ἀλλὰ θὰ ἔλθω εἰς ὀπτασίας καὶ ἀποκαλύψεις τοῦ Κυρίου»[1].

1. Τί εἶναι αὐτό; Αὐτὸς ὁ ὁποῖος εἶπε τόσα, λέγει τώρα «τὸ νὰ καυχῶμαι λοιπόν», ὡσὰν νὰ μὴ εἶπε τίποτε; Ὄχι ὡσὰν νὰ μὴ εἶπε τίποτε, ἀλλὰ ἐπειδὴ πρόκειται νὰ μεταβῇ εἰς ἄλλο εἶδος καυχήσεως, τὸ ὁποῖον δὲν ἔχει μὲν τόσην ἀμοιβήν, ἀλλὰ φαίνεται εἰς τοὺς πολλοὺς ὅτι τὸν ἀναδεικνύει λαμπρότερον, ὄχι εἰς ἐκείνους οἱ ὁποῖοι ἐξετάζουν μὲ ἀκρίβειαν, λέγει, «τὸ νὰ καυχῶμαι λοιπὸν δὲν εἶναι συμφέρον μου». Τὰ μεγάλα δηλαδὴ καυχήματα εἶναι αὐτὰ τὰ ὁποῖα ἀπηρίθμησε, αἱ δοκιμασίαι, ἀλλὰ ἔχει καὶ ἄλλα νὰ εἴπῃ, τὰ ἀναφερόμενα εἰς τὰς ἀποκαλύψεις, εἰς τὰ ἀπόρρητα μυστήρια. Καὶ διατί λέγει, «δὲν εἶναι συμφέρον μου»; Διὰ νὰ μὴ ἐπαρθῶ εἰς ἀφροσύνην, λέγει. Τί λέγεις; Ἂν δηλαδὴ δὲν τὰ εἴπῃς, δὲν τὰ γνωρίζεις; Ἀλλὰ δὲν ἐπαιρώμεθα ἐξ ἴσου ὅταν τὰ γνωρίζωμεν οἱ ἴδιοι καὶ ὅταν τὰ φανερώνωμεν καὶ εἰς ἄλλους. Διότι δὲν ἐπαιρώμεθα συνήθως ἀπὸ αὐτὰ τὰ ἴδια τὰ κατορθώματά μας, ἀλλ' ἀπὸ τὸ νὰ τὰ γνωρίζουν καὶ νὰ μαρτυροῦν δι' αὐτὰ οἱ πολλοί. Διὰ τοῦτο λοιπὸν λέγει, «δὲν εἶναι συμφέρον μου», καὶ διὰ νὰ μὴ δημιουργήσω μεγαλυτέραν ἰδέαν δι' ἐμὲ εἰς τοὺς ἀκούοντας.

Ἐκεῖνοι λοιπὸν οἱ ψευδαπόστολοι ἔλεγον διὰ τὸν ἑαυτόν των καὶ πράγματα ποὺ δὲν ἔγιναν, ἐνῷ αὐτὸς καὶ αὐτὰ ποὺ ἔγιναν ἀποκρύπτει, καὶ αὐτὸ παρ' ὅ,τι ὑπάρχει τόσον μεγάλη ἀνάγκη διὰ νὰ τὰ εἴπῃ· καὶ λέγει, «δὲν εἶναι συμφέρον μου», διδάσκων εἰς ὅλους νὰ τὸ ἀποφεύγουν αὐτὸ μὲ μεγάλην ἐπιμέλειαν. Διότι κανένα κέρδος δὲν ἔχει αὐτὸ τὸ πρᾶγμα, ἀλλὰ καὶ βλάβην προξενεῖ, ἐὰν δὲν ὑπάρχῃ μεγάλη ἀνάγκη ποὺ νὰ ὠφελῇ ἀπὸ τὸ ὅτι ὁδηγεῖ εἰς αὐτό.

Εἰπὼν τοίνυν τοὺς κινδύνους, τοὺς πειρασμούς, τὰς ἐπιβουλάς, τὰς ἀθυμίας, τὰ ναυάγια, ἐφ' ἕτερον μεθίσταται καυχήσεως εἶδος, λέγων· «Οἶδα ἄνθρωπον πρὸ ἐτῶν δεκατεσσάρων· εἴτε ἐν σώματι, οὐκ οἶδα· εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· ὁ Θεὸς οἶδεν· ἁρπαγέντα τὸν τοιοῦτον ἕως τρίτου οὐρανοῦ. Καὶ οἶδα ὅτι ἡρπάγη εἰς τὸν παράδεισον· εἴτε ἐν σώματι, οὐκ οἶδα· εἴτε ἐκτὸς τοῦ σώματος, οὐκ οἶδα· καὶ ἤκουσεν ἄρρητα ῥήματα, ἃ οὐκ ἐξὸν ἀνθρώπῳ λαλῆσαι. Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι· ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι». Μεγάλη μὲν αὕτη ἡ ἀποκάλυψις. Οὐκ αὐτὴ δὲ γέγονε μόνη, ἀλλὰ καὶ ἕτεραι πλείους· αὐτὸς δὲ μίαν ἐκ πολλῶν τίθησιν. Ὅτι γὰρ πολλαὶ ἦσαν, ἄκουσον τί φησι· «Τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι».

Καὶ μήν, εἴποι τις ἄν, εἰ κρύψαι ἤθελε, παντελῶς ἔδει μὴ δοῦναι αἴνιγμα, μηδὲ εἰπεῖν τι τοιοῦτον· εἰ δὲ εἰπεῖν ἤθελε, σαφῶς εἰπεῖν. Τίνος οὖν ἕνεκεν οὔτε σαφῶς εἶπεν, οὔτε ἐσίγησεν; Ἵνα κἀνταῦθα δείξῃ, ὅτι ἄκων ἐπὶ τὸ πρᾶγμα ἔρχεται. Διὰ τοῦτο καὶ τὸν χρόνον ἔθηκε τῶν δεκατεσσάρων ἐτῶν. Οὐδὲ γὰρ ἁπλῶς αὐτοῦ μέμνηται, ἀλλὰ δεικνὺς ὅτι οὐκ ἂν ὁ τοσοῦτον καρτερήσας χρόνον, νῦν ἂν ἐξεῖπεν, εἰ μὴ πολλὴ ἦν ἡ ἀνάγκη. Ἀλλ' ὅμως ἐσίγησεν ἄν, εἰ μὴ τοὺς ἀδελφοὺς ἀπολλυμένους ἑώρα. Εἰ δὲ ἐκ προοιμίων τοιοῦτος ἦν ὁ Παῦλος, ὥστε τοιαύτης καταξιωθῆναι ἀποκαλύψεως, ὅτε οὔπω τοιαῦτα κατορθώματα εἶχεν· ἐννόησον ἡλίκος ἐν τεσσαρεσκαίδεκα ἔτεσι γέγονεν.

Ὅρα δὲ πῶς καὶ ἐν αὐτῷ τούτῳ μετριάζει, τῷ τὰ μὲν εἰπεῖν, τὰ δὲ ὁμολογεῖν ἠγνοηκέναι. Ὅτι μὲν γὰρ ἡρπάγη, εἶπεν· εἴτε δὲ ἐν σώματι, εἴτε οὐκ ἐν σώματι, οὐκέτι φησὶν

---

2. Β' Κορ. 12, 2-6.

Ἀφοῦ ὡμίλησε λοιπὸν διὰ τοὺς κινδύνους, τοὺς πειρασμούς, τὰς ἐπιβουλάς, τὰς θλίψεις, τὰ ναυάγια, ἔρχεται εἰς ἄλλην αἰτίαν καυχήσεως, λέγων· «Γνωρίζω ἕνα ἄνθρωπον χριστιανὸν ὁ ὁποῖος πρὸ δεκατεσσάρων ἐτῶν — εἴτε μὲ τὸ σῶμα, δὲν γνωρίζω, εἴτε ἐκτὸς τοῦ σώματος, δὲν γνωρίζω, ὁ Θεὸς γνωρίζει — ἡρπάγη ἕως τὸν τρίτον οὐρανόν. Καὶ γνωρίζω ὅτι ὁ ἄνθρωπος ἐκεῖνος — εἴτε μὲ τὸ σῶμα, εἴτε ἐκτὸς τοῦ σώματος, δὲν γνωρίζω, ὁ Θεὸς γνωρίζει — ἡρπάγη εἰς τὸν παράδεισον καὶ ἤκουσεν ἀνεκφράστους λόγους τοὺς ὁποίους δὲν ἐπιτρέπεται νὰ ἐπαναλάβῃ ἄνθρωπος. Δι' ἕνα τέτοιον ἄνθρωπον θὰ καυχηθῶ, διὰ τὸν ἑαυτόν μου ὅμως δὲν θὰ καυχηθῶ». Μεγάλη εἶναι μὲν αὐτὴ ἡ ἀποκάλυψις. Ἀλλὰ δὲν ἔγινεν αὐτὴ μόνη, ἀλλὰ καὶ πολλαὶ ἄλλαι· αὐτὸς ὅμως ἐκθέτει μίαν ἀπὸ τὰς πολλάς. Διότι διὰ τὸ ὅτι ἦσαν πολλαί, ἄκουσε τί λέγει· «Καὶ διὰ νὰ μὴ ὑπερηφανεύωμαι διὰ τὰς πολλὰς ἀποκαλύψεις».

Καὶ ὅμως, θὰ εἴπῃ κανείς, ἐὰν ἤθελε νὰ κρύψῃ αὐτάς, ἔπρεπε νὰ μὴ τὰς ὑπαινιχθῇ καθόλου, οὔτε νὰ εἴπῃ τίποτε τέτοιο· ἐὰν δὲ ἤθελε νὰ τὰς εἴπῃ, ἔπρεπε νὰ τὰς εἴπῃ σαφῶς. Διατί λοιπὸν οὔτε σαφῶς ὡμίλησε δι' αὐτάς, οὔτε ἐσιώπησε; Διὰ νὰ ἴδῃς καὶ ἐδῶ, ὅτι χωρὶς νὰ θέλῃ τὸ κάμνει αὐτό. Διὰ τοῦτο καὶ ἔγραψε διὰ τὸν χρόνον τῶν δεκατεσσάρων ἐτῶν. Διότι δὲν μνημονεύει τυχαίως αὐτό, ἀλλὰ δεικνύων ὅτι αὐτὸς ὁ ὁποῖος ἔκρυψεν αὐτὸ ἐπὶ τόσον χρόνον, δὲν θὰ τὸ ἔλεγε τώρα, ἐὰν δὲν ἦτο μεγάλη ἀνάγκη. Ἀλλὰ θὰ ἐσιώπα, ἐὰν δὲν ἔβλεπε τοὺς ἀδελφοὺς νὰ χάνωνται. Ἐὰν δὲ ἀπὸ τὴν ἀρχὴν ἦτο τέτοιος ὁ Παῦλος, ὥστε ν' ἀξιωθῇ τέτοιας ἀποκαλύψεως, ὅταν ἀκόμη δὲν εἶχε τέτοια κατορθώματα, σκέψου πόσον μέγας ἔγινε μετὰ ἀπὸ τεσσαράκοντα ἔτη.

Κοίταξε δὲ πῶς καὶ εἰς αὐτὸ ἀκόμη ταπεινοῦται μὲ τὸ νὰ εἴπῃ διὰ τὰ μέν, διὰ τὰ δὲ νὰ ὁμολογήσῃ ὅτι ἀγνοεῖ. Διότι, διὰ τὸ ὅτι μὲν ἡρπάγη εἶπεν· ἀλλ' εἴτε μὲ τὸ σῶμα, εἴτε ἐκτὸς τοῦ σώματος, καθόλου, λέγει, ὅτι δὲν γνωρίζει.

εἰδέναι. Καίτοιγε ἐξήρκει τὴν ἁρπαγὴν εἰπόντι, σιγῆσαι· νυνὶ δὲ μετριάζων καὶ τοῦτο προστίθησι. Τί οὖν; ὁ νοῦς ἡρπάγη καὶ ἡ ψυχή, τὸ δὲ σῶμα νεκρὸν ἔμεινεν; Ἀλλὰ τὸ σῶμα ἡρπάγη; Ἀλλ' οὐκ ἔστιν εἰπεῖν. Εἰ γὰρ ὁ Παῦλος ἠγνόει ὁ ἁρπαγείς, καὶ τοσούτων καὶ τοιούτων τυχὼν ἀπορρήτων, πολλῷ μᾶλλον ἡμεῖς. Ὅτι μὲν γὰρ ἐν παραδείσῳ ἦν ᾔδει, καὶ ὅτι ἐν τῷ τρίτῳ ἦν οὐρανῷ, οὐκ ἠγνόει· τὸν δὲ τρόπον οὐκ ᾔδει σαφῶς.

Σκόπει δὲ καὶ ἑτέρωθεν αὐτοῦ τὸ ἄτυφον. Ἐπὶ μὲν γὰρ τῆς Δαμασκηνῶν πόλεως πιστοῦται τὸν λόγον, ἐνταῦθα δὲ οὐκέτι· οὐδὲ γὰρ σφόδρα αὐτὸ κατασκευάσαι ἠβούλετο, ἀλλ' εἰπεῖν καὶ αἰνίξασθαι μόνον. Διὸ καὶ ἐπάγει λέγων· «Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι»· οὐ τοῦτο δηλῶν, ὅτι ἕτερός τις ἦν ὁ ἁρπαγείς· ἀλλ' ὡς ἐνεχώρει καὶ δυνατὸν ἦν καὶ εἰπεῖν, καὶ διακρούσασθαι τὸ περὶ αὐτοῦ εἰπεῖν φανερῶς, οὕτω σχηματίζει τὸν λόγον. Ποία γὰρ ἀκολουθία ἦν, περὶ ἑαυτοῦ διαλεγόμενον, ἄλλον παράγειν εἰς μέσον; Τίνος οὖν ἕνεκεν οὕτως αὐτὸ τέθεικεν; Οὐκ ἦν ἴσον εἰπεῖν, ἡρπάγην, καί, οἶδα ἁρπαγέντα· καὶ καυχῶμαι ὑπὲρ ἐμαυτοῦ, καί, «ὑπὲρ τοῦ τοιούτου καυχήσομαι». Εἰ δὲ λέγοι τις, καὶ πῶς ἔνι χωρὶς σώματος ἁρπαγῆναι; ἐρήσομαι αὐτόν, πῶς δὲ ἔνι μετὰ σώματος ἁρπαγῆναι; καὶ γὰρ καὶ τοῦτο ἐκείνου ἀπορώτερον, ἐὰν λογισμοῖς ἐξετάζῃς, καὶ μὴ τῇ πίστει παραχωρῇς.

2. *Τίνος δὲ ἕνεκεν καὶ ἡρπάγη; Ὑπὲρ τοῦ μὴ δοκεῖν αὐτόν, ἔγωγε οἶμαι, ἔλαττον ἔχειν τῶν λοιπῶν ἀποστόλων. Ἐπεὶ γὰρ ἐκεῖνοι συνεγένοντο τῷ Χριστῷ, οὗτος δὲ οὐδαμῶς, διὰ τοῦτο εἰς δόξαν ἥρπασε καὶ τοῦτον. «Εἰς τὸν παράδεισον». Πολὺ γὰρ ὄνομα τοῦ χωρίου τούτου, καὶ πανταχοῦ ᾔδετο. Διὸ καὶ ὁ Χριστὸς ἔλεγε, «Σήμερον μετ' ἐμοῦ*

3. Λουκᾶ 23, 43.

Καὶ ὅμως ἦτο ἀρκετὸν ἀφοῦ εἶπε διὰ τὴν ἁρπαγὴν νὰ σιωπήσῃ· τώρα ὅμως ταπεινούμενος προσθέτει καὶ αὐτό. Τί λοιπόν; Ἡρπάγη ὁ νοῦς καὶ ἡ ψυχή, τὸ δὲ σῶμα ἔμεινε νεκρόν; Ἢ μήπως ἡρπάγη τὸ σῶμα; Ἀλλὰ δὲν εἶναι δυνατὸν νὰ εἴπῃ κανείς. Διότι ἐὰν δὲν ἐγνώριζεν ὁ Παῦλος ὁ ὁποῖος καὶ ἡρπάγη, καὶ ἔτυχε τόσων καὶ τέτοιων ἀπορρήτων, πολὺ περισσότερον ἐμεῖς. Διὰ τὸ ὅτι λοιπὸν ἦτο εἰς τὸν παράδεισον ἐγνώριζε, καὶ ὅτι ἦτο εἰς τὸν τρίτον οὐρανὸν δὲν τὸ ἠγνόει· ἀλλὰ τὸν τρόπον δὲν ἐγνώριζε σαφῶς.

Πρόσεχε ὅμως καὶ ἀλλοῦ τὴν ταπείνωσίν του. Διὰ τὴν πόλιν δηλαδὴ τῶν Δαμασκηνῶν δίδει διαβεβαίωσιν, ἐδῶ ὅμως καθόλου· διότι δὲν ἤθελε νὰ τὸ ἀποδείξῃ αὐτό, ἀλλὰ μόνον νὰ τὸ εἴπῃ δι' ὑπαινιγμοῦ. Διὰ τοῦτο καὶ προσθέτει λέγων· «Δι' ἕνα τέτοιον ἄνθρωπον θὰ καυχηθῶ»· ὄχι διὰ νὰ εἴπῃ ὅτι κάποιος ἄλλος ἡρπάγη, ἀλλ' ὅσον ἐπετρέπετο καὶ ἦτο δυνατὸν καὶ νὰ εἴπῃ, καὶ νὰ ἀποφύγῃ νὰ εἴπῃ φανερῶς διὰ τὸν ἑαυτόν του, ἔτσι συνθέτει τὸν λόγον. Διότι ποία λογικὴ συνέπεια ὑπῆρχεν, ἐνῷ ὡμιλοῦσε διὰ τὸν ἑαυτόν του, νὰ παρουσιάσῃ ἄλλον; Διατί λοιπὸν ἐξέθεσεν αὐτὸ ἔτσι; Δὲν ἦτο τὸ ἴδιον νὰ εἴπῃ, ἡρπάγην, καί, γνωρίζω κάποιον ὁ ὁποῖος ἡρπάγη· ἐπίσης τὸ νὰ εἴπῃ, καυχῶμαι διὰ τὸν ἑαυτόν μου καί, «δι' αὐτὸν τὸν ἄνθρωπον θὰ καυχηθῶ». Ἐὰν δὲ εἴπῃ κανείς, καὶ πῶς εἶναι δυνατὸν νὰ ἁρπαγῇ χωρὶς σῶμα; θὰ εἴπω εἰς αὐτόν, πῶς ὅμως εἶναι δυνατὸν νὰ ἁρπαγῇ μὲ τὸ σῶμα; Διότι αὐτὸ εἶναι περισσότερον ἀδύνατον ἀπὸ ἐκεῖνο, ἐὰν ἐξετάζῃς αὐτὰ μὲ σκέψεις ἀμφιβολίας καὶ ὄχι μὲ πίστιν.

2. Διατί ὅμως ἡρπάγη; Διὰ νὰ μὴ νομίζῃ αὐτός, ὅπως πιστεύω, ὅτι ἔχει κάτι ὀλιγώτερον ἀπὸ τοὺς ἄλλους ἀποστόλους. Διότι, ἐπειδὴ ἐκεῖνοι ἔζησαν μαζὶ μὲ τὸν Χριστόν, ἐνῷ αὐτὸς καθόλου, διὰ τοῦτο ἥρπασε καὶ αὐτὸν εἰς δόξαν. «Εἰς τὸν παράδεισον». Διότι ἦτο μεγάλη ἡ φήμη αὐτοῦ τοῦ τόπου, καὶ παντοῦ ἐξυμνεῖτο. Διὰ τοῦτο ἔλεγε καὶ ὁ Χριστός, «Σήμερον θὰ εἶσαι μαζί μου εἰς τὸν παράδεισον»[*]. «Δι' ἕνα

ἔση ἐν τῷ παραδείσῳ». «Ὑπὲρ τοῦ τοιούτου καυχήσομαι». Τίνος ἕνεκεν; εἰ γὰρ ἄλλος ἡρπάγη, σὺ τί καυχᾷ; Ὅθεν δῆλον, ὅτι περὶ ἑαυτοῦ ταῦτα ἔλεγεν. Εἰ δὲ ἐπήγαγεν, «ὑπὲρ δὲ ἐμαυτοῦ οὐ καυχήσομαι»· οὐδὲν ἄλλο λέγει, ἢ ὅτι, ἀνάγκης οὐκ οὔσης οὐδὲν ἐρῶ τοιοῦτον ἁπλῶς καὶ εἰκῇ· ἢ συσκιάζων πάλιν τὸ εἰρημένον, ὡς ἐνεχώρει. Ὅτι γὰρ περὶ ἑαυτοῦ πᾶς ὁ λόγος ἦν, καὶ τὰ ἑξῆς δηλοῖ· ἐπήγαγε γὰρ λέγων, «Ἐὰν δὲ καὶ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων· ἀλήθειαν γὰρ ἐρῶ». Πῶς οὖν ἔμπροσθεν ἔλεγες, «Ὤφελον ἀνείχεσθέ μου μικρὸν τῇ ἀφροσύνῃ», καί, «Ὃ λαλῶ, οὐ κατὰ Κύριον λαλῶ, ἀλλ' ὡς ἐν ἀφροσύνῃ»· ἐνταῦθα δέ, «Ἐὰν δὲ καὶ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων;». Οὐ κατὰ τὸ καυχᾶσθαι, ἀλλὰ κατὰ τὸ ψεύδεσθαι· εἰ γὰρ τὸ καυχᾶσθαι ἀφροσύνης, τὸ ψεύδεσθαι πόσῳ μᾶλλον; Κατὰ τοῦτο οὖν φησιν, «οὐκ ἔσομαι ἄφρων». Διὸ καὶ ἐπήγαγεν, «Ἀλήθειαν γὰρ ἐρῶ. Φείδομαι δέ, μή τις εἰς ἐμὲ λογίσηται ὑπὲρ ὃ βλέπει, ἢ ἀκούει τι ἐξ ἐμοῦ».

Αὕτη ἐστὶν ἡ ὡμολογημένη αἰτία· καὶ γὰρ καὶ θεοὺς αὐτοὺς ἐνόμισαν διὰ τὸ μέγεθος τῶν σημείων. Καθάπερ οὖν ἐπὶ τῶν στοιχείων ἀμφότερα πεποίηκεν ὁ Θεός, καὶ ἀσθενῆ καὶ λαμπρὰ κατασκευάσας, τὸ μέν, ἵνα κηρύξῃ τὴν αὐτοῦ δύναμιν, τὸ δέ, ἵνα κωλύσῃ τῶν ἀνθρώπων τὴν πλάνην· οὕτω δὴ καὶ ἐνταῦθα καὶ θαυμαστοὶ ἦσαν καὶ ἀσθενεῖς, ὥστε δι' αὐτῶν τῶν ἔργων παιδεύεσθαι τοὺς ἀπίστους. Εἰ γὰρ μένοντες θαυμαστοὶ μόνον, καὶ μηδὲν ἀσθενείας δεῖγμα φέροντες, λόγῳ τοὺς πολλοὺς ἀπῆγον τοῦ μὴ μείζονα περὶ αὐτῶν ὑποπτεύειν τῆς ἀληθείας· οὐ μόνον οὐδὲν ἂν ἤνυσαν, ἀλλὰ καὶ τοὐναντίον ἂν κατεσκεύασαν. Αἱ γὰρ διὰ τῶν λόγων γι-

4. Β' Κορ. 12, 6.

τέτοιον ἄνθρωπον θὰ καυχηθῶ». Διατί; Ἐὰν δηλαδὴ ἄλλος ἡρπάγη, σὺ διατί καυχᾶσαι; Ἀπὸ τὸ ὁποῖον εἶναι φανερὸν ὅτι διὰ τὸν ἑαυτόν του ἔλεγεν αὐτά. Ἐὰν δὲ προσέθεσε «διὰ τὸν ἑαυτόν μου ὅμως δὲν θὰ καυχηθῶ», τίποτε ἄλλο δὲν ἐννοεῖ, παρὰ ὅτι, ἐὰν δὲν εἶναι ἀνάγκη, τίποτε τέτοιο δὲν θὰ εἴπω τυχαίως καὶ ἀβασανίστως· ἢ διὰ νὰ καλύψῃ πάλιν αὐτὸ ποὺ εἶπεν, ὅσον ἦτο δυνατόν. Διὰ τὸ ὅτι δὲ ὅλος ὁ λόγος διὰ τὸν ἑαυτόν του ἐγίνετο, μαρτυροῦν καὶ τὰ ἑπόμενα· διότι προσέθεσε λέγων, «Ἀλλὰ καὶ ἐὰν θελήσω νὰ καυχηθῶ, δὲν θὰ εἶμαι ἀνόητος, διότι θὰ εἴπω τὴν ἀλήθειαν»[4]. Πῶς λοιπὸν προηγουμένως ἔλεγες, «εἴθε νὰ μοῦ ἐδείχνατε ἀνοχὴν εἰς μίαν μικρὰν ἀνοησίαν», καί, «Αὐτὸ ποὺ λέγω, δὲν τὸ λέγω κατ' ἐντολὴν τοῦ Κυρίου, ἀλλ' ὡς ἀνόητος», ἐνῷ ἐδῶ, «Ἀλλὰ καὶ ἐὰν θελήσω νὰ καυχηθῶ, δὲν θὰ εἶμαι ἀνόητος, διότι θὰ εἴπω τὴν ἀλήθειαν»; Ὄχι διὰ τὴν καύχησιν, ἀλλὰ διὰ τὸ ψεύδεσθαι· διότι ἐὰν τὸ νὰ καυχᾶσαι προέρχεται ἀπὸ ἀφροσύνην, πόσον μᾶλλον τὸ νὰ ψεύδεσαι; Ὡς πρὸς αὐτὸ λοιπὸν λέγει «δὲν θὰ εἶμαι ἀνόητος». Διὰ τοῦτο καὶ προσέθεσε, «διότι θὰ εἴπω τὴν ἀλήθειαν. Τὸ ἀποφεύγω ὅμως, μήπως μὲ θεωρήσῃ κανεὶς ἀνώτερον ἀπὸ ὅ,τι βλέπει εἰς ἐμὲ ἢ ἀκούει ἀπὸ ἐμέ».

Αὐτὴ εἶναι ἡ ἀναντίρρητος αἰτία· διότι καὶ θεοὺς ἐνόμισαν αὐτοὺς διὰ τὸ μέγεθος τῶν θαυμάτων. Διότι ὅπως εἰς τὰ φυσικὰ στοιχεῖα ἐδημιούργησεν ὁ Θεὸς καὶ ἀπὸ τὰ δύο εἴδη, καὶ ἀσθενῆ καὶ λαμπρά, καὶ αὐτὸ ἀφ' ἑνὸς μὲν διὰ νὰ δείξῃ τὴν δύναμίν του, ἀφ' ἑτέρου δέ, διὰ νὰ ἐμποδίσῃ τὴν πλάνην τῶν ἀνθρώπων, ἔτσι λοιπὸν καὶ ἐδῶ καὶ θαυμαστοὶ ἦσαν καὶ ἀσθενεῖς, ὥστε μὲ αὐτὰ τὰ ἔργα νὰ διδάσκωνται οἱ ἄπιστοι. Διότι ἐὰν μὲ τὸ νὰ ἐμφανίζουν τοὺς ἑαυτούς των θαυμαστοὺς μόνον, χωρὶς νὰ δεικνύουν κανένα σημεῖον ἀδυναμίας, ἐξηπάτουν διὰ τοῦ λόγου τοὺς πολλούς, ὥστε νὰ μὴ ὑποπτευθοῦν τίποτε περισσότερον διὰ τὴν ἀλήθειαν περὶ αὐτῶν, ὄχι μόνον δὲν θὰ ἐπετέλουν τὸ ἔργον των, ἀλλὰ καὶ τὸ ἀντίθετον θὰ ἐπετύγχανον. Διότι ἡ ἀποποίησις τῶν μη-

νόμεναι παραιτήσεις ταπεινοφροσύνης ἂν ἔδοξαν εἶναι μᾶλλον, καὶ πλέον αὐτοὺς θαυμασθῆναι παρεσκεύασαν. Διὰ τοῦτο ἔργῳ καὶ πράγμασιν ἡ ἀσθένεια αὐτῶν ἐξεκαλύπτετο.

Καὶ τοῦτό ἴδοι τις ἂν ἐπὶ τῶν ἐν τῇ Παλαιᾷ γενομένων ἀνθρώπων. Καὶ γὰρ ὁ Ἠλίας θαυμαστὸς ἦν, ἀλλ' ἠλέγχθη ποτὲ ὑπὸ δειλίας· καὶ ὁ Μωϋσῆς μέγας, ἀλλὰ καὶ οὗτος δι' αὐτὸ τοῦτο τὸ πάθος ἐδραπέτευσε. Ταῦτα δὲ ἔπασχον, τοῦ Θεοῦ ἀφιστῶντος, καὶ συγχωροῦντος τὴν ἀνθρωπίνην ἐλεγχθῆναι φύσιν. Εἰ γάρ, ἐπειδὴ ἐξήγαγεν αὐτούς, λέγουσι, ποῦ ἐστι Μωϋσῆς; εἰ καὶ εἰσήγαγε, τί οὐκ ἂν εἶπον; Διὰ τοῦτο καὶ αὐτός φησι, «Φείδομαι, μή τις εἰς ἐμὲ λογίσηται». Οὐκ εἶπεν, εἴπῃ, ἀλλ', ἵνα μηδὲ λογίσηταί τι μεῖζον τῆς ἀξίας τῆς ἐμῆς. Ὥστε κἀντεῦθεν δῆλον, ὅτι περὶ αὐτοῦ πᾶς ὁ λόγος. Διὸ καὶ ἀρχόμενος ἔλεγε, «Καυχᾶσθαι δὴ οὐ συμφέρει μοι»· οὐκ ἄν, εἰ περὶ ἑτέρου ἔμελλεν ἐρεῖν ἅπερ εἶπε, τοῦτο εἰπών. Τίνος γὰρ ἕνεκεν οὐ συμφέρει περὶ ἑτέρου καυχᾶσθαι; Ἀλλ' αὐτὸς ἦν ὁ τούτων ἀξιωθείς· διὸ καὶ ἐπάγει λέγων· «Καὶ τῇ ὑπερβολῇ τῶν ἀποκαλύψεων ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ τῇ σαρκί, ἄγγελος Σατᾶν, ἵνα με κολαφίζῃ».

Τί λέγεις; ὁ τὴν βασιλείαν οὐδὲν εἶναι νομίζων, οὐδὲ τὴν γέενναν πρὸς τὸν πόθον τοῦ Χριστοῦ, τὴν παρὰ τῶν πολλῶν ἐνόμιζέ τι εἶναι τιμήν, ὥστε καὶ ἐπαρθῆναι, καὶ διηνεκοῦς δεῖσθαι τοῦ χαλινοῦ; οὐ γὰρ εἶπεν, ἵνα κολαφίσῃ, ἀλλ', ἵνα κολαφίζῃ. Καὶ τίς ἂν τοῦτο εἴποι; Τί οὖν ἐστι τὸ λεγόμενον; Ὅταν ἀνακαλύψωμεν τίς ποτέ ἐστιν ὁ σκόλοψ, καὶ τίς ὁ ἄγγελος τοῦ Σατᾶν, τότε καὶ τοῦτο ἐροῦμεν. Τινὲς μὲν οὖν κεφαλαλγίαν τινὰ ἔφασαν αὐτὸν λέγειν ὑπὸ τοῦ διαβόλου γινομένην· ἀλλὰ μὴ γένοιτο. Οὐ γὰρ ἂν τὸ

5. Β' Κορ. 12, 7.

ἀνηκόντων εἰς αὐτούς, ποὺ ἐγίνοντο διὰ τῶν λόγων, ἐφάνη ὅτι ἐγίνετο μᾶλλον ἀπὸ ταπεινοφροσύνην, καὶ ἔκανεν ὥστε περισσότερον νὰ θαυμασθοῦν αὐτοί. Διὰ τοῦτο καὶ ἐμπράκτως ἀπεδεικνύετο ἡ ἀδυναμία των.

Αὐτὸ θὰ ἴδη κανεὶς καὶ εἰς τοὺς ἀνθρώπους ποὺ ἔζησαν τὴν περίοδον τῆς παλαιᾶς Διαθήκης. Διότι καὶ ὁ Ἠλίας ἦτο θαυμαστός, ἀλλ' ἐνικήθη κάποτε ἀπὸ τὴν δειλίαν· καὶ ὁ Μωϋσῆς ἦτο μέγας, ἀλλὰ καὶ αὐτὸς ἀπὸ τὸ ἴδιον πάθος ἐλιποτάκτησεν. Αὐτὰ δὲ ἐπάθαινον, ἐπειδὴ ἀπεμακρύνετο ὁ Θεὸς καὶ ἐπέτρεπεν νὰ φανερωθῇ ἡ ἀσθένεια τῆς ἀνθρωπίνης φύσεως. Διότι ἐὰν ὅταν τοὺς ἐξήγαγεν ἀπὸ τὴν δουλείαν ἔλεγον, «ποῦ εἶναι ὁ Μωϋσῆς;», τί δὲν θὰ ἔλεγον ἐὰν τοὺς εἰσήγαγεν; Διὰ τοῦτο καὶ ὁ Παῦλος λέγει, «Τὸ ἀποφεύγω ὅμως, μήπως κανεὶς μὲ θεωρήσῃ ἀνώτερον». Δὲν λέγει, μήπως εἴπῃ, ἀλλά, διὰ νὰ μὴ μὲ θεωρήσῃ μεγαλύτερον ἀπὸ αὐτὴν τὴν ἀξίαν. Ὥστε καὶ ἀπὸ ἐδῶ εἶναι φανερόν, ὅτι δι' αὐτὸν ἐγίνετο ὁ λόγος. Διὰ τοῦτο καὶ εἰς τὴν ἀρχὴν ἔλεγε, «Τὸ νὰ καυχῶμαι λοιπὸν δὲν εἶναι συμφέρον μου»· δὲν θὰ τὸ ἔλεγεν αὐτό, ἐὰν ἐπρόκειτο νὰ εἴπῃ δι' ἄλλον ὅσα εἶπε. Διότι διὰ ποῖον λόγον δὲν συμφέρει νὰ καυχᾶται δι' ἄλλον; Ἀλλ' ὁ ἴδιος ἦτο ἐκεῖνος ὁ ὁποῖος ἠξιώθη αὐτά· διὰ τοῦτο καὶ προσθέτει λέγων· «Καὶ διὰ νὰ μὴ ὑπερηφανεύωμαι διὰ τὰς πολλὰς ἀποκαλύψεις, μοῦ ἐδόθη ἕνα ἀγκάθι εἰς τὸ σῶμα, εἷς ἄγγελος τοῦ Σατανᾶ, διὰ νὰ μὲ ραπίζῃ»[5].

Τί λέγεις; Αὐτὸς ὁ ὁποῖος ἐθεώρει ὡς τίποτε τὴν βασιλείαν καὶ τὴν γέενναν διὰ τὸν πόθον τοῦ Χριστοῦ, ἐλογάριαζεν ὡσὰν κάτι ἀξιόλογον τὴν τιμὴν τῶν πολλῶν, ὥστε νὰ κινδυνεύῃ νὰ ὑπερηφανευθῇ, καὶ νὰ ἔχῃ ἀνάγκην διαρκῶς ἀπὸ χαλινόν; Διότι δὲν εἶπε, διὰ νὰ ραπίσῃ, ἀλλά, διὰ νὰ ραπίζῃ. Καὶ ποῖος θὰ ἠδύνατο νὰ εἴπῃ αὐτό; Τί σημαίνουν λοιπὸν τὰ λόγια του αὐτά; Ὅταν ἀνακαλύψωμεν ποῖον εἶναι τὸ ἀγκάθι, καὶ ποῖος ὁ ἄγγελος τοῦ Σατανᾶ, τότε θὰ εἴπωμεν καὶ αὐτό. Ὡρισμένοι βέβαια εἶπον ὅτι ἐπῆλθεν εἰς αὐτὸν κεφαλαλγία ἀπὸ τὸν διάβολον· ἀλλὰ μὴ γένοιτο. Διότι

σῶμα τοῦ Παύλου ταῖς τοῦ διαβόλου χερσὶν ἐξεδόθη, ὅπου γε αὐτὸς ὁ διάβολος ἐπιτάγματι μόνον εἶχεν αὐτῷ τῷ Παύλῳ· καὶ νόμους αὐτῷ καὶ ὅρους ἐτίθει, ὅτε τὸν πορνεύοντα παρέδωκεν εἰς ὄλεθρον τῆς σαρκός· καὶ ὑπερβῆναι τούτους οὐκ ἐτόλμησεν ἐκεῖνος.

Τί οὖν ἐστι τὸ λεγόμενον; Σατᾶν ὁ ἀντικείμενος λέγεται τῇ τῶν Ἑβραίων φωνῇ· καὶ ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν τοὺς ἀντικειμένους οὕτως ἐκάλεσεν ἡ Γραφή. καὶ περὶ τοῦ Σολομῶντος διηγουμένη φησίν, «Οὐκ ἦν Σατᾶν ἐν ταῖς ἡμέραις αὐτοῦ»· τουτέστιν, ἀντικείμενος, πολεμῶν ἢ ἐνοχλῶν. Ὃ τοίνυν λέγει, τοῦτό ἐστιν· οὐκ εἴασεν ὁ Θεὸς προχωρῆσαι τὸ κήρυγμα, τὸ φρόνημα καταστέλλων ἡμῶν, ἀλλὰ συνεχώρησε τοῖς ἀντικειμένοις ἐπιτίθεσθαι ἡμῖν. Τοῦτο μὲν γὰρ ἱκανὸν ἦν κατασπάσαι τὸ φρόνημα, ἐκεῖνο δὲ οὐκέτι, τὸ τῆς κεφαλαλγίας. Ἄγγελον τοίνυν Σατᾶν λέγει Ἀλέξανδρον τὸν χαλκέα, τοὺς περὶ Ὑμέναιον καὶ Φιλητὸν πάντας τοὺς ἀντικειμένους τῷ λόγῳ, τοὺς φιλονεικοῦντας αὐτῷ καὶ πολεμοῦντας, τοὺς ἐμβάλλοντας εἰς δεσμωτήριον, τοὺς δέροντας, τοὺς ἀπάγοντας· ἐπειδὴ τὰ τοῦ Σατανᾶ ἔπραττον. Ὥσπερ οὖν υἱοὺς διαβόλου καλεῖ τοὺς Ἰουδαίους τὰ ἐκείνου ζηλοῦντας, οὕτω καὶ ἄγγελον Σατᾶν ἅπαντα τὸν ἀντιπίπτοντα. Τοῦτο οὖν φησιν, «Ἐδόθη μοι σκόλοψ, ἵνα με κολαφίζῃ»· οὐχ ὡς τοῦ Θεοῦ τοὺς τοιούτους ὁπλίζοντος, μὴ γένοιτο, οὐ κολάζοντος οὐδὲ τιμωρουμένου, ἀλλὰ συγχωροῦντος καὶ ἀφιέντος τέως.

3. «Ὑπὲρ τούτου τρὶς τὸν Κύριον παρεκάλεσα»· τουτέστι, πολλάκις. Καὶ τοῦτο πολλῆς ταπεινοφροσύνης, τὸ μὴ κρύψαι ὅτι οὐκ ἔφερε τὰς ἐπιβουλάς, ὅτι ἔκαμνε, καὶ δεήσεως ἐδεῖτο ὑπὲρ ἀπαλλαγῆς. «Καὶ εἶπέ μοι, ἀρκεῖ σοι ἡ χάρις

---

6. Γ' Βασ. 5, 4.
7. Β' Κορ. 12, 8.

δὲν ἦτο δυνατὸν νὰ παραδοθῇ εἰς τὰ χέρια τοῦ διαβόλου τὸ σῶμα τοῦ Παύλου, ὅταν βεβαίως αὐτὸς ὁ διάβολος εἰς ἕνα πρόσταγμα μόνον ὑπήκουεν εἰς τὸν Παῦλον, καὶ ἔθετεν εἰς τὸν διάβολον νόμους καὶ ὅρους, ὅταν παρέδωσεν τὸν πορνεύοντα εἰς καταστροφὴν τῆς σαρκός· καὶ δὲν ἐτόλμησεν αὐτὸς νὰ ὑπερβῇ αὐτοὺς τοὺς ὅρους.

Τί σημαίνουν λοιπὸν τὰ λόγια του αὐτά; Σατανᾶς εἰς τὴν γλῶσσαν τῶν Ἑβραίων λέγεται ὁ ἀντίπαλος· καὶ εἰς τὸ τρίτον βιβλίον τῶν Βασιλειῶν ἔτσι ὠνόμασεν ἡ Γραφὴ τοὺς ἀντιπάλους, καὶ ὅταν διηγῆται διὰ τὸν Σολομῶντα, λέγει· «Δὲν ὑπῆρχε σατανᾶς κατὰ τοὺς χρόνους αὐτοῦ»[6], δηλαδὴ ἀντίπαλος, ὁ ὁποῖος νὰ πολεμῇ ἢ νὰ ἐνοχλῇ. Αὐτὸ λοιπὸν τὸ ὁποῖον ἐννοεῖ εἶναι τὸ ἑξῆς· δὲν ἐπέτρεψεν ὁ Θεὸς νὰ προχωρήσῃ τὸ κήρυγμα, διὰ νὰ ταπεινώνῃ τὸ ἰδικό μας φρόνημα, ἀλλ' ἐπέτρεψεν εἰς τοὺς ἐχθροὺς νὰ ἐπιτίθενται εἰς ἐμᾶς. Διότι αὐτὸ μὲν ἦτο ἱκανὸν νὰ ταπεινώσῃ τὸ φρόνημα, ἐκεῖνο ὅμως, δηλαδὴ τὸ τῆς κεφαλαλγίας, ὄχι. Ἄγγελον λοιπὸν τοῦ Σατανᾶ λέγει τὸν Ἀλέξανδρον τὸν χαλκέα, τοὺς γύρω ἀπὸ τὸν Ὑμέναιον καὶ τὸν Φιλητόν, ὅλους ὅσοι ἀντέκειντο εἰς τὸ κήρυγμα καὶ ἐφιλονείκουν μαζί του καὶ τὸν ἐπολέμουν, ὅσους τὸν ἐνέκλεισαν εἰς φυλακήν, ὅσους τὸν ἔδειρον, ὅσους τὸν ἐδίωξαν· ἐπειδὴ ἔκαμναν τὰ θελήματα τοῦ Σατανᾶ. Ὅπως ἀκριβῶς λοιπὸν ὀνομάζει υἱοὺς διαβόλου τοὺς Ἰουδαίους, ἐπειδὴ ἐπιθυμοῦν τὰ τοῦ διαβόλου, ἔτσι καὶ ἄγγελον τοῦ Σατανᾶ ὀνομάζει ὅποιον ἀντιτίθεται εἰς τὸ κήρυγμα. Αὐτὸ λοιπὸν σημαίνει, «Μοῦ ἐδόθη ἕνα ἀγκάθι, ἄγγελος τοῦ Σατανᾶ, διὰ νὰ μὲ ραπίζῃ», ὄχι ὅτι ὁ Θεὸς ὁπλίζει αὐτούς, μὴ γένοιτο, οὔτε κολάζει, οὔτε τιμωρεῖ, ἀλλ' ἐπιτρέπει καὶ ἀφήνει μέχρις ἑνὸς σημείου.

3. «Τρεῖς φορὰς παρεκάλεσα τὸν Κύριον δι' αὐτό, διὰ νὰ φύγῃ ἀπὸ ἐμέ»[7]· δηλαδή, πολλὰς φοράς. Καὶ αὐτὸ εἶναι σημεῖον μεγάλης ταπεινοφροσύνης, τὸ νὰ μὴ κρύψῃ ὅτι δὲν ὑπέφερε τὰς ἐπιβουλάς, ὅτι ἀπέκαμνε καὶ προσηύχετο διὰ ν' ἀπαλλαγῇ. «Καὶ μοῦ εἶπε, Σοῦ εἶναι ἀρκετὴ ἡ χάρις μου,

μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται». Τουτέστιν, ἀρκεῖ σοι ὅτι νεκροὺς ἐγείρεις, ὅτι τυφλοὺς θεραπεύεις, ὅτι λεπροὺς καθαίρεις, ὅτι τὰ ἄλλα θαυματουργεῖς· μὴ ζήτει καὶ τὸ ἀκίνδυνον καὶ τὸ ἀδεές, καὶ τὸ χωρὶς πραγμάτων κηρύττειν. Ἀλλὰ ἀλγεῖς καὶ ἀθυμεῖς, μὴ δόξῃ τοῦτο ἀσθενείας εἶναι ἐμῆς, τὸ πολλοὺς εἶναι τοὺς ἐπιβουλεύοντας, καὶ δέροντάς σε, καὶ ἐλαύνοντας, καὶ μαστίζοντας; Τοῦτο μὲν οὖν αὐτὸ δείκνυσί μου τὴν δύναμιν. «Ἡ γὰρ δύναμίς μου», φησίν, «ἐν ἀσθενείᾳ τελειοῦται»· ὅταν διωκόμενοι τῶν διωκόντων περιγίνησθε, ὅταν ἐλαυνόμενοι τῶν ἐλαυνόντων κρατῆτε, ὅταν δεσμούμενοι τοὺς δεσμοῦντας τρέπησθε. Μὴ ζήτει τοίνυν τὰ περιττά.

Ὁρᾷς πῶς ἄλλην μὲν αὐτὸς αἰτίαν τίθησιν, ἄλλην δὲ ὁ Θός; Αὐτὸς μὲν γὰρ λέγει, «Ἵνα μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλοψ»· τὸν δὲ Θεὸν εἰρηκέναι φησίν, ὑπὲρ τοῦ δεῖξαι τὴν δύναμιν αὐτοῦ τοῦτο συγχωρεῖν. Οὐ τοίνυν περιττὸν μόνον ζητεῖς, ἀλλὰ καὶ ἐπισκοτοῦν τῇ τῆς δυνάμεώς μου δόξῃ πρᾶγμα. Τὸ γάρ, «ἀρκεῖ σοι», τοῦτο δηλοῦντός ἐστιν, ὡς οὐκ ὀφείλοντος προστεθῆναι ἑτέρου τινός, ἀλλ' ὡς τοῦ παντὸς ἀπηρτισμένου. Ὥστε κἀντεῦθεν δῆλον, ὅτι οὐ κεφαλαλγίαν φησίν· οὐ γὰρ δὴ νοσοῦντες ἐκήρυττον· οὐ γὰρ ἠδύναντο κηρύττειν ἀσθενοῦντες· ἀλλ' ὅτι ἐλαυνόμενοι, διωκόμενοι, πάντων περιεγένοντο.

Ἐπειδὴ οὖν ταῦτα ἤκουσα, φησίν, «Ἥδιστα οὖν καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου». Ἵνα γὰρ μὴ καταπέσωσιν, ἐκείνων τῶν ψευδαποστόλων ἐπὶ τοῖς ἐναντίοις καυχομένων, καὶ τούτων ὄντων ἐν διωγμοῖς, δείκνυσιν ὅτι διὰ τοῦτο λαμπρότερος γίνεται, καὶ οὕτω μᾶλλον ἡ δύναμις τοῦ Θεοῦ διαλάμπει, καὶ καυχήσεως ἄξια τὰ γινόμενα. Διό φησιν, «Ἡ-

---

8. Β' Κορ. 12, 9.

διότι ἡ δύναμίς μου φανεροῦται τελεία ἐκεῖ ὅπου ὑπάρχει ἀδυναμία»[8]. Δηλαδή, σοῦ εἶναι ἀρκετὸν ὅτι ἀνιστᾷς νεκρούς, ὅτι θεραπεύεις τυφλούς, ὅτι καθαρίζεις λεπρούς, ὅτι εἰς τὰ ἄλλα θαυματουργεῖς· μὴ ζητῇς καὶ τὸ νὰ μὴ κινδυνεύῃς καὶ νὰ μὴ ἔχῃς ἀνάγκην καὶ τὸ νὰ κηρύττῃς χωρὶς δυσχερείας. Ἀλλὰ πονεῖς καὶ στενοχωρεῖσαι μήπως νομισθῇ ὅτι αὐτὸ ὀφείλεται εἰς ἰδικήν μου ἀδυναμίαν, τὸ ὅτι δηλαδὴ εἶναι πολλοὶ αὐτοὶ ποὺ σὲ ἐπιβουλεύονται καὶ σὲ δέρουν καὶ σὲ διώκουν καὶ σὲ μαστιγώνουν; Αὐτὸ ἀκριβῶς λοιπὸν ἀποδεικνύει τὴν δύναμίν μου. «Διότι ἡ δύναμίς του», λέγει, «φανεροῦται τελεία ἐκεῖ ὅπου ὑπάρχει ἀδυναμία»· ὅταν, ἐνῷ διώκεσθε, ἐπικρατεῖτε εἰς τοὺς διώκτας, ὅταν, ἐνῷ σᾶς κατατρέχουν, νικᾶτε αὐτοὺς ποὺ σᾶς κατατρέχουν, ὅταν, ἐνῷ εἶσθε φυλακισμένοι, τρέπετε εἰς φυγὴν αὐτοὺς ποὺ σᾶς ἐφυλάκισιν. Μὴ ζητῇς λοιπὸν τὰ περιττά.

Βλέπεις πῶς ἄλλην αἰτίαν ἐκθέτει αὐτὸς καὶ ἄλλην ὁ Θεός; Δηλαδὴ αὐτὸς μὲν λέγει «διὰ νὰ μὴ ὑπερηφανεύωμαι μοῦ ἐδόθη ἀγκάθι», ἐνῷ ὁ Θεὸς λέγει ὅτι εἶπεν, ὅτι ἐπιτρέπει αὐτὸ διὰ νὰ δείξῃ τὴν δύναμίν του. Ὄχι μόνον περιττόν, ζητεῖς λοιπόν, ἀλλὰ πρᾶγμα τὸ ὁποῖον ἐπὶ πλέον θὰ φανῇ ὅτι ἐπισκιάζει τὴν δύναμίν μου. Διότι τὸ «σοῦ εἶναι ἀρκετὴ ἡ χάρις μου», αὐτὸ δηλοῖ, ὅτι δὲν χρειάζεται νὰ προστεθῇ τίποτε ἄλλο, ἀλλ' ὅτι τὸ πᾶν ἔχει ὁλοκληρωθῇ. Ὥστε καὶ ἀπὸ ἐδῶ εἶναι φανερὸν ὅτι δὲν ἐννοεῖ κεφαλαλγίαν· διότι βεβαίως δὲν ἐκήρυττον ἄρρωστοι· διότι δὲν ἠδύναντο νὰ κηρύττουν ἐνῷ ἠσθένουν. Ἀλλ' ἐννοεῖ ὅτι ἐνῷ κατετρέχοντο καὶ ἐνῷ κατεδιώκοντο, ἐπεκράτουν εἰς ὅλους.

Ἐπειδὴ λοιπὸν αὐτὰ ἤκουσα, λέγει, «Πολὺ εὐχαρίστως λοιπὸν θὰ καυχηθῶ διὰ τὰς ἀδυναμίας μου». Διότι διὰ νὰ μὴ ἐκπέσουν ἐπειδὴ ἐκεῖνοι οἱ ψευδαπόστολοι ἐκαυχῶντο διὰ τὰ ἀντίθετα, καὶ ἐνῷ αὐτοὶ εὑρίσκοντο εἰς διωγμούς, δεικνύει ὅτι δι' αὐτὸ λαμπρότερος γίνεται καὶ ἔτσι περισσότερον διαλάμπει ἡ δύναμις τοῦ Θεοῦ, καὶ εἶναι ἄξια καυχήσεως ὅσα γίνονται. Διὰ τοῦτο λέγει, «Πολὺ εὐχαρίστως λοι-

διστα οὖν καυχήσομαι». Οὐχὶ λυπούμενος ταῦτα εἶπον ἅπερ ἀπηριθμησάμην, ἢ τοῦτο ὅπερ εἴρηκα νῦν, ὅτι ἐδόθη μοι σκόλοψ, ἀλλ' ἐγκαλλωπιζόμενος καὶ πλείονα δύναμιν ἐφελκόμενος. Διὸ καὶ ἐπάγει, «Ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ». Ἐνταῦθα καὶ ἕτερόν τι αἰνίττεται, ὅτι ὅσῳ τὰ τῶν πειρασμῶν ἐπετείνετο, τοσούτῳ τὰ τῆς χάριτος ηὔξετο καὶ ἐπέμενε. «Διὸ εὐδοκῶ ἐν ἀσθενείαις πολλαῖς». Ποίαις, εἰπέ μοι; «Ἐν ὕβρεσιν, ἐν διωγμοῖς, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις».

Εἶδες πῶς αὐτὸ νῦν ἀπεκάλυψε σαφέστατα; Λέγων γὰρ τῆς ἀσθενείας τὸ εἶδος, οὐκ εἶπε πυρετούς, ἢ περίοδόν τινα ταύτην, ἢ ἄλλην ἀρρωστίαν σωματικήν, ἀλλὰ ὕβρεις, διωγμούς, στενοχωρίας. Εἶδες ψυχὴν εὐγνώμονα; Ἐπιθυμεῖ ἀπαλλαγῆναι τῶν δεινῶν· ὅτε δὲ ἤκουσε τοῦ Θεοῦ, ὅτι οὐ δεῖ τοῦτο γίνεσθαι, οὐ μόνον οὐκ ἠθύμησεν ἀποτυχὼν τῆς εὐχῆς, ἀλλὰ καὶ ηὐφράνθη. Διὸ ἔλεγεν, «εὐδοκῶ», χαίρω, ἐπιθυμῶ ὑβρίζεσθαι, διώκεσθαι, στενοχωρεῖσθαι ὑπὲρ Χριστοῦ. Ταῦτα δὲ ἔλεγε, κἀκείνους καταστέλλων, καὶ τούτων ἐπαίρων τὰ φρονήματα, ἵνα μὴ αἰσχύνωνται τοῖς Παύλου παθήμασιν. Ἀρκεῖ γὰρ ἡ ὑπόθεσις πάντων ποιῆσαι λαμπροτέρους. Εἶτα καὶ ἄλλην αἰτίαν τίθησιν· «Ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι». Τί θαυμάζεις, εἰ τοῦ Θεοῦ ἡ δύναμις τότε διαδείκνυται; καὶ ἐγὼ τότε δυνατός εἰμι. Τότε γὰρ μάλιστα ἡ χάρις ἐπῄει. «Καθὼς γὰρ περισσεύει τὰ παθήματα αὐτοῦ, περισσεύει καὶ ἡ παράκλησις ἡμῶν».

4. Ὅπου θλῖψις, ἐκεῖ καὶ παράκλησις· ὅπου παράκλησις, ἐκεῖ καὶ χάρις. Ὅτε γοῦν ἐνέπεσεν εἰς τὸ δεσμωτήριον, τότε τὰ θαυμαστὰ ἐποίησεν ἐκεῖνα· ὅτε ἐναυάγησε, καὶ εἰς τὴν βάρβαρον ἐξηνέχθη χώραν, τότε μάλιστα ἐδοξάσθη. Ὅ-

9. Β' Κορ. 12, 10.
10. Β' Κορ. 1, 5.

πὸν θὰ καυχηθῶ». Ὅλα αὐτὰ τὰ ὁποῖα ἀπηρίθμησα ἢ καὶ αὐτὸ ποὺ εἶπα τώρα, ὅτι μοῦ ἐδόθη ἀγκάθι, δὲν τὰ εἶπα ἐπειδὴ λυποῦμαι, ἀλλ' ἐπειδὴ εἶμαι ὑπερήφανος δι' αὐτὰ καὶ διὰ νὰ ἐπισύρω περισσοτέραν δύναμιν. Διὰ τοῦτο καὶ προσθέτει, «διὰ νὰ κατασκηνώσῃ εἰς ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ». Ἐδῶ καὶ κάτι ἄλλο ὑπαινίσσεται, ὅτι ὅσον ἐντονώτεροι ἐγίνοντο οἱ πειρασμοί, τόσον καὶ τὰ δῶρα τῆς χάριτος ηὐξάνοντο καὶ ἐπέμενον. «Διὰ τοῦτο εἶμαι εὐχαριστημένος μὲ τὰς ἀδυναμίας»[9]. Ποίας; εἰπέ μου. «Τὰς ὕβρεις, τὰς ταλαιπωρίας, τοὺς διωγμοὺς καὶ τὰς στερήσεις».

Εἶδες πῶς ἀπεκάλυψε τώρα αὐτὸ σαφέστατα; Διότι λέγων τὸ εἶδος τῆς ἀσθενείας, δὲν εἶπε πυρετοὺς ἢ κάποιον τέτοιον παροξυσμὸν ἢ ἄλλην νόσον σωματικήν, ἀλλὰ ὕβρεις, διωγμούς, ταλαιπωρίας. Εἶδες ψυχὴν εὐγνώμονα; Ἐπιθυμεῖ νὰ ἀπαλλαγῇ ἀπὸ τὰς δυστυχίας· ὅταν ὅμως ἤκουσεν ἀπὸ τὸν Θεόν, ὅτι δὲν πρέπει νὰ γίνῃ αὐτό, ὄχι μόνον δὲν ἐλυπήθη διότι δὲν εἰσηκούσθη εἰς τὴν προσευχήν, ἀλλὰ καὶ ηὐχαριστήθη. Διὰ τοῦτο ἔλεγεν, «εἶμαι εὐχαριστημένος», χαίρομαι, ἐπιθυμῶ νὰ ὑβρίζωμαι, νὰ διώκωμαι, νὰ ταλαιπωροῦμαι διὰ τὸν Χριστόν. Αὐτὰ δὲ τὰ ἔλεγε καὶ διὰ νὰ χαμηλώνῃ ἐκείνους τοὺς ψευδαποστόλους, καὶ διὰ νὰ ἐνισχύῃ τὰ φρονήματα τῶν πιστῶν, διὰ νὰ μὴ ἐντρέπωνται διὰ τὰ παθήματα τοῦ Παύλου. Διότι εἶναι ἀρκετὴ ἡ διδασκαλία διὰ νὰ τοὺς κάνῃ λαμπροτέρους ἀπὸ ὅλους. Ὕστερον ἐκθέτει καὶ ἄλλην αἰτίαν· «διότι ὅταν εἶμαι ἀδύνατος, τότε εἶμαι δυνατός». Τί ἀπορεῖς, ἀφοῦ ἡ δύναμις τοῦ Θεοῦ τότε φαίνεται; Καὶ ἐγὼ τότε εἶμαι δυνατός. Διότι τότε περισσότερον ἐπήρχετο ἡ χάρις. «Διότι καθὼς αὐξάνει ἡ συμμετοχή μας εἰς τὰ παθήματα τοῦ Χριστοῦ, ἔτσι περισσεύει καὶ ἡ παρηγορία ποὺ λαμβάνομεν διὰ τοῦ Χριστοῦ»[10].

4. Ὅπου ὑπάρχει δοκιμασία, ἐκεῖ ὑπάρχει καὶ παρηγορία· ὅπου παρηγορία ἐκεῖ καὶ χάρις. Ὅταν λοιπὸν ἐρρίφθη μέσα εἰς τὴν φυλακήν, τότε ἔκανε ἐκεῖνα τὰ θαύματα· ὅταν ἐναυάγησε καὶ παρεσύρθη εἰς τὴν βάρβαρον χώραν, τότε

τε εἰς τὸ δικαστήριον εἰσῆλθε δεδεμένος, καὶ τοῦ δικαστοῦ περιγέγονεν. Οὕτω καὶ ἐν τῇ Παλαιᾷ συνέβαινεν· ἐν τοῖς πειρασμοῖς ἤνθουν οἱ δίκαιοι. Οὕτως οἱ τρεῖς παῖδες, οὕτως ὁ Δανιήλ, καὶ Μωϋσῆς, καὶ Ἰωσήφ· πάντες ἐντεῦθεν λαμπροί, καὶ μεγάλων κατηξιώθησαν στεφάνων. Τότε γὰρ καὶ ἡ ψυχὴ καθαίρεται, ὅτε διὰ τὸν Θεὸν θλίβεται· τότε μείζονος ἀπολαύει βοηθείας, πλείονος δεομένη συμμαχίας, καὶ πλείονος ἀξία χάριτος. Καὶ πρὸ τοῦ μισθοῦ δὲ τοῦ παρὰ τοῦ Θεοῦ κειμένου, μεγάλα καρποῦται ἀγαθὰ φιλόσοφος γινομένη. Καὶ γὰρ τὸν τῦφον περισπᾷ, καὶ τὴν ῥαθυμίαν ἐκκόπτει πᾶσαν ἡ θλῖψις, καὶ πρὸς ὑπομονὴν ἀλείφει· ἐκκαλύπτει τῶν ἀνθρωπίνων πραγμάτων τὴν εὐτέλειαν, καὶ πολλὴν εἰσάγει φιλοσοφίαν. Πάντα γὰρ αὐτῇ παραχωρεῖ τὰ πάθη, βασκανία, ζῆλος, ἐπιθυμία, δυναστεία, χρημάτων ἔρως, σωμάτων, ἀλαζονεία, τῦφος, θυμός, ἅπας ὁ λοιπὸς τῶν νοσημάτων τούτων ἑσμός.

Καὶ εἰ βούλει ἐπ' αὐτῶν τῶν πραγμάτων ἰδεῖν, καὶ ἄνδρα ἰδίᾳ καὶ δῆμον ὁλόκληρον δυνήσομαί σοι δεῖξαι, καὶ ἐν θλίψει γενομένους, καὶ ἐν ἀνέσει, καὶ διδάξαι πόσον ἐντεῦθεν τὸ κέρδος, καὶ πόση ἐκεῖθεν ἡ ῥαθυμία. Καὶ γὰρ ὁ τῶν Ἑβραίων δῆμος, ὅτε μὲν ἐκακοῦντο καὶ ἠλαύνοντο, ἔστενον καὶ τὸν Θεὸν παρεκάλουν, καὶ πολλὴν ἄνωθεν ἐπεσπῶντο τὴν ῥοπήν· ὅτε δὲ ἐλιπάνθησαν, ἀπεσκίρτησαν. Οἱ Νινευῖται πάλιν, ὅτε μὲν ἀδείας ἀπήλαυον, οὕτω τὸν Θεὸν παρώξυναν, ὡς ὁλόκληρον ἀπειλῆσαι τὴν πόλιν ἐκ βάθρων ἀνασπᾶν· ὅτε δὲ ὑπὸ τοῦ κηρύγματος ἐταπεινώθησαν ἐκείνου, πᾶσαν ἐπεδείξαντο φιλοσοφίαν. Εἰ δὲ καὶ ἄνδρα καθ' ἑαυτὸν ἰδεῖν ἐθέλοις, ἐννόησον τὸν Σολομῶντα. Καὶ γὰρ οὗτος, ὅτε μὲν ἦν ἐν φροντίσι καὶ ταραχῇ περὶ τῆς ἀρχῆς τοῦ ἔ-

περισσότερον ἐδοξάσθη. Ὅταν εἰσῆλθεν εἰς τὸ δικαστήριον δεμένος, τότε ἐνίκησε καὶ τὸν δικαστήν. Ἔτσι ἐγίνετο καὶ εἰς τὴν παλαιὰν Διαθήκην· εἰς τὰς δοκιμασίας ἤνθουν οἱ δίκαιοι. Ἔτσι οἱ τρεῖς παῖδες, ἔτσι ὁ Δανιὴλ καὶ ὁ Μωϋσῆς καὶ ὁ Ἰωσήφ· ὅλοι ἀπὸ τοὺς πειρασμοὺς ἀνεδείχθησαν λαμπροὶ καὶ ἠξιώθησαν μεγάλων βραβείων. Διότι τότε καθαίρεται καὶ ἡ ψυχή, ὅταν θλίβεται διὰ τὸν Θεόν· τότε λαμβάνει μεγαλυτέραν βοήθειαν, ἐπειδὴ ἔχει ἀνάγκην περισσοτέρας συμμαχίας καὶ εἶναι ἀξία περισσοτέρας χάριτος. Καὶ πρὶν ἀπὸ τὴν τελικὴν ἀνταπόδοσιν καὶ φυλάσσεται δι' αὐτὸν ἀπὸ τὸν Θεόν, καρποῦται μεγάλα ἀγαθὰ καθὼς γίνεται πεπαιδευμένη. Διότι καὶ τὴν ὑπερηφάνειαν ἀφαιρεῖ, καὶ τὴν ραθυμίαν ἐξολοθρεύει τελείως ἡ θλῖψις, καὶ ἐγκαρδιώνει δι' ὑπομονήν· ξεσκεπάζει τὴν εὐτέλειαν τῶν ἀνθρωπίνων πραγμάτων καὶ εἰσάγει εἰς τὴν ψυχὴν πολλὴν γνῶσιν καὶ παίδευσιν. Διότι εἰς τὴν θλῖψιν ὑποχωροῦν ὅλα τὰ πάθη, φθόνος, ζῆλος, ἐπιθυμία, κυριαρχία, ἔρως χρημάτων καὶ σωμάτων, ἀλαζονεία, ὑπερηφάνεια, θυμός, ὅλο τὸ ὑπόλοιπο πλῆθος αὐτῶν τῶν νοσημάτων.

Καὶ ἐὰν θέλῃς νὰ ἴδῃς ἐπάνω εἰς τὰ πράγματα νὰ γίνεται αὐτό, θὰ σοῦ δείξω καὶ ἰδιαιτέρως ἕνα ἄνθρωπον, καὶ λαὸν ὁλόκληρον, ποὺ νὰ ἔζησαν καὶ εἰς θλίψεις καὶ μὲ ἄνεσιν, καὶ θὰ σοῦ ἀποδείξω πόσον εἶναι τὸ κέρδος ἀπὸ τὴν θλῖψιν καὶ πόση ραθυμία ἀπὸ τὴν ἄνεσιν. Λοιπὸν καὶ ὁ λαὸς τῶν Ἑβραίων, ὅταν μὲν ἐδεινοπάθουν καὶ ἐστενοχωροῦντο, ἐστέναζον καὶ παρεκάλουν τὸν Θεόν, πολλὴν βοήθειαν καὶ χάριν προσείλκυον ἀπὸ αὐτόν· ὅταν ὅμως εὑρέθησαν εἰς ἄνεσιν, ἀπεστάτησαν. Οἱ Νινευῖται πάλιν, ὅταν ἀπελάμβανον ἀτιμωρισίας, τόσον ἐξώργισαν τὸν Θεόν, ὥστε νὰ ἀπειλήσῃ ὅτι θὰ καταστρέψῃ ἐκ βάθρων τὴν πόλιν ὁλόκληρον· ὅταν ὅμως ἐταπεινώθησαν ἀπὸ τὸ κήρυγμα ἐκείνου, ἐπέδειξαν κάθε σύνεσιν καὶ φρόνησιν. Ἐὰν δὲ θέλῃς νὰ ἴδῃς καὶ ἄνδρα ἰδιαιτέρως, σκέψου τὸν Σολομῶντα. Διότι καὶ αὐτός, ὅταν μὲν εὑρίσκετο εἰς φροντίδας καὶ ταραχὴν σκεπτόμενος διὰ τὴν

θνους ἐκείνου βουλόμενος, τῆς ὄψεως ἠξιώθη ἐκείνης· ὅτε δὲ ἐν τρυφῇ γέγονεν, εἰς αὐτὸ τῆς κακίας τὸ βάραθρον ἐξωλίσθησε.

Τί δὲ ὁ τούτου πατήρ; πότε θαυμαστὸς ἦν καὶ παράδοξος; οὐχ ὅτε ἐν πειρασμοῖς ἦν; «Ὁ δὲ Ἀβεσσαλώμ, οὐχ ἕως μὲν ἔφευγεν, ἐσωφρόνει, ἐπειδὴ δὲ ἐπανῆλθε, καὶ τυραννικὸς καὶ πατραλοίας ἐγένετο; Τί δὲ ὁ Ἰώβ; Οὗτος γὰρ λαμπρὸς μὲν ἦν καὶ ἐν ἀνέσει, λαμπρότερος δὲ μετὰ τὴν θλῖψιν ἐφάνη. Καὶ τί δεῖ λέγειν τὰ ἀρχαῖα καὶ παλαιά; ἂν γὰρ τὰ ἡμέτερά τις ἐξετάσῃ τὰ νῦν, ὄψεται ἡλίκον τῆς θλίψεως τὸ κέρδος. Νῦν μὲν γὰρ εἰρήνης ἀπολαύοντες, ἀναπεπτώκαμεν καὶ διερρύημεν, καὶ μυρίων τὴν Ἐκκλησίαν ἐνεπλήσαμεν κακῶν· ὅτε δὲ ἠλαυνόμεθα, καὶ σωφρονέστεροι καὶ ἐπιεικέστεροι καὶ σπουδαιότεροι, καὶ περὶ τοὺς συλλόγους τούτους ἦμεν προθυμότεροι, καὶ περὶ τὴν ἀκρόασιν. Ὅπερ γὰρ τῷ χρυσίῳ τὸ πῦρ, τοῦτο ἡ θλῖψις ταῖς ψυχαῖς, τὸν ῥύπον ἀποσμήχουσα, καθαροὺς ἐργαζομένη, λαμπροὺς κατασκευάζουσα καὶ φαιδρούς. Αὕτη εἰς βασιλείαν εἰσάγει, ἐκείνη δὲ εἰς γέενναν. Διὸ ἡ μέν ἐστιν εὐρύχωρος, ἡ δὲ στενή. Διὰ τοῦτο καὶ αὐτὸς ἔλεγεν, «Ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε»· ὡς μέγα τι καταλιμπάνων ἡμῖν ἀγαθόν.

Εἰ τοίνυν μαθητὴς εἶ, τὴν στενὴν καὶ τεθλιμμένην ὅδευε, μηδὲ δυσχέραινε, μηδὲ ἀποδυσπέτει. Κἂν γὰρ οὕτω μὴ θλιβῇς, ἀνάγκη θλιβῆναι πάντως ἐξ ἑτέρας ὑποθέσεως ἀκερδοῦς. Καὶ γὰρ ὁ βάσκανος, καὶ ὁ χρημάτων ἐρῶν, καὶ ὁ πόρνης περικαιόμενος, καὶ ὁ κενόδοξος, καὶ τῶν ἄλων ἕκαστος τῶν τὰ πονηρὰ μετιόντων πολλὰς ἀθυμίας ὑπομένει καὶ θλίψεις, καὶ τῶν πενθούντων οὐκ ἐλάττω θλίβεται. Εἰ δὲ μὴ

κυβέρνησιν τοῦ ἔθνους του, ἠξιώθη ἐκείνου τοῦ ὁράματος· ὅταν ὅμως εὑρέθη εἰς τρυφὴν καὶ ἀπολαύσεις, ἐγλίστρησεν εἰς τὸ βάραθρον τῆς κακίας.

Τί ἐγίνετο δὲ καὶ μὲ τὸν πατέρα του; Πότε ἦτο θαυμαστὸς καὶ ἔνδοξος; Ὄχι ὅταν εὑρίσκετο εἰς πειρασμούς; Ὁ δὲ Ἀβεσσαλώμ, μέχρις ὅτου ἔφυγε, δὲν ἦτο σώφρων; Ὅταν ὅμως ἐπανῆλθε καὶ τυραννικὸς δὲν ἔγινε καὶ πατροκτόνος δὲν ἠθέλησε νὰ γίνῃ; Ἐπίσης καὶ ὁ Ἰώβ. Διότι αὐτὸς ἦτο μὲν λαμπρὸς καὶ εἶχεν ὅλα τὰ ἀγαθά, λαμπρότερος ὅμως ἀνεδείχθη μετὰ ἀπὸ τὴν δοκιμασίαν. Καὶ τί χρειάζεται νὰ λέγωμεν τὰ ἀρχαῖα καὶ παλαιά; Διότι ἐὰν ἐξετάσῃ κανεὶς τὰ ἰδικά μας τὰ τωρινά, θὰ ἴδῃ πόσον εἶναι τὸ κέρδος ἀπὸ τὴν θλῖψιν. Διότι τώρα μέν, ἐπειδὴ ἀπολαμβάνομεν εἰρήνης ἔχομεν ἐξαπλώσει καὶ ζῶμεν μὲ τρυφὴν καὶ ἔχομεν γεμίσει τὴν ἐκκλησίαν μὲ ἀμέτρητα κακά· ὅταν ὅμως ἐδιωκόμεθα καὶ σωφρονέστεροι ἤμεθα καὶ περισσότερον μετριόφρονες καὶ χρηστοήθεις, καὶ εἰς τὰς συγκεντρώσεις αὐτὰς ἤμεθα προθυμότεροι καὶ εἰς τὸ νὰ ἀκούσωμεν τὸν λόγον τοῦ Θεοῦ. Ὅ,τι εἶναι λοιπὸν τὸ πῦρ διὰ τὸν χρυσόν, αὐτὸ εἶναι καὶ ἡ θλῖψις διὰ τὰς ψυχάς, ἡ ὁποία κατακαίει κατ' ὀλίγον τὸν ρύπον, καὶ ἀπεργάζεται καθαροὺς καὶ καθιστᾷ λαμπροὺς καὶ καθαρούς. Αὐτὴ εἰσάγει εἰς τὴν βασιλείαν, ἐνῷ ἡ ἄνεσις εἰς τὴν κόλασιν. Διὰ τοῦτο ἡ μὲν εἶναι εὐρύχωρος, ἐνῷ ἡ ἄλλη στενή. Διὰ τοῦτο καὶ ὁ ἴδιος ἔλεγεν, «Εἰς τὸν κόσμον θὰ ἔχετε θλῖψιν», ὡσὰν νὰ μᾶς ἄφηνε κάποιο μέγα ἀγαθόν.

Ἐὰν λοιπὸν εἶσαι μαθητής, νὰ περιπατῇς εἰς τὴν στενὴν καὶ γεμάτην θλῖψιν ὁδόν, νὰ μὴ δυσφορῇς, οὔτε νὰ δειλιᾷς. Διότι ἐὰν δὲν ὑποστῇς θλίψεις ἔτσι, κατ' ἀνάγκην πάντως νὰ θλιβῇς ἀπὸ ἄλλην ὑπόθεσιν ἡ ὁποία δὲν περιέχει κέρδος. Διότι καὶ ὁ φθονερός, καὶ ὁ φιλοχρήματος, καὶ ἐκεῖνος πού φλέγεται διὰ τὴν πόρνην, καὶ ὁ κενόδοξος καὶ ὁ καθεὶς ἀπὸ τοὺς ἄλλους οἱ ὁποῖοι προσπαθοῦν ν' ἀπολαύσουν τὰ πονηρά, πολλὰς στενοχωρίας καὶ θλίψεις ὑπομένει, καὶ ἀπὸ τοὺς πενθοῦντας δὲν θλίβεται ὀλιγώτερον. Καὶ ἂν δὲν

δακρύει μηδὲ πενθεῖ, δι' αἰσχύνην καὶ ἀναισθησίαν· ὡς εἴγε τὴν ψυχὴν αὐτοῦ καταμάθοις, μυρίων ὄψει κυμάτων γέμουσαν. Ὅταν οὖν καὶ τοῦτον καὶ ἐκεῖνον μετιόντας τὸν βίον ἀνάγκη θλίβεσθαι, διὰ τί μὴ τοῦτον αἱρούμεθα τὸν μετὰ θλίψεως μυρίους φέροντα στεφάνους; Καὶ γὰρ τοὺς ἁγίους ἅπαντας οὕτως ἤγαγεν ὁ Θεὸς διὰ θλίψεως καὶ στενοχωρίας, ὁμοῦ μὲν ἐκείνους ὠφελῶν, ὁμοῦ δὲ τοὺς λοιποὺς ἀσφαλιζόμενος, ὥστε μὴ μείζονα τῆς ἀξίας περὶ αὐτῶν δόξαν ἔχειν.

Οὕτω γὰρ καὶ εἰδωλολατρεῖαι τὴν ἀρχὴν ἐκράτησαν, τῶν ἀνθρώπων ὑπὲρ τὴν ἀξίαν θαυμαζομένων· οὕτως Ἀλέξανδρον τρισκαιδέκατον ἐνόμισεν εἶναι Θεὸν ἡ σύγκλητος Ρωμαίων. Καὶ γὰρ αὕτη ταύτην εἶχε τὴν ἐξουσίαν, χειροτονεῖν καὶ ἐγκρίνειν θεούς. Ὅτε γοῦν τὰ κατὰ Χριστὸν ἀπηγγέλη πάντα, ἔπεμψεν ὁ τοῦ ἔθνους ἄρχων πυνθανόμενος, εἰ δοκεῖ αὐτοῖς καὶ αὐτὸν χειροτονῆσαι θεόν. Οἱ δὲ οὐκ ἐπένευσαν, ὀργιζόμενοι καὶ ἀγανακτοῦντες, ὅτι πρὸ τῆς αὐτῶν ψήφου καὶ γνώμης, ἡ δύναμις τοῦ σταυρωθέντος ἐκλάμψασα, εἰς τὸ οἰκεῖον ἐπεσπάσατο σέβας τὴν οἰκουμένην ἅπασαν. Τοῦτο δὲ ᾠκονόμητο καὶ ἀκόντων αὐτῶν, ὥστε μὴ ἐξ ἀνθρωπίνης ψήφου τὴν θεότητα ἀνακηρυχθῆναι τοῦ Χριστοῦ, μηδὲ ἕνα τῶν πολλῶν αὐτὸν εἶναι νομισθῆναι τῶν ὑπ' ἐκείνων χειροτονηθέντων. Καὶ γὰρ καὶ πύκτας θεοὺς ἐνόμισαν, καὶ τὰ παιδικὰ τὰ Ἀδριανοῦ· ὅθεν καὶ ἡ πόλις τοῦ Ἀντίνοος λέγεται. Ἐπειδὴ γὰρ θάνατος καταμαρτυρεῖ τῆς θνητῆς φύσεως, ἐφεῦρεν ὁ διάβολος ἑτέραν ὁδόν, τὴν τῆς ψυχῆς ἀθανασίαν, ἣ τὴν ὑπερβάλλουσαν κολακείαν ἀναμίξας, εἰς ἀσέβειαν πολλοὺς ἐξήγαγε.

Καὶ θέα κακουργίαν. Ὅταν μὲν ἡμεῖς εἰς δέον αὐτὴν παράγωμεν, ἀνατρέπει τὸν λόγον· ὅταν δὲ εἰς βλάβην αὐτὸς

δακρύη, οὔτε πενθῇ, αὐτὸ συμβαίνει διότι ἐντρέπεται ἢ εἶναι ἀναίσθητος. Ὅταν ὅμως γνωρίσῃς τὴν ψυχήν του, θὰ ἴδῃς ὅτι εἶναι γεμάτη ἀπὸ ἀπείρους συμφοράς. Ὅταν λοιπὸν καὶ αὐτὸς ποὺ ἀκολουθεῖ αὐτὴν τὴν ζωὴν καὶ ὁ ἄλλος, κατ' ἀνάγκην θλίβωνται, διατί νὰ μὴ προτιμήσωμεν τὴν μετὰ θλίψεων ζωὴν ἡ ὁποία ἀποφέρει μυρίους στεφάνους; Διότι καὶ τοὺς ἁγίους ὅλους ὁ Θεὸς ἔτσι τοὺς ὡδήγησε διὰ θλίψεως καὶ στενοχωρίας, συγχρόνως καὶ ἐκείνους μὲν ὠφελῶν καὶ τοὺς ἄλλους διαφυλάττων, ὥστε νὰ μὴ ἔχουν μεγαλυτέραν ἐκτίμησιν διὰ τὴν ἀξίαν των.

Διότι ἔτσι ἐπεκράτησαν καὶ αἱ εἰδωλολατρεῖαι, ἐπειδὴ οἱ ἄνθρωποι ἐθαυμάζοντο περισσότερον ἀπὸ τὴν ἀξίαν των. Ἔτσι ἡ σύγκλητος τῶν Ρωμαίων ἐνόμισεν ὅτι ὁ Ἀλέξανδρος ὁ δέκατος τρίτος εἶναι θεός. Διότι αὐτὴ εἶχε τὴν ἐξουσίαν νὰ χειροτονῇ καὶ νὰ ἐγκρίνῃ θεούς. Ὅταν λοιπὸν ἀνηγγέλθησαν ὅλα τὰ γύρω ἀπὸ τὸν Χριστόν, ἔστειλεν ὁ ἄρχων τοῦ ἔθνους διὰ νὰ πληροφορηθῇ, ἐὰν νομίζουν αὐτοὶ ὅτι πρέπει νὰ χειροτονήσουν καὶ αὐτὸν θεόν. Αὐτοὶ ὅμως δὲν συγκατένευσαν, ἐπειδὴ ὠργίσθησαν καὶ ἠγανάκτησαν, διότι πρὶν ἀπὸ τὴν ἰδικήν των ἀπόφασιν καὶ γνώμην, ἔχουσα ἤδη ἐκλάμψει ἡ δύναμις τοῦ σταυρωθέντος, προσείλκυσεν εἰς τὸ νὰ τὴν σέβεται ὅλη ἡ οἰκουμένη. Αὐτὸ δὲ εἶχε σχεδιασθῇ ἀπὸ τὴν θείαν Πρόνοιαν καὶ χωρὶς τὴν θέλησιν αὐτῶν, ὥστε νὰ μὴ ἀνακηρυχθῇ ἡ θεότης τοῦ Χριστοῦ ἀπὸ ἀνθρωπίνην ἀπόφασιν, οὔτε νὰ νομισθῇ ὅτι καὶ ὁ Χριστὸς εἶναι εἷς ἀπὸ τοὺς πολλοὺς οἱ ὁποῖοι εἶχον χειροτονηθῇ ἀπὸ αὐτούς. Διότι εἶχον θεσπίσει ὡς θεοὺς καὶ πυγμάχους, καὶ τοὺς ἔρωτας τοῦ Ἀδριανοῦ· ἀπὸ τὸ ὁποῖον καὶ ἡ πόλις λέγεται Ἀντίνοος. Διότι ἐπειδὴ ὁ θάνατος μαρτυρεῖ κατὰ τῆς θνητῆς φύσεως, ὁ διάβολος ἐφεῦρεν ἄλλην ὁδόν, δηλαδὴ τὴν ἀθανασίαν τῆς ψυχῆς, μὲ τὴν ὁποίαν ἀφοῦ ἀνέμιζε τὴν ὑπερβολικὴν κολακείαν, πολλοὺς ἐξέτρεψεν εἰς ἀσέβειαν.

Καὶ κοίταξε κακίαν. Ὅταν μὲν ἐμεῖς παρουσιάζωμεν αὐτὴν ὅπως πρέπει, ἀνατρέπει τὸν λόγον μὲ ψεύδη· ἐνῷ ὅ-

κατασκευάζειν βούληται, μετὰ πολλῆς αὐτὴν ἵστησι τῆς σπουδῆς. Κἂν εἴπῃ τις, πόθεν θεὸς Ἀλέξανδρος; οὐχὶ τέθνηκε καὶ ἀθλίως; ἀλλ' ἀθάνατος ἡ ψυχή, φησί. Νῦν ὑπὲρ ἀθανασίας ποιῇ τὸν λόγον, καὶ φιλοσοφεῖς, ἵνα ἀποστήσῃς τοῦ ἐπὶ πάντων Θεοῦ· ὅταν δὲ ἡμεῖς λέγωμεν τοῦτο μέγιστον τοῦ Θεοῦ τὸ δῶρον, ταπεινοὺς καὶ χαμαιπετεῖς καὶ τῶν ἀλόγων οὐδὲν ἄμεινον διακειμένους τοὺς ἠπατημένους πείθεις. Κἂν εἴπωμεν, ὅτι ὁ ἐσταυρωμένος ζῇ, γέλως εὐθέως, καίτοι τῆς οἰκουμένης βοώσης ἁπάσης, καὶ πάλαι καὶ νῦν· τότε μὲν ἀπὸ τῶν σημείων, νῦν δὲ ἀπὸ τῶν ἐπιστρεψάντων· οὐ γὰρ δὴ νεκροῦ ταῦτα τὰ κατορθώματα· ἐὰν δὲ εἴπῃ τις, ὅτι Ἀλέξανδρος ζῇ, πιστεύεις, καίτοιγε οὐδὲν ἔχων σημεῖον εἰπεῖν.

5. Ναί, φησί· πολλὰ γὰρ καὶ μεγάλα κατώρθωσε ζῶν· καὶ γὰρ καὶ ἔθνη καὶ πόλεις ὑπέταξε, καὶ πολέμους πολλοὺς καὶ μάχας ἐνίκησε, καὶ τρόπαια ἔστησεν. Ἐὰν οὖν ἐγὼ δείξω, ὅπερ ἐκεῖνος ζῶν οὐκ ἐνενόησεν, οὐκ αὐτός, οὐκ ἄλλος τις τῶν ἀνθρώπων τῶν ποτε γενομένων, ποίαν ἑτέραν ζητεῖς ἀναστάσεως ἀπόδειξιν; Τὸ μὲν γὰρ ζῶντα κατορθοῦν πολέμους καὶ νίκας βασιλέα ὄντα, καὶ στρατόπεδα ἔχοντα, θαυμαστὸν οὐδέν, οὐδὲ παράδοξον καὶ καινόν· τὸ δὲ μετὰ σταυρὸν καὶ τάφον τοσαῦτα ἐργάσασθαι πανταχοῦ γῆς καὶ θαλάττης, τοῦτό ἐστι μάλιστα τὸ πολλῆς ἐκπλήξεως γέμον, καὶ τὴν θείαν καὶ ἀπόρρητον ἀνακηρῦττον δύναμιν. Καὶ ὁ μὲν Ἀλέξανδρος μετὰ τὴν τελευτὴν αὐτοῦ, διασπασθεῖσαν τὴν ἀρχὴν αὐτοῦ καὶ τέλεον ἀφανισθεῖσαν οὐκ ἐπανήγαγε· πῶς δὲ ἔμελλεν ὁ νεκρός; Ὁ δὲ Χριστὸς τότε αὐτὴν μάλιστα ἔστησεν, ὅτε ἐτελεύτησε. Καὶ τί λέγω περὶ τοῦ Χριστοῦ, ὅπου γε καὶ τοῖς

ταν θέλῃ αὐτὸς νὰ ἀποδείξῃ αὐτὴν διὰ νὰ βλάψῃ, τότε μὲ πολλὴν ἐπιμέλειαν στερεώνει αὐτήν. Καὶ ἂν εἴπῃ κανείς, ἀπὸ ποῦ θεὸς ὁ Ἀλέξανδρος; δὲν ἀπέθανε καὶ μάλιστα μὲ ἄθλιον τρόπον; ἀλλ' εἶναι ἀθάνατος ἡ ψυχή, λέγει. Τώρα κάνεις λόγον ὑπὲρ τῆς ἀθανασίας καὶ φιλοσοφεῖς, διὰ νὰ ἀπομακρύνῃς ἀπὸ τὸν ἐπὶ πάντων Θεόν· ὅταν ὅμως ἐμεῖς λέγωμεν ὅτι αὐτὸ εἶναι μέγιστον δῶρον τοῦ Θεοῦ, τότε πείθεις τοὺς ἐξηπατημένους ὅτι εἶναι τιποτένιοι καὶ εὐτελεῖς καὶ ὅτι εὑρίσκονται εἰς κατάστασιν καθόλου καλυτέραν ἀπὸ τὰ ζῶα. Καὶ ἂν εἴπωμεν ὅτι ὁ ἐσταυρωμένος ζῇ, ἀκολουθεῖ ἀμέσως γέλως, ἂν καὶ ὁλόκληρος ἡ οἰκουμένη βοᾷ καὶ πρὶν καὶ τώρα· τότε μὲν ἀπὸ τὰ σημεῖα, τώρα δὲ ἀπὸ τοὺς ἐπιστρέψαντας εἰς τὸν Θεόν· διότι δὲν εἶναι ἔργον νεκροῦ αὐτὰ τὰ κατορθώματα· ἐνῷ, ἐὰν εἴπῃ κανεὶς ὅτι ὁ Ἀλέξανδρος ζῇ, πιστεύεις, ἂν καὶ δὲν ἔχεις νὰ παρουσιάσῃς κανένα σημεῖον.

5. Ναί, λέγει· διότι πολλὰ καὶ μεγάλα κατώρθωσεν ὅταν ἔζη· διότι καὶ ἔθνη καὶ πόλεις ὑπέταξε καὶ ἐνίκησεν εἰς πολέμους πολλοὺς καὶ εἰς μάχας, καὶ ἔστησε τρόπαια. Ἐὰν λοιπὸν ἐγὼ δείξω αὐτὸ τὸ ὁποῖον ἐκεῖνος ὅταν ἔζη δὲν ἐσκέφθη, οὔτε αὐτός, οὔτε κανεὶς ἄλλος ἀπὸ τοὺς ἀνθρώπους ποὺ ἔζησαν ποτέ, ποίαν ἄλλην ἀπόδειξιν διὰ τὴν ἀνάστασιν θέλεις; Διότι τὸ νὰ κατορθώνῃ μὲν κανεὶς πολέμους καὶ νίκας, ἐνῷ ζῇ καὶ εἶναι βασιλεὺς καὶ ἔχει στρατόπεδα, δὲν εἶναι καθόλου ἀξιοθαύμαστον, οὔτε παράξενον καὶ καινοφανές· ἐνῷ τὸ νὰ ἔχῃ κάνει κανεὶς τόσα εἰς ὅλην τὴν γῆν καὶ τὴν θάλασσαν μετὰ τὴν σταύρωσιν καὶ τὴν ταφήν του, αὐτὸ εἶναι τὸ καταπληκτικώτατον, καὶ ἐκεῖνο ποὺ διακηρύττει τὴν θεϊκὴν καὶ ἀπόρρητον δύναμιν. Καὶ ὁ μὲν Ἀλέξανδρος μετὰ τὸ τέλος του δὲν ἐπανέφερε τὴν κυριαρχίαν του ἡ ὁποία διεσπάσθη καὶ τελείως ἠφανίσθη· διότι πῶς ἦτο δυνατὸν ἀφοῦ ἦτο νεκρός; Ἐνῷ ὁ Χριστὸς τότε ἔστησεν αὐτήν, ὅταν ἀπέθανε. Καὶ τί λέγω διὰ τὸν Χριστόν, ἀφοῦ καὶ εἰς τοὺς μαθητάς του ἔδωσε νὰ λάμψουν μετὰ τὸν θάνατόν

μαθηταῖς αὐτοῦ μετὰ τὸ τελευτῆσαι λάμψαι ἔδωκε; Ποῦ γάρ, εἰπέ μοι, τὸ σῆμα Ἀλεξάνδρου; δεῖξόν μοι, καὶ εἰπὲ τὴν ἡμέραν καθ' ἣν ἐτελεύτησε. Τῶν δὲ δούλων τοῦ Χριστοῦ καὶ τὰ σήματα λαμπρά, τὴν βασιλικωτάτην καταλαβόντα πόλιν, καὶ αἱ ἡμέραι καταφανεῖς, ἑορτὴν τῇ οἰκουμένῃ ποιοῦσαι. Καὶ τὸ μὲν ἐκείνου καὶ οἱ οἰκεῖοι ἀγνοοῦσι, τὸ δὲ τούτου καὶ οἱ βάρβαροι ἐπίστανται. Καὶ οἱ τάφοι τῶν δούλων τοῦ σταυρωθέντος λαμπρότεροι τῶν βασιλικῶν εἰσιν αὐλῶν, οὐ τῷ μεγέθει καὶ τῷ κάλλει τῶν οἰκοδομημάτων· καὶ τούτῳ μὲν γὰρ κρατοῦσιν· ἀλλ', ὃ πολλῷ πλέον ἐστί, τῇ σπουδῇ τῶν συνιόντων. Καὶ γὰρ αὐτὸς ὁ τὴν ἁλουργίδα περικείμενος ἀπέρχεται τὰ σήματα ἐκεῖνα περιπτυξόμενος, καὶ τὸν τῦφον ἀποθέμενος ἕστηκε δεόμενος τῶν ἁγίων, ὥστε αὐτοῦ προστῆναι παρὰ τῷ Θεῷ, καὶ τοῦ σκηνοποιοῦ καὶ τοῦ ἁλιέως προστατῶν καὶ τετελευτηκότων δεῖται ὁ τὸ διάδημα ἔχων. Τολμήσεις οὖν, εἰπέ μοι, τὸν τούτων δεσπότην νεκρὸν εἰπεῖν, οὗ οἱ οἰκέται καὶ τετελευτηκότες, προστάται τῶν τῆς οἰκουμένης βασιλέων εἰσί;

Καὶ τοῦτο οὐκ ἐν τῇ Ῥώμῃ ἴδοι τις ἂν γινόμενον μόνον, ἀλλὰ καὶ ἐν τῇ Κωνσταντινουπόλει. Καὶ γὰρ καὶ ἐνταῦθα Κωνσταντῖνον τὸν μέγαν μεγάλῃ τιμῇ τιμᾶν ἐνόμισεν ὁ παῖς, εἰ πρὸς τοῖς προθύροις κατάθοιτο τοῦ ἁλιέως· καὶ ὅπερ εἰσὶν οἱ πυλωροὶ τοῖς βασιλεῦσιν ἐν τοῖς βασιλείοις, τοῦτο ἐν τῷ σήματι οἱ βασιλεῖς τοῖς ἁλιεῦσι. Καὶ οἱ μὲν ὥσπερ δεσπόται τοῦ τόπου τὰ ἔνδον κατέχουσιν, οἱ δὲ ὡς πάροικοι καὶ γείτονες ἠγάπησαν τὴν αὔλειον αὐτοῖς ἀφορισθῆναι θύραν, ἀπὸ τῶν ἐνταῦθα καὶ τοῖς ἀπίστοις ἐπιδεικνύντες, ὅτι πλείων ἐν τῇ ἀναστάσει ἡ ὑπεροχὴ ἔσται τοῖς ἁλιεῦσιν. Εἰ γὰρ ἐνταῦθα οὕτως ἐν τοῖς τάφοις, πολλῷ μᾶλλον ἐν τῇ ἀναστάσει. Καὶ

των; Διότι, εἰπέ μου, ποῦ εἶναι τὸ μνῆμα τοῦ Ἀλεξάνδρου; Δεῖξε μου καὶ εἰπέ μου τὴν ἡμέραν κατὰ τὴν ὁποίαν ἀπέθανεν. Ἐνῷ τῶν δούλων τοῦ Χριστοῦ καὶ τὰ μνήματα εἶναι λαμπρά, ἀφοῦ κατέλαβον τὴν βασιλικωτάτην πόλιν, καὶ αἱ ἡμέραι τοῦ θανάτου των καταφανεῖς, διότι καθιστοῦν τὴν οἰκουμένην ἑορτήν. Καὶ τὸ μὲν μνῆμα ἐκείνου τὸ ἀγνοοῦν καὶ οἱ συγγενεῖς του, ἐνῷ τὸ μνῆμα τοῦ Χριστοῦ καὶ οἱ βάρβαροι τὸ γνωρίζουν. Καὶ οἱ τάφοι τῶν δούλων τοῦ σταυρωθέντος εἶναι λαμπρότεροι ἀπὸ τὰς βασιλικὰς αὐλάς, ὄχι εἰς τὸ μέγεθος καὶ εἰς τὸ κάλλος τῶν οἰκοδομημάτων — καὶ εἰς αὐτὸ βεβαίως ὑπερτεροῦν —, ἀλλά, πρᾶγμα ποὺ εἶναι πολὺ περισσότερον, ὡς πρὸς τὸν σεβασμὸν καὶ τὴν τιμὴν τῶν συνερχομένων. Διότι καὶ αὐτὸς ὁ ὁποῖος εἶναι ἐνδεδυμένος τὴν πορφύραν πηγαίνει διὰ νὰ προσκυνήσῃ εἰς ἐκεῖνα τὰ μνήματα, καί, ἀφοῦ ἀποβάλῃ τὴν ὑπερηφάνειαν, ἵσταται προσευχόμενος εἰς τοὺς ἁγίους, ὥστε νὰ σταθοῦν ὑπὲρ αὐτοῦ ἐνώπιον τοῦ Θεοῦ, καὶ χρειάζεται ὡς προστάτας τὸν σκηνοποιὸν καὶ τὸν ἁλιέα, παρ' ὅ,τι ἔχουν ἀποθάνει. Θὰ τολμήσῃς λοιπόν, εἰπέ μου, νὰ εἴπῃς νεκρὸν τὸν δεσπότην αὐτῶν, τοῦ ὁποίου οἱ δοῦλοι καὶ νεκροὶ ἀκόμη, εἶναι προστάται τῶν βασιλέων τῆς οἰκουμένης;

Καὶ αὐτὸ θὰ ἴδῃ κανεὶς νὰ γίνεται ὄχι μόνον εἰς τὴν Ρώμην, ἀλλὰ καὶ εἰς τὴν Κωνσταντινούπολιν. Διότι καὶ ἐδῶ τὸν μέγαν Κωνσταντῖνον μὲ μεγάλην τιμὴν ἐνόμισεν ὅτι ἔπρεπε νὰ τιμᾷ ὁ δοῦλος, ἀφοῦ τὸν ἀπέθεσεν εἰς τὰ πρόθυρα τοῦ ἁλιέως· καὶ ὅ,τι εἶναι οἱ φρουροὶ τῶν πυλῶν διὰ τοὺς βασιλεῖς εἰς τὰ βασίλεια, αὐτὸ γίνονται εἰς τὸν τάφον οἱ βασιλεῖς διὰ τοὺς ἁλιεῖς. Καὶ οἱ μὲν ἅγιοι ὡσὰν κύριοι τοῦ τόπου κατέχουν τὰ ἐντός του, ἐνῷ οἱ βασιλεῖς ὡς πάροικοι καὶ γείτονες ἠγάπησαν νὰ ὁρισθῇ δι' αὐτοὺς ἡ θύρα τῆς αὐλῆς, ἐπιδεικνύοντες ἀπὸ ἐδῶ καὶ εἰς τοὺς ἀπίστους, ὅτι εἰς τὴν ἀνάστασιν θὰ εἶναι μεγαλυτέρα ἡ ὑπεροχὴ τῶν ἁλιέων. Διότι ἐὰν ἐδῶ γίνεται ἔτσι ἐνῷ εἶναι μέσα εἰς τοὺς τάφους,

ἀντήλλακται ἡ τάξις· οἱ μὲν βασιλεῖς οἰκετῶν καὶ ὑπηρετῶν, οἱ δὲ ἀρχόμενοι βασιλέων τὴν ἀξίαν περίκεινται, μᾶλλον δὲ καὶ λαμπροτέραν. Καὶ ὅτι οὐ κολακεία τὸ πρᾶγμα, αὕτη δείκνυσιν ἡ ἀλήθεια· ἀπὸ γὰρ ἐκείνων καὶ οὗτοι λαμπρότεροι γεγόνασι. Πολὺ γὰρ τῶν ἄλλων τάφων τῶν βασιλικῶν τὰ σήματα ταῦτα σεμνότερα· ἐκεῖ μὲν γὰρ πολλὴ ἡ ἐρημία, ἐνταῦθα δὲ πολλὴ ἡ πανήγυρις.

Εἰ δὲ βούλει καὶ ταῖς βασιλικαῖς παραβαλεῖν αὐλαῖς τοὺς τάφους τούτους, πάλιν ἐνταῦθα τὰ νικητήρια. Ἐκεῖ μὲν γὰρ πολλοὶ οἱ σοβοῦντες, ἐνταῦθα δὲ πολλοὶ οἱ καλοῦντες καὶ ἐπισπώμενοι πλουσίους, πένητας, ἄνδρας, γυναῖκας, δούλους, ἐλευθέρους· ἐκεῖ πολὺς ὁ φόβος, ἐνταῦθα ἄφατος ἡ ἡδονή. Ἀλλὰ γλυκὺ θέαμα χρυσοφοροῦντα βασιλέα καὶ ἐστεφανωμένον ἰδεῖν, καὶ παρεστῶτας στρατηγούς, ἄρχοντας, ταξιάρχους, φυλάρχους, ὑπάρχους. Ἀλλὰ τὰ ἐνταῦθα τοσούτῳ σεμνότερα καὶ φρικωδέστερα, ὡς ἐκεῖνα σκηνὴν εἶναι καὶ παιδιὰν νομίσαι πρὸς ταῦτα. Ἅμα γὰρ ἐπέβης τῶν οὐδῶν, καὶ πρὸς τὸν οὐρανὸν ὁ τόπος τὴν διάνοιαν παρέπεμψε, πρὸς τὸν ἄνω βασιλέα, πρὸς τὸ στρατόπεδον τὸ τῶν ἀγγέλων, πρὸς τὸν θρόνον τὸν ὑψηλόν, πρὸς τὴν δόξαν τὴν ἀπρόσιτον. Καὶ ἐνταῦθα μὲν ὑπέταξεν ἄρχοντι τῶν ὑποκειμένων τὸν μὲν λῦσαι, τὸν δὲ δῆσαι· τὰ δὲ ὀστᾶ τῶν ἁγίων οὐ ταύτην ἔχει τὴν ἐξουσίαν τὴν οἰκτρὰν καὶ ταπεινήν, ἀλλ' ἐκείνην τὴν πολλῷ μείζονα. Δαίμονας γὰρ παρίστησι καὶ βασανίζει, καὶ τῶν δεσμῶν ἐκείνων τῶν πικροτάτων ἀπολύει τοὺς δεδεμένους.

Τί φοβερώτερον τοῦ δικαστηρίου τούτου; Οὐδενὸς ὁρωμένου, οὐδενὸς ἐπικειμένου ταῖς πλευραῖς τοῦ δαίμονος, φωναὶ καὶ σπαραγμοί, μάστιγες, βάσανοι, γλῶσσαι ἐμπιπράμεναι, τοῦ δαίμονος οὐ φέροντος τὴν θαυμαστὴν δύναμιν ἐ-

πολὺ περισσότερον εἰς τὴν ἀνάστασιν. Καὶ ἔχει ἀντιστραφῆ ἡ τάξις· οἱ μὲν βασιλεῖς δηλαδὴ ἔχουν περιβληθῆ τὴν ἀξίαν δούλων καὶ ὑπηρετῶν, ἐνῷ οἱ ὑπήκοοι τὴν ἀξίαν βασιλέως, μᾶλλον δὲ λαμπροτέραν. Καὶ ὅτι αὐτὸ δὲν εἶναι κολακεία, τὸ δεικνύει αὐτὴ ἡ ἴδια ἡ ἀλήθεια· ὅτι δηλαδὴ ἀπὸ ἐκείνους αὐτοὶ ἔγιναν λαμπρότεροι. Διότι αὐτὰ τὰ μνήματα εἶναι πολὺ σεβαστότερα ἀπὸ τοὺς ἄλλους τάφους, τοὺς βασιλικούς· διότι ἐκεῖ μὲν ἐπικρατεῖ πολλὴ ἐρημία, ἐνῷ ἐδῶ πανήγυρις.

Ἐὰν δὲ θέλῃς νὰ συγκρίνῃς καὶ μὲ τὰς βασιλικὰς αὐλὰς αὐτοὺς τοὺς τάφους, πάλιν ἐδῶ ἡ πανήγυρις διὰ τὴν νίκην. Διότι ἐκεῖ μὲν εἶναι πολλοὶ αὐτοὶ οἱ ὁποῖοι ἀποδιώκουν, ἐνῷ ἐδῶ εἶναι πολλοὶ αὐτοὶ οἱ ὁποῖοι καλοῦν καὶ προσελκύουν πλουσίους, πτωχούς, ἄνδρας, γυναῖκας, δούλους, ἐλευθέρους· ἐκεῖ εἶναι πολὺς ὁ φόβος, ἐδῶ ἀπερίγραπτος ἡ γλυκύτης. Ἀλλ' εἶναι εὐχάριστον θέαμα τὸ νὰ ἴδῃς βασιλέα ἐνδεδυμένον μὲ χρυσὸν καὶ ἐστεφανωμένον, καὶ νὰ παρίστανται στρατηγοί, ἄρχοντες, ταξίαρχοι, φύλαρχοι, ὕπαρχοι. Τὰ ἐδῶ ὅμως εἶναι τόσον σεβαστότερα καὶ φρικωδέστερα, ὥστε ἐκεῖνα νὰ φαίνωνται ὡσὰν σκηνὴ θεάτρου καὶ καὶ παιγνίδι ἐν συγκρίσει πρὸς αὐτά. Διότι μόλις ἀναβῇς εἰς τὰ κατώφλια, ἀμέσως καὶ ὁ τόπος παραπέμπει τὴν σκέψιν πρὸς τὸν οὐρανόν, πρὸς τὸν ἄνω βασιλέα, πρὸς τὸ στρατόπεδον τῶν ἀγγέλων, πρὸς τὸν ὑψηλὸν θρόνον, πρὸς τὴν δόξαν τὴν ἀπλησίαστον. Καὶ ἐδῶ μὲν ὑπέταξεν εἰς τὸν ἄρχοντα τοὺς ὑπηκόους, τὸν μὲν νὰ ἀφήνῃ ἐλεύθερον, τὸν δὲ νὰ φυλακίζῃ· ἀλλὰ τὰ ὀστᾶ τῶν ἁγίων δὲν ἔχουν αὐτὴν τὴν ἐξουσίαν τὴν ἐλεεινὴν καὶ εὐτελῆ, ἀλλ' ἐκείνην, τὴν πολὺ μεγαλυτέραν. Διότι δαίμονας ὑποτάσσουν καὶ βασανίζουν, καὶ ἐλευθερώνουν, ὅσους ἔχουν δεθῆ, ἀπὸ τὰ πικρότατα ἐκεῖνα δεσμά.

Τί εἶναι φοβερώτερον ἀπὸ αὐτὸ τὸ δικαστήριον; Ἐνῷ δὲν φαίνεται κανείς, ἐνῷ δὲν εὑρίσκεται κανεὶς ἐπάνω εἰς τὰς πλευρὰς τοῦ δαίμονος, φωναὶ καὶ σπαραγμοί, μάστιγες, βάσανοι, γλῶσσαι καιόμεναι παρουσιάζονται, ἐπειδὴ ὁ δαί-

κείνην. Καὶ οἱ τὰ σώματα φορέσαντες, τῶν ἀσωμάτων κρατοῦσι δυνάμεων· ἡ κόνις καὶ τὰ ὀστᾶ καὶ ἡ τέφρα τὰς ἀοράτους ἐκείνας διαξαίνει φύσεις. Διὰ δὴ τοῦτο ὑπὲρ μὲν τοῦ βασιλικὰς ἰδεῖν αὐτὰς οὐδεὶς ἄν ποτε ἀποδημήσειε· βασιλεῖς δὲ πολλοὶ πολλάκις ἀποδεδημήκασι ταύτης ἕνεκεν τῆς θεωρίας. Τῆς γὰρ μελλούσης κρίσεως ἴχνη καὶ σύμβολα τὰ μαρτύρια τῶν ἁγίων παρέχεται, δαιμόνων μαστιζομένων, ἀνθρώπων κολαζομένων καὶ ἐλευθερουμένων.

Εἶδες τῶν ἁγίων τὴν δύναμιν καὶ τετελευτηκότων; εἶδες τῶν ἁμαρτωλῶν τὴν ἀσθένειαν καὶ ζώντων; Φύγε τοίνυν τὴν κακίαν, ἵνα κρατῇς τῶν τοιούτων, καὶ δίωκε μετὰ σπουδῆς ἁπάσης τὴν ἀρετήν. Εἰ γὰρ τὰ ἐνταῦθα τοιαῦτα, ἐννόησον ἡλίκα τὰ μέλλοντα. Καὶ τῷ ἔρωτι τούτῳ διηνεκῶς κατεχόμενος, ἐπιλαμβάνου τῆς αἰωνίου ζωῆς· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

μων δὲν ὑποφέρει ἐκείνην τὴν θαυμαστὴν δύναμιν. Καὶ ἐκεῖνοι οἱ ὁποῖοι ἐφόρεσαν σώματα, ἐπικρατοῦν τῶν ἀσωμάτων δυνάμεων· ἡ κόνις καὶ τὰ ὀστᾶ καὶ ἡ τέφρα διασκορπίζει τὰς ἀοράτους ἐκείνας φύσεις. Διὰ τοῦτο βεβαίως κανεὶς δὲν θὰ ἐταξίδευε ποτὲ διὰ νὰ ἴδῃ βασιλικὰς αὐλάς· ἐνῷ βασιλεῖς πολλοὶ ἐταξίδευσαν διὰ νὰ ἴδουν αὐτά. Διότι διὰ τὴν μέλλουσαν κρίσιν σημεῖα καὶ σύμβολα δίδονται τὰ μαρτύρια τῶν ἁγίων, ὅπου ἐνῷ οἱ δαίμονες μαστίζονται, ἄνθρωποι βασανίζονται καὶ ἐλευθεροῦνται.

Εἶδες τὴν δύναμιν τῶν ἁγίων ἂν καὶ ἔχουν ἀποθάνει; Εἶδες τὴν ἀδυναμίαν τῶν ἁμαρτωλῶν ἂν καὶ εὑρίσκωνται ἐν ζωῇ; Ἀπόφυγε λοιπὸν τὴν κακίαν διὰ νὰ ἐπικρατῇς εἰς αὐτούς, καὶ ἐπιδίωκε μὲ ὅλην σου τὴν φροντίδα τὴν ἀρετήν. Διότι ἐὰν τὰ ἐδῶ εἶναι τέτοια, σκέψου πόσον μᾶλλον τὰ μέλλοντα. Καὶ κατεχόμενος πάντοτε ἀπὸ αὐτὸν τὸν ἔρωτα, νὰ ἀγωνίζεσαι διὰ νὰ κερδίσῃς τὴν αἰώνιον ζωήν· τὴν ὁποίαν εἴθε νὰ ἐπιτύχωμεν ὅλοι, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΚΖ'
Β' Κορ. 12, 11 - 15

«Γέγονα ἄφρων καυχώμενος· ὑμεῖς με ἠναγκάσατε. Ἐγὼ γὰρ ὤφειλον ὑφ' ὑμῶν συνίστασθαι».

1. Ἀπαρτίσας τὸν περὶ τῶν οἰκείων ἐγκωμίων λόγον, οὐκ ἔστη μέχρι τούτου, ἀλλὰ ἀπολογεῖται πάλιν, καὶ συγγνώμην ὑπὲρ τῶν εἰρημένων αἰτεῖ, ἀνάγκης εἶναι λέγων τὸ πρᾶγμα, οὐ προαιρέσεως. Ἀλλ' ὅμως καὶ ἀνάγκης οὔσης, ἄφρονα ἑαυτὸν καλεῖ. Ἀρχόμενος μὲν οὖν ἔλεγεν, «Ὡς ἄφρονα δέξασθέ με», καί «ὡς ἐν ἀφροσύνῃ»· νυνὶ δὲ τό, ὡς, ἀνελών, ἄφρονα ἑαυτὸν καλεῖ. Μετὰ γὰρ τὸ κατασκευάσαι διὰ τῶν εἰρημένων ἅπερ ἤθελε, θαρρῶν λοιπὸν καὶ ἀφειδῶς ἐπιλαμβάνεται τοῦ τοιούτου ἐλαττώματος, παιδεύων ἅπαντας μηδέποτε ἀνάγκης οὐκ οὔσης, ἑαυτόν τινα ἐγκωμιάζειν, ὅπου γε καὶ αἰτίας ὑποκειμένης, ἄφρονα ἑαυτὸν ὁ Παῦλος ὠνόμασεν.

Εἶτα καὶ τὴν αἰτίαν τῶν εἰρημένων οὐκ ἐπὶ τοὺς ψευδαποστόλους, ἀλλ' ἐπὶ τοὺς μαθητὰς ἅπασαν περιτρέπει. «Ὑμεῖς γάρ», φησίν, «ἠναγκάσατε». Εἰ μὲν γὰρ ἐκαυχῶντο, καὶ μὴ μετὰ τῆς ὑμετέρας τοῦτο ἐποίουν πλάνης, μηδὲ ὑμᾶς ἀπώλλυον, οὐκ ἂν οὕτω προήχθην εἰς τούτους ἐμαυτὸν καθεῖναι τοὺς λόγους· ἐπειδὴ δὲ ὁλόκληρον Ἐκκλησίαν διέφθειρον, πρὸς τὸ συμφέρον ὑμῖν ὁρῶν, ἠναγκάσθην ἄφρων γενέσθαι. Καὶ οὐκ εἶπεν, ἔδεισα γὰρ μὴ τὰ πρωτεῖα παρ' ὑμῖν ἐνεγκάμενοι, τὰ παρ' ἑαυτῶν κατασπείρωσιν· ἀλλὰ τοῦτο μὲν οὖν ἀνωτέρω τέθεικεν εἰπών, «Φοβοῦμαι μή πως, ὡς ὁ ὄφις Εὔαν ἠπάτησεν, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν»· ἐνταῦθα

---

1. Β' Κορ. 12, 11.

ΛΟΓΟΣ ΚΖ'
Β' Κορ. 12, 11 - 15

«Ἔγινα ἀνόητος μὲ τὸ νὰ καυχῶμαι. Σεῖς μὲ ἠναγκάσατε. Ἔπρεπε σεῖς νὰ μὲ συνιστᾶτε»[1].

1. Ἀφοῦ ἐτελείωσε τὸν λόγον διὰ τὸν ἰδικόν του ἔπαινον, δὲν ἐσταμάτησε ἐδῶ, ἀλλὰ πάλιν ἀπολογεῖται καὶ ζητεῖ συγγνώμην διὰ τὰ λεχθέντα, λέγων ὅτι ἀπὸ ἀνάγκην ἔγινεν αὐτὸ καὶ ὄχι ἀπὸ ἰδικήν του προαίρεσιν. Ἀλλὰ παρ' ὅ,τι ἦτο ἀνάγκη, ὀνομάζει ἀνόητον τὸν ἑαυτόν του. Ὅταν ἤρχιζε λοιπὸν ἔλεγε, «δεχθῆτε με ὡς ἀνόητον», καὶ «ὡσὰν ἀνόητος»· τώρα ὅμως ἀφοῦ ἀνήρεσε τὸ «ὡσάν», ὀνομάζει τὸν ἑαυτόν του ἀνόητον. Διότι ἀφοῦ ἀπέδειξε μὲ τὰ λεχθέντα αὐτὰ ποὺ ἤθελε, μὲ θάρρος λοιπὸν καὶ χωρὶς φειδὼ κατηγορεῖ αὐτὸ τὸ ἐλάττωμα, διδάσκων εἰς ὅλους νὰ μὴ ἐγκωμιάζουν ποτὲ τὸν ἑαυτόν των ἂν δὲν εἶναι ἀνάγκη, ἀφοῦ καὶ ἐνῷ ὑπάρχει λόγος, ὁ Παῦλος ὠνόμασε τὸν ἑαυτόν του ἀνόητον.

Ὕστερον καὶ τὴν αἰτίαν διὰ τὰ λεχθέντα ὄχι εἰς τοὺς ψευδαποστόλους, ἀλλ' εἰς τοὺς μαθητὰς ἀποδίδει ὁλόκληρον. Διότι, «σεῖς», λέγει, «μὲ ἠναγκάσατε». Διότι ἐὰν μὲν ἐκαυχῶντο καὶ ἔκαμνον αὐτὸ χωρὶς νὰ ἐπιτυγχάνουν νὰ σᾶς πλανήσουν, οὔτε νὰ σᾶς καταστρέψουν, δὲν θὰ εἶχον φθάσει εἰς σημεῖον νὰ ἀφήσω τὸν ἑαυτόν μου νὰ ἐκπέσῃ εἰς τέτοιους λόγους. Ἐπειδὴ ὅμως ὁλόκληρον ἐκκλησίαν κατέστρεψαν, ἠναγκάσθην διὰ τὸ ἰδικόν σας συμφέρον νὰ γίνω ἀνόητος. Καὶ δὲν εἶπεν, διότι ἐφοβήθην μήπως ἀφοῦ ἁρπάσουν ἀπὸ ἐσᾶς τὰ πρωτεῖα σπείρουν παντοῦ τὴν ἰδικήν των διδασκαλίαν· ἀλλ' αὐτὸ μὲν τὸ ἐξέθεσεν ἀνωτέρω ὅταν εἶπε, «φοβοῦμαι μήπως, ὅπως ὁ ὄφις ἐξηπάτησε τὴν Εὔαν μὲ τὴν πανουργίαν του, ἔτσι φθαροῦν αἱ σκέψεις σας»· ἐδῶ

δὲ οὐχ οὕτως, ἀλλὰ αὐθεντικώτερον, καὶ μετὰ πλείονος ἐξουσίας, ἔχων ἐκ τῶν εἰρημένων τὴν παρρησίαν· «Ἐγὼ γὰρ ὤφειλον ὑφ' ὑμῶν συνίστασθαι».

Εἶτα καὶ τὴν αἰτίαν τίθησι· καὶ οὐ λέγει πάλιν τὰς ἀποκαλύψεις, οὐδὲ τὰ σημεῖα μόνον, ἀλλὰ καὶ τοὺς πειρασμούς. «Οὐδὲν γὰρ ὑστέρησα τῶν ὑπερλίαν ἀποστόλων». Ὅρα πῶς πάλιν καὶ ἐνταῦθα ἐξουσιαστικώτερον φθέγγεται. Ἔμπροσθεν μὲν γὰρ ἔλεγε, «Λογίζομαι μηδὲν ὑστερηκέναι»· ἐνταῦθα δὲ ἀποφαντικῶς οὕτως, ὅπερ εἶπον, μετὰ τὰς ἀποδείξεις θαρρῶν φθέγγεται λοιπόν. Οὐ μὴν οὐδὲ οὕτως ἀφίσταται τοῦ μέτρου, οὐδὲ τοῦ οἰκείου ἤθους. Ὥσπερ γὰρ μέγα τι εἰρηκὼς καὶ τὴν ἀξίαν ὑπερβαῖνον τὴν ἑαυτοῦ, ὅτι μετὰ τῶν ἀποστόλων ἑαυτὸν ἠρίθμησεν, οὕτω μετριάζει πάλιν, καὶ ἐπάγει λέγων· «Εἰ καὶ οὐδέν εἰμι, τὰ σημεῖα τοῦ ἀποστόλου κατειργάσθη ἐν ὑμῖν». Μὴ τοῦτο ἴδῃς, φησίν, εἰ εὐτελὴς ἐγὼ καὶ μικρός, ἀλλ' εἰ μὴ τούτων ἀπήλαυσας, ὧν παρ' ἀποστόλου ἀπολαῦσαι ἐχρῆν.

Καὶ οὐκ εἶπεν, εὐτελής, ἀλλ', ὃ κατώτερον ἦν, «οὐδέν». Τί γὰρ ὄφελος μέγαν εἶναι, καὶ μηδένα ὠφελεῖν; ὥσπερ οὖν οὐδὲ ἰατροῦ κέρδος ἐμπείρου, μηδένα τῶν καμνόντων ἰωμένου. Μὴ τοίνυν, φησί, τοῦτο ἐξέταζε, ὅτι οὐδὲν ἐγώ, ἀλλ' ἐκεῖνο σκόπει, ὅτι ἐν οἷς ὑμᾶς εὖ παθεῖν ἔδει, οὐδὲν ὑστέρησα, ἀλλ' ἐγὼ τὴν πεῖραν ἔδωκα τῆς ἐμῆς ἀποστολῆς. Οὐ τοίνυν ἔδει λόγων τῶν παρ' ἐμοῦ. Ταῦτα δὲ ἔλεγεν, οὐ τοῦ συνίστασθαι χρῄζων· πῶς γάρ, ὁ καὶ τὸν οὐρανὸν μικρὸν ἡγούμενος πρὸς τὸν τοῦ Χριστοῦ πόθον; ἀλλὰ τῆς σωτηρίας τῆς ἐκείνων ἐφιέμενος. Εἶτα ἵνα μὴ λέγωσι, καὶ τί πρὸς ἡμᾶς, εἰ καὶ μηδὲν ὑστέρησας τῶν ὑπερλίαν ἀποστόλων; διὰ τοῦτο ἐπήγαγεν, ὅτι «Ἐν ὑμῖν κατειργάσθη τὰ σημεῖα τοῦ

---

2. Β' Κορ. 12, 12.
3. Β' Κορ. 12, 13.

ὅμως ὄχι ἔτσι, ἀλλὰ μὲ περισσότερον κυριαρχικὸν τρόπον καὶ μὲ περισσοτέραν ἐξουσίαν, ἐπειδὴ ἔχει τὸ θάρρος ἀπὸ τὰ λεχθέντα· «Ἔπρεπε σεῖς νὰ μὲ συνιστᾶτε».

Ὕστερον ἐκθέτει καὶ τὴν αἰτίαν· καὶ δὲν λέγει πάλιν τὰς ἀποκαλύψεις καὶ τὰ θαύματα μόνον, ἀλλὰ καὶ τοὺς πειρασμούς. «Ἐπειδὴ εἰς τίποτε δὲν ἐφάνην κατώτερος ἀπὸ τοὺς ἐξοχωτέρους ἀποστόλους». Κοίταξε πῶς πάλιν ἐδῶ μὲ περισσοτέραν ἐξουσίαν ὁμιλεῖ. Διότι εἰς τὴν ἀρχὴν μὲν ἔλεγε, «φρονῶ ὅτι δὲν ὑστέρησα εἰς τίποτε», ἐδῶ ὅμως μὲ βεβαιότητα, ἔτσι ὅπως εἶπον, ὁμιλεῖ μὲ θάρρος μετὰ ἀπὸ τὰς ἀποδείξεις. Ἀλλ' ὅμως οὔτε ἔτσι ἀπομακρύνεται ἀπὸ τὸ μέτρον, οὔτε ἀπὸ τὸ ἦθος του. Διότι ὅπως ἀκριβῶς ἀφοῦ εἶπε κάτι μέγα καὶ τὸ ὁποῖον ὑπερβαίνει τὴν ἀξίαν του, ὅτι δηλαδὴ συγκατηρίθμησε τὸν ἑαυτόν του μαζὶ μὲ τοὺς ἀποστόλους, ἔτσι μετριάζει πάλιν καὶ προσθέτει λέγων· «Ἂν καὶ δὲν εἶμαι τίποτε, τὰ χαρακτηριστικὰ τοῦ ἀληθινοῦ ἀποστόλου ἐπραγματοποιήθησαν ἐνώπιόν σας». Μὴ βλέπεις αὐτό, λέγει, ἐὰν ἐγὼ εἶμαι εὐτελὴς καὶ μικρός, ἀλλ' ἐὰν ἀπήλαυσες αὐτὰ τὰ ὁποῖα ἔπρεπε ν' ἀπολαύσῃς ἀπὸ ἀπόστολον.

Καὶ δὲν εἶπεν, εὐτελής, ἀλλά, πρᾶγμα τὸ ὁποῖον εἶναι κατώτερον, «τίποτε». Διότι ποῖον τὸ ὄφελος ἀπὸ τὸ νὰ εἶναι μέγας καὶ νὰ μὴ ὠφελῇ κανένα; Ὅπως βεβαίως οὔτε ἀπὸ ἰατρὸν ἔμπειρον ὑπάρχει κέρδος, ὅταν δὲν θεραπεύῃ κανένα ἀπὸ τοὺς ἀσθενεῖς. Μὴ λοιπόν, λέγει, ἐξετάζῃς αὐτό, ὅτι ἐγὼ δὲν εἶμαι τίποτε, ἀλλ' ἐκεῖνο νὰ βλέπῃς, ὅτι εἰς ὅσα ἔπρεπε σεῖς νὰ κερδίσετε καθόλου δὲν ὑστέρησα, ἀλλ' ἐγὼ ἔδωσα τὴν δοκιμὴν τῆς ἀποστολῆς μου. Δὲν ἐχρειάζοντο λοιπὸν οἱ ἰδικοί μου λόγοι. Αὐτὰ δὲ τὰ ἔλεγεν, ὄχι διότι εἶχεν ἀνάγκην συστάσεων· διότι πῶς ἦτο δυνατὸν αὐτὸ δι' ἐκεῖνον ὁ ὁποῖος ἐθεώρει μικρὸν καὶ τὸν οὐρανὸν διὰ τὸν πόθον τοῦ Χριστοῦ; Ἀλλ' ἐπειδὴ ἐπόθει τὴν σωτηρίαν ἐκείνων. Ὕστερον, διὰ νὰ μὴ λέγουν «καὶ τί μᾶς ἐνδιαφέρει ἂν δὲν ὑστέρησες εἰς τίποτε ἀπὸ τοὺς ἐξοχωτέρους ἀποστόλους;», διὰ τοῦτο προσέθεσεν ὅτι «Τὰ χαρακτηριστικὰ τοῦ

ἀποστόλου, ἐν πάσῃ ὑπομονῇ καὶ σημείοις καὶ τέρασι». Βαβαί, πηλίκον πέλαγος κατορθωμάτων ἐν ὀλίγοις ῥήμασι παρέδραμε.

Καὶ θέα ποῖον πρῶτον τίθησι, τὴν ὑπομονήν. Τοῦτο γὰρ ἀποστόλου δεῖγμα, τὸ φέρειν πάντα γενναίως. Τοῦτο μὲν γὰρ ἐν βραχεῖ, διὰ μιᾶς λέξεως· τὸ δὲ τῶν σημείων, ἅπερ οὐκ ἦν αὐτοῦ κατορθώματα, διὰ πλειόνων. Ἐννόησον γὰρ πόσα δεσμωτήρια, πόσας πληγάς, πόσους κινδύνους, πόσας ἐπιβουλάς, πόσας νιφάδας πειρασμῶν ἐνταῦθα ἠνίξατο, πόσους πολέμους ἐμφυλίους, ἐξωτικούς, πόσας ὀδύνας, πόσας προσβολὰς διὰ τοῦ ὀνόματος τῆς ὑπομονῆς· διὰ τῶν σημείων πάλιν, πόσους νεκροὺς ἐγερθέντας, πόσους τυφλοὺς θεραπευθέντας, πόσους λεπροὺς καθαρισθέντας, πόσους δαίμονας ἐλαθέντας. Ταῦτα ἀκούοντες, μανθάνωμεν, εἰ εἰς ἀνάγκην ἐμπέσωμεν τοιούτων διηγημάτων, συντέμνειν ἡμῶν τὰ κατορθώματα· ὃ καὶ αὐτὸς ἐποίησεν.

2. Εἶτα ἵνα μὴ λέγωσί τινες, εἰ γὰρ καὶ μέγας, καὶ πολλὰ εἰργάσω, ἀλλ' οὐ τοσαῦτα, ὅσα ἐν ταῖς λοιπαῖς ἐκκλησίαις οἱ ἀπόστολοι, ἐπήγαγε· «Τί γάρ ἐστιν ὃ ἡττήθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας;». Οὐκ ἐλάττονος, φησί, μετέσχετε χάριτος τῶν λοιπῶν. Ἀλλ' ἴσως εἴποι τις ἄν, τί δήποτε πρὸς τοὺς ἀποστόλους τρέπει τὸν λόγον, τὴν πρὸς τοὺς ψευδαποστόλους μάχην ἀφείς; Ἐκ περιουσίας ἀναστῆσαι βουλόμενος αὐτῶν τὰ φρονήματα, καὶ δεῖξαι, ὅτι οὐ μόνον ἐκείνων βελτίων, ἀλλ' οὐδὲ τῶν μεγάλων ἀποστόλων ἐλάττων. Διά τοι τοῦτο, ὅταν μὲν περὶ ἐκείνων διαλέγηται, φησίν, «Ὑπὲρ ἐγώ»· ὅταν δὲ πρὸς τοὺς ἀποστόλους ἑαυτὸν παραβάλλῃ, ἀγαπητὸν εἶναί φησι τὸ μὴ ὑστερηκέναι, καίτοιγε πλεῖ-

ἀληθινοῦ ἀποστόλου ἐπραγματοποιήθησαν ἐνώπιόν σας μὲ κάθε ὑπομονήν, μὲ σημεῖα καὶ τέρατα καὶ δυνάμεις». Ὤ, πόσον πέλαγος κατορθωμάτων μέσα εἰς ὀλίγους λόγους ἐπροσπέρασε.

Καὶ κοίταξε ποῖον θέτει πρῶτον, τὴν ὑπομονήν. Διότι αὐτὸ εἶναι δεῖγμα τοῦ ἀποστόλου, τὸ νὰ ὑπομένῃ τὰ πάντα μὲ γενναιότητα. Αὐτὸ μὲν συντόμως ἀνέφερε, μὲ μίαν λέξιν· ἐνῷ τὰ θαύματα, τὰ ὁποῖα δὲν ἦσαν ἰδικά του κατορθώματα, μὲ περισσοτέρας. Διότι σκέψου πόσας φυλακάς, πόσας πληγάς, πόσους κινδύνους, πόσας ἐπιβουλάς, πόσας χιλιάδας πειρασμῶν ὑπηνίχθη ἐδῶ, πόσους πολέμους ἀπὸ τοὺς μέσα καὶ ἀπὸ τοὺς ἔξω ἀπὸ τὴν ἐκκλησίαν, πόσους πόνους, πόσας προσβολὰς μὲ τὸ ὄνομα τῆς ὑπομονῆς· μὲ τὴν λέξιν σημεῖα πάλιν, πόσους νεκροὺς οἱ ὁποῖοι ἀνεστήθησαν, πόσους λεπροὺς οἱ ὁποῖοι ἐκαθαρίσθησαν, πόσους δαίμονας οἱ ὁποῖοι ἐξεδιώχθησαν. Ἀκούοντες αὐτά, ἂς μανθάνωμεν, ἐὰν εὑρεθῶμεν εἰς ἀνάγκην νὰ διηγηθῶμεν τέτοια πράγματα, νὰ προσπερνῶμεν συντόμως τὰ κατορθώματά μας, ὅπως ἔκανε καὶ ὁ ἴδιος.

2. Ὕστερον, διὰ νὰ μὴ λέγουν μερικοί, ἂν καὶ εἶσαι βεβαίως μέγας καὶ κατώρθωσες πολλά, δὲν κατώρθωσες πάντως ὅσα εἰς τὰς ἄλλας ἐκκλησίας οἱ ἀπόστολοι, προσέθεσε· «Κατὰ τί λοιπὸν εἴσθε κατώτεροι ἀπὸ τὰς ἄλλας ἐκκλησίας;». Δὲν ἔχετε λάβει ὀλιγωτέραν χάριν ἀπὸ τὰς ἄλλας, λέγει. Ἀλλ' ἴσως θὰ ἔλεγε κανείς, διατί ἐγκατέλειψε τὴν μάχην κατὰ τῶν ψευδαποστόλων καὶ στρέφει τὸν λόγον πρὸς τοὺς ἀποστόλους; Ἐπειδὴ θέλει νὰ ἀφανίσῃ τελείως τὰς σκέψεις των αὐτὰς καὶ νὰ ἀποδείξῃ ὅτι, ὄχι μόνον εἶναι καλύτερος ἀπὸ τοὺς ψευδαποστόλους, ἀλλ' οὔτε ἀπὸ τοὺς μεγάλους ἀποστόλους δὲν εἶναι κατώτερος. Διὰ τοῦτο, ὅταν μὲν ὁμιλῇ διὰ τοὺς ψευδαποστόλους λέγει, «ἐγὼ ὑπερτερῶ αὐτῶν»· ἐνῷ ὅταν συγκρίνῃ τὸν ἑαυτόν του πρὸς τοὺς ἀποστόλους προτιμᾷ νὰ λέγῃ ὅτι δὲν ὑστερεῖ, ἂν καὶ βεβαίως ἐκοπίασε πολὺ περισσότερον ἀπὸ αὐτούς. Ἀποδει-

ον αὐτῶν κοπιάσας. Δείκνυσι δὲ ἐντεῦθεν, ὅτι κἀκείνους ὑβρίζουσιν, ὅταν τὸν ἴσον αὐτῶν ἐν δευτέρῳ τούτων ἔχωσιν.

«Εἰ μὴ ὅτι αὐτὸς ἐγὼ οὐ κατενάρκησα ὑμῶν». Μετὰ πολλῆς πάλιν βαρύτητος ἔθηκε τὴν ἐπιτίμησιν. Καὶ τὸ ἑξῆς φορτικώτερον· «Χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην». Ἀλλ' ὅμως ἡ βαρύτης καὶ ἀγάπης ῥήματα, καὶ ἐγκώμιον ἐκείνων ἔχει· εἴγε ἀδικίαν οἰκείαν εἶναι νομίζουσι τὸ μὴ καταδέξασθαι τὸν ἀπόστολον λαβεῖν τι παρ' αὐτῶν, μηδὲ θαρρῆσαι τραφῆναι ἔνθεν. Εἰ τοῦτο, φησίν, ἐγκαλεῖτε, οὐκ εἶπεν, ὅτι κακῶς ἐγκαλεῖτε, ἀλλὰ μετὰ πολλῆς τῆς γλυκύτητος, συγγνώμην αἰτῶ, χαρίσασθέ μοι τουτὶ τὸ ἁμάρτημα. Καὶ θέα τὴν σύνεσιν. Ἐπειδὴ γὰρ συνεχῶς τοῦτο στρεφόμενον ὄνειδος αὐτοῖς ἔφερε, συνεχῶς αὐτὸ παραμυθεῖται· ἀνωτέρω μὲν λέγων, ὅτι «Ἔστιν ἀλήθεια Χριστοῦ ἐν ἐμοί, ὅτι ἡ καύχησίς μου οὐ φραγήσεται αὕτη»· εἶτα πάλιν, «Ὅτι οὐκ ἀγαπῶ ὑμᾶς; ὁ Θεὸς οἶδεν· ἀλλ' ἵνα ἐκκόψω τὴν ἀφορμὴν τῶν θελόντων ἀφορμήν, καὶ ἵνα ἐν ᾧ καυχῶνται, εὑρεθῶσι καθὼς καὶ ἡμεῖς». Καὶ ἐν τῇ προτέρᾳ· «Τίς οὖν μοί ἐστιν ὁ μισθός; Ἵνα εὐαγγελιζόμενος ἀδάπανον θήσω τὸ εὐαγγέλιον». Καὶ ἐνταῦθα, «Χαρίσασθέ μοι τὴν ἀδικίαν ταύτην». Πανταχοῦ γὰρ φεύγει τὸ δεῖξαι, ὅτι διὰ τὴν ἀσθένειαν αὐτῶν οὐ λαμβάνει· καὶ ἐνταῦθα μὴ πλῆξαι. Διὸ καὶ ἐνταῦθα οὕτω φησίν· εἰ τοῦτο πλημμέλημα εἶναι ἡγεῖσθε, συγγνώμην αἰτῶ. Ταῦτα δὲ ἔλεγε, καὶ πλήττων καὶ θεραπεύων. Μὴ γὰρ δὴ τοῦτο εἴπῃς· εἰ πλῆξαι θέλεις, τί ἀπολογῇ; εἰ δὲ ἀπολογῇ, τί πλήττεις; Τοῦτο γὰρ συνέσεώς ἐστι, καὶ κατατέμνειν καὶ ἐπιδεσμεῖν τὸ ἕλκος.

4. Α' Κορ. 9, 18.

κνύει δὲ ἀπὸ ἐδῶ, ὅτι καὶ τοὺς ἀποστόλους ὑποτιμοῦν, ὅταν αὐτὸν ποὺ εἶναι ἴσος μὲ ἐκείνους τὸν θεωροῦν κατώτερόν τῶν ψευδαποστόλων.

«Παρὰ τὸ ὅτι ἐγὼ ὁ ἴδιος δὲν σᾶς ἐπεβάρυνα». Μὲ πολλὴν αὐστηρότητα πάλιν ἔθεσε τὴν ἐπιτίμησιν. Καὶ τὸ ἑπόμενον ἀκόμη βαρύτερον· «Συγχωρήσατέ μου αὐτὴν τὴν ἀδικίαν». Ἀλλ' ὅμως ἡ αὐστηρότης περιέχει καὶ λόγους ἀγάπης καὶ ἐγκώμιον δι' ἐκείνους· ἐὰν βεβαίως νομίζουν ὅτι εἶναι ἰδική του ἀδικία τὸ ὅτι δὲν κατεδέχθη ὁ ἀπόστολος νὰ λάβῃ κάτι ἀπὸ αὐτούς, οὔτε νὰ ἔχῃ τὸ θάρρος νὰ τραφῇ ἀπὸ ἐκεῖ. Ἐὰν δι' αὐτό, λέγει, κατηγορῆτε — δὲν εἶπεν ὅτι κακῶς κατηγορεῖτε, ἀλλὰ μὲ πολλὴν γλυκύτητα —, ζητῶ συγγνώμην, συγχωρῆστε μου αὐτὸ τὸ ἁμάρτημα. Καὶ κοίταξε τὴν σύνεσιν. Ἐπειδὴ δηλαδὴ αὐτὸ ἀναλογιζόμενοι συνεχῶς ἔφερεν εἰς αὐτοὺς ἐντροπήν, συνεχῶς αὐτὸ καταπραΰνει, ἀνωτέρω μὲν λέγων ὅτι «Ὅπως εἶναι βέβαιον ὅτι ἡ ἀλήθεια τοῦ Χριστοῦ εἶναι μέσα μου, ἔτσι ἡ καύχησίς μου αὐτή, ὅτι δὲν σᾶς ἔγινα βάρος, δὲν θὰ μοῦ ἀποκλεισθῇ», ὕστερον πάλιν, «Διότι δὲν σᾶς ἀγαπῶ; Ὁ Θεὸς γνωρίζει ὅτι σᾶς ἀγαπῶ. Ἀλλ' αὐτὸ ποὺ κάνω θὰ ἐξακολουθῶ νὰ τὸ κάνω, διὰ νὰ στερήσω τῆς εὐκαιρίας ἐκείνους ποὺ ἐπιδιώκουν εὐκαιρίαν διὰ νὰ φανοῦν ὅτι εἶναι ὡσὰν ἐμᾶς εἰς τὸ ἔργον διὰ τὸ ὁποῖον καυχῶνται». Καὶ εἰς τὴν προηγουμένην ἐπιστολήν· «Ποῖος εἶναι λοιπὸν ὁ μισθός μου; Τὸ νὰ κάνω ἀδάπανον τὸ εὐαγγέλιον τοῦ Χριστοῦ ὅταν τὸ κηρύττω»[4]. Καὶ ἐδῶ, «Συγχωρήσατέ μου αὐτὴν τὴν ἀδικίαν». Παντοῦ δηλαδὴ ἀποφεύγει νὰ δείξῃ ὅτι διὰ τὴν ἰδικήν των ἀδυναμίαν δὲν λαμβάνει· καὶ αὐτὸ διὰ νὰ μὴ πληγώσῃ. Διὰ τοῦτο καὶ ἐδῶ ἔτσι λέγει· ἐὰν νομίζετε ὅτι αὐτὸ εἶναι σφάλμα, ζητῶ συγγνώμην. Αὐτὰ δὲ τὰ ἔλεγε καὶ διὰ νὰ κτυπήσῃ καὶ διὰ νὰ θεραπεύσῃ. Ἀλλὰ μὴ τὸ εἴπῃς αὐτό, διότι ἐὰν θέλῃς νὰ κτυπήσῃς διατί ἀπολογεῖσαι; Ἐὰν δὲ ἀπολογῆσαι, διατί κτυπᾷς; Διότι αὐτὸ εἶναι ἴδιον συνέσεως, καὶ νὰ κατακόπτῃ, καὶ νὰ ἐπιδένῃ τὴν πληγήν.

Εἶτα, ἵνα μὴ δόξῃ, ὅπερ καὶ ἔμπροσθεν ἔλεγεν, συνεχῶς αὐτὸ στρέφειν ὑπὲρ τοῦ λαβεῖν, θεραπεύει μὲν αὐτὸ καὶ ἐν τῇ προτέρᾳ λέγων, «Οὐκ ἔγραψα δέ, ἵνα οὕτω γένηται ἐν ἐμοί· καλὸν γάρ μοι ἀποθανεῖν, ἢ τὸ καύχημά μου ἵνα τις κενώσῃ»· γλυκύτερον δὲ ἐντεῦθεν καὶ προσηνέστερον. Πῶς καὶ τίνι τρόπῳ; «Ἰδού, τρίτον τοῦτο ἑτοίμως ἔχω ἐλθεῖν πρὸς ὑμᾶς, καὶ οὐ καταναρκήσω ὑμῶν· οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλλ' ὑμᾶς. Οὐ γὰρ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ἀλλ' οἱ γονεῖς τοῖς τέκνοις». Ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐκ ἐπειδὴ μὴ λαμβάνω, διὰ τοῦτο οὐ παραγίνομαι, ἀλλὰ καὶ δεύτερον παρεγενόμην, καὶ τρίτον τοῦτο παρεσκεύασμαι ἐλθεῖν, καὶ οὐ καταναρκήσω ὑμῶν. Καὶ ἡ αἰτία σεμνή. Οὐ γὰρ εἶπεν, ἐπειδὴ μικρολόγοι, ἐπειδὴ πλήττεσθε, ἐπειδὴ ἀσθενεῖτε· ἀλλὰ τί; «Οὐ γὰρ ζητῶ τὰ ὑμῶν, ἀλλ' ὑμᾶς». Μείζονα ἐπιζητῶ, ψυχὰς ἀντὶ χρημάτων, σωτηρίαν ἀντὶ χρυσίου.

Εἶτα ἐπειδὴ ὑποψίαν εἶχεν ἔτι τὸ πρᾶγμα, ὡς ἀλγοῦντος αὐτοῦ πρὸς αὐτούς, διὰ τοῦτο καὶ λογισμὸν τίθησιν. Ἐπειδὴ γὰρ εἰκὸς ἦν εἰπεῖν αὐτούς, οὐ γὰρ ἔξεστι καὶ ἡμᾶς ἔχειν καὶ τὰ ἡμῶν; ἐπάγει μετὰ πολλῆς τῆς χάριτος τὴν ἀπολογίαν αὐτῶν, λέγων· «Οὐ γὰρ ὀφείλει τὰ τέκνα τοῖς γονεῦσι θησαυρίζειν, ἀλλ' οἱ γονεῖς τοῖς τέκνοις»· ἀντὶ τῶν διδασκάλων καὶ τῶν μαθητῶν τοὺς γονέας καὶ τὰ τέκνα μεταβάλλων, καὶ δείξας ὅτι ὀφειλῆς πρᾶγμα ποιεῖ, ὅπερ οὐκ ἦν ὀφειλῆς. Οὐ γὰρ οὕτω προσέταξεν ὁ Χριστός, ἀλλ' ἐκείνων φειδόμενος, ταῦτα λέγει· διὸ καὶ πλέον τι προστίθησιν. Οὐ γὰρ εἶπε μόνον, ὅτι οὐκ ὀφείλει τὰ τέκνα θησαυρίζειν, ἀλλ' ὅτι καὶ ὀφείλουσιν οἱ γονεῖς τοῦτο ποιεῖν. Οὐκοῦν ἐπειδὴ δοῦναι δεῖ, «Ἐγὼ ἥδιστα δαπανήσω καὶ ἐκδαπανηθήσομαι

---

5. Α' Κορ. 9, 15.
6. Β' Κορ. 12, 14.

Ὕστερον, διὰ νὰ μὴ φανῇ, αὐτὸ ποὺ καὶ προηγουμένως ἔλεγεν, ὅτι συνεχῶς σκέπτεται διὰ νὰ τὸ λάβῃ, διορθώνει μὲν αὐτὸ καὶ εἰς τὴν πρώτην ἐπιστολὴν λέγων, «Δὲν σᾶς τὸ γράφω αὐτὸ διὰ νὰ γίνῃ τὸ ἴδιον καὶ εἰς ἐμέ. Μοῦ εἶναι προτιμότερον ν' ἀποθάνω παρὰ νὰ ματαιώσῃ κανεὶς τὸ καύχημά μου»[5], γλυκύτερον ὅμως ἐδῶ καὶ μὲ περισσοτέραν ἐπιείκειαν. Πῶς καὶ μὲ ποῖον τρόπον; «Ἰδού, διὰ τρίτην φορὰν εἶμαι ἕτοιμος νὰ ἔλθω εἰς ἐσᾶς καὶ δὲν θὰ σᾶς ἐπιβαρύνω, διότι δὲν ζητῶ τὰ ὑλικὰ ἀγαθά σας, ἀλλὰ σᾶς τοὺς ἰδίους, διότι δὲν ὀφείλουν τὰ παιδία νὰ θησαυρίζουν διὰ τοὺς γονεῖς, ἀλλὰ οἱ γονεῖς διὰ τὰ παιδία»[6]. Αὐτὸ δὲ τὸ ὁποῖον ἐννοεῖ, εἶναι τὸ ἑξῆς· τὸ ὅτι δὲν ἔρχομαι δὲν ὀφείλεται εἰς τὸ ὅτι δὲν λαμβάνω, ἀλλὰ καὶ δευτέραν φορὰν ἦλθον, καὶ διὰ τρίτην ἔχω ἑτοιμασθῆ νὰ ἔλθω, καὶ δὲν θὰ σᾶς ἐπιβαρύνω. Καὶ ἡ αἰτία εἶναι σεβαστή. Διότι δὲν εἶπεν, ἐπειδὴ εἶσθε μικρολόγοι, ἐπειδὴ πληγώνεσθε, ἐπειδὴ εἶσθε ἀδύνατοι· ἀλλὰ τί; «Διότι δὲν ζητῶ τὰ ὑλικὰ ἀγαθά σας, ἀλλὰ σᾶς τοὺς ἰδίους». Περισσότερα ἐπιζητῶ, ψυχὰς ἀντὶ χρημάτων, σωτηρίαν ἀντὶ χρυσοῦ.

Ἔπειτα, ἐπειδὴ ἀκόμη περιεῖχεν ὑποψίαν τὸ πρᾶγμα ὅτι ἦτο στενοχωρημένος ἀπὸ αὐτούς, διὰ τοῦτο ἐκθέτει καὶ συλλογισμόν. Ἐπειδὴ δηλαδὴ ἠδύνατο νὰ εἴπῃ ὀρθῶς πρὸς αὐτούς, δὲν ἐπιτρέπεται λοιπὸν καὶ ἐμεῖς νὰ ἔχωμεν τὰ ἰδικά σας; Προσθέτει μὲ πολλὴν τὴν χάριν τὴν ἀπολογίαν εἰς αὐτά, λέγων· «Διότι δὲν ὀφείλουν τὰ παιδία νὰ θησαυρίζουν διὰ τοὺς γονεῖς, ἀλλ' οἱ γονεῖς διὰ τὰ παιδία», ἀφοῦ μετέβαλε τὴν σχέσιν διδασκάλων καὶ μαθητῶν εἰς σχέσιν γονέων καὶ τέκνων καὶ ἀφοῦ ἔδειξεν ὅτι ἐκτελεῖ χρέος, πρᾶγμα τὸ ὁποῖον δὲν ἦτο χρέος. Ὄχι διότι ἔτσι προσέταξεν ὁ Χριστός, ἀλλὰ τὰ λέγει αὐτὰ ἐπειδὴ ἐλυπεῖτο ἐκείνους· διὰ τοῦτο καὶ προσθέτει κάτι περισσότερον. Δηλαδὴ δὲν εἶπε μόνον ὅτι δὲν ὀφείλουν τὰ τέκνα νὰ θησαυρίζουν, ἀλλὰ καὶ ὅτι οἱ γονεῖς ὀφείλουν νὰ κάμνουν αὐτό. Λοιπὸν ἐπειδὴ ἔπρεπε νὰ δώσῃ, «Ἐγὼ πολὺ εὐχαρίστως θὰ δαπανήσω καὶ θὰ δα-

ὑπὲρ τῶν ψυχῶν ὑμῶν». Τοὺς μὲν γὰρ γονέας θησαυρίζειν ἐκέλευσε τοῖς τέκνοις ὁ νόμος τῆς φύσεως· ἐγὼ δὲ οὐ τοῦτο ποιῶ μόνον, ἀλλὰ καὶ ἐμαυτὸν προσδίδωμι.

Καὶ αὕτη ἡ ὑπερβολή, τὸ μὴ μόνον μὴ λαμβάνειν, ἀλλὰ καὶ προσδιδόναι, οὐχ ἁπλῶς, ἀλλὰ μετὰ πολλῆς τῆς φιλοτιμίας, καὶ ἐκ τοῦ ὑστερήματος· τὸ γάρ, «ἐκδαπανηθήσομαι», τοῦτό ἐστιν αἰνιττομένου. Κἂν γὰρ αὐτὴν δέῃ τὴν σάρκα ἀναλῶσαι, οὐ φείσομαι διὰ τὴν σωτηρίαν ὑμῶν. Καὶ τὸ ἐπαγόμενον μετ' ἐγκλήματος ὁμοῦ καὶ ἀγάπης· «Εἰ καὶ περισσοτέρως ὑμᾶς ἀγαπῶν, ἧττον ἀγαπῶμαι». Καὶ ταῦτα ποιῶ, φησίν, ὑπὲρ τῶν φιλουμένων, καὶ οὐ φιλούντων ὁμοίως. Σκόπει τοίνυν λοιπὸν πόσους ἔχει τὸ πρᾶγμα βαθμούς. Ἔδει λαμβάνειν, αὐτὸς δὲ οὐκ ἐλάμβανεν· ἰδοὺ πρῶτον κατόρθωμα· καὶ ὑστερούμενος, δεύτερον· καὶ αὐτοῖς κηρύττων, τρίτον· καὶ προσδίδωσι, τέταρτον· καὶ οὐχ ἁπλῶς προσδίδωσιν, ἀλλὰ καὶ μετὰ ἐπιτάσεως, πέμπτον· καὶ οὐ χρήματα μόνον, ἀλλὰ καὶ ἑαυτόν, ἕκτον· καὶ ὑπὲρ τῶν μὴ σφόδρα φιλούντων αὐτόν, ἕβδομον· καὶ ὑπὲρ τῶν σφόδρα φιλουμένων, ὄγδοον.

3. Τοῦτον δὴ καὶ ἡμεῖς ζηλώσωμεν. Μέγα μὲν γὰρ ἔγκλημα, καὶ τὸ μὴ φιλεῖν· μεῖζον δὲ γίνεται, ὅταν καὶ φιλούμενός τις μὴ φιλῇ. Εἰ γὰρ ὁ τὸν φιλοῦντα φιλῶν οὐδὲν πλέον ἔχει τῶν τελωνῶν· ὁ μηδὲ τοῦτο ἔχων, μετὰ τῶν θηρίων ἐστί, μᾶλλον δὲ καὶ τούτων ἐλάττων. Τί λέγεις, ἄνθρωπε; οὐ φιλεῖς τὸν φιλοῦντα; καὶ τίνος ἕνεκεν ζῇς; ποῦ δὲ χρήσιμος ἔσῃ λοιπόν; ἐν ποίοις πράγμασιν; ἐν πολιτικοῖς; ἐν ἰδιωτικοῖς; Οὐδαμῶς· οὐδὲν γὰρ ἀχρηστότερον ἀνδρὸς οὐκ εἰδότος φιλεῖν. Τοῦτον καὶ λῃσταὶ πολλάκις τὸν νόμον ἠ-

---

7. Β' Κορ. 12, 15.

πανηθῶ διὰ τὰς ψυχάς σας». Τοὺς μὲν γονεῖς λοιπὸν προσέταξεν ὁ νόμος τῆς φύσεως νὰ θησαυρίζουν διὰ τὰ τέκνα· ἐγὼ ὅμως δὲν κάνω αὐτὸ μόνον, ἀλλὰ καὶ τὸν ἑαυτόν μου δίδω.

Καὶ αὐτὴ ἡ ὑπερβολή, δηλαδὴ ὄχι μόνο νὰ μὴ λαμβάνῃ, ἀλλὰ καὶ νὰ δίδῃ, δὲν ἐγίνετο ἐπιπολαίως, ἀλλὰ μὲ πολλὴν φιλοτιμίαν καὶ ἀπὸ τὸ ὑστέρημα· διότι τὸ «θὰ δαπανηθῶ», αὐτὸ ὑπαινίσσεται. Καὶ ἂν χρειασθῇ δηλαδὴ καὶ αὐτὸ τὸ σῶμά μου νὰ θυσιάσω, δὲν θὰ τὸ λυπηθῶ διὰ τὴν σωτηρίαν σας. Καὶ αὐτὸ ποὺ προσθέτει περιέχει κατηγορίαν μαζὶ καὶ ἀγάπην· «Ἂν καὶ σᾶς ἀγαπῶ περισσότερον ὅμως ἀγαπῶμαι ἀπὸ σᾶς ὀλιγώτερον». Καὶ αὐτὰ τὰ κάμνω, λέγει, διὰ τοὺς ἀγαπωμένους, οἱ ὁποῖοι δὲν ἀγαποῦν τόσον ὅσον ἀγαπῶνται. Πρόσεξε λοιπὸν πόσας βαθμίδας ἔχει τὸ πρᾶγμα. Ἔπρεπε νὰ λαμβάνῃ, αὐτὸς ὅμως δὲν ἐλάμβανεν· ἰδοὺ τὸ πρῶτον κατόρθωμα· τὸ δεύτερον δὲ συνέβαινεν αὐτὸ ἂν καὶ ἐστερεῖτο· τρίτον, ἂν καὶ ἐκήρυττεν εἰς αὐτούς· τὸ ὅτι καὶ δίδει ἐπὶ πλέον, εἶναι τὸ τέταρτον· πέμπτον, ὄχι ἁπλῶς δίδει, ἀλλὰ καὶ μὲ προσπάθειαν· ἕκτον, ὄχι μόνον χρήματα δίδει, ἀλλὰ καὶ τὸν ἑαυτόν του· ἕβδομον, ὅτι δίδει ἐκείνους οἱ ὁποῖοι δὲν τὸν ἀγαποῦν πολύ· ὄγδοον, ὅτι δίδει εἰς ἐκείνους ποὺ ἀγαπᾷ πολύ.

3. Αὐτὸν λοιπὸν ἂς μιμηθῶμεν καὶ ἐμεῖς. Διότι μεγάλη μὲν ἁμαρτία εἶναι τὸ νὰ μὴ ἀγαπᾷ κανείς, μεγαλυτέρα ὅμως γίνεται ὅταν, καὶ μολονότι κανεὶς ἀγαπᾶται, δὲν ἀγαπᾷ. Διότι ἐὰν ἐκεῖνος, ὁ ὁποῖος ἀγαπᾷ ὅποιον τὸν ἀγαπᾷ, δὲν ἔχῃ τίποτε περισσότερον ἀπὸ τοὺς τελώνας, ἐκεῖνος ὁ ὁποῖος δὲν ἔχει οὔτε αὐτό, εὑρίσκεται εἰς τὸ ἴδιον ἐπίπεδον μὲ τὰ θηρία, μᾶλλον δὲ καὶ ἀπὸ αὐτὰ εἶναι κατώτερος. Τί λέγεις, ἄνθρωπε; δὲν ἀγαπᾷς αὐτὸν ποὺ σὲ ἀγαπᾷ; διατί ζῇς; ποῦ θὰ φανῇς χρήσιμος λοιπόν; εἰς ποῖα πράγματα; εἰς τὰ πολιτικά; εἰς τὰ ἰδιωτικά; καθόλου· διότι δὲν ὑπάρχει τίποτε πιὸ ἄχρηστον ἀπὸ τὸν ἄνθρωπον ἐκεῖνον ὁ ὁποῖος δὲν γνωρίζει ν' ἀγαπᾷ. Αὐτὸν τὸν νόμον καὶ λησταὶ πολλὰς φο-

δέσθησαν, καὶ ἀνδροφόνοι καὶ τοιχωρύχοι, καὶ ἁλῶν κοινωνήσαντες μόνον, μετετάξαντο, τῇ τραπέζῃ τὸν τρόπον μεταβαλόντες· σὺ δὲ οὐχὶ ἁλῶν μόνον, ἀλλὰ καὶ ῥημάτων καὶ πραγμάτων κοινωνῶν, καὶ εἰσόδων καὶ ἐξόδων, οὐ φιλεῖς; Ἀλλ' οἱ μὲν αἰσχρῶς ἐρῶντες, καὶ ὁλοκλήρους δαπανῶσιν οὐσίας εἰς τὰς πορνευομένας γυναῖκας· σὺ δὲ σεμνὸν ἔχων ἔρωτα, οὕτως εἶ ψυχρὸς καὶ ἀσθενὴς καὶ ἄνανδρος, ὡς μηδὲ χωρὶς δαπάνης καταδέχεσθαι φιλεῖν;

Καὶ τίς, φησίν, οὕτως ἔσται ἄθλιος, τίς δὲ οὕτω θηρίον, ὡς τὸν φιλοῦντα ἀποστρέφεσθαι καὶ μισεῖν; Σὺ μὲν καλῶς ποιεῖς ἀπιστῶν διὰ τὴν τοῦ πράγματος ἀτοπίαν· ἐγὼ δὲ ἂν δείξω πολλοὺς ὄντας τοιούτους, πῶς οἴσομεν λοιπὸν τὴν αἰσχύνην; Ὅταν γὰρ κακῶς ἀγορεύῃς τὸν φιλούμενον, ὅταν ἀκούων κακῶς ἑτέρου λέγοντος μὴ ἀμύνῃς, ὅταν εὐδοκιμοῦντα φθονῇς, ποία αὕτη φιλία; Καίτοιγε φιλίαν οὐδὲ τοῦτο ἀρκεῖ δεῖξαι, τὸ μὴ φθονεῖν, ὥσπρ οὖν οὐδὲ τὸ μὴ ἐχθραίνειν μηδὲ πολεμεῖν, ἀλλὰ τὸ συγκροτεῖν καὶ αὔξειν τὸν φιλοῦντα· ὅταν δὲ πάντα ποιῇ καὶ λέγῃ, ὥστε καὶ καθελεῖν τὸν πλησίον, τί ταύτης ἀθλιώτερον τῆς ψυχῆς; Χθὲς καὶ πρώην φίλος, καὶ λόγων ἐκοινώνεις καὶ τραπέζης· εἶτα ἐπειδὴ ἀθρόον εὐδοκιμοῦντα εἶδες τὸ μέλος τὸ σόν, ῥίψας τὸ τῆς φιλίας προσωπεῖον, τὸ τῆς ἔχθρας ὑπέδυς, μᾶλλον δὲ τὸ τῆς μανίας. Μανία γὰρ περιφανὴς τοῖς τῶν πλησίον δάκνεσθαι καλοῖς· τοῦτο γὰρ μαινομένων ἐστὶ καὶ λυττώντων κυνῶν. Κατὰ γὰρ ἐκείνους εἰς τὰς ἁπάντων πηδῶσιν ὄψεις καὶ οὗτοι, τῇ βασκανίᾳ παροξυνόμενοι. Βέλτιον ὄφιν ἔχειν

8, Α΄ Κορ. 8, 7.

ρὰς τὸν ἐσεβάσθησαν, καὶ φονεῖς καὶ κακοῦργοι, καὶ ἄνθρωποι οἱ ὁποῖοι καὶ μόνον εἰς συναθροίσεις ἀφοῦ ἔλαβον μέρος, ἤλλαξαν διάθεσιν, ἀφοῦ μετέβαλον τὸν τρόπον εἰς τὴν τράπεζαν· σὺ δὲ ἐνῷ μετέχεις, ὄχι μόνον εἰς τὰς συναθροίσεις, ἀλλὰ καὶ εἰς λόγους καὶ ἔργα καὶ εἰς εἰσόδους καὶ ἐξόδους, δὲν ἀγαπᾷς; Ἀλλ' ἄλλοι μὲν οἱ ὁποῖοι καταλαμβάνονται ἀπὸ αἰσχρὸν ἔρωτα, δαπανοῦν καὶ ὁλοκλήρους περιουσίας εἰς τὰς γυναῖκας αἱ ὁποῖαι πορνεύουν, σὺ δέ, ἐνῷ κατέχεσαι ἀπὸ σεμνὸν ἔρωτα, τόσον ψυχρὸς καὶ ἀσθενὴς καὶ ἄνανδρος εἶσαι, ὥστε οὔτε χωρὶς νὰ δαπανήσῃς νὰ μὴ δέχεσαι εὐχαρίστως νὰ ἀγαπᾷς;

Καὶ ποῖος, θὰ εἴπῃ κανείς, εἶναι τόσον ἄθλιος, τόσον θηρίον, ὥστε ν' ἀποστρέφεται καὶ νὰ μισῇ ἐκεῖνον ὁ ὁποῖος τὸν ἀγαπᾶ; Σὺ μὲν καλῶς κάμνεις ποὺ δὲν πιστεύεις ἐπειδὴ εἶναι ἄτοπον τὸ πρᾶγμα· ἐγὼ ὅμως ἐὰν ἀποδείξω ὅτι πολλοὶ εἶναι τέτοιοι, πῶς θὰ ὑποφέρωμεν τὴν ἐντροπήν; Ὅταν λοιπὸν κακῶς ὁμιλῇς διὰ τὸν ἀγαπώμενον, ὅταν ἐνῷ ἀκοῦς ἄλλον νὰ τὸν κατακρίνῃ δὲν τὸν ὑπερασπίζεσαι, ὅταν τὸν φθονῇς διὰ τὸ ὅτι εὐημερεῖ, τί φιλία εἶναι αὐτή; Ἂν καὶ βεβαίως οὔτε αὐτὸ ἀρκεῖ διὰ ν' ἀποδείξῃ τὴν φιλίαν, δηλαδὴ τὸ νὰ μὴ φθονῇς κάποιον, ὅπως οὔτε τὸ νὰ μὴ ἐχθρεύεσαι καὶ νὰ μὴ πολεμᾷς, ἀλλὰ τὸ νὰ στηρίζῃς καὶ νὰ αὐξάνῃς ἐκεῖνον ποὺ σὲ ἀγαπᾷ· ὅταν ὅμως κάμνῃς καὶ λέγῃς τὰ πάντα, ὥστε καὶ ν' ἀφανίσῃς τὸν πλησίον, τί ὑπάρχει ἀθλιώτερον ἀπὸ αὐτὴν τὴν ψυχήν; Χθὲς καὶ παλαιότερον ἤσουν φίλος καὶ μετεῖχες καὶ εἰς συνομιλίας καὶ εἰς τράπεζαν· ὕστερον ἐπειδὴ αἴφνης εἶδες νὰ εὐημερῇ αὐτὸς ὁ ὁποῖος εἶναι ἰδικόν σου μέλος, ἀφοῦ ἔρριψες τὸ προσωπεῖον τῆς φιλίας ἐνεδύθης τὸ τῆς ἔχθρας, μᾶλλον δὲ τῆς μανίας. Πράγματι εἶναι καταφανὴς μανία τὸ νὰ δαγκώνῃ κανεὶς διὰ τὴν εὐημερίαν τῶν πλησίον· διότι αὐτὸ εἶναι γνώρισμα μαινομένων καὶ λυσσασμένων σκύλων. Καθ' ὅσον ὅπως ἐκεῖνοι ἔτσι καὶ αὐτοὶ τινάσσονται ἐπάνω εἰς τὴν θέαν ὅλων ἐξαπτόμενοι ἀπὸ φθόνον. Εἶναι προτιμώτερον νὰ ἔχῃ κανεὶς ὄφιν

τοῖς σπλάγχνοις ἐγκαλινδούμενον ἢ βασκανίαν ἔνδον συρομένην. Ἐκεῖνον μὲν γὰρ καὶ ἐμέσαι πολλάκις ἔνι διὰ φαρμάκων, καὶ διὰ τροφῆς παραμυθήσασθαι· ὁ δὲ φθόνος οὐκ ἐν σπλάγχνοις καλινδεῖται, ἀλλ' ἐν τῷ κόλπῳ στρέφεται τῆς ψυχῆς καὶ δυσεξάλειπτόν ἐστι πάθος.

Καὶ ὁ μὲν ὄφις ἔνδον ὤν, οὐκ ἂν ἅψαιτο σωμάτων ἀνθρωπίνων, τροφῆς παρακειμένης· ὁ δὲ φθόνος, κἂν μυρίαν παραθῇς αὐτῷ τράπεζαν, αὐτὴν κατεσθίει τὴν ψυχήν, δάκνων πάντοθεν, σπαράττων, ἕλκων· καὶ οὐκ ἔστιν αὐτῷ τινα παραμυθίαν εὑρεῖν, δι' ἧς ἀποστήσεται τῆς μανίας, ἀλλ' ἢ μίαν μόνον, τὴν τοῦ εὐημεροῦντος δυσπραγίαν· οὕτως ἀνίεται, μᾶλλον δέ, οὐδὲ οὕτω. Κἂν γὰρ οὗτος πάθῃ κακῶς, ἕτερον ὁρῶν εὐημεροῦντα, ταῖς αὐταῖς ὀδύναις ἐνέχεται· καὶ πανταχοῦ τραύματα, καὶ πανταχοῦ πληγαί. Οὐδὲ γάρ ἐστι στρεφόμενον ἐπὶ γῆς μὴ ὁρᾶν εὐδοκιμοῦντας. Καὶ τοσαύτη τοῦ νοσήματος ἡ ὑπερβολή, ὅτι κἂν οἴκοι τις αὐτὸν κατακλείσῃ, τοῖς παλαιοῖς ἀνδράσι φθονεῖ τοῖς τετελευτηκόσι. Καὶ τὸ μὲν βιωτικοὺς ἀνθρώπους ταῦτα πάσχειν, χαλεπὸν μέν, πλὴν οὐχ οὕτω δεινόν· τὸ δὲ καὶ τοὺς τῶν ἐν μέσῳ θορύβων ἀπηλλαγμένους ἔχεσθαι τοῦ νοσήματος τούτου, τοῦτο πάντων χαλεπώτερον.

Καὶ ἠβουλόμην μὲν σιγᾶν· ἀλλ' εἰ μὲν ἡ σιγὴ καὶ τὴν ἀπὸ τῶν πραγμάτων αἰσχύνην ἀφῄρει, κέρδος ἦν τὸ μηδὲν εἰπεῖν· εἰ δὲ κἂν ἐγὼ σιωπήσω, τὰ πράγματα βοήσεται σφοδρότερον τῆς ἐμῆς γλώττης, βλάβη μὲν οὐδεμία ἀπὸ τῶν ἐμῶν ἔσται ῥημάτων, ὡς ἐκπομπευομένων ἡμῖν τῶν κακῶν, κέρδος δὲ ἴσως καὶ ὠφέλειά τις. Τουτὶ γὰρ τὸ νόσημα

νὰ κυλίεται εἰς τὰ σπλάγχνα του, παρὰ φθόνον νὰ σύρεται μέσα του. Διότι τὸν μὲν ὄφιν εἶναι δυνατὸν πολλὰς φορὰς καὶ νὰ ἐμέσῃ μὲ τὴν βοήθειαν φαρμάκων καὶ μὲ τροφὴν νὰ τὸν καταπραΰνῃ· ὁ φθόνος ὅμως δὲν κυλίεται εἰς τὰ σπλάγχνα, ἀλλ' ἐμφωλεύει εἰς τὸν κόλπον τῆς ψυχῆς καὶ εἶναι δυσεξάλειπτον πάθος.

Καὶ ὁ μὲν ὄφις εὑρισκόμενος μέσα, δὲν θὰ ἔκαμνε κακὸν εἰς ἀνθρώπινα σώματα ἐφ' ὅσον εὑρίσκεται πλησίον του τροφή· ἐνῷ ὁ φθόνος, καὶ ἂν ἀκόμη παραθέσῃς πλουσιωτάτην τράπεζαν εἰς αὐτόν, τὴν ἰδίαν τὴν ψυχὴν κατατρώγει, δαγκώνων ἀπὸ παντοῦ, σπαράσσων, ξεσχίζων. Καὶ δὲν εἶναι δυνατὸν νὰ εὕρῃ κανεὶς κάποιαν ἱκανοποίησιν δι' αὐτόν, μὲ τὴν ὁποίαν ν' ἀπομακρυνθῇ ἀπὸ τὴν μανίαν, παρὰ μόνον μίαν, τὴν δυστυχίαν ἐκείνου ὁ ὁποῖος εὐημερεῖ· ἔτσι ἡσυχάζει, μᾶλλον δὲ οὔτε ἔτσι. Διότι καὶ ἂν αὐτὸς πάθῃ κακόν, βλέπων ἄλλον νὰ εὐημερῇ, εἰς τὰ ἴδια βάσανα ἐμβαίνει· καὶ ἀπὸ παντοῦ τραύματα, καὶ ἀπὸ παντοῦ πληγαί. Διότι δὲν εἶναι δυνατὸν ἐφ' ὅσον ζῇ κανεὶς εἰς τὴν γῆν νὰ μὴ βλέπῃ ἀνθρώπους ποὺ νὰ εὐημεροῦν. Καὶ τόση εἶναι ἡ ὑπερβολὴ τῆς νόσου, ὥστε καὶ ἂν ἀκόμη κλεισθῇ κανεὶς εἰς τὴν οἰκίαν του, φθονεῖ τοὺς παλαιοὺς ἀνθρώπους οἱ ὁποῖοι ἔχουν ἀποθάνει. Καὶ τὸ νὰ πάσχουν μὲν αὐτὰ ἄνθρωποι οἱ ὁποῖοι κοπιάζουν διὰ τὰ βιωτικὰ πράγματα, εἶναι μὲν κακόν, ἀλλ' ὄχι τόσον σοβαρόν· ἀλλὰ τὸ νὰ ἔχουν αὐτὴν τὴν νόσον καὶ ἐκεῖνοι οἱ ὁποῖοι εἶναι ἀπηλλαγμένοι ἀπὸ τὰς βιωτικὰς φροντίδας, τοὺς θορύβους, αὐτὸ εἶναι φοβερώτερον ἀπὸ ὅλα.

Καὶ ἤθελον μὲν νὰ σιωπήσω. Ἀλλ' ἐὰν μὲν ἡ σιγὴ ἐξήλειφε καὶ τὴν αἰσχύνην αὐτῶν τῶν πραγμάτων, θὰ ἦτο κέρδος τὸ νὰ μὴ εἴπω τίποτε· ἐὰν ὅμως, καὶ ἂν ἀκόμη σιωπήσω ἐγώ, βοήσουν τὰ πράγματα ἰσχυρότερον ἀπὸ τὴν ἰδικήν μου γλῶσσαν, τότε καμμία μὲν βλάβη δὲν θὰ ὑπάρξῃ ἀπὸ τοὺς ἰδικούς μου λόγους, ἐπειδὴ δημοσιεύονται πρὸς καταισχύνην μας τὰ κακά, ἐνῷ ἴσως ὑπάρξῃ κέρδος καὶ κάποια ὠφέλεια. Διότι αὐτὴ ἡ νόσος καὶ τὴν ἐκκλησίαν ἔχει

καὶ τῆς Ἐκκλησίας ἥψατο, τοῦτο πάντα ἄνω καὶ κάτω πεποίηκε, καὶ τοῦ σώματος διέσχισε τὴν ἀκολουθίαν, καὶ κατ' ἀλλήλων ἱστάμεθα, τοῦ φθόνου καθοπλίζοντος ἡμᾶς. Διὰ τοῦτο πολλὴ ἡ διαστροφή. Εἰ γὰρ πάντων οἰκοδομούντων ἀγαπητὸν στῆναι τοὺς διδασκομένους, ὅταν ἅπαντες καθαιρῶμεν, τί ἔσται τὸ πέρας;

4. Τί ποιεῖς, ἄνθρωπε; Νομίζεις τὰ τοῦ πλησίον καθαιρεῖν· πρὸ δὲ ἐκείνου τὰ σαυτοῦ καθαιρεῖς. Οὐχ ὁρᾷς τοὺς φυτοκόμους, τοὺς γηπόνους, πῶς ἅπαντες εἰς ἓν τρέχουσιν; ὁ μὲν διέσκαψεν, ὁ δὲ ἐφύτευσεν, ὁ δὲ περιέστιλε τὴν ῥίζαν, ἄλλος ἀρδεύει τὸ φυτευθέν, ἄλλος περιφράττει καὶ τειχίζει, ἄλλος ἀποσοβεῖ τὰ θρέμματα· καὶ πάντες εἰς ἓν βλέπουσι, τοῦ φυτοῦ τὴν σωτηρίαν. Ἐνταῦθα δὲ οὐχ οὕτως· ἀλλὰ φυτεύω μὲν ἐγώ, σαλεύει δὲ ἄλλος καὶ διασείει. Ἔασον κἂν παγῆναι καλῶς, ἵνα ἰσχυρότερον γένηται τῆς ἐπιβουλῆς. Οὐ τὸ ἐμὸν ἀναιρεῖς ἔργον, ἀλλὰ τὸ σὸν καταλύεις· ἐγὼ ἐφύτευσα, σὲ ἔδει ποτίσαι. Ἂν τοίνυν σαλεύσῃς, πρόρριζον ἀνέσπασας, καὶ οὐκ ἔχεις οὗ τὴν ἀρδείαν ἐπιδείξῃ.

Ἀλλ' ὁρᾷς εὐδοκιμοῦντα τὸν φυτεύοντα; Μὴ φοβοῦ· οὔτε ἐγώ τί εἰμι, οὔτε σύ. «Οὔτε γὰρ ὁ φυτεύων, οὔτε ὁ ποτίζων ἐστί τι»· ἑνός ἐστι τὸ ἔργον, τοῦ Θεοῦ. Ὥστε ἐκείνῳ μάχῃ καὶ πολεμεῖς, τὰ φυτευθέντα ἀνασπῶν. Ἀνανήψωμεν τοίνυν ποτέ, γρηγορήσωμεν. Οὐ δέδοικα τὸν ἔξω πόλεμον, ὡς τὴν ἔνδον μάχην. Ἐπεὶ καὶ ῥίζα, ὅταν ᾖ καλῶς ἡρμοσμένη τῇ γῇ, οὐδὲν πείσεται ἀπὸ τῶν ἀνέμων· ἂν δὲ αὐτὴ σαλεύηται, σκώληκος διατρώγοντος αὐτὴν ἔνδοθεν, καὶ μηδενὸς ἐνοχλοῦντος πεσεῖται. Μέχρι τίνος διατρώγομεν τῆς Ἐκκλησίας τὴν ῥίζαν σκωλήκων δίκην; Καὶ γὰρ ἀπὸ γῆς αἱ τοιαῦται τίκτονται διάνοιαι· μᾶλλον δὲ οὐδὲ ἀπὸ γῆς, ἀλλ' ἀπὸ

προσβάλλει, αὐτὴ ἔκανε τὰ πάντα ἄνω-κάτω καὶ διέσχισε τὴν συνοχὴν τοῦ σώματος καὶ ἀλληλοσπαρασσόμεθα, ἐνῷ ὁ φθόνος μᾶς ὁπλίζει μὲ κάθε ὅπλον. Διὰ τοῦτο εἶναι μεγάλη ἡ διαφθορά. Διότι ἐὰν ὁ πόθος ὅλων ἐκείνων ποὺ οἰκοδομοῦν εἰς τὴν ἐκκλησίαν εἶναι νὰ ἵστανται στερεοὶ οἱ διδασκόμενοι, ὅταν ὅλοι κρημνίζωμεν, ποῖον θὰ εἶναι τὸ τέλος;

4. Τί κάνεις, ἄνθρωπε; Νομίζεις ὅτι καταστρέφεις τὰ τοῦ πλησίον· πρὶν ἀπὸ τὰ ἰδικά του ὅμως καταστρέφεις τὰ ἰδικά σου. Δὲν βλέπεις τοὺς κηπουρούς, τοὺς γεωργούς, πῶς ὅλοι τρέχουν διὰ τὸν αὐτὸν σκοπόν; Ὁ μὲν ὤργωσεν, ὁ δὲ ἐφύτευσεν, ἄλλος περιεποιήθη τὴν ρίζαν, ἄλλος ποτίζει τὸ φυτόν, ἄλλος περιφράσσει καὶ περιτειχίζει, ἄλλος ἀπομακρύνει τὰ ζῶα· καὶ ὅλοι εἰς ἕνα σκοπὸν ἀποβλέπουν, τὴν σωτηρίαν τοῦ φυτοῦ. Ἐδῶ ὅμως δὲν γίνεται ἔτσι· ἀλλὰ φυτεύω μὲν ἐγώ, ἄλλος ὅμως κλονίζει καὶ διασαλεύει. Ἄφησε τοὐλάχιστον νὰ στερεωθῇ καλῶς, διὰ νὰ γίνῃ ἰσχυρότερον ἀπὸ τὴν ἐπιβουλήν. Δὲν καταστρέφεις τὸ ἰδικόν μου ἔργον, ἀλλὰ τὸ ἰδικόν σου καταλύεις· ἐγὼ ἐφύτευσα, σὺ ἔπρεπε νὰ ποτίσῃς. Ἂν λοιπὸν τὸ κλονίσῃς, τὸ ἐξερρίζωσες τελείως, καὶ δὲν ἔχεις ποῦ νὰ ἐπιδείξῃς τὴν ἄρδευσιν.

Ἀλλὰ βλέπεις ἐκεῖνον ὁ ὁποῖος φυτεύει νὰ εὐημερῇ; Μὴ φοβᾶσαι· οὔτε ἐγὼ εἶμαι τίποτε, οὔτε σύ. Διότι, «οὔτε ἐκεῖνος ποὺ φυτεύει εἶναι τίποτε, οὔτε ἐκεῖνος ποὺ ποτίζει»· ἑνὸς εἶναι τὸ ἔργον, τοῦ Θεοῦ. Ὥστε ἐκεῖνον ἀντιμάχεσαι καὶ πολεμεῖς, ὅταν ἐκριζώνῃς τὰ ὅσα ἔχουν φυτευθῇ. Ἂς ἀνανήψωμεν λοιπὸν ἐπὶ τέλους, ἂς ἐξυπνήσωμεν. Δὲν φοβοῦμαι τὸν πόλεμον ὁ ὁποῖος προέρχεται ἔξω ἀπὸ τὴν ἐκκλησίαν, ὅσον τὴν ἐσωτερικὴν διαμάχην. Διότι καὶ ἡ ρίζα, ὅταν εἶναι καλῶς στερεωμένη εἰς τὴν γῆν, τίποτε δὲν παθαίνῃ ἀπὸ τοὺς ἀνέμους· ὅταν ὅμως αὐτὴ καταστρέφεται διότι τὴν κατατρώγει σκώληξ ἐκ τῶν ἔνδον, καὶ χωρὶς νὰ τὴν βλάπτῃ κανείς, θὰ πέσῃ. Ἕως πότε θὰ κατατρώγωμεν τὴν ρίζαν τῆς ἐκκλησίας ὡσὰν σκώληκες; Καὶ βεβαίως ἀπὸ τὴν γῆν γεννῶνται αἱ τέτοιου εἴδους διάνοιαι· μᾶλλον δὲ οὔτε

κόπρου, τὴν σηπεδόνα μητέρα ἔχουσαι· καὶ οὐκ ἀφίστανται τῆς καταπτύστου θεραπείας τῆς παρὰ τῶν γυναικῶν.

Γενώμεθά ποτε ἄνδρες γενναῖοι, γενώμεθα ἀθληταὶ φιλοσοφίας, ἀπελάσωμεν τὴν πολλὴν τῶν κακῶν τούτων φοράν. Καὶ γὰρ ὥσπερ σῶμα νεκρόν, τῆς Ἐκκλησίας ὁρῶ τὸ πλῆθος ἐρριμμένον νῦν. Καὶ καθάπερ ἐν σώματι νεκρωθέντι προσφάτως, ἔνι μὲν ὀφθαλμοὺς ἰδεῖν, ἔνι δὲ χεῖρας καὶ πόδας καὶ τράχηλον καὶ κεφαλήν, οὐδὲν δὲ τῶν μελῶν τὰ ἑαυτοῦ ποιοῦν, οὕτω δὴ καὶ ἐνταῦθα, πάντες πιστοὶ οἱ παρόντες, ἀλλ' οὐκ ἔστιν ἡ πίστις ἐνεργής· τὴν γὰρ θερμότητα ἐσβέσαμεν, καὶ τοῦ Χριστοῦ τὸ σῶμα νεκρὸν εἰργασάμεθα. Εἰ δὲ φρικτὸν τὸ εἰρημένον, πολλῷ φρικωδέστερον, ὅταν ἐπὶ τῶν ἔργων φαίνηται. Τὰ μὲν γὰρ ὀνόματα ἀδελφῶν ἔχομεν, τὰ δὲ πράγματα πολεμίων· καὶ μέλη καλούμενοι πάντες, καθάπερ θηρία διεστήκαμεν.

Ταῦτα, οὐκ ἐκπομπεῦσαι βουλόμενος τὰ ἡμέτερα, εἶπον, ἀλλ' ἐντρέψαι καὶ ἀποστῆσαι. Ὁ δεῖνα εἰσῆλθεν εἰς οἰκίαν, ἀπήλαυσε τιμῆς· δέον εὐχαριστεῖν τῷ Θεῷ, ὅτι τὸ μέλος τιμᾶται τὸ σόν, καὶ ὁ Θεὸς δοξάζεται, σὺ δὲ τοὐναντίον ποιεῖς· λέγεις κακῶς πρὸς τὸν τετιμηκότα, ὥστε ἀμφοτέρους ὑποσκελίσαι, καὶ σεαυτὸν προσκαταισχῦναι. Τίνος ἕνεκεν, ἄθλιε καὶ ταλαίπωρε; Ἤκουσας ἀδελφοῦ ἐγκωμιαζομένου, ἢ παρὰ ἀνδράσιν, ἢ παρὰ γυναιξί; Πρόσθες τοῖς ἐπαίνοις· οὕτω γὰρ καὶ σαυτὸν ἐπαινέσῃ. Ἐὰν δὲ καθέλῃς τὸν ἔπαινον, πρότερον σαυτὸν κακῶς εἴρηκας, πονηρὰν δόξαν λαβών, κἀκεῖνον ἐπῆρας μειζόνως. Ὅταν ἀκούσῃς ἐπαινούμενον, γίνου τῶν λεγομένων κοινωνός, εἰ καὶ μὴ τῷ βίῳ καὶ τῇ ἀρετῇ, ἀλλὰ τῷ χαίρειν τοῖς ἐκείνου καλοῖς. Ἐπῄνεσεν ὁ δεῖ-

ἀπὸ τὴν γῆν, ἀλλ' ἀπὸ κόπρον, ἐφ' ὅσον ἔχουν μητέρα τὴν σῆψιν· καὶ δὲν ἀπέχουν ἀπὸ τὴν κατάπτυστον ἐκδούλευσιν τὴν προσφερομένην ἀπὸ τὰς γυναῖκας.

Ἂς γίνωμεν λοιπὸν ἐπὶ τέλους ἄνδρες γενναῖοι, ἂς γίνωμεν ἀθληταὶ τῆς εὐσεβείας, ἂς ἐκδιώξωμεν τὸ μέγα πλῆθος αὐτῶν τῶν κακῶν. Διότι ὡσὰν σῶμα νεκρὸν βλέπω τώρα ἐρριμένον τὸ πλῆθος τῆς ἐκκλησίας. Καὶ ὅπως εἰς σῶμα τὸ ὁποῖον ἐνεκρώθη πρὸ ὀλίγου εἶναι δυνατὸν νὰ ἴδῃς ὀφθαλμούς, χεῖρας καὶ πόδας καὶ τράχηλον καὶ κεφαλήν, ἀλλὰ κανὲν ἀπὸ τὰ μέλη νὰ κάμνῃ ὅσα ἀνήκουν εἰς αὐτό, ἔτσι λοιπὸν καὶ ἐδῶ, ὅλοι οἱ παρόντες εἶναι πιστοί, ἀλλ' ἡ πίστις δὲν εἶναι ἐνεργός· διότι ἔχομεν σβήσει τὴν θερμότητα καὶ ἔχομεν καταστήσει νεκρὸν τὸ σῶμα τοῦ Χριστοῦ. Ἐὰν δὲ εἶναι φρικτὸν τὸ λεχθέν, εἶναι πολὺ φρικωδέστερον ὅταν τὸ βλέπῃ κανεὶς εἰς τὰ ἔργα. Διότι φέρομεν μὲν τὰ ὀνόματα ἀδελφῶν, ἀλλ' εἰς τὴν πρᾶξιν εἴμεθα ἐχθροί· καὶ ἐνῷ ὅλοι ὀνομαζόμεθα μέλη τῆς ἐκκλησίας, ὡσὰν θηρία ἔχομεν ἔλθει εἰς διχόνοιαν.

Τὰ εἶπον αὐτά, ὄχι διότι θέλω νὰ θεατρίσω τὰ ἰδικά μας, ἀλλὰ διὰ νὰ προκαλέσω ἐντροπὴν καὶ ν' ἀπομακρύνω. Ὁ δεῖνα εἰσῆλθεν εἰς οἰκίαν καὶ ἀπήλαυσε τιμῆς· πρέπει νὰ εὐχαριστῇς τὸν Θεὸν διότι τὸ ἰδικόν σου μέλος σὲ ἐκτιμᾷ, καὶ ὁ Θεὸς δοξάζεται, σὺ ὅμως κάμνεις τὸ ἀντίθετον· κακολογεῖς ἐκεῖνον ὁ ὁποῖος σὲ ἐτίμησεν, ὥστε καὶ τοὺς δύο νὰ ὑποσκελίσῃς καὶ τὸν ἑαυτόν σου πρῶτον νὰ ἐντροπιάζῃς. Διατί, ἄθλιε καὶ ταλαίπωρε; Ἤκουσες νὰ ἐπαινῆται ὁ ἀδελφός σου ἢ ἀπὸ ἄνδρας ἢ ἀπὸ γυναῖκας; Πρόσθεσε εἰς τοὺς ἐπαίνους· διότι ἔτσι καὶ τὸν ἑαυτόν σου θὰ ἐπαινέσῃς. Ἐὰν δὲ προσβάλῃς τὸν ἔπαινον, πρῶτον τὸν ἑαυτόν σου ἐκακολόγησες, ἀφοῦ ἔλαβες κακὴν φήμην, καὶ ἐκεῖνον ἐξύψωσες περισσότερον. Ὅταν ἀκούσῃς νὰ ἐπαινῆται ὁ ἀδελφός σου, γίνε μέτοχος εἰς τὰ λεγόμενα, καὶ ἂν ὄχι εἰς τὸν τρόπον ζωῆς καὶ τὴν ἀρετήν, τοὐλάχιστον εἰς τὸ νὰ χαίρῃς διὰ τὰ καλὰ ἐκείνου. Ἐπήνεσεν ὁ τάδε; Θαύμασε καὶ σύ· ἔτσι θὰ

να; θαύμασον καὶ σύ· οὕτω καὶ σὲ ἐπαινέσεται ἐκεῖνος, ὡς χρηστὸν καὶ ἐπιεικῆ. Μὴ φοβηθῇς, ὡς τὰ σαυτοῦ καθαιρῶν ἐν τοῖς ἐγκωμίοις τοῖς ἑτέρου· τοῦτο γὰρ ἐν ταῖς κατηγορίαις γίνεται. Φιλόνεικον γὰρ τὸ γένος τῶν ἀνθρώπων· καὶ ὅταν ἴδῃ σε κακῶς λέγοντα, ἐπιτείνει τὰ ἐγκώμια, ταύτῃ δάκνειν βουλόμενος, τοὺς δὲ κατηγόρους καθ' ἑαυτὸν καὶ πρὸς ἑτέρους διαβάλλει.

Εἶδες πόσης ἀσχημοσύνης ἑαυτοῖς γινόμεθα αἴτιοι; πῶς ἀπόλλυμεν τὸ ποίμνιον καὶ διασπῶμεν; Γενώμεθα μέλη ποτέ, γενώμεθα σῶμα ἕν. Καὶ ὁ μὲν ἐγκωμιαζόμενος διακρουέσθω τοὺς ἐπαίνους, καὶ ἐπὶ τὸν ἀδελφὸν μεταγέτω τὰ ἐγκώμια· ὁ δὲ ἑτέρου ἀκούων ἐπαινουμένου, συνηδέσθω. Ἂν οὕτως ἑαυτοὺς συνάγωμεν, καὶ τὴν κεφαλὴν πρὸς ἑαυτοὺς ἐπισπασόμεθα· ἐὰν δὲ διῳκισμένοι πρὸς ἑαυτοὺς ὦμεν, καὶ τὴν ἐκεῖθεν ἀποστήσομεν βοήθειαν· ἐκείνης δὲ ἀποστάσης, πολλὴν τὸ σῶμα δέξεται λύμην, οὐ σφιγγόμενον ἄνωθεν.

Ἵν' οὖν μὴ τοῦτο γένηται, βασκανίαν καὶ φθόνον ἀπελάσαντες, καὶ τῆς τῶν πολλῶν ὑπεριδόντες δόξης, ἀγάπην καὶ ὁμόνοιαν ἀσπαζώμεθα. Οὕτω γὰρ καὶ τῶν παρόντων, καὶ τῶν μελλόντων ἐπιτευξόμεθα ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἐπαινέσῃ καὶ σένα ἐκεῖνος ὡς χρηστὸν καὶ ἐπιεικῆ. Μὴ φοβηθῇς μήπως προσβάλλῃς τὰ ἰδικά σου μὲ τὸ νὰ ἐπαινέσῃς τὰ τοῦ ἄλλου· διότι αὐτὸ εἰς τὰς κατηγορίας γίνεται. Διότι εἶναι φιλόνεικον τὸ γένος τῶν ἀνθρώπων· καὶ ὅταν ἴδῃ ὅτι σὺ κακολογεῖς, αὐξάνει τοὺς ἐπαίνους, ἐπιθυμῶν νὰ δαγκώσῃ δι' αὐτό, τοὺς δὲ κατηγόρους καὶ μέσα του καὶ εἰς τοὺς ἄλλους διαβάλλει.

Εἶδες πόσης ἀσχημίας γινόμεθα αἴτιοι εἰς βάρος τοῦ ἑαυτοῦ μας; πῶς φθείρομεν καὶ διασπῶμεν τὸ ποίμνιον; Ἂς γίνωμεν κάποτε μέλη, ἂς γίνωμεν ἕνα σῶμα. Καὶ ὁ μὲν ἐπαινούμενος ἂς ἀπωθῇ τοὺς ἐπαίνους, καὶ ἂς μεταφέρῃ εἰς τὸν ἀδελφὸν τὰ ἐγκώμια· ὁ δέ, ὅταν ἀκούῃ νὰ ἐπαινῆται κάποιος ἂς συγχαίρῃ. Ἂν ἑνώσωμεν ἔτσι τοὺς ἑαυτούς μας, θὰ προσελκύσωμεν πρὸς τὸν ἑαυτόν μας καὶ τὴν κεφαλήν· ἐὰν ὅμως εἴμεθα χωρισμένοι μεταξύ μας, θὰ ἀπομακρύνωμεν καὶ τὴν βοήθειαν τοῦ Θεοῦ· ἀφοῦ δὲ ἀπομακρυνθῇ ἐκείνη, πολλὴν καταστροφὴν θὰ δεχθῇ τὸ σῶμα, διότι δὲν θὰ συγκρατῆται ἀπὸ τὸν Θεόν.

Διὰ νὰ μὴ γίνῃ αὐτὸ λοιπόν, ἀφοῦ ἐκδιώξωμεν τὸν φθόνον καὶ τὴν βασκανίαν, καὶ ἀφοῦ περιφρονήσωμεν τὴν δόξαν ἀπὸ τοὺς πολλούς, ἂς ἀσπαζώμεθα τὴν ἀγάπην καὶ τὴν ὁμόνοιαν. Διότι ἔτσι θὰ ἐπιτύχωμεν καὶ τὰ παρόντα καὶ τὰ μέλλοντα ἀγαθά· τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχωμεν ὅλοι ἐμεῖς, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΚΗ'
Β' Κορ. 12, 16 - 21

«Ἔστω δέ, αὐτὸς ἐγὼ οὐ κατενάρκησα ὑμῶν, ἀλλ' ὑπάρχων πανοῦργος, δόλῳ ὑμᾶς ἔλαβον. Μή τινα ὧν ἀπέστειλα πρὸς ὑμᾶς, δι' αὐτοῦ ἐπλεονέκτησα ὑμᾶς; Παρεκάλεσα Τίτον, καὶ συναπέστειλα τὸν ἀδελφόν. Μή τι ἐπλεονέκτησεν ὑμᾶς Τίτος; οὐ τῷ αὐτῷ Πνεύματι περιεπατήσαμεν; οὐ τοῖς αὐτοῖς ἴχνεσιν;

1. Ἀσαφῶς σφόδρα εἴρηται παντὶ τῷ Παύλῳ τὰ ρήματα, ἀλλ' οὐ μάτην οὐδὲ εἰκῇ. Ἐπειδὴ γὰρ περὶ χρημάτων ὁ λόγος καὶ ἀπολογίας τῆς ὑπὲρ τούτων, εἰκότως συνεσκίασται τὰ εἰρημένα. Τί ποτ' οὖν ἐστι τὸ εἰρημένον; Εἶπεν, ὅτι οὐκ ἔλαβον, ἀλλ' ἕτοιμός εἰμι καὶ προσδοῦναι καὶ δαπανῆσαι· καὶ πολλὰ περὶ τούτου καὶ ἐν τῇ προτέρᾳ καὶ ἐν ταύτῃ διελέχθη τῇ ἐπιστολῇ. Νῦν ἕτερόν τι λέγει, ὥσπερ ἐξ ἀντιθέσεως εἰσάγων τὸν λόγον καὶ λύων προηγουμένως. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ἐγὼ μὲν ὑμᾶς οὐκ ἐπλεονέκτησα· ἔχει δέ τις ἴσως εἰπεῖν, ὅτι αὐτὸς μὲν οὐκ ἔλαβον, πανοῦργος δὲ ὢν παρεσκεύασα τοὺς ὑπ' ἐμοῦ ἀποσταλέντας εἰς οἰκεῖον πρόσωπον αἰτῆσαί τι παρ' ὑμῶν, καὶ δι' ἐκείνων αὐτὸς ἐδεξάμην, τοῦ δοκεῖν εἰληφέναι ἐμαυτὸν ἔξω τιθείς, δι' ἑτέρων λαμβάνων. Ἀλλ' οὐδὲ τοῦτο ἔχοι τις ἂν εἰπεῖν· καὶ μάρτυρες ὑμεῖς. Διὸ καὶ κατ' ἐρώτησιν προάγει τὸν λόγον λέγων, «Παρεκάλεσα Τίτον, καὶ συναπέστειλα τὸν ἀδελφόν. Μή τι ἐπλεονέκτησεν ὑμᾶς Τίτος; οὐχ ὁμοίως καὶ αὐτὸς ἐμοὶ περιεπάτησε;». Τουτέστιν, οὐδὲ αὐτὸς ἔλαβεν.

---

1. Β' Κορ. 12, 16-18.

ΛΟΓΟΣ ΚΗ΄
Β΄ Κορ. 12, 16 - 21

«Ἔστω ὅμως, ἐγὼ δὲν σᾶς ἐπεβάρυνα, ἀλλ' ἐπειδὴ εἶμαι πανοῦργος, σᾶς συνέλαβα μὲ δόλον. Μήπως σᾶς ἐξεμεταλλεύθην διὰ κάποιον ἀπὸ ἐκείνους ποὺ ἔστειλα εἰς ἐσᾶς; Παρεκάλεσα τὸν Τίτον νὰ ἔλθῃ καὶ ἔστειλα μαζί του τὸν ἀδελφόν. Μήπως σᾶς ἐξεμεταλλεύθη ὁ Τίτος; δὲν συμπεριεφέρθημεν μὲ τὸ αὐτὸ πνεῦμα; Δὲν ἠκολουθήσαμεν τὰ ἴδια ἴχνη;»[1].

1. Πολὺ ἀσαφῶς ἐλέχθησαν αὐτοὶ οἱ λόγοι ἐδῶ ἀπὸ τὸν Παῦλον, ἀλλ' ὄχι ἀσκόπως οὔτε τυχαίως. Διότι ἐπειδὴ ὁ λόγος ἐγίνετο διὰ χρήματα καὶ ἀπολογίαν δι' αὐτά, ὀρθῶς συνεκαλύφθησαν τὰ λεχθέντα. Τί τέλος πάντων σημαίνει λοιπὸν τὸ λεχθέν; Εἶπεν, ὅτι δὲν ἔλαβον τίποτε ἀπὸ σᾶς, ἀλλ' ἐπὶ πλέον εἶμαι ἕτοιμος καὶ νὰ δώσω καὶ νὰ δαπανήσω δι' ἐσᾶς· καὶ πολλὰ εἶπε δι' αὐτὸ καὶ εἰς τὴν προηγουμένην καὶ εἰς αὐτὴν τὴν ἐπιστολήν. Τώρα κάτι ἄλλο λέγει, ὡσὰν κατὰ κάποιον τρόπον νὰ εἰσάγῃ τὸν λόγον ἀπὸ ἀντίθεσιν καὶ νὰ δίδῃ τὴν λύσιν ἐξ ἀρχῆς. Ἐκεῖνο δὲ τὸ ὁποῖον λέγει εἶναι τὸ ἑξῆς· ἐγὼ μὲν δὲν ὑπῆρξα πλεονέκτης εἰς ἐσᾶς· ἴσως ὅμως θὰ εἶχε κανεὶς νὰ εἴπῃ, ὅτι ὁ ἴδιος μὲν δὲν ἔλαβον, ἀλλ' ἐπειδὴ εἶμαι πανοῦργος, προητοίμασα ἐκείνους τοὺς ὁποίους ἀπέστειλα ὡς ἀντιπροσώπους μου νὰ ζητήσουν κάτι ἀπὸ σᾶς, καὶ διὰ μέσου ἐκείνων ἐδέχθην ὁ ἴδιος, ἀφοῦ ἐφρόντισα νὰ μὴ φανῇ ὅτι ἔλαβον, ἐνῷ λαμβάνω μέσῳ ἄλλων. Ἀλλ' οὔτε αὐτὸ θὰ ἠμποροῦσε κανεὶς νὰ τὸ εἴπῃ· καὶ μάρτυρες εἶσθε σεῖς οἱ ἴδιοι. Διὰ τοῦτο καὶ μὲ ἐρώτησιν προχωρεῖ τὸν λόγον λέγων, «Παρεκάλεσα τὸν Τίτον νὰ ἔλθῃ καὶ ἔστειλα μαζί του τὸν ἀδελφόν. Μήπως σᾶς ἐξεμεταλλεύθη ὁ Τίτος; Δὲν συμπεριεφέρθημεν μὲ τὸ αὐτὸ πνεῦμα;». Δηλαδή, οὔτε αὐτὸς ἔλαβεν.

Εἶδες πόση ἐπίτασις ἀκριβείας, τῷ μὴ μόνον ἑαυτὸν καθαρὸν τηρεῖν τοῦ λήμματος, ἀλλὰ καὶ τοὺς ὑπ' αὐτοῦ πεμπομένους οὕτω ῥυθμίζειν, ἵνα μηδὲ μικρὰν δῷ πρόφασιν τοῖς ἐπιλαμβάνεσθαι βουλομένοις; Τοῦτο γὰρ πολλῷ μεῖζον οὗ πεποίηκεν ὁ πατριάρχης. Ἐκεῖνος μὲν γὰρ ἀπὸ τῆς νίκης ἐπανελθών, τοῦ βασιλέως διδόντος λάφυρα, οὐκ ἔφη λήψεσθαι, πλὴν ὧν ἔφαγον ἐκεῖνοι· οὗτος δὲ οὔτε τῆς ἀναγκαίας τροφῆς οὔτε αὐτὸς ἀπήλαυσεν, οὔτε τοὺς κοινωνοὺς ἀφῆκε μετασχεῖν, ἐκ πολλοῦ τοῦ περιόντος ἐπιστομίζων τῶν ἀναισχύντων τὰ στόματα. Διὰ τοῦτο οὐδὲ ἀποφαίνεται, οὐδὲ λέγει ὅτι οὐδὲ ἐκεῖνοι ἔλαβον, ἀλλ' ὃ πολλῷ τούτου μεῖζον ἦν, αὐτοὺς παράγει μάρτυρας τοὺς Κορινθίους τοῦ μηδὲν αὐτοὺς εἰληφέναι, ἵνα μὴ καὶ ἐξ οἰκείου προσώπου δοκῇ μαρτυρεῖν, ἀλλ' ἀπὸ τῆς ἐκείνων ψήφου· ὅπερ εἰώθαμεν ἐπὶ τῶν σφόδρα ὡμολογημένων καὶ ὑπὲρ ὧν θαρροῦμεν, ποιεῖν· Εἴπατε γάρ, φησί, μή τις τῶν παρ' ἡμῶν ἀποσταλέντων ἐπλεονέκτησεν ὑμᾶς; Οὐκ εἶπε, μή τις ἔλαβέ τι παρ' ὑμῶν, ἀλλὰ πλεονεξίαν τὸ πρᾶγμα καλεῖ, καθαπτόμενος αὐτῶν καὶ σφόδρα ἐντρέπων καὶ δεικνὺς ὅτι τὸ παρὰ ἄκοντος λαβεῖν, πλεονεξία. Καὶ οὐκ εἶπε, μὴ Τίτος, ἀλλά, «μή τινα;». Οὐδὲ γὰρ τοῦτο ἂν ἔχοιτε εἰπεῖν, φησίν, ὅτι ὁ δεῖνα μὲν οὐκ ἔλαβεν, ἕτερος δὲ ἔλαβεν. Οὐδὲ εἷς τῶν ἀφικομένων.

«Παρεκάλεσα Τίτον». Καὶ τοῦτο πληκτικῶς. Οὐ γὰρ εἶπεν, ἔπεμψα Τίτον, ἀλλά, «παρεκάλεσα», δεικνὺς ὅτι καὶ εἰ ἔλαβε, δικαίως ἂν ἔλαβεν, ἀλλ' ὅμως καὶ οὕτω καθαρὸς ἔμεινε. Διὸ πάλιν αὐτοὺς ἐρωτᾷ λέγων, «Μή τι ἐπλεονέκτησεν ὑμᾶς Τίτος; οὐ τῷ αὐτῷ Πνεύματι περιεπατήσαμεν;». Τί ἐστι, «τῷ αὐτῷ Πνεύματι». Τῇ χάριτι τὸ πᾶν ἀνατίθησι,

Εἶδες πόσον ὑπερβολικὴ ἀκρίβεια εἰς τὸ νὰ τηρῇ καθαρὸν ὄχι μόνον τὸν ἑαυτόν του ἀπὸ τοῦ νὰ λάβῃ, ἀλλὰ καὶ ὅσους ἀπέστελλε νὰ καθοδηγῇ ἔτσι, διὰ νὰ μὴ δώσῃ οὔτε τὴν παραμικρὰν ἀφορμὴν εἰς τοὺς ἐπιθυμοῦντας νὰ κατηγορήσουν; Αὐτὸ βεβαίως εἶναι πολὺ μεγαλύτερον ἀπὸ ἐκεῖνο τὸ ὁποῖον ἔκανεν ὁ πατριάρχης. Διότι ἐκεῖνος μὲν ὅταν ἐπανῆλθεν ἀπὸ τὴν νίκην, ἐνῷ ὁ βασιλεὺς ἔδιδε λάφυρα, δὲν ἐδέχθη νὰ λάβῃ, παρὰ μόνον ὅσα ἔφαγον ἐκεῖνοι· ὁ Παῦλος ὅμως οὔτε τὴν ἀναγκαίαν τροφὴν ἀπήλαυσεν, οὔτε ὁ ἴδιος, οὔτε τοὺς συντρόφους ἄφησε νὰ λάβουν, μὲ πολλὴν ἀνωτερότητα κατακλείων τὰ στόματα τῶν ἀναισχύντων. Διὰ τοῦτο οὔτε τὸ βεβαιώνει ὁ ἴδιος, οὔτε λέγει ὅτι οὔτε ἐκεῖνοι ἔλαβον, ἀλλά, πρᾶγμα ποὺ ἦτο πολὺ μεγαλύτερον αὐτοῦ, τοὺς ἰδίους τοὺς Κορινθίους παρουσιάζει μάρτυρας ὅτι δὲν ἔλαβον τίποτε αὐτοί, διὰ νὰ μὴ θεωρηθῇ ὅτι καὶ μαρτυρεῖ ὁ ἴδιος, ἀλλ' ἡ ἐπιβεβαίωσις νὰ γίνῃ ἀπὸ τὴν ἰδικήν των μαρτυρίαν καὶ ἀπόφασιν· ὅπως συνήθως κάμνομεν ἐμεῖς εἰς τὰ ἀπολύτως ἀναντίρρητα καὶ εἰς ἐκεῖνα διὰ τὰ ὁποῖα εἴμεθα βέβαιοι. Μήπως εἴπατε λοιπόν, λέγει, ὅτι κάποιος ἀπὸ ἐκείνους ποὺ ἀπέστειλα ὑπῆρξε πλεονέκτης εἰς βάρος σας; Δὲν εἶπε, μήπως κανεὶς ἔλαβε κάτι ἀπὸ σᾶς, ἀλλὰ πλεονεξίαν ὀνομάζει τὸ πρᾶγμα, κατηγορῶν αὐτοὺς καὶ ἐντροπιάζων πολὺ καὶ δεικνύων ὅτι τὸ νὰ λάβῃς ἀπὸ κάποιον ποὺ δὲν θέλει νὰ σοῦ δώσῃ, εἶναι πλεονεξία. Καὶ δὲν εἶπε, μήπως ὁ Τίτος, ἀλλά, «μήπως κανείς;». Οὔτε αὐτὸ λοιπὸν θὰ εἴχατε νὰ εἴπητε, λέγει, ὅτι δηλαδὴ ὁ τάδε μὲν δὲν ἔλαβεν, ἄλλος ὅμως ἔλαβεν. Οὔτε ἕνας ἀπὸ ὅσους ἦλθον.

«Παρεκάλεσα τὸν Τίτον». Καὶ αὐτὸ μὲ τρόπον ποὺ νὰ πλήττει. Διότι δὲν εἶπεν, ἔστειλα τὸν Τίτον, ἀλλὰ «παρεκάλεσα», διὰ νὰ δείξῃ ὅτι καὶ ἂν ἐλάμβανε, δικαίως θὰ ἐλάμβανεν, ἀλλ' ἂν καὶ ἔτσι, ἔμεινε καθαρὸς ἀπὸ αὐτό. Διὰ τοῦτο πάλιν τοὺς ἐρωτᾷ λέγων, «Μήπως σᾶς ἐξεμεταλλεύθη ὁ Τίτος; Δὲν συμπεριεφέρθημεν μὲ τὸ ἴδιον πνεῦμα;». Τί σημαίνει «μὲ τὸ ἴδιον πνεῦμα»; Εἰς τὴν χάριν ἀποδίδει τὸ

καὶ δείκνυσιν, ὅτι ὅλον τὸ ἐγκώμιον τοῦτο οὐ τῶν ἡμετέρων πόνων, ἀλλὰ τῆς τοῦ Πνεύματος δωρεᾶς κατόρθωμα ἦν καὶ τῆς χάριτος. Καὶ γὰρ χάρις ἦν μεγίστη, τὸ καὶ ὑστεροῦντας καὶ λιμώττοντας μὴ λαμβάνειν διὰ τὴν τῶν μαθητευομένων οἰκοδομήν. «Οὐ τοῖς αὐτοῖς ἴχνεσιν;». Τουτέστιν, οὐδὲ μικρὸν παρήλλαξαν ἐκεῖνοι ταύτην τὴν ἀκρίβειαν, ἀλλὰ τὸν αὐτὸν κανόνα διετήρησαν.

2. «Πάλιν δοκεῖτε, ὅτι ὑμῖν ἀπολογούμεθα;». Εἶδες πῶς πανταχοῦ δέδοικε μὴ κολακείας λάβῃ δόξαν; Εἶδες φρόνησιν ἀποστολικήν, πῶς συνεχῶς αὐτὸ τίθησι; Καὶ γὰρ ἔμπροσθεν ἔλεγεν, «Οὐ πάλιν ἑαυτοὺς συνιστάνομεν, ἀλλ' ἀφορμὴν διδόντες ὑμῖν καυχήματος»· καὶ ἐν προοιμίοις τῆς ἐπιστολῆς, «Μὴ χρήζομεν συστατικῶν ἐπιστολῶν;», «Τὰ δὲ πάντα ὑπὲρ τῆς ὑμῶν οἰκοδομῆς». Πάλιν αὐτοὺς θεραπεύει. Καὶ οὐδὲ ἐνταῦθα σαφῶς φησιν, ὅτι διὰ τοῦτο οὐ λαμβάνομεν, διὰ τὴν ἀσθένειαν ὑμῶν, ἀλλ', ἵνα οἰκοδομήσωμεν ὑμᾶς· σαφέστερον μὲν ἢ πρότερον εἰπὼν καὶ ἐκκαλύψας ὅπερ ὤδινεν, οὐ μὴν πληκτικῶς. Οὐ γὰρ εἶπε, διὰ τὴν ἀσθένειαν ὑμῶν, ἀλλ', ἵνα οἰκοδομηθῆτε. «Φοβοῦμαι γὰρ μή πως ἐλθών, οὐχ οἵους θέλω, εὕρω ὑμᾶς, καὶ ἐγὼ εὑρεθῶ ὑμῖν οἷον οὐ θέλετε». Μέλλει μέγα τι καὶ φορτικὸν λέγειν. Διὰ τοῦτο καὶ τὴν ἀπολογίαν τίθησι, τῷ τε εἰπεῖν, ὅτι πάντα ὑπὲρ τῆς ὑμῶν οἰκοδομῆς, καὶ τῷ προσθεῖναι, ὅτι φοβοῦμαι, τὸ τραχὺ καταστέλλων τῶν μελλόντων λεχθήσεσθαι.

Τοῦτο γὰρ οὐκέτι αὐθαδείας ἦν, οὐδὲ ἐξουσίας διδασκαλικῆς, ἀλλὰ κηδεμονίας πατρικῆς, ὅταν τῶν ἡμαρτηκότων μᾶλλον φοβῆται καὶ τρέμῃ τὸ μέλλον αὐτοὺς διορθοῦν. Ἀλλ' οὐδὲ οὕτως αὐτῶν καταιρέχει, οὐδὲ ἀποφαίνεται, ἀλλ' ἐν-

2. Β' Κορ. 12, 19.
3. Β' Κορ. 12, 20.

πᾶν, καὶ δεικνύει ὅτι ὅλο τὸ ἐγκώμιον αὐτὸ δὲν ἀνήκει εἰς τοὺς ἰδικούς μας κόπους, ἀλλ' ἦτο κατόρθωμα τῆς δωρεᾶς καὶ τῆς χάριτος τοῦ ἁγίου Πνεύματος. Καὶ βεβαίως ἦτο μέγα χάρισμα τὸ νὰ μὴ λαμβάνουν, παρ' ὅ,τι ἐστεροῦντο καὶ ἐκείνων, χάριν τῆς οἰκοδομῆς τῶν μαθητευομένων. «Δὲν ἠκολουθήσαμεν τὰ ἴδια ἴχνη;». Δηλαδή, οὔτε εἰς τὸ παραμικρὸν δὲν ἐξέκλιναν ἐκεῖνοι ἀπὸ αὐτὴν τὴν ἀκρίβειαν, ἀλλ' ἐτήρησαν τὸν ἴδιον κανόνα.

2. «Πάλιν νομίζετε ὅτι ἀπολογούμεθα εἰς ἐσᾶς;»[2]. Εἶδες πῶς παντοῦ φοβᾶται μήπως δημιουργηθῇ διὰ τὸν ἑαυτόν του ἡ ἐντύπωσις ὅτι ἐπαινεῖται; Εἶδες ἀποστολικὴν φρόνησιν, πῶς ἐκθέτει αὐτὸ συνεχῶς; Διότι καὶ εἰς τὴν ἀρχὴν ἔλεγε· «Δὲν συσταίνομεν πάλιν τοὺς ἑαυτούς μας εἰς ἐσᾶς, ἀλλὰ σᾶς δίδομεν εὐκαιρίαν νὰ ὑπερηφανεύεσθε δι' ἐμᾶς»· καὶ εἰς τὸ προοίμιον τῆς ἐπιστολῆς· «Μήπως χρειαζόμεθα συστατικὰς ἐπιστολάς;», «διότι ὅλα γίνονται διὰ τὴν ἰδικήν σας οἰκοδομήν». Πάλιν δείχνει τὴν φροντίδα του δι' αὐτούς. Καὶ οὔτε ἐδῶ λέγει σαφῶς, ὅτι ἐξ αἰτίας τῆς ἰδικῆς σας ἀδυναμίας δὲν λαμβάνομεν, ἀλλά, διὰ νὰ οἰκοδομήσωμεν ἐσᾶς· ὡμίλησε μὲν σαφέστερον ἀπὸ ὅ,τι προηγουμένως καὶ ἀπεκάλυψεν αὐτὸ τὸ ὁποῖον ἔκρυπτεν, ἀλλ' ὄχι μὲ τρόπον ποὺ νὰ πληγώνῃ. Διότι δὲν εἶπεν, ἐξ αἰτίας τῆς ἀδυναμίας σας, ἀλλά, διὰ νὰ οἰκοδομηθῆτε. «Διότι φοβοῦμαι μήπως, ὅταν ἔλθω, δὲν σᾶς εὕρω ὅπως σᾶς θέλω, καὶ σεῖς δὲν μὲ εὕρετε ὅπως μὲ θέλετε»[3]. Πρόκειται νὰ εἴπῃ κάτι μεγάλο καὶ ἐνοχλητικόν. Διὰ τοῦτο καὶ θέτει τὴν ἀπολογίαν, καὶ μαζὶ μὲ τὸ ὅτι εἶπεν, ὅτι ὅλα γίνονται διὰ τὴν ἰδικήν σας οἰκοδομήν, καὶ μὲ τὸ νὰ προσθέσῃ, ὅτι φοβοῦμαι, μετριάζων ἔτσι τὴν σκληρότητα τῶν ὅσων πρόκειται νὰ λεχθοῦν.

Αὐτὸ βεβαίως δὲν ἦτο καθόλου ἀποτέλεσμα ἰδιοτελείας οὔτε ἐξουσίας διδασκαλικῆς, ἀλλὰ φροντίδος ἰατρικῆς, ὅταν φοβῆται καὶ τρέμῃ περισσότερον ἀπὸ τοὺς ἁμαρτήσαντας διὰ τὸ ὅτι πρόκειται νὰ τοὺς διορθώσῃ. Ἀλλ' οὔτε ἔτσι τοὺς προσβάλλει, οὔτε ὁμιλεῖ σαφῶς, ἀλλὰ μὲ ἐνδοιασμὸν λέγει,

δοιάζων φησί, «μή πως ἐλθὼν οὐχ οἵους θέλω». Οὐκ εἶπεν, ἐναρέτους, ἀλλ', «οὐχ οἵους θέλω», διὰ πάντων τὰ τῆς φιλίας ἐνδεικνύμενος ὀνόματα. Καὶ τό «εὕρω», δέ, τὸ παρὰ προσδοκίαν δηλοῦντός ἐστιν, ὥσπερουῦν καὶ τό, «εὑρεθῶ ὑμῖν». Οὐ γὰρ προαιρέσεως τὸ πρᾶγμα, ἀλλὰ ἀνάγκης τὴν αἰτίαν παρ' ὑμῶν λαμβανούσης. Διό φησιν, «εὑρεθῶ οἷον οὐ θέλετε». Ἐνταῦθα οὐκ εἶπεν, οἷον οὐ θέλω· ἀλλὰ πληκτικώτερον, οἷον οὐ βούλεσθε. Λοιπὸν γὰρ αὐτοῦ βούλημα ἦν, οὐχὶ προηγούμενον μέν, βούλημα δ' οὖν ὅμως. Ἠδύνατο μὲν γὰρ πάλιν εἰπεῖν, οἷον οὐ θέλω, καὶ οὕτω δεῖξαι τὴν ἀγάπην· ἀλλ' οὐ βούλεται ἐκλῦσαι τὸν ἀκροατήν. Μᾶλλον δὲ καὶ τραχύτερος ὁ λόγος οὕτως ἐγίνετο· νῦν δὲ καὶ ἔπληξε μειζόνως καὶ ἡμερώτερον ἑαυτὸν ἔδειξε. Τοῦτο γὰρ αὐτοῦ τῆς σοφίας ἐστὶν ἴδιον, τὸ βαθύτερον τέμνοντα, ἡμερώτερον πλήττειν.

Εἶτα ἐπειδὴ ἀσαφῶς εἶπεν, ἐκκαλύπτει αὐτὸ λέγων, «Μή πως ἔρις, ζῆλοι, θυμοί, καταλαλιαί, ψιθυρισμοί, φυσιώσεις». Καὶ ὃ πρῶτον ἔμελλε τιθέναι, τοῦτο ὕστερον τίθησι· κατ' αὐτοῦ γὰρ ἀπενοοῦντο. Ἵνα οὖν μὴ δόξῃ προηγουμένως τὸ ἑαυτοῦ ζητεῖν, τὸ κοινὸν λέγει πρῶτον. Ταῦτα γὰρ πάντα ἀπὸ βασκανίας ἐτίκτετο, αἱ διαβολαί, αἱ κατηγορίαι, αἱ διαστάσεις. Ὥσπερ γάρ τις ῥίζα πονηρὰ ἡ βασκανία τὸν θυμόν, τὴν κατηγορίαν, τὴν ἀπόνοιαν, τὰ ἄλλα πάντα ἔτικτε, καὶ παρ' αὐτῶν ηὔξετο μειζόνως.

«Μὴ πάλιν ἐλθόντα με ταπεινώσῃ ὁ Θεός μου πρὸς ὑμᾶς». Καὶ τό, «πάλιν», πλήττοντος ἦν. Ἀρκεῖ γὰρ τὰ πρότερα, φησίν· ὃ καὶ ἀρχόμενος ἔλεγεν, ὅτι «Φειδόμενος ὑμῶν οὐκέτι ἦλθον εἰς Κόρινθον». Εἶδες πῶς καὶ ἀγανάκτησιν δείκνυσι, καὶ φιλοστοργίαν; Τί δέ ἐστι, «ταπεινώσῃ»; Καὶ

---

4. Β' Κορ. 12, 21.

«μήπως δὲν σᾶς εὕρω, ὅταν ἔλθω, ὅπως θέλω». Δὲν εἶπεν, ἐναρέτους, ἀλλ' «ὄχι ὅπως σᾶς θέλω», δεικνύων μὲ ὅλα τὰ ὀνόματα τῆς φιλίας. Καὶ τό, «εὕρω», δηλώνει, ὅτι εἶναι παρὰ τὴν προσδοκίαν του, ὅπως ἀκριβῶς καὶ τὸ «εὑρεθῶ ὑμῖν». Δηλαδὴ δὲν ὀφείλεται εἰς τὴν προαίρεσίν μου τὸ πρᾶγμα, ἀλλ' εἰς ἀνάγκην, ἡ ὁποία λαμβάνει τὴν αἰτίαν ἀπὸ σᾶς. Διὰ τοῦτο λέγει, «μήπως δὲν εὑρεθῶ ὅπως μὲ θέλετε». Ἐδῶ δὲν εἶπε, τέτοιον ποὺ δὲν θέλω, ἀλλὰ τέτοιος ποὺ δὲν θέλετε, πρᾶγμα ποὺ πληγώνει περισσότερον. Πράγματι λοιπὸν ἦτο ἰδικόν του θέλημα, ὄχι βεβαίως ἀρχικόν, ὁπωσδήποτε ὅμως θέλημα. Διότι ἠμποροῦσε μὲν νὰ εἴπῃ, πάλιν τέτοιον ποὺ δὲν θέλω, καὶ ἔτσι νὰ δείξῃ τὴν ἀγάπην του· ἀλλ' ὅμως δὲν θέλει ν' ἀποχαυνώσῃ τὸν ἀκροατήν. Μᾶλλον δὲ καὶ σκληρότερον ἐγίνετο ἔτσι ὁ λόγος· ἐνῷ τώρα καὶ περισσότερον ἐκτύπησε καὶ ἡμερώτερον ἔδειξε τὸν ἑαυτόν του. Διότι αὐτὸ εἶναι τὸ ἰδιαίτερον γνώρισμα τῆς σοφίας του, δηλαδὴ τὸ νὰ κτυπᾷ ἡμερώτερον, ἐνῷ τέμνει βαθύτερον.

Ὕστερον, ἐπειδὴ ὡμίλησεν ἀσαφῶς, ἀποκαλύπτει αὐτὸ λέγων, «μήπως ὑπάρχουν ἔριδες, ζηλοτυπίαι, θυμοί, φιλονεικίαι, διαβολαί, ψιθυρισμοί, ὑπερηφάνειαι». Καὶ αὐτὸ τὸ ὁποῖον ἔπρεπε ν' ἀναφέρῃ πρῶτον, αὐτὸ ἀναφέρει ὡς δεύτερον· διότι κατ' αὐτοῦ ἐστρέφοντο ἀνοήτως. Διὰ νὰ μὴ φανῇ λοιπὸν ἀπὸ τὴν ἀρχὴν ὅτι δικαιώνει τὸν ἑαυτόν του, ὁμιλεῖ πρῶτον διὰ τὸ κοινόν. Διότι ὅλα αὐτά, αἱ διαβολαί, αἱ κατηγορίαι, αἱ ἔχθραι, ἐγεννῶντο ἀπὸ φθόνον. Καθ' ὅσον ὡσὰν κάποια κακὴ ρίζα ὁ φθόνος ἐγέννα τὸν θυμόν, τὴν κατηγορίαν, τὴν ἀνόητον τόλμην, ὅλα τὰ ἄλλα, καὶ ἀπὸ αὐτοὺς ηὔξανε περισσότερον.

«Μήπως, ὅταν πάλιν ἔλθω, μὲ ταπεινώσῃ ὁ Θεός μου ἀπέναντί σας». Καὶ τό, «πάλιν», ἦτο λόγος ποὺ ἐπλήγωνε. Διότι, ἀρκοῦν τὰ προηγούμενα, λέγει. Πρᾶγμα τὸ ὁποῖον καὶ εἰς τὴν ἀρχὴν ἔλεγεν, ὅτι, «ἐπειδὴ σᾶς λυποῦμαι δὲν ἦλθον ἀκόμη εἰς τὴν Κόρινθον». Εἶδες πῶς καὶ ἀγανάκτησιν δεικνύει καὶ φιλοστοργίαν; Τί ἐννοεῖ δὲ μὲ τὸ «ταπεινώσῃ»;

μὴν δόξα αὕτη ἐστί, τὸ ἐγκαλεῖν, τὸ τιμωρεῖσθαι, τὸ εὐθύνας ἀπαιτεῖν, τὸ ἐν τάξει δικαστοῦ καθέζεσθαι· ἀλλ' ὅμως ταπείνωσιν αὐτὸ καλεῖ. Τοσοῦτον ἀπεῖχεν αἰσχύνεσθαι τῇ ταπεινώσει ἐκείνῃ, ὅτι ἡ παρουσία τοῦ σώματος ἀσθενής, καὶ ὁ λόγος ἐξουθενημένος, ὅτι καὶ διηνεκῶς ἠβούλετο ἐν τούτῳ εἶναι, καὶ τοὐναντίον ἀπηύχετο, καὶ λέγει αὐτὸ ποιῶν σαφέστερον· καὶ ταπείνωσιν τοῦτο μάλιστα ἡγεῖται, τὸ εἰς τοιαύτην ἐμπεσεῖν ἀνάγκην, τοῦ κολάζειν, τοῦ τιμωρεῖσθαι.

Καὶ τίνος ἕνεκεν οὐκ εἶπε, μὴ ἐλθὼν ταπεινωθῶ, ἀλλά, «μὴ ἐλθόντα με ταπεινώσῃ ὁ Θεός μου»; Ὅτι εἰ μὴ δι' αὐτόν, οὐκ ἂν ἐπεστράφην, οὐκ ἂν ἐφρόντισα. Οὐδὲ γὰρ ὡς ἐξουσίαν ἔχων καὶ αὐθαδιζόμενος ἀπαιτῶ δίκην, ἀλλὰ διὰ τὸ αὐτοῦ ἐπίταγμα. Ἀνωτέρω μὲν οὖν αὐτὸ τίθησι λέγων, «εὑρεθῶ οἷον οὐ θέλετε»· ἐνταῦθα δὲ καθυφίησι, καὶ πρᾳότερον καὶ ἡμερώτερον φθέγγεται λέγων, «Πενθήσω πολλοὺς τῶν ἡμαρτηκότων». Οὐχ ἁπλῶς ἡμαρτηκότων, ἀλλά, «τῶν μὴ μετανοησάντων». Καὶ οὐκ εἶπε, πάντας, ἀλλά, «πολλούς»· καὶ οὐδὲ τούτους ποιεῖ φανερούς, διδοὺς κἀντεῦθεν ῥᾳδίαν αὐτοῖς τὴν πρὸς τὴν μετάνοιαν ἐπάνοδον· καὶ δῆλον ποιῶν, ὅτι δύναται μετάνοια τὰ πεπλημμελημένα διορθῶσαι, τοὺς μὴ μετανοοῦντας πενθεῖ, τοὺς τὰ ἀνίατα νοσοῦντας, τοὺς ἐν τῷ τραύματι μένοντας. Ἐννόησον τοίνυν ἀποστολικὴν ἀρετήν, ὅταν μηδὲν ἑαυτῷ συνειδὼς πονηρόν, ὑπὲρ ἀλλοτρίων θρηνῇ κακῶν, καὶ ὑπὲρ τῶν ἑτέροις πεπλημμελημένων ταπεινῶται. Τοῦτο γὰρ μάλιστα διδασκάλου, τὸ οὕτω συναλγεῖν ταῖς τῶν μαθητῶν συμφοραῖς, τὸ κόπτεσθαι καὶ πενθεῖν ἐπὶ τοῖς τραύμασι τῶν ἀρχομένων.

Εἶτα λέγει καὶ τὸ εἶδος τῆς ἁμαρτίας· «Ἐπὶ τῇ ἀσελγείᾳ καὶ ἀκαθαρσίᾳ ᾗ ἔπραξαν». Καὶ αὐτὸς μὲν ἐνταῦθα

Πραγματικὴ βέβαια δόξα εἶναι αὐτό, τὸ νὰ κατηγορῇ, τὸ νὰ τιμωρῇ, τὸ νὰ ἀπαιτῇ εὐθύνας, τὸ νὰ κάθεται εἰς τὴν θέσιν δικαστοῦ· ἀλλ' ὅμως αὐτὸ τὸ ὀνομάζει ταπείνωσιν. Τόσον πολὺ ἀπεῖχεν ἀπὸ τὸ νὰ νοιώθῃ ἐντροπὴν διὰ τὴν ταπείνωσιν ἐκείνην, καθ' ὅσον καὶ ἡ ἐμφάνισις τοῦ σώματός του ἦτο ἀσθενικὴ καὶ ὁ λόγος του ἦτο ἐξουθενημένος, διότι καὶ συνεχῶς ἤθελε νὰ εὑρίσκεται εἰς τὴν κατάστασιν αὐτὴν τῆς ταπεινώσεως καὶ ηὔχετο νὰ μὴ συμβῇ τὸ ἀντίθετον. Καὶ προχωρῶν λέγει αὐτὸ σαφέστερον· καὶ αὐτὸ θεωρεῖ κατ' ἐξοχὴν ταπείνωσιν, τὸ νὰ ἔλθῃ εἰς τέτοιαν ἀνάγκην, ὥστε νὰ κολάζῃ, ὥστε νὰ τιμωρῇ.

Καὶ διατί δὲν εἶπε, μήπως ὅταν ἔλθω ταπεινωθῶ, ἀλλά, «μήπως ὅταν ἔλθω μὲ ταπεινώσῃ ὁ Θεός μου»; Διότι ἐὰν δὲν ἦτο δι' ἐκεῖνον, δὲν θὰ ἐνδιεφερόμην, δὲν θὰ ἐφρόντιζον. Διότι κρίνω ὄχι ὡς ἔχων ἐξουσίαν καὶ ἀλαζονικῶς, ἀλλ' ἐπειδὴ εἶναι προσταγὴ τοῦ Θεοῦ. Προηγουμένως βέβαια τὸ ἀναφέρει αὐτό, λέγων, «εὑρεθῶ τέτοιος ποὺ δὲν θέλετε», ἐνῷ ἐδῶ χαμηλώνει τὸν τόνον καὶ ὁμιλεῖ μὲ περισσοτέραν πραότητα καὶ ἡμερότητα, λέγων, «καὶ πενθήσω πολλοὺς ἀπὸ αὐτοὺς ποὺ ἡμάρτησαν». Ὄχι ἁπλῶς ποὺ ἡμάρτησαν, ἀλλὰ «καὶ ποὺ δὲν μετενόησαν». Καὶ δὲν εἶπεν ὅλους, ἀλλὰ «πολλούς». Καὶ οὔτε αὐτοὺς φανερώνει, διὰ νὰ κάνῃ καὶ ἐδῶ εὔκολον εἰς αὐτοὺς τὴν ἐπάνοδον εἰς τὴν μετάνοιαν, καὶ διὰ νὰ δείξῃ ὅτι ἡ μετάνοια ἠμπορεῖ νὰ διορθώσῃ τὰ σφάλματα· πενθεῖ τοὺς ἀμετανοήτους, ἐκείνους ποὺ πάσχουν ἀπὸ ἀθεράπευτον νόσον, ἐκείνους ποὺ παραμένουν εἰς τὰ τραύματα. Σκέψου λοιπὸν ἀποστολικὴν ἀρετήν, ἐπειδὴ δὲν ἐλέγχεται ἀπὸ τὴν συνείδησίν του διὰ κανένα κακόν, διὰ τὰς ἁμαρτίας ἄλλων θρηνεῖ καὶ ταπεινοῦται διὰ τὰ σφάλματα τῶν ἄλλων. Διότι αὐτὸ κυρίως εἶναι τὸ ἴδιον διδασκάλου, τὸ νὰ συμπάσχῃ ἔτσι εἰς τὰς συμφορὰς τῶν μαθητῶν, τὸ νὰ θρηνῇ καὶ νὰ πενθῇ διὰ τὰ τραύματα αὐτῶν ποὺ ἄρχει.

Ὕστερον ἀναφέρει καὶ τὸ εἶδος τῆς ἁμαρτίας· «διὰ τὴν ἀσέλγειαν καὶ τὴν ἀκαθαρσίαν ποὺ διέπραξαν». Καὶ αὐτὸς

πορνείαν αἰνίττεται· εἰ δέ τις ἀκριβῶς ἐξετάσειε, καὶ ἅπαν εἶδος ἁμαρτίας τούτῳ δύναται καλεῖσθαι τῷ ὀνόματι. Εἰ γὰρ καὶ κατ' ἐξοχὴν ὁ πόρνος καὶ ὁ μοιχὸς λέγεται ἀκάθαρτος, ἀλλ' ὅμως καὶ τὰ ἄλλα ἁμαρτήματα ἀκαθαρσίαν ἐμποιεῖ τῇ ψυχῇ. Διὰ δὴ τοῦτο καὶ ὁ Χριστὸς ἀκαθάρτους καλεῖ τοὺς Ἰουδαίους, οὐχὶ πορνείαν αὐτοῖς ἐγκαλῶν μόνον, ἀλλὰ καὶ πονηρίαν ἑτέραν. Διὸ καί φησι ποιῆσαι καὶ τὸ ἔξω καθαρόν· καὶ ὅτι «Οὐ τὰ εἰσερχόμενα κοινοῖ τὸν ἄνθρωπον, ἀλλὰ τὰ ἐξερχόμενα», καὶ ἀλλαχοῦ εἴρηται, «Ἀκάθαρτος παρὰ Κυρίῳ πᾶς ὑψηλοκάρδιος».

3. *Οὐδὲν γὰρ ἀρετῆς καθαρώτερον, οὐδὲν κακίας ἀκαθαρτότερον· ἡ μὲν γὰρ ἡλίου λαμπροτέρα ἐστίν, ἡ δὲ βορβόρου δυσωδεστέρα. Καὶ ταῦτα μαρτυρήσαιεν ἂν καὶ αὐτοὶ οἱ ἐν τῷ βορβόρῳ κυλινδούμενοι, καὶ οἱ ἐν τῷ σκότῳ διάγοντες, ὅταν μικρὸν γοῦν τις αὐτοὺς διαβλέψαι παρασκευάζῃ. Ἕως μὲν γὰρ ἂν καθ' ἑαυτοὺς ὦσι, καὶ μεθύωσι τῷ πάθει, καθάπερ ἐν σκότῳ διατρίβοντες ἀσχημόνως κεῖνται μετὰ πολλῆς τῆς αἰσχρότητος, αἰσθανόμενοι μὲν καὶ τότε ἔνθα εἰσίν, οὐκ ἀκριβῶς δέ· ἐπειδὰν δὲ ἴδωσί τινα αὐτοὺς ἐλέγχοντα τῶν ἐν ἀρετῇ βιούντων, ἢ καὶ φανέντα μόνον, τότε σαφέστερον αὐτῶν διαγινώσκουσι τὴν ἀθλιότητα, καὶ ὥσπερ ἀκτῖνος ἀφεθείσης, οὕτω περιστέλλουσι τὴν οἰκείαν ἀσχημοσύνην, καὶ τοὺς συνειδότας ἐρυθριῶσι, κἂν ὁ μὲν δοῦλος, ὁ δὲ ἐλεύθερος ᾖ, καὶ ὁ μὲν βασιλεύς, ὁ δὲ ἀρχόμενος.*

Οὕτως ἰδὼν τὸν Ἠλίαν ὁ Ἀχαὰβ ᾐσχύνετο, καὶ μηδέπω μηδὲν εἰρηκότος ἐκείνου, ἀπὸ τῆς ὄψεως αὐτοῦ μόνης ἁλούς· καὶ σιγῶντος τοῦ κατηγόρου, τὴν καταδικάζουσαν αὐ-

5. Ματθ. 15, 11.
6. Παροιμ. 16, 5.

μὲν ἐδῶ τὴν πορνείαν ὑπαινίσσεται, ἂν ὅμως ἐξετάσῃ κανεὶς μὲ ἀκρίβειαν, κάθε εἶδος ἁμαρτίας εἶναι δυνατὸν νὰ ὀνομασθῇ μὲ αὐτὸ τὸ ὄνομα. Διότι ἂν καὶ κατ' ἐξοχὴν ὁ πόρνος καὶ ὁ μοιχὸς ὀνομάζεται ἀκάθαρτος, ὅμως καὶ τὰ ἄλλα ἁμαρτήματα προκαλοῦν ἀκαθαρσίαν εἰς τὴν ψυχήν. Διὰ τοῦτο βεβαίως καὶ ὁ Χριστὸς ὀνομάζει ἀκαθάρτους τοὺς Ἰουδαίους, κατηγορῶν αὐτοὺς ὄχι μόνον διὰ πορνείαν, ἀλλὰ καὶ δι' ἄλλην κακίαν. Διὰ τοῦτο καὶ λέγει νὰ καθαρισθοῦν καὶ ἀπὸ ἔξω, καὶ ὅτι, «δὲν μολύνει τὸν ἄνθρωπον ἐκεῖνο ποὺ μπαίνει εἰς τὸ στόμα, ἀλλ' ἐκεῖνο ποὺ βγαίνει ἀπὸ τὸ στόμα»[5]· καὶ ἀλλοῦ ἔχει εἴπει, «Βρωμερὸς εἶναι ἐνώπιον τοῦ Κυρίου κάθε ὑπερήφανος»[6].

3. Τίποτε λοιπὸν δὲν εἶναι καθαρώτερον ἀπὸ τὴν ἀρετήν, τίποτε δὲν εἶναι βρωμερότερον ἀπὸ τὴν κακίαν· διότι ἡ μὲν ἀρετὴ εἶναι λαμπροτέρα τοῦ ἡλίου, ἡ δὲ κακία δυσωδεστέρα ἀπὸ τὸν βοῦρκον. Καὶ αὐτὰ εἶναι δυνατὸν νὰ τὰ ἐπιβεβαιώσουν καὶ αὐτοὶ οἱ ὁποῖοι κυλίονται εἰς τὸν βοῦρκον καὶ ὅσοι ζοῦν εἰς τὸ σκότος, ἂν κάποιος κατορθώσῃ νὰ τοὺς κάνῃ νὰ παρατηρήσουν προσεκτικῶς δι' ὀλίγον. Διότι ὅσον χρόνον εἶναι μόνοι καὶ μεθοῦν μὲ τὴν ἱκανοποίησιν τοῦ πάθους, ὡσὰν νὰ εὑρίσκωνται εἰς τὸ σκότος, ζοῦν μὲ ἀσχημίαν καὶ μὲ πολλὴν αἰσχρότητα, καὶ αἰσθάνονται μὲν καὶ τότε ποῦ εὑρίσκονται, ἀλλ' ὄχι μὲ ἀκρίβειαν· ὅταν ὅμως ἴδουν κάποιον ἀπὸ ὅσους ζοῦν ἐναρέτως νὰ τοὺς ἐλέγχῃ, ἢ καὶ νὰ ἐμφανίζεται μόνον ἐμπρός των, τότε γνωρίζουν σαφέστερον τὴν ἀθλιότητά των, καὶ ὅπως ὅταν πίπτῃ φῶς εἰς τὸ σκότος, ἔτσι περικαλύπτουν τὴν ἀσχημίαν των καὶ κοκκινίζουν ἐμπρὸς εἰς ἐκείνους οἱ ὁποῖοι γνωρίζουν τὴν κατάστασίν των, καὶ ἂν ἀκόμη ὁ γνωρίζων εἶναι δοῦλος, ἐνῷ ἐκεῖνος ἐλεύθερος, ἢ ὁ μὲν βασιλεύς, ἐκεῖνος δὲ ὑπήκοος.

Ἔτσι ὅταν εἶδε τὸν Ἠλίαν ὁ Ἀχαὰβ ἔνοιωσεν ἐντροπήν, καὶ ἐνῷ ἀκόμη τίποτε δὲν εἶχεν εἴπει ἐκεῖνος, ἐκυριεύθη ἁπλῶς καὶ μόνον ἀπὸ τὴν παρουσίαν του· καὶ ἐνῷ ἐσιώπα ὁ κατήγορος, ἐδέχετο τὴν ἀπόφασιν ἡ ὁποία τὸν

τὸν ἔφερε ψῆφον, τὰ τῶν ἑαλωκότων φθεγγόμενος, καὶ λέγων, «Εὕρηκάς με ὁ ἐχθρός μου». Οὕτως αὐτὸς ὁ Ἠλίας τῷ τυράννῳ τότε ἐκείνῳ μετὰ πολλῆς διελέγετο τῆς παρρησίας. Οὕτως ὁ Ἡρώδης, οὐ φέρων τὴν ἀπὸ τῶν ἐλέγχων αἰσχύνην, ἣν καὶ ἔδειξε σαφέστερον λάμψασα μέγα καὶ διαυγὲς ἡ τῆς προφητικῆς γλώττης φωνή, ἐνέβαλεν εἰς τὸ δεσμωτήριον τὸν Ἰωάννην· καθάπερ γυμνὸς ὤν, καὶ τὸν λύχνον σβέσαι ἐπιχειρῶν, ἵνα πάλιν ἐν τῷ σκότῳ ᾖ. Μᾶλλον δὲ αὐτὸς μὲν οὐκ ἐτόλμησε σβέσαι, ἀλλ' ὥσπερ ὑπὸ μόδιον εἰς τὸ οἴκημα ἔθηκεν· ἡ δὲ ἀθλία καὶ ταλαίπωρος ἐκείνη τοῦτο γενέσθαι κατηνάγκασεν. Ἀλλ' οὐδὲ οὕτω καλύψαι ἴσχυσαν τὸν ἔλεγχον, ἀλλὰ μειζόνως ἀνῆψαν. Οἵ τε γὰρ ἐρωτῶντες, διὰ τί εἰς δεσμωτήριον Ἰωάννης οἰκεῖ, τὴν αἰτίαν ἐμάνθανον, οἵ τε μετὰ ταῦτα γῆν καὶ θάλατταν οἰκοῦντες ἅπαντες, οἵ τε τότε γενόμενοι, οἵ τε νῦν, οἵ τε αὖθις ἐσόμενοι, σαφῶς ἔγνωσάν τε καὶ εἴσονται τὰ πονηρὰ ταῦτα δράματα, τό τε τῆς ἀσελγείας, τό τε τῆς μιαιφονίας αὐτῶν, καὶ χρόνος οὐδεὶς τὴν μνήμην τούτων ἐξαλεῖψαι δυνήσεται.

Τοσοῦτόν ἐστιν ἀρετή, οὕτως ἀθάνατον ἔχει τὴν μνήμην, οὕτω καὶ ἀπὸ ῥημάτων μόνον καταπλήττει τοὺς ἀντικειμένους αὐτῇ. Τίνος γὰρ ἕνεκεν ἐνέβαλεν αὐτὸν εἰς τὸ δεσμωτήριον; διὰ τί μὴ κατεφρόνησε; Μὴ γὰρ εἰς δικαστήριον αὐτὸν ἔμελλεν ἕλκειν; μὴ γὰρ δίκην ἀπήτησε τῆς μοιχείας; Οὐχὶ ἔλεγχος ἦν τέως τὰ λεγόμενα μόνον; Τί τοίνυν δέδοικε καὶ τρέμει; Οὐχὶ ῥήματα ἦν καὶ λόγος ψιλός; Ἀλλὰ μᾶλλον πραγμάτων ἔδακνεν. Οὐκ ἤγαγεν εἰς δικαστήριον, ἀλλ' εἰς ἕτερον τοῦ συνειδότος εἷλκεν αὐτὸν κριτήριον, καὶ πάντας ἐκάθισεν αὐτῷ δικαστὰς τοὺς μετ' ἐξουσίας κατὰ διάνοιαν τότε τὰς

---

7. Γ' Βασ. 20, 20.

κατεδίκαζε, λέγων ἐκεῖνα τὰ ὁποῖα λέγουν ὅσοι αἰχμαλωτίζονται· «μὲ ἐνίκησε ὁ ἐχθρός μου»[7]. Ἔτσι ὁ Ἠλίας μὲ πολλὴν παρρησίαν συνωμίλει τότε μὲ ἐκεῖνον τὸν τύραννον. Ἔτσι ὁ Ἡρώδης, μὴ ὑποφέρων τὴν ἐντροπὴν ἀπὸ τοὺς ἐλέγχους, τὴν ὁποίαν καὶ ἔδειξε σαφέστερον ὅταν ἔλαμψε πολὺ καὶ μὲ διαύγειαν ἡ φωνὴ τῆς προφητικῆς γλώσσης, ἔρριψεν εἰς τὴν φυλακὴν τὸν Ἰωάννην· ὡσὰν νὰ ἦτο γυμνὸς καὶ νὰ ἤθελε νὰ σβήσῃ τὸν λύχνον διὰ νὰ μείνῃ πάλιν εἰς τὸ σκότος. Μᾶλλον δὲ αὐτὸς μὲν δὲν ἐτόλμησε νὰ τὸ σβήσῃ, ἀλλ' ὡσὰν κάτω ἀπὸ μόδιον ἔθεσε μέσα εἰς τὴν οἰκίαν τὸν λύχνον· ἡ δὲ ἀθλία καὶ ταλαίπωρος ἐκείνη κόρη του τὸν ἐξηνάγκασε νὰ τὸ κάνῃ αὐτό. Ἀλλ' οὔτε ἔτσι ἠμπόρεσαν νὰ καλύψουν τὸν ἔλεγχον, ἀλλὰ πολὺ περισσότερον ηὔξησαν αὐτόν. Διότι καὶ ὅσοι ἠρώτων, διατί ὁ Ἰωάννης κατοικεῖ εἰς τὴν φυλακήν, ἐμάνθανον τὴν αἰτίαν, καὶ οἱ μετὰ ἀπὸ αὐτὰ καὶ εἰς τὴν γῆν καὶ εἰς τὴν θάλασσαν εὑρισκόμενοι, καὶ οἱ τότε ζήσαντες καὶ οἱ σημερινοὶ καὶ ὅσοι θὰ ζήσουν εἰς τὸ μέλλον, σαφῶς ἐγνώρισαν καὶ θὰ γνωρίσουν τὰς πονηρὰς αὐτὰς πράξεις, καὶ τὴν ἀσέλγειαν δηλαδή, καὶ τὸν μιαρὸν φόνον ποὺ ἔγιναν ἀπὸ αὐτούς, καὶ κανὲν χρονικὸν διάστημα δὲν θὰ ἠμπορέσῃ νὰ ἐξαλείψῃ τὴν ἀνάμνησιν αὐτῶν.

Τόσον μέγα πρᾶγμα εἶναι ἡ ἀρετή, ὥστε νὰ ἔχῃ ἀθάνατον μνήμην καὶ μὲ τοὺς λόγους μόνον νὰ συντρίβῃ ὅσους ἀνθίστανται εἰς αὐτήν. Διότι διατί ἔκλεισεν αὐτὸν εἰς τὴν φυλακήν; διατί δὲν τὸν κατεφρόνησε; Μήπως ἐπρόκειτο νὰ τὸν ὁδηγήσῃ εἰς δικαστήριον; μήπως ἐπρόκειτο νὰ τὸ κρίνῃ διὰ τὴν μοιχείαν; Δὲν ἦτο ἕως τότε ἔλεγχος μόνον τὰ λεγόμενα ἀπὸ τὸν προφήτην; Διατί λοιπὸν φοβεῖται καὶ τρέμει; Δὲν ἦσαν λέξεις καὶ ἁπλοῖ λόγοι; Ἀλλὰ περισσότερον ἀπὸ τὰς πράξεις ἐδάγκωναν. Δὲν τὸν ὡδήγησεν εἰς δικαστήριον, ἀλλὰ τὸν ἔσυρεν εἰς τὸ κριτήριον τῆς συνειδήσεως, καὶ διώρισε δικαστὰς δι' αὐτὸν ὅλους ἐκείνους οἱ ὁποῖοι μέσα του ἐπέφερον μὲ ἐξουσίαν ἐναντίον του τὰς ἀποφά-

ψήφους φέροντας. Διὰ τοῦτο ἔτρεμεν ὁ τύραννος, τῆς ἀρετῆς τὴν λαμπηδόνα οὐ φέρων. Εἶδες ἡλίκον φιλοσοφία; Δεσμώτην τυράννου λαμπρότερον ἐποίησε, καὶ τοῦτον ἐκεῖνος δέδοικε καὶ τρέμει.

Ἀλλ' αὐτὸς μὲν ἔδησε μόνον· ἡ δὲ μιαρὰ ἐκείνη καὶ ἐπὶ τὴν σφαγὴν ὥρμησε. Καίτοιγε ἐπὶ τοῦτον τὸ ἔγκλημα μᾶλλον ἐφέρετο. Οὐδὲ γὰρ ἐκείνῃ τότε ἀπαντήσας εἶπε, τί συνοικεῖς τῷ τυράννῳ; οὐκ ἐπειδὴ ἀνεύθυνος ἦν· πῶς γάρ; ἀλλ' ἐντεῦθεν τὸ πᾶν διορθῶσαι ἐβούλετο. Διὸ τοῦτον ἐμέμψατο· καὶ οὐδὲ τοῦτον σφοδρῶς· Οὐδὲ γὰρ εἶπεν, ὦ μιαρὲ καὶ παμμίαρε καὶ παράνομε καὶ βέβηλε, κατεπάτησας τοῦ Θεοῦ τὸν νόμον, κατεφρόνησας τῶν ἐπιταχθέντων, τὴν ἰσχὺν τὴν σὴν νόμον ἐποίησας. Οὐδὲν τούτων, ἀλλὰ καὶ ἐν τοῖς ἐλέγχοις πολλὴ ἡ ἐπιείκεια τοῦ ἀνδρός, πολλὴ ἡ πραότης. «Οὐκ ἔξεστί σοι γάρ ἔχειν», φησί, «τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου». Διδάσκοντος μᾶλλον τὸ ῥῆμα ἢ ἐλέγχοντος, παιδεύοντος ἢ κολάζοντος, ῥυθμίζοντος ἢ ἐκπομπεύοντος, διορθοῦντος ἢ ἐπεμβαίνοντος. Ἀλλ', ὅπερ ἔφην, ἐχθρὸν τῷ κλέπτῃ τὸ φῶς, ἐπαχθὴς ὁ δίκαιος τοῖς ἁμαρτάνουσι καὶ φαινόμενος ἁπλῶς· «Βαρὺς γὰρ ἡμῖν καὶ βλεπόμενος». Οὐ γὰρ φέρουσιν αὐτοῦ τὰς ἀκτῖνας, καθάπερ οἱ τοὺς ὀφθαλμοὺς νοσοῦντες τὰς ἡλιακάς. Πολλοὺς δὲ τῶν πονηρῶν οὐ φαινόμενος μόνον, ἀλλὰ καὶ ἀκουόμενος, βαρύς. Διά τοι τοῦτο καὶ ἡ μιαρὰ καὶ παμμίαρος ἐκείνη, ἡ προαγωγὸς τοῦ θυγατρίου, μᾶλλον δὲ ἡ παιδοκτόνος, καίτοι οὐδὲ ἰδοῦσα αὐτόν, οὐδὲ ἀκούσασα αὐτοῦ τῆς φωνῆς ἐπὶ τὴν σφαγὴν ὥρμησε· καὶ παρασκευάζει ἣν ἀσελγῶς ἔθρεψε, ταύτην καὶ εἰς φόνον ἐλθεῖν· οὕτως ἐκ περιουσίας αὐτὸν ἐδεδοίκει.

---

8. Σοφ. Σολ. 2, 14.

σεις. Διὰ τοῦτο ἔτρεμεν ὁ τύραννος, μὴ ὑποφέρων τὴν λάμψιν τῆς ἀρετῆς. Εἶδες πόσον μέγα πρᾶγμα εἶναι ἡ ἀγάπη τῆς ἀληθοῦς σοφίας καὶ τῆς ἀρετῆς; Τὸν φυλακισμένόν ἀνέδειξε λαμπρότερον ἀπὸ τὸν τύραννον, καὶ αὐτὸς ἐκεῖνον φοβεῖται καὶ τρέμει.

Ἀλλ' αὐτὸς μὲν τὸν ἐφυλάκισε μόνον· ἐνῷ ἐκείνη ἡ βρωμερὰ ὥρμισε καὶ διὰ νὰ τὸν σφάξῃ. Ἂν καὶ βέβαια ἡ κατηγορία περισσότερον ἐναντίον του ἐστρέφετο. Διότι δὲν εἶπε καὶ εἰς ἐκείνην ὅταν τὴν συνήντησε, διατί συγκατοικεῖς μὲ τὸν βασιλέα; Ὄχι ἐπειδὴ δὲν ἦτο ἔνοχος — διότι πῶς ἦτο δυνατόν; Ἀλλ' ἤθελε νὰ διορθώσῃ ἔτσι τὴν κατάστασιν. Διὰ τοῦτο ἐκατηγόρησεν αὐτόν· καὶ οὔτε αὐτὸν αὐστηρῶς. Διότι δὲν εἶπεν, ὦ μιαρὲ καὶ μιαρώτατε καὶ παράνομε καὶ βέβηλε, κατεπάτησες τὸν νόμον τοῦ Θεοῦ, κατεφρόνησες τὰς ἐντολάς του, ἔκανες νόμον τὴν ἰσχύν σου. Τίποτε ἀπὸ αὐτά, ἀλλὰ καὶ εἰς τοὺς ἐλέγχους μεγάλη ἦτο ἡ ἐπιείκεια καὶ ἡ πραότης τοῦ Ἰωάννου. Διότι, λέγει· «δὲν σοῦ ἐπιτρέπεται νὰ ἔχῃς τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου Φιλίππου». Ὁ λόγος ἦτο λόγος ἀνθρώπου ὁ ὁποῖος διδάσκει μᾶλλον, παρὰ ἐλέγχει, ποὺ παιδεύει, παρὰ τιμωρεῖ, ποὺ ρυθμίζει, παρὰ ἐξευτελίζει, ποὺ διορθώνει, παρὰ ἐπεμβαίνει. Ἀλλ' ὅπως εἶπον, τὸ φῶς εἶναι ἐχθρὸς εἰς τὸν κλέπτην, ἀνυπόφορος ὁ δίκαιος εἰς τοὺς ἁμαρτάνοντας καὶ μόνον ποὺ φαίνεται. Διότι «εἶναι ἀνυπόφορος εἰς ἐμᾶς ἀκόμη καὶ ἡ παρουσία του»[8]. Διότι δὲν ἠμποροῦν νὰ ὑποφέρουν τὰς ἀκτῖνας του, ὅπως οἱ ἀσθενεῖς ὀφθαλμοὶ τὸ φῶς τοῦ ἡλίου. Εἰς πολλοὺς δὲ ἀπὸ τοὺς πονηροὺς ὄχι μόνον τὸ νὰ φαίνεται, ἀλλὰ καὶ τὸ νὰ ἀκούεται εἶναι ἀνυπόφορον. Διὰ τοῦτο καὶ ἡ βρωμερὰ καὶ μιαρωτάτη ἐκείνη, αὐτὴ ποὺ παρεκίνει τὴν θυγατέρα της, ἢ καλύτερα ἡ παιδοκτόνος, ἂν καὶ οὔτε τὸν εἶχεν ἰδεῖ ποτέ, οὔτε εἶχεν ἀκούσει τὴν φωνήν του, κινεῖται μὲ ὁρμὴν διὰ νὰ ἐπιτύχῃ τὴν σφαγήν του· καὶ ἑτοιμάζει αὐτὴν τὴν ὁποίαν ἀνέθρεψεν ἀσελγῶς νὰ ἔλθῃ εἰς φόνον· εἰς τόσον ὑπερβολικὸν βαθμὸν ἐφοβεῖτο αὐτόν.

4. Καὶ τί φησι; «Δός μοι ἐπὶ πίνακι ὧδε τὴν κεφαλὴν Ἰωάννου τοῦ Βαπτιστοῦ». Ποῖ φέρῃ κατὰ κρημνῶν, ἀθλία καὶ ταλαίπωρε; Μὴ γὰρ πάρεστιν ὁ κατήγορος; μὴ γὰρ ὁρᾶται καὶ ἐνοχλεῖ; Ἕτεροι ἔλεγον, «Βαρὺς ἡμῖν ἐστι καὶ βλεπόμενος»· ταύτῃ δέ, ὅπερ εἶπον, καὶ ἀκουόμενος. Διό φησι, «Δός μοι ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου». Καὶ μὴν δεσμωτήριον οἰκεῖ διὰ σέ, καὶ ἁλύσεις περίκειται, καὶ ἔξεστί σοι νεανιεύεσθαι ἐπὶ τῷ ἔρωτι, καὶ λέγειν· οὕτως ἐκράτησα τοῦ βασιλέως, ὅτι οὐδὲ δημοσίᾳ ἐγκληθεὶς καθυφῆκεν, οὐδὲ ἀπέστη τοῦ ἔρωτος, οὐδὲ διέσπασέ μου τὴν μοιχείαν, ἀλλὰ καὶ τὸν ἐγκαλέσαντα ἔδησε. Τί μαίνῃ καὶ λυσσᾷς, ἔχουσα καὶ μετὰ τὸν ἔλεγχον τῆς ἁμαρτίας τὸν νυμφίον; τί τράπεζαν ἐριννύων ἐπιζητεῖς, καὶ δαιμόνων ἀλαστόρων συμπόσιον κατασκευάζεις;

Εἶδες πῶς οὐδαμινόν, πῶς δειλόν, πῶς ἄνανδρον ἡ κακία, πῶς ὅτε μάλιστα κρατήσει, τότε γίνεται ἀσθενεστέρα; Καὶ γὰρ αὕτη οὐχ οὕτως ἐθορυβεῖτο πρὶν εἰς δεσμωτήριον ἐμβαλεῖν τὸν Ἰωάννην, ὡς ταράττεται δεθέντος αὐτοῦ, καὶ ἐπείγει λέγουσα, «Δός μοι ὧδε ἐπὶ πίνακι τὴν κεφαλὴν Ἰωάννου». Καὶ διὰ τί ὧδε; Δέδοικα μὴ συσκιασθῇ, φησίν, ὁ φόνος, μὴ ἐξέλωσιν αὐτόν τινες τοῦ κινδύνου. Καὶ διὰ τί μὴ ὅλον τὸν νεκρὸν ἐπιζητεῖς, ἀλλὰ τὴν κεφαλήν; Τὴν λυπήσασαν, φησί, γλῶτταν, ταύτην ἐπιθυμῶ σιγῶσαν ἰδεῖν. Ἀλλὰ τοὐναντίον ἔσται, ὅπερ οὖν καὶ γέγονεν, ἀθλία καὶ ταλαίπωρε· λαμπρότερον βοήσεται μετὰ ταῦτα ἀποτμηθεῖσα. Τότε μὲν γὰρ ἐν Ἰουδαίᾳ μόνον ἐβόα, νῦν δὲ πρὸς τὰ πέρατα τῆς οἰκουμένης ἀφίξεται· καὶ ὅπουπερ ἂν εἰσέλθῃς εἰς ἐκκλησίαν, κἂν ἐν τῇ Μαύρων, κἂν ἐν τῇ Περσῶν, κἂν πρὸς αὐτὰς τὰς Βρεττανικὰς νήσους, ἀκούεις βοῶντος Ἰωάννου,

4. Καὶ τί λέγει; «Δῶσέ μου ἐπάνω εἰς αὐτὸ ἐδῶ τὸ πιάτο τὴν κεφαλὴν τοῦ Ἰωάννου τοῦ Βαπτιστοῦ». Ποῦ τρέχεις πρὸς τοὺς κρημνούς, ἀθλία καὶ ταλαίπωρε; Μήπως εἶναι παρὼν ὁ κατήγορος; μήπως φαίνεται καὶ ἐνοχλεῖ; Ἄλλοι ἔλεγον, «εἶναι ἀνυπόφορον εἰς ἐμᾶς ἀκόμη καὶ νὰ τὸν βλέπωμεν», εἰς αὐτὴν ὅμως, ὅπως εἶπον, ἀκόμη καὶ νὰ τὸν ἀκούῃ. Διὰ τοῦτο λέγει, «δῶσέ μου ἐπάνω εἰς αὐτὸ ἐδῶ τὸ πιάτο τὴν κεφαλὴν τοῦ Ἰωάννου». Καὶ ὅμως εἰς τὴν φυλακὴν εὑρίσκεται ἐξ αἰτίας σου καὶ ἔχει δεθῇ μὲ ἁλυσίδας, καὶ εἶσαι ἀνεμπόδιστη εἰς τὸ νὰ νεανίζῃς εἰς τὸν ἔρωτα καὶ νὰ λέγῃς· τόσον πολὺ ἔχω ἐπηρεάσει τὸν βασιλέα, ὥστε οὔτε, ἐνῷ ἐκατηγορήθη δημοσίως, ἐνέδωσεν, οὔτε ἀπώθησε τὸν ἔρωτα, οὔτε ἀπηρνήθη καὶ ἀνήρεσε τὴν μοιχείαν μου, ἀλλὰ καὶ ἐκεῖνον ὁ ὁποῖος μὲ ἐκατηγόρησε, τὸν ἐφυλάκισε. Τί μαίνεσαι καὶ λυσσᾷς, ἀφοῦ ἔχεις τὸν νυμφίον τῆς ἁμαρτίας καὶ μετὰ τὸν ἔλεγχον; διατί ἐπιζητεῖς τράπεζαν ἐριννύων καὶ προετοιμάζεις συμπόσιον κακούργων δαιμόνων;

Εἶδες πόσον ἀσήμαντον, πόσον δειλόν, πόσον ἄνανδρον πρᾶγμα εἶναι ἡ κακία, πῶς ὅταν ἐπικρατήσῃ ἀπολύτως, τότε γίνεται ἀσθενεστέρα; Διότι αὐτὴ δὲν ἐταράσσετο τόσον πρὶν φυλακίσῃ τὸν Ἰωάννην, ὅσον τώρα ποὺ ἐφυλακίσθη, καὶ κατεφέρετο ἐναντίον του, λέγουσα· «Δῶσέ μου ἐπάνω εἰς αὐτὸ ἐδῶ τὸ πιάτο τὴν κεφαλὴν τοῦ Ἰωάννου». Καὶ διατί ἐδῶ; Φοβοῦμαι μήπως συγκαλυφθῇ ὁ φόνος, λέγει, μήπως κανεὶς τὸν γλυτώσῃ ἀπὸ τὸν κίνδυνον. Καὶ διατί δὲν ζητεῖς ὅλον τὸν νεκρόν, ἀλλὰ τὴν κεφαλήν του; Τὴν γλῶσσαν ἡ ὁποία μὲ ἠνώχλησε, λέγει, αὐτὴν ἐπιθυμῶ νὰ ἰδῶ νὰ σιωπᾷ. Ἀλλὰ τὸ ἀντίθετον θὰ γίνῃ, πρᾶγμα τὸ ὁποῖον καὶ ἔγινεν, ἀθλία καὶ ταλαίπωρε· λαμπρότερον θὰ βοήσῃ μετὰ ἀπὸ αὐτὰ ἀφοῦ ἀποκοπῇ. Διότι τότε μὲν μόνον εἰς τὴν Ἰουδαίαν ἠκούετο ἡ φωνή του, τώρα ὅμως εἰς τὰ πέρατα τῆς οἰκουμένης θὰ φθάσῃ· καὶ εἰς οἱανδήποτε ἐκκλησίαν καὶ ἂν εἰσέλθῃς, εἴτε εἰς τὴν ἐκκλησίαν τῶν Μαύρων, εἴτε εἰς τὴν τῶν Περσῶν, εἴτε καὶ εἰς αὐτὰς τὰς Βρεττανικὰς νήσους, ἀκούεις

«Οὐκ ἔξεστί σοι ἔχειν τὴν γυναῖκα Φιλίππου τοῦ ἀδελφοῦ σου». Ἀλλ' οὐδὲν τούτων εἰδυῖα αὕτη φιλοσοφεῖν, κατεπείγει καὶ ἄγχει καὶ ὠθεῖ τὸν ἀνόητον τύραννον ἐπὶ τὸν φόνον, δεδοικυῖα μή ποτε μεταβάληται.

Σὺ δὲ μάθε πάλιν κἀντεῦθεν τῆς ἀρετῆς τὴν ἰσχύν. Οὐδὲ ἐγκεκλεισμένον, οὐδὲ δεδεμένον καὶ σιγῶντα φέρει τὸν δίκαιον. Εἶδες πῶς ἀσθενὲς ἡ κακία, πῶς ἀκάθαρτον; Ἀντὶ γὰρ ἐδεσμάτων ἀνθρωπίνην κεφαλὴν ἐπὶ πίνακος εἰσάγει. Τί μιαρώτερον, τί δὲ ἐναγέστερον, τί δὲ ἀναιδέστερον τῆς κόρης ἐκείνης; οἵαν ἀφῆκε φωνὴν ἐν τῷ θεάτρῳ τοῦ διαβόλου, καὶ τῷ συμποσίῳ τῶν δαιμόνων; Εἶδες γλῶτταν καὶ γλῶτταν, τὴν μὲν φάρμακα φέρουσαν σωτήρια, τὴν δὲ δηλητήριον ἔχουσαν, καὶ τραπεζοποιὸν γινομένην ἑστιάσεως διαβολικῆς;

Ἀλλὰ τίνος ἕνεκεν οὐκ ἐκέλευσεν ἔνδον ἐν τῷ συμποσίῳ αὐτὸν κατασφαγῆναι, ἔνθα πλείων ἦν αὐτῇ ἡδονή; Ἐδεδοίκει μὴ παραγενόμενος καὶ ὀφθείς, ἅπαντας μεταβάλῃ διὰ τῆς ὄψεως, διὰ τῆς παρρησίας. Διά τοι τοῦτο τὴν κεφαλὴν ἐπιζητεῖ, τρόπαιον πορνείας λαμπρὸν στῆσαι βουλομένη· καὶ ἔδωκε τῇ μητρὶ αὐτῆς. Εἶδες τῆς ὀρχήσεως τὰ ἐπίχειρα, εἶδες τὰ λάφυρα τῆς διαβολικῆς ἐπιβουλῆς; οὐ τὴν κεφαλὴν Ἰωάννου λέγω, ἀλλ' αὐτὸν τὸν συνοικοῦντα. Εἰ γάρ τις ἀκριβῶς ἐξετάσειε, κατὰ τοῦ βασιλέως ἔστη τὸ τρόπαιον, καὶ ἡ νικήσασα ἡττᾶτο, καὶ ὁ ἀποτμηθεὶς ἐστεφανοῦτο καὶ ἀνεκηρύττετο, καὶ μετὰ τὴν τελευτὴν σφοδρότερον κατασείων τῶν ἡμαρτηκότων τὴν διάνοιαν. Καὶ ὅτι οὐ κόμπος τὰ εἰρημένα, αὐτὸν ἐρώτησον τὸν Ἡρώδην· ὅς, ἐπειδὴ τοῦ Χριστοῦ τὰ σημεῖα ἤκουσεν, ἔλεγεν· «Οὗτός ἐστιν Ἰωάννης· αὐτὸς ἠγέρθη ἐκ νεκρῶν, καὶ διὰ τοῦτο ἐνεργοῦσιν αἱ δυνάμεις

---

9. **Ματθ. 14, 2.**

τὸν Ἰωάννην νὰ βοᾷ· «Δὲν σοῦ ἐπιτρέπεται νὰ ἔχῃς τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου Φιλίππου». Ἀλλὰ μὴ σκεπτομένη τίποτε ἀπὸ ὅλα αὐτά, προτρέπει μὲ βίαν καὶ πιέζει καὶ ἐξωθεῖ τὸν ἀνόητον τύραννον εἰς τὸν φόνον, φοβουμένη μήπως ἀλλάξῃ γνώμην ἂν ἀναβάλῃ.

Σὺ δὲ πάλιν γνώρισε καὶ ἀπὸ ἐδῶ τὴν δύναμιν τῆς ἀρετῆς. Οὔτε φυλακισμένον, οὔτε δεμένον καὶ σιωπῶντα ὑποφέρει τὸν δίκαιον. Εἶδες πόσον ἀσθενὴς καὶ ἀκάθαρτον πρᾶγμα εἶναι ἡ κακία; Διότι ἀντὶ φαγητῶν θέτει εἰς τὸ πιάτον κεφαλὴν ἀνθρώπου. Τί περισσότερον βρωμερόν, τί περισσότερον βέβηλον, τί περισσότερον ἀδιάντροπον ὑπάρχει ἀπὸ τὴν κόρην ἐκείνην; ποῖον λόγον ἐξεστόμισεν εἰς τὸ θέατρον τοῦ διαβόλου καὶ εἰς τὸ συμπόσιον τῶν δαιμόνων; Εἶδες γλῶσσαν καὶ γλῶσσαν, ἡ μὲν μία νὰ φέρῃ φάρμακα σωτήρια, ἐνῷ ἡ ἄλλη νὰ ἔχῃ δηλητήριον καὶ νὰ παραθέτῃ τράπεζαν διαβολικῆς συνεστιάσεως;

Ἀλλὰ διατί δὲν ἐζήτησε νὰ κατασφαγῇ ὁ Ἰωάννης μέσα εἰς τὸ συμπόσιον, ὅπου περισσοτέρα θὰ ἦτο δι' αὐτὴν ἡ ἡδονή; Ἐφοβεῖτο μήπως, ἀφοῦ ἔλθῃ καὶ ἐμφανισθῇ, μεταβάλῃ τὴν διάθεσιν ὅλων διὰ τῆς παρουσίας του καὶ τῆς παρρησίας του. Διὰ τοῦτο ἐξάπαντος ζητεῖ τὴν κεφαλήν, ἐπειδὴ θέλει νὰ στήσῃ λαμπρὸν τρόπαιον πορνείας· καὶ τὴν ἔδωσεν εἰς τὴν μητέρα της. Εἶδες τὰς συνεπείας τοῦ χοροῦ, εἶδες τὰ λάφυρα τῆς διαβολικῆς ἐπιβουλῆς; Δὲν ἐννοῶ τὴν κεφαλὴν τοῦ Ἰωάννου, ἀλλ' αὐτὸν ποὺ ἦτο συγκάτοικος. Διότι ἐὰν ἐξετάσῃ κανεὶς μὲ ἀκρίβειαν, ἐναντίον τοῦ βασιλέως ἐστήθη τὸ τρόπαιον, καὶ ἐκείνη ἡ ὁποία ἐνίκησεν, ἡττήθη, καὶ ὁ ἀποκεφαλισθεὶς ἐστεφανοῦτο καὶ ἀνεκηρύσσετο καὶ ἐσάλευε τὸν νοῦν τῶν ἁμαρτησάντων μὲ περισσοτέραν σφοδρότητα μετὰ τὸν θάνατον. Καὶ ὅτι δὲν εἶναι μεγαλορρημοσύνη τὰ λεχθέντα, ἐρώτησε τὸν ἴδιον τὸν Ἡρώδην· ὁ ὁποῖος, ὅταν ἤκουσε τὰ θαύματα τοῦ Χριστοῦ, ἔλεγεν· «Αὐτὸς εἶναι ὁ Ἰωάννης ὁ Βαπτιστής· ἀνεστήθη ἐκ νεκρῶν καὶ δι' αὐτὸ αἱ θαυματουργικαὶ δυνάμεις ἐνεργοῦν δι' αὐτοῦ»*.

ἐν αὐτῷ». Οὕτως ἀκμάζοντα εἶχε τὸν φόβον καὶ διηνεκῆ τὴν ἀγωνίαν· καὶ οὐδεὶς ἀποβαλεῖν τὸ δέος τοῦ συνειδότος ἴσχυσεν, ἀλλ' ἔμεινεν ὁ δικαστὴς ἐκεῖνος ὁ ἀδέκαστος ἄγχων αὐτὸν καὶ καθ' ἡμέραν δίκην ἀπαιτῶν τῆς σφαγῆς.

Ταῦτα οὖν εἰδότες, μὴ φοβώμεθα τὸ κακῶς παθεῖν, ἀλλὰ τὸ δρᾶσαι κακῶς· τοῦτο μὲν γὰρ νίκη, ἐκεῖνο δὲ ἧττα. Διὸ καὶ ὁ Παῦλος ἔλεγε, «Διὰ τί οὐ μᾶλλον ἀδικεῖσθε; διὰ τί οὐ μᾶλλον ἀποστερεῖσθε; Ἀλλ' ὑμεῖς ἀδικεῖτε καὶ ἀποστερεῖτε, καὶ ταῦτα ἀδελφούς». Ἐν γὰρ τῷ πάσχειν κακῶς οἱ στέφανοι καὶ τὰ βραβεῖα, ἡ ἀνακήρυξις. Καὶ τοῦτο ἐπὶ πάντων ἔστι τῶν ἁγίων ἰδεῖν. Ἐπεὶ οὖν ἅπαντες ἐστεφανώθησαν οὕτως, ἀνεκηρύχθησαν οὕτως, καὶ ἡμεῖς ταύτην ὁδεύωμεν τὴν ὁδόν· καὶ εὐχώμεθα μὲν μὴ εἰσελθεῖν εἰς πειρασμόν· εἰ δὲ παραγένοιτο, μετὰ πολλῆς ἱστάμενοι τῆς ἀνδρείας, τὴν προσήκουσαν ἐπιδειξώμεθα προθυμίαν· ἵνα τῶν μελλόντων ἐπιτύχωμεν ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

10. Α' Κορ. 6, 7-8.

Τόσον δυνατὸν φόβον καὶ διαρκῆ ἀγωνίαν ᾐσθάνετο· καὶ κανεὶς δὲν κατώρθωσε ν' ἀποβάλῃ τὸν φόβον τῆς συνειδήσεως, ἀλλ' ἔμεινεν ὁ ἀδέκαστος ἐκεῖνος δικαστὴς νὰ τὸν περισφίγγῃ ὡς ἀγχόνη καὶ νὰ τὸν δικάζῃ καθημερινῶς διὰ τὴν σφαγήν.

Ἔχοντες αὐτὰ λοιπὸν ὑπ' ὄψιν, ἂς μὴ φοβώμεθα μήπως κακοπάθωμεν, ἀλλὰ μήπως πράξωμεν κακῶς· διότι αὐτὸ μὲν εἶναι νίκη, ἐνῷ ἐκεῖνο ἧττα. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε· «Διατί δὲν προτιμᾶτε νὰ ἀδικῆσθε μᾶλλον; διατί δὲν προτιμᾶτε μᾶλλον νὰ διαρπάζεσθε; Ἀλλ' ἀπεναντίας σεῖς ἀδικεῖτε καὶ διαρπάζετε καὶ μάλιστα τοὺς ἀδελφούς»[10]. Διότι εἰς τὴν κακοπάθειαν ἀκολουθοῦν οἱ στέφανοι καὶ τὰ βραβεῖα, ἡ ἀνακήρυξις. Καὶ αὐτὸ εἶναι δυνατὸν νὰ τὸ ἴδῃς εἰς ὅλους τοὺς ἁγίους. Ἀφοῦ λοιπὸν ὅλοι ἔτσι ἐστεφανώθησαν, ἔτσι ἀνεκηρύχθησαν, καὶ ἐμεῖς αὐτὴν τὴν ὁδὸν ἂς περιπατῶμεν. Καὶ ἂς εὐχώμεθα μὲν νὰ μὴ εἰσέλθωμεν εἰς πειρασμόν· ἐὰν ὅμως ἔλθῃ δοκιμασία, ἀφοῦ σταθῶμεν μὲ πολλὴν ἀνδρείαν, ἂς ἐπιδείξωμεν τὴν πρέπουσαν προθυμίαν. Διὰ νὰ ἐπιτύχωμεν τὰ μέλλοντα ἀγαθά, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΚΘ΄
Β΄ Κορ. 13, 1-9

«Τρίτον τοῦτο ἔρχομαι πρὸς ὑμᾶς. Ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα».

1. Πολλαχόθεν μὲν καὶ ἄλλοθεν, μάλιστα δὲ καὶ ἐκ τούτου τοῦ Παύλου τὴν φιλοσοφίαν ἔστιν ἰδεῖν, καὶ τὴν πολλὴν φιλοστοργίαν· πῶς πολὺς μὲν ἐν ταῖς παραγγελίαις καὶ σφοδρός, ὀκνηρὸς δὲ καὶ μελετητὴς ἐν ταῖς τιμωρίαις. Οὐ γὰρ εὐθέως ἁμαρτάνοντας ἐκόλασεν, ἀλλὰ παρήγγειλεν ἅπαξ καὶ δεύτερον· καὶ οὐδὲ οὕτω παρακούσαντας τιμωρεῖται, ἀλλὰ πάλιν παραγγέλλει λέγων, «Τρίτον τοῦτο ἔρχομαι, πρὸς ὑμᾶς», καὶ πρὶν ἢ παραγένωμαι, γράφω πάλιν. Εἶτα ἵνα μὴ ἡ μέλλησις ῥᾳθυμίαν ἐργάσηται, ὅρα πῶς καὶ τὸ ἐντεῦθεν διορθοῦται, συνεχῶς ἀπειλῶν καὶ ἐπανατεινόμενος τὴν πληγήν, καὶ λέγων, «Ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι»· καί, «Μή πως ἐλθὼν πενθήσω πολλούς». Ταῦτα δὲ ποιεῖ καὶ λέγει, καὶ ταύτῃ τὸν Δεσπότην τῶν ἁπάντων μιμούμενος· ἐπεὶ καὶ ὁ Θεὸς συνεχῶς μὲν ἀπειλεῖ καὶ πολλάκις παραγγέλλει, οὐ πολλάκις δὲ κολάζει καὶ τιμωρεῖται. Τοῦτο δὴ καὶ αὐτὸς ποιεῖ· καὶ διὰ τοῦτο καὶ ἔμπροσθεν ἔλεγεν, ὅτι «Φειδόμενος ὑμῶν, οὐκέτι ἦλθον εἰς Κόρινθον».

Τί ἐστι «φειδόμενος ὑμῶν»; Ἵνα μὴ εὑρὼν ἡμαρτηκότας καὶ ἀδιορθώτους μείναντας, ἐπάγω κόλασιν καὶ τιμωρίαν. Καὶ ἐνταῦθα, «Τρίτον τοῦτο ἔρχομαι πρὸς ὑμᾶς. Ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα».

ΛΟΓΟΣ ΚΘ΄
Β΄ Κορ. 13, 1 - 9

«Διὰ τρίτην αὐτὴν φορὰν ἔρχομαι εἰς ἐσᾶς. Συμφώνως δὲ πρὸς τὴν Γραφήν, μὲ τὴν μαρτυρίαν δύο μαρτύρων καὶ τριῶν θὰ βεβαιωθῇ κάθε λόγος».

1. Ἀπὸ πολλὰ σημεῖα μὲν καὶ ἀπὸ ἄλλοῦ, ἀλλὰ κυρίως ἀπὸ αὐτὸ ἠμποροῦμεν νὰ ἴδωμεν τὴν σοφίαν καὶ τὴν μεγάλην φιλοστοργίαν τοῦ Παύλου· πῶς δηλαδὴ ἐνῷ εἶναι δυνατὸς καὶ αὐστηρὸς εἰς τὰς παραγγελίας, εἰς τὰς τιμωρίας εἶναι ἀδρανὴς καὶ ἀναβάλλει συνεχῶς. Διότι δὲν ἐτιμώρησεν εὐθέως τοὺς ἁμαρτάνοντας, ἀλλὰ παρήγγειλε μίαν καὶ δευτέραν φοράν· καὶ οὔτε ἔτσι, ἂν καὶ παρήκουσαν, τοὺς τιμωρεῖ, ἀλλὰ πάλιν παραγγέλλει λέγων, «Διὰ τρίτην αὐτὴν φορὰν ἔρχομαι εἰς ἐσᾶς», καὶ πρὶν φθάσω, σᾶς γράφω πάλιν. Ὕστερον, διὰ νὰ μὴ ἔχῃ ἡ συνεχὴς ἀναβολὴ ὡς ἀποτέλεσμα νὰ γίνουν ράθυμοι, κοίταξε πῶς διορθώνει καὶ αὐτό, ἀπειλῶν συνεχῶς καὶ ὑψώνων τὴν χεῖρα διὰ νὰ κτυπήσῃ καὶ λέγων, «ἐὰν ἔλθω πάλιν, δὲν θὰ λυπηθῶ» καί, «μήπως ὅταν ἔλθω πενθήσω πολλούς». Αὐτὰ δὲ πράττει καὶ λέγει μιμούμενος καὶ εἰς τοῦτο τὸν Κύριον τῶν πάντων· διότι καὶ ὁ Θεὸς συνεχῶς μὲν ἀπειλεῖ καὶ πολλὰς φορὰς παραγγέλλει, ἀλλὰ δὲν κολάζει καὶ τιμωρεῖ πολλὰς φοράς. Αὐτὸ λοιπὸν κάνει καὶ ὁ Παῦλος· καὶ δι' αὐτὸ καὶ εἰς τὴν ἀρχὴν ἔλεγεν, ὅτι «ἐπειδὴ σᾶς λυποῦμαι δὲν ἦλθον εἰς τὴν Κόρινθον».

Τί σημαίνει «ἐπειδὴ σᾶς λυποῦμαι»; Διὰ νὰ μὴ ἐπιφέρω κολασμὸν καὶ τιμωρίαν ἀφοῦ εὕρω τοὺς ἁμαρτήσαντας νὰ ἔχουν μείνει ἀδιόρθωτοι. Καὶ ἐδῶ, «Διὰ τρίτην αὐτὴν φορὰν ἔρχομαι εἰς ἐσᾶς. Συμφώνως δὲ πρὸς τὴν Γραφήν, μὲ τὴν μαρτυρίαν δύο μαρτύρων καὶ τριῶν, θὰ βεβαιωθῇ κάθε

Ἄγραφον ἐγγράφῳ συνάπτει· ὃ καὶ ἀλλαχοῦ πεποίηκεν εἰπών, ὅτι «Ὁ κολλώμενος τῇ πόρνῃ, ἓν σῶμά ἐστιν· ἔσονται γάρ», φησίν, «οἱ δύο εἰς σάρκα μίαν». Καίτοιγε ἐπὶ νομίμου τοῦτο εἴρηται γάμου· ἀλλὰ ἀπεχρήσατο αὐτῷ εἰς τοῦτο συμφερόντως, ὥστε φοβῆσαι μειζόνως.

Οὕτω δὴ καὶ ἐνταῦθα ποιεῖ, ἀντὶ μαρτυριῶν τὰς παρουσίας αὐτοῦ τιθεὶς καὶ τὰς παραγγελίας. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἅπαξ εἶπον καὶ δεύτερον, ὅτε παρεγενόμην· λέγω καὶ νῦν διὰ γραμμάτων. Καὶ ἐὰν μὲν ἀκούσητε, ὅπερ ἐπεθύμουν γέγονεν· ἐὰν δὲ παρακούσητε, ἀνάγκη λοιπὸν στῆσαι τὰ εἰρημένα καὶ ἐπαγαγεῖν τὴν τιμωρίαν. Διό φησι· «Προείρηκα, καὶ προλέγω ὡς παρὼν τὸ δεύτερον, καὶ ἀπὼν νῦν γράφω τοῖς προημαρτηκόσι καὶ τοῖς λοιποῖς πᾶσιν, ὅτι, ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι». Εἰ γὰρ ἐπὶ στόματος δύο μαρτύρων καὶ τριῶν σταθήσεται πᾶν ῥῆμα, παρεγενόμην δὲ δεύτερον καὶ εἶπον, λέγω δὲ καὶ νῦν διὰ τῆς ἐπιστολῆς· ἀνάγκη με λοιπὸν ἀληθεῦσαι. Μὴ γὰρ δὴ νομίσητε ἔλαττον ἔχειν τὰ γράμματα τῆς παρουσίας· ὥσπερ γὰρ παρὼν ἔλεγον, οὕτω καὶ ἀπὼν νῦν γράφω. Εἶδες κηδεμονίαν πατρικήν; εἶδες διδασκάλῳ πρέπουσαν πρόνοιαν; Οὔτε ἐσίγησεν, οὔτε ἐκόλασεν, ἀλλὰ καὶ προλέγει πολλάκις, καὶ μένει διηνεκῶς ἀπειλῶν, καὶ ἀναβάλλεται τὴν τιμωρίαν, καὶ εἰ μένοιεν ἀδιόρθωτοι, τότε ἀπειλεῖ τὴν πεῖραν ἐπαγαγεῖν.

Τί δὲ προείρηκας παρὼν καὶ ἀπὼν γράφεις; «Ὅτι, ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι». Δείξας πρότερον ὅτι οὐ δύναται, ἂν μὴ ἀναγκασθῇ, τοῦτο ποιῆσαι καὶ πένθος τὸ

1. Β΄ Κορ. 13, 1.
2. Α΄ Κορ. 6, 16.
3. Β΄ Κορ. 13, 2.

λόγος». Συνάπτει τὸ ἄγραφον μὲ τὸ γραμμένον· πρᾶγμα τὸ ὁποῖον ἔκανε καὶ ἀλλοῦ ὅταν εἶπεν ὅτι, «Δὲν γνωρίζετε ὅτι ἐκεῖνος ποὺ προσκολλᾶται εἰς τὴν πόρνην εἶναι ἕνα σῶμα μὲ αὐτήν; Διότι θὰ γίνουν, λέγει, οἱ δύο μία σάρκα»[1]. Ἂν καὶ βεβαίως τοῦτο ἐλέχθη διὰ τὸν νόμιμον γάμον· ἀλλὰ παρήλλαξεν αὐτὸ ὅπως ἦτο συμφέρον δι' αὐτούς, ὥστε νὰ τοὺς φοβήσῃ περισσότερον.

Ἔτσι λοιπὸν κάμνει καὶ ἐδῶ, θέτων ἀντὶ μαρτυριῶν τὰς ἐπισκέψεις του ἐκεῖ καὶ τὰς παραγγελίας. Αὐτὸ ποὺ ἐννοεῖ δὲ εἶναι τὸ ἑξῆς· σᾶς εἶπον διὰ πρώτην καὶ δευτέραν φορὰν ὅταν ἦλθον· σᾶς λέγω καὶ τώρα δι' ἐπιστολῆς. Καὶ ἐὰν μὲν ἀκούσετε καὶ συμμορφωθῆτε, αὐτὸ τὸ ὁποῖον ἐπεθύμουν ἔγινεν· ἐὰν ὅμως παρακούσετε, εἶμαι ἠναγκασμένος εἰς τὴν συνέχειαν νὰ διατάξω τὰ λεχθέντα καὶ νὰ ἐπιφέρω τὴν τιμωρίαν. Διὰ τοῦτο λέγει, «Σᾶς ἔχω προείπει καὶ σᾶς προλέγω, ὅπως ὅταν ἤμουν παρὼν τὴν δευτέραν φορὰν καὶ ἀπὼν τώρα γράφω εἰς ἐκείνους ποὺ ἡμάρτησαν προηγουμένως καὶ εἰς ὅλους τοὺς λοιποὺς ὅτι, ὅταν ἔλθω πάλιν, δὲν θὰ σᾶς λυπηθῶ»[2]. Διότι ἐὰν μὲ τὴν μαρτυρίαν δύο μαρτύρων καὶ τριῶν θὰ βεβαιωθῇ κάθε λόγος, ἦλθον δὲ διὰ δευτέραν φορὰν καὶ σᾶς εἶπον καὶ σᾶς λέγω καὶ τώρα διὰ τῆς ἐπιστολῆς, εἶναι ἀνάγκη λοιπὸν νὰ πραγματοποιήσω τὸν λόγον μου. Διότι μὴ νομίσετε ὅτι τὰ γράμματα ἔχουν τίποτε ὀλιγώτερον ἀπὸ τὴν παρουσίαν· διότι ὅπως ὅταν σᾶς ἔλεγον ὅταν ἤμουν παρών, ἔτσι τώρα ποὺ ἀπουσιάζω σᾶς γράφω. Εἶδες πατρικὴν φροντίδα; Εἶδες πρόνοιαν ἡ ὁποία πρέπει εἰς διδάσκαλον; Οὔτε ἐσιώπησεν, οὔτε ἐτιμώρησεν, ἀλλὰ καὶ προλέγει πολλὰς φορὰς καὶ παραμένει διαρκῶς ἀπειλῶν καὶ ἀναβάλλει τὴν τιμωρίαν, καὶ ἐὰν θὰ παρέμενον ἀδιόρθωτοι, τότε ἀπειλεῖ ὅτι θὰ ἐπιφέρῃ τὴν τιμωρίαν.

Τί δὲ προεῖπες ὅταν ἦσουν παρὼν καὶ γράφεις τώρα ποὺ εἶσαι ἀπών; «Ὅτι, ὅταν ἔλθω πάλιν, δὲν θὰ σᾶς λυπηθῶ». Ἀφοῦ ἔδειξε προηγουμένως ὅτι δὲν ἠμπορεῖ, ἐὰν δὲν ἀναγκασθῇ, νὰ πράξῃ αὐτό, καὶ ἀφοῦ ἀπεκάλεσε τὸ πρᾶγμα

πρᾶγμα καλέσας καὶ ταπείνωσιν· «Μή πως γάρ», φησίν, «ἐλθόντα με ὁ Θεός μου ταπεινώσῃ πρὸς ὑμᾶς, καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων, καὶ μὴ μετανοησάντων»· καὶ ἀπολογησάμενος αὐτοῖς, ὅτι καὶ ἅπαξ καὶ δεύτερον καὶ τρίτον προεῖπε, καὶ ὅτι πάντα ποιεῖ καὶ μηχανᾶται, ὥστε ἀνακρούσασθαι τὴν τιμωρίαν, καὶ τῷ φόβῳ τῶν ῥημάτων βελτίους ποιῆσαι, τότε τὸ φορτικὸν τοῦτο καὶ φοβερὸν ἔθηκε λέγων, «Ὅτι, ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι». Οὐκ εἶπε, τιμωρήσομαι καὶ κολάσω καὶ ἀπαιτήσω δίκην, ἀλλὰ πάλιν πατρικοῖς ῥήμασι καὶ αὐτὴν τὴν τιμωρίαν τίθησι, δεικνὺς αὐτοῦ τὰ σπλάγχνα καὶ τὴν συναλγοῦσαν αὐτοῖς διάνοιαν, διότι ἀεὶ φειδόμενος ἀνεβάλλετο. Εἶτα, ἵνα μὴ καὶ νῦν νομίσωσιν, ὅτι πάλιν ἀναβολὴ καὶ ἁπλῶς ἀπειλὴ ῥημάτων, διὰ τοῦτο καὶ ἔμπροσθεν εἴρηκεν, «Ἐπὶ στόματος δύο καὶ τριῶν μαρτύρων σταθήσεται πᾶν ῥῆμα»· καί, «Ὅτι, ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι». Ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐκέτι ἀναβαλοῦμαι εἰ ἀδιορθώτους εὕροιμι, ὃ μὴ γένοιτο, ἀλλὰ ἐπάξω πάντως καὶ στήσω ὅπερ εἴρηκα.

2. *Εἶτα μετὰ πολλοῦ τοῦ θυμοῦ καὶ σφοδρᾶς τῆς ἀγανακτήσεως πρὸς τοὺς κωμῳδοῦντας αὐτὸν ὡς ἀσθενῆ, καὶ τὴν παρουσίαν αὐτοῦ χλευάζοντας, καὶ λέγοντας, «Ἡ παρουσία ἀσθενής, καὶ ὁ λόγος ἐξουθενημένος», ὡς πρὸς τούτους ἀποτεινόμενος, φησίν· «Ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ». Τοῦτο γὰρ ὁμοῦ μὲν πλήττων, ὁμοῦ δὲ κἀκείνων καθαπτόμενος εἴρηκεν. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἐπειδὴ βούλεσθε δοκιμάζειν εἰ ἐν ἐμοὶ ὁ Χριστὸς οἰκεῖ, καὶ εὐθύνας ἀπαιτεῖτε, καὶ διὰ τοῦτό με κωμῳδεῖτε, ὡς εὐτελῆ τε καὶ εὐκαταφρόνητον, ἅτε ἔρημον ὄντα τῆς δυνάμεως ἐκείνης· εἴσεσθε ὅτι οὐκ ἐσμὲν ἔρημοι, εἰ παράσχοιτε πρόφασιν, ὃ μὴ γένοιτο. Τί οὖν, εἰπέ μοι; Διὰ τοῦτο κολάζεις, ἐπειδὴ δοκιμὴν ζητοῦ-*

---

4. Β΄ Κορ. 13, 3.

πένθος καὶ ταπείνωσιν, διότι, «Μήπως», λέγει, «ὅταν πάλιν ἔλθω μὲ ταπεινώσῃ ὁ Θεός μου ἀπέναντί σας καὶ πενθήσω πολλοὺς ποὺ ἡμάρτησαν προηγουμένως καὶ δὲν μετενόησαν», καὶ ἀφοῦ ἀπελογήθη εἰς αὐτούς, ὅτι καὶ μίαν καὶ δευτέραν καὶ τρίτην φορὰν προεῖπε, καὶ ὅτι τὰ πάντα πράττει καὶ μηχανεύεται, ὥστε ν' ἀναβάλῃ τὴν τιμωρίαν, καὶ διὰ νὰ τοὺς ὁδηγήσῃ εἰς βελτίωσιν μὲ τὸν φόβον τῶν λόγων του, τότε ἔθεσεν αὐτὸ τὸ βαρὺ καὶ φοβερόν, λέγων, «Ὅτι, ὅταν ἔλθω πάλιν, δὲν θὰ σᾶς λυπηθῶ». Δὲν εἶπε, θὰ σᾶς τιμωρήσω καὶ θὰ σᾶς κολάσω καὶ θὰ σᾶς καταδικάσω, ἀλλὰ πάλιν μὲ πατρικοὺς λόγους ἀναφέρει καὶ τὴν τιμωρίαν ἀκόμη, δεικνύων τὴν εὐσπλαγχνίαν του καὶ τὴν συμπονοῦσαν ψυχήν του, διότι ἀνέβαλλεν ἐπειδὴ συνεχῶς τοὺς ἐλυπεῖτο. Ὕστερον, διὰ νὰ μὴ νομίσουν καὶ τώρα ὅτι πάλιν πρόκειται δι' ἁπλῆν ἀπειλὴν ἡ ὁποία θ' ἀναβληθῇ, διὰ τοῦτο καὶ εἶπε πρίν, «μὲ τὴν μαρτυρίαν δύο ἀνθρώπων καὶ τριῶν θὰ βεβαιωθῇ κάθε λόγος»· καί, «ὅτι, ὅταν ἔλθω πάλιν, δὲν θὰ σᾶς λυπηθῶ». Αὐτὸ ποὺ ἐννοεῖ δέ, εἶναι τὸ ἑξῆς· δὲν θ' ἀναβάλλω πλέον, ἐὰν σᾶς εὕρω ἀδιορθώτους, πρᾶγμα ποὺ εἴθε νὰ μὴ γίνῃ, ἀλλ' ὁπωσδήποτε θὰ τηρήσω καὶ θὰ πραγματοποιήσω ὅ,τι εἶπον.

2. Ὕστερον μὲ πολὺν θυμὸν καὶ σφοδρὰν ἀγανάκτησιν πρὸς ἐκείνους οἱ ὁποῖοι περιέπαιζον αὐτὸν ὡς ἀσθενῆ καὶ ἐχλεύαζον τὴν ἐμφάνισίν του καὶ ἔλεγον, «ἡ σωματική του ἐμφάνισις εἶναι ἰσχνὴ καὶ ὁ προφορικός του λόγος μηδαμινός», ὡς νὰ ἀποτείνεται πρὸς αὐτούς, λέγει· «ἀφοῦ ζητεῖτε ἀπόδειξιν διὰ τὸν Χριστόν, ὁ ὁποῖος ὁμιλεῖ δι' ἐμοῦ»[4]. Αὐτὸ δηλαδὴ τὸ εἶπε κτυπῶν συγχρόνως καὶ κατηγορῶν ἐκείνους. Αὐτὸ ποὺ ἐννοεῖ δὲ εἶναι τὸ ἑξῆς· Ἐπειδὴ θέλετε νὰ δοκιμάσετε ἐὰν κατοικῇ μέσα μου ὁ Χριστὸς καὶ ζητεῖτε λογαριασμόν, καὶ διὰ τοῦτο μὲ περιπαίζετε ὡς εὐτελῆ καὶ εὐκαταφρόνητον καὶ ὡσὰν νὰ εἶμαι γυμνὸς ἀπὸ τὴν δύναμιν ἐκείνην, θὰ γνωρίσετε ὅτι δὲν εἴμεθα γυμνοί, ἐὰν δώσητε ἀφορμήν, πρᾶγμα ποὺ εὔχομαι νὰ μὴ γίνῃ. Τί λοιπόν; Εἶπέ

σιν; Οὐχί, φησίν· εἰ γὰρ τοῦτο ἐζήτει, ἐκ πρώτης ἂν ἐκόλασεν ἁμαρτόντας, καὶ οὐκ ἀνεβάλλετο. Ὅτι δὲ οὐ τοῦτο ζητεῖ, προϊὼν τοῦτο σαφέστερον ἔδειξεν εἰπών, «Εὔχομαι δὲ μηδὲν ποιῆσαι ὑμᾶς κακόν, ἵνα μὴ ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλὰ ὑμεῖς δόκιμοι ἦτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν».

Οὐ τοίνυν αἰτιολογικῶς αὐτὸ τίθησιν, ἀλλὰ μᾶλλον ἀγανακτῶν, μᾶλλον καθαπτόμενος τῶν καταφρονούντων αὐτοῦ. Ἐγὼ μὲν γὰρ οὐ βούλομαι, φησί, δοῦναι πεῖραν ὑμῖν τοιαύτην· εἰ δὲ αὐτοὶ παρέχοιτε τὴν αἰτίαν, καὶ βουληθείητέ με ἐκκαλέσασθαι, εἴσεσθε διὰ τῶν ἔργων αὐτῶν. Καὶ ὅρα πῶς φορτικὸν ποιεῖ τὸν λόγον. Οὐ γὰρ εἶπεν, ἐπειδὴ δοκιμὴν ζητεῖτε ἐμοῦ, ἀλλά, «τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ», δεικνὺς ὅτι εἰς ἐκεῖνον ἡμάρτανον. Καὶ οὐχ ἁπλῶς εἶπε, τοῦ ἐνοικοῦντος, ἀλλά, «τοῦ λαλοῦντος», δεικνὺς πνευματικὰ ὄντα τὰ ῥήματα. Εἰ δὲ οὐκ ἐνδείκνυται αὐτοῦ τὴν ἰσχύν, οὐδὲ κολάζει· λοιπὸν γὰρ ἀφ' ἑαυτοῦ τὸν λόγον ἐκεῖ μετήγαγε, φοβερωτέραν ποιῶν τὴν ἀπειλήν· οὐ δι' ἀσθένειαν· δύναται γάρ· ἀλλὰ διὰ μακροθυμίαν. Μὴ τοίνυν τὴν ἀνοχὴν αὐτοῦ ἀσθένειάν τις λογιζέσθω. Τί γὰρ θαυμάζεις, εἰ οὐκ ἐπεξέρχεται νῦν ἁμαρτάνουσιν, οὐδὲ ἀπαιτεῖ δίκην ἀνεχόμενος καὶ μακροθυμῶν, ὅπου γε καὶ σταυρωθῆναι αὐτὸς ὑπέμεινε, καὶ τοιαῦτα πάσχων οὐκ ἐκόλαζε; Διὸ καὶ ἐπήγαγεν, «Ὃς εἰς ὑμᾶς οὐκ ἀσθενεῖ, ἀλλὰ δύναται ἐν ὑμῖν. Καὶ γὰρ εἰ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ».

Πολλὴν ἀσάφειαν ἔχει τὰ ῥήματα, καὶ τοῖς ἀσθενεστέροις θόρυβον ἐντίθησι. Διόπερ ἀναγκαῖον αὐτὰ ἀναπλῶσαι σαφέστερον, καὶ τῆς λέξεως ταύτης εἰπεῖν τὰ σημαινόμενα, περὶ ἣν ἡ ἀσάφεια, ἵνα μηδεὶς σκανδαλίζηται μηδὲ τῶν ἀφε-

---

5. Β' Κορ. 13, 3-4.

μου. Διὰ τοῦτο τιμωρεῖς, ἐπειδὴ ζητοῦν ἀπόδειξιν; Ὄχι, λέγει· διότι ἐὰν ἐζήτει αὐτό, ἀπὸ τὴν πρώτην φορὰν ποὺ θὰ ἡμάρτανον θὰ τοὺς εἶχε τιμωρήσει, καὶ δὲν θὰ ἀνέβαλλε. Τὸ ὅτι δὲ δὲν ζητεῖ αὐτό, τὸ ἔδειξε σαφέστερον εἰς τὴν συνέχειαν, ὅταν εἶπεν, «Εὔχομαι δὲ εἰς τὸν Θεὸν νὰ μὴ πράξετε κανένα κακόν, ὄχι διὰ νὰ μὴ φανῶμεν ἐμεῖς ἀποτυχόντες, ἀλλὰ διὰ νὰ πράξετε σεῖς τὸ καλόν, ἐμεῖς δὲ ἂς φαινώμεθα ὡς ἀποτυχόντες».

Αὐτὸ λοιπὸν δὲν τὸν λέγει διὰ νὰ δικαιολογήσῃ, ἀλλὰ μᾶλλον ἀπὸ ἀγανάκτησιν, μᾶλλον κατηγορῶν ἐκείνους οἱ ὁποῖοι τὸν κατεφρόνουν. Διότι ἐγὼ μὲν δὲν θέλω νὰ σᾶς δώσω τέτοιαν δοκιμασίαν· ἐὰν ὅμως σεῖς οἱ ἴδιοι μοῦ δίδετε τὴν ἀφορμὴν καὶ θελήσετε νὰ μὲ προκαλέσετε, θὰ γνωρίσετε δι' αὐτῶν τῶν ἔργων. Καὶ πρόσεξε πῶς κάμνει αὐστηρὸν τὸν λόγον. Δὲν εἶπε δηλαδή, ἐπειδὴ ζητεῖτε ἀπόδειξιν δι' ἐμέ, ἀλλά, «διὰ τὸν Χριστόν, ὁ ὁποῖος ὁμιλεῖ δι' ἐμοῦ», δεικνύων ὅτι εἰς ἐκεῖνον ἡμάρτανον. Καὶ δὲν εἶπεν ἁπλῶς, ὁ ὁποῖος κατοικεῖ μέσα μου, ἀλλά, «ὁ ὁποῖος ὁμιλεῖ», δεικνύων ὅτι οἱ λόγοι του ἦσαν πνευματικοί. Ἐὰν λοιπὸν δὲν ἀποδεικνύῃ τὴν δύναμίν του, οὔτε τιμωρεῖ· ἄρα λοιπὸν ἀπὸ μόνος του ὡδήγησε τὸν λόγον ἐκεῖ, διὰ νὰ καταστήσῃ φοβερωτέραν τὴν ἀπειλήν· ὄχι ἀπὸ ἀδυναμίαν· διότι ἔχει τὴν δύναμιν· ἀλλ' ἀπὸ μακροθυμίαν. Ἂς μὴ θεωρήσῃ λοιπὸν κανεὶς τὴν ἀνοχήν του ὡς ἀδυναμίαν. Διότι διατί ἀπορεῖς, ἐὰν δὲν τιμωρῇ τώρα τοὺς ἁμαρτάνοντας, οὔτε καταδικάζῃ ἀνεχόμενος καὶ μακροθυμῶν, ἀφοῦ καὶ νὰ σταυρωθῇ ὑπέμεινε, καὶ ἐνῷ ἔπασχε τέτοια δὲν ἐτιμώρει; Διὰ τοῦτο καὶ προσέθεσε, «καὶ ὁ ὁποῖος δὲν εἶναι ἀπέναντί σας ἀδύνατος, ἀλλὰ δυνατὸς μεταξύ σας. Διότι, ἂν καὶ ἐσταυρώθη ἐν ἀδυναμίᾳ, ζῇ ὅμως μὲ τὴν δύναμιν τοῦ Θεοῦ»[5].

Πολλὴν ἀσάφειαν ἔχουν αὐτοὶ οἱ λόγοι καὶ ἐμβάλλουν ταραχὴν εἰς τοὺς ἀσθενεστέρους. Διὰ τοῦτο εἶναι ἀναγκαῖον νὰ τὰ ἀναπτύξωμεν σαφέστερον καὶ νὰ εἴπωμεν αὐτὰ ποὺ σημαίνονται ἀπὸ αὐτὴν τὴν λέξιν, γύρω ἀπὸ τὴν ὁποίαν ὑ-

λεστέρων. Τί ποτ' οὖν ἐστὶ τὸ εἰρημένον, καὶ τί δηλοῖ τὸ τῆς ἀσθενείας ὄνομα, καὶ κατὰ ποῖον σημαινόμενον εἴρηται, ἀναγκαῖον μαθεῖν. Μία μὲν γὰρ ἡ λέξις, πολλὰ δὲ τὰ ἐξ αὐτῆς δηλούμενα. Καὶ γὰρ ἀσθένεια λέγεται ἡ τοῦ σώματος ἀρρωστία· διὸ καὶ ἐν τῷ εὐαγγελίῳ εἴρηται, «Ἴδε ὃν φιλεῖς ἀσθενεῖ», περὶ τοῦ Λαζάρου· καὶ αὐτὸς ἔλεγεν, «Ἡ ἀσθένεια αὕτη οὐκ ἔστι πρὸς θάνατον»· καὶ περὶ τοῦ Ἐπαφρᾶ ὁ Παῦλος· «Καὶ γὰρ ἠσθένησε παραπλήσιον θανάτου, ἀλλ' ὁ Θεὸς αὐτὸν ἠλέησε»· καὶ περὶ τοῦ Τιμοθέου, «Οἴνῳ ὀλίγῳ χρῶ διὰ τὸν στόμαχόν σου καὶ τὰς πυκνάς σου ἀσθενείας». Ταῦτα γὰρ ἅπαντα σωματικὴν ἀρρωστίαν δηλοῖ.

Λέγεται πάλιν ἀσθένεια τὸ μὴ πεπηγέναι ἐν τῇ πίστει ἁπλῶς, μηδὲ τέλειον εἶναι καὶ ἀπηρτισμένον. Καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγε· «Τὸν δὲ ἀσθενοῦντα τῇ πίστει προσλαμβάνεσθε, μὴ εἰς διακρίσεις διαλογισμῶν»· καὶ πάλιν, «Ὃς μὲν πιστεύει φαγεῖν πάντα, ὁ δὲ ἀσθενῶν λάχανα ἐσθίει»· τὸν ἐν τῇ πίστει ἀσθενοῦντα δηλῶν. Ἰδοὺ δύο σημαινόμενα ἐκ τῆς ἀσθενείας ἐστί· καὶ τρίτον ἕτερον, ὃ καλεῖται ἀσθένεια. Ποῖον δὴ τοῦτο; Οἱ διωγμοί, αἱ ἐπιβουλαί, αἱ ἐπήρειαι, οἱ πειρασμοί, αἱ ἐπαγωγαί. Καὶ τοῦτο δηλῶν ὁ Παῦλος ἔλεγεν· «Ὑπὲρ τούτου πρὸς τὸν Κύριον παρεκάλεσε· καὶ εἰπέ μοι, ἀρκεῖ σοι ἡ χάρις μου· ἡ γὰρ δύναμίς μου ἐν ἀσθενείᾳ τελειοῦται.

Τί ἐστιν, «ἐν ἀσθενείᾳ»; Ἐν διωγμοῖς, ἐν κινδύνοις, ἐν πειρασμοῖς, ἐν ἐπιβουλαῖς, ἐν θανάτοις. Καὶ τοῦτο δηλῶν ἔλεγε, «Διὸ εὐδοκῶ ἐν ἀσθενείᾳ». Εἶτα δεικνὺς ποίαν λέγει

6. Ἰω. 11, 3-4.
7. Φιλ. 2, 27.
8. Α' Τιμ. 5, 23.
9. Ρωμ. 14, 1-2.

πάρχει ἡ ἀσάφεια, ὥστε νὰ μὴ σκανδαλίζεται κανείς, οὔτε ἀπὸ τοὺς ἁπλοϊκοτέρους. Εἶναι λοιπὸν ἀνάγκη νὰ μάθωμεν τί ἆρά γε σημαίνει τὸ λεχθέν, καὶ τί δηλώνει ἡ λέξις ἀδυναμία καὶ μὲ ποίαν σημασίαν ἐλέχθη. Διότι εἶναι μὲν μία ἡ λάξις, ἀλλὰ πολλὰ αὐτὰ ποὺ δηλοῦνται ἀπὸ αὐτήν. Καὶ βεβαίως ἀσθένεια λέγεται ἡ ἀρρώστεια τοῦ σώματος· διὰ τοῦτο καὶ αὐτὸ ποὺ ἔχει λεχθῆ εἰς τὸ εὐαγγέλιον, «Κύριε, ἐκεῖνος ποὺ ἀγαπᾶς εἶναι ἀσθενής»[5], ἐλέχθη διὰ τὸν Λάζαρον. Καὶ ὁ Κύριος ἔλεγεν, «αὐτὴ ἡ ἀσθένεια δὲν θὰ καταλήξῃ εἰς θάνατον»[6]· καὶ διὰ τὸν Ἐπαφρᾶν ὁ Παῦλος ἔλεγε· «Πράγματι, εἶχεν ἀσθενήσει καὶ ἐκινδύνευσε ν' ἀποθάνῃ, ἀλλ' ὁ Θεὸς τὸν ἠλέησε»[7]· καὶ διὰ τὸν Τιμόθεον, «κάνε χρῆσιν ὀλίγου οἴνου διὰ τὸ στομάχι σου καὶ τὰς συχνὰς ἀσθενείας σου»[8]. Ὅλα λοιπὸν αὐτὰ φανερώνουν σωματικὴν ἀρρώστειαν.

Ἀσθένεια λέγεται ἀκόμη τὸ νὰ μὴ ἔχῃ στερεωθῆ κανεὶς εἰς τὴν πίστιν μὲ δύναμιν καὶ νὰ μὴ εἶναι τέλειος καὶ ὡλοκληρωμένος. Καὶ αὐτὸ δηλῶν ὁ Παῦλος ἔλεγεν· «Ἐκεῖνον ποὺ εἶναι ἀσθενὴς κατὰ τὴν πίστιν καὶ τὸν δέχεσθε, ἀλλ' ὄχι διὰ συζητήσεις γνωμῶν»[9], καὶ πάλιν, «Ὁ ἕνας πιστεύει ὅτι ἐπιτρέπεται νὰ φάγῃ ἀπὸ ὅλα, ἀλλ' ὁ ἀσθενὴς τρώγει λάχανα», δηλῶν ἐκεῖνον ποὺ εἶναι ἀσθενὴς κατὰ τὴν πίστιν. Νά, λοιπόν, δύο πράγματα ποὺ σημαίνονται μὲ τὴν λέξιν ἀσθένεια· ὑπάρχει καὶ ἄλλο τρίτον, ποὺ ὀνομάζεται ἀσθένεια. Ποῖον λοιπὸν αὐτό; Οἱ διωγμοί, αἱ παγίδες, αἱ δυστυχίαι, αἱ δοκιμασίαι, αἱ ἐπιθέσεις. Καὶ αὐτὸ δηλῶν ὁ Παῦλος ἔλεγε· «Τρεῖς φορὰς παρεκάλεσα τὸν Κύριον δι' αὐτό, διὰ νὰ φύγῃ ἀπὸ ἐμέ, καὶ μοῦ εἶπε, σοῦ εἶναι ἀρκετὴ ἡ χάρις μου, διότι ἡ δύναμίς μου φανεροῦται τελεία ἐκεῖ ὅπου ὑπάρχει ἀδυναμία».

Τί σημαίνει «ὅπου ὑπάρχει ἀδυναμία»; Ὅπου ὑπάρχουν διωγμοί, κίνδυνοι, δοκιμασίαι, παγίδες, θάνατοι. Καὶ αὐτὸ δηλῶν ἔλεγε, «Διὰ τοῦτο εὐφραίνομαι μὲ τὴν ἀσθένειάν μου». Ὕστερον, δεικνύων ποίαν ἀσθένειαν ἐννοεῖ, δὲν εἶπε

ἀσθένειαν, οὐ πυρετὸν εἶπεν, οὐκ ἀμφιβολίαν τὴν περὶ τὴν πίστιν, ἀλλὰ τί; «Ἐν ὕβρεσιν, ἐν διωγμοῖς, ἐν ἀνάγκαις, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς ἵνα ἐπισκηνώσῃ ἐπ' ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ. Ὅταν γὰρ ἀσθενῶ, τότε δυνατός εἰμι»· τουτέστιν, ὅταν διώκωμαι, ὅταν ἐλαύνωμαι, ὅταν ἐπιβουλεύωμαι, τότε δυνατός εἰμι, τότε μᾶλλον κρατῶ καὶ περιγίνομαι τῶν ἐπιβουλευόντων, τῆς χάριτος δαψιλέστερον ἐνιζανούσης ἐμοί. Κατὰ δὴ τοῦτο τὸ τρίτον τὴν ἀσθένειαν τέθεικεν ὁ Παῦλος· καὶ ὃ λέγει τοῦτό ἐστι· πρὸς ἐκεῖνο πάλιν ἀποτεινόμενος, ὃ καὶ ἔμπροσθεν εἶπον, ὅτι εὐτελὴς αὐτοῖς ἐδόκει εἶναι καὶ εὐκαταφρόνητος. Οὐ γὰρ δὴ ἐβούλετο κομπάζειν, οὐδὲ ὅπερ ἦν, εἶναι δοκεῖν αὐτόν, οὐδὲ τὴν δύναμιν ἐνδείκνυσθαι, ἣν εἶχεν εἰς τὸ κολάζειν καὶ τιμωρεῖσθαι· ὅθεν καὶ ἐνομίζετο εὐτελὴς εἶναι. Ἐπεὶ οὖν τοῦτο νομίζοντες ἐν πολλῇ ῥαθυμίᾳ ἦσαν καὶ ἀναισθησίᾳ, καὶ οὐ μετεβάλλοντο ἐκ τῶν ἁμαρτημάτων, καιρὸν ἐπιτήδειον λαβών, καὶ περὶ τούτων εὐτόνως σφόδρα διαλέγεται, δεικνὺς ὅτι οὐ δι' ἀσθένειαν οὐδὲν ἐποίει, ἀλλὰ διὰ μακροθυμίαν.

3. Εἶτα, ὅπερ ἔφην, ἀφ' ἑαυτοῦ τὸν λόγον ἐπὶ τὸν Χριστὸν μεταγαγών, ἐπιτείνει τὸν φόβον, αὔξει τὴν ἀπειλήν. Ὃ δὲ λέγει, τοῦτό ἐστι· μὴ γάρ, καὶ ἐὰν ποιήσω τι, καὶ κολάσω καὶ τιμωρήσωμαι τοὺς ἡμαρτηκότας, ἐγώ εἰμι ὁ κολάζων καὶ τιμωρούμενος; ἔστιν ὁ ἐν ἐμοὶ οἰκῶν, αὐτὸς ὁ Χριστός. Εἰ δὲ οὐ πιστεύετε τοῦτο, ἀλλὰ βούλεσθε λαβεῖν δοκιμὴν διὰ τῶν ἔργων τοῦ ἐνοικοῦντος ἐν ἐμοί, εἴσεσθε ταχέως· οὐδὲ γὰρ ἀσθενεῖ εἰς ὑμᾶς, ἀλλὰ καὶ δυνατός ἐστι. Καὶ διὰ τί προσέθηκεν, «εἰς ὑμᾶς», καίτοι πανταχοῦ δυνατός ἐστι; κἂν γὰρ ἀπίστους βουληθῇ κολάσαι, δύναται· κἂν δαίμονας, κἂν ὁτιοῦν.

πυρετόν, οὔτε ἀμφιβολίαν διὰ τὴν πίστιν, ἀλλὰ τί; «Εἰς ὕβρεις, εἰς διωγμούς, εἰς ταλαιπωρίας, εἰς τὰς ἀδυναμίας, εἰς τὰς στερήσεις, εἰς φυλακάς, διὰ νὰ κατασκηνώσῃ εἰς ἐμὲ ἡ δύναμις τοῦ Χριστοῦ. Διότι ὅταν εἶμαι ἀσθενής, τότε εἶμαι δυνατός»· δηλαδὴ ὅταν μὲ καταδιώκουν, ὅταν μὲ κατατρέχουν, ὅταν σχεδιάζουν ἐναντίον μου, τότε εἶμαι δυνατός, τότε περισσότερον ἐπικρατῶ καὶ νικῶ ὅσους μὲ ἐπιβουλεύονται, διότι ἡ χάρις πλουσιώτερον ἐπικάθηται μέσα μου. Μὲ αὐτὴν τὴν σημασίαν λοιπόν, τὴν τρίτην, ἐχρησιμοποίησεν ὁ Παῦλος τὴν λέξιν ἀσθένεια, καὶ αὐτὸ ποὺ λέγει σημαίνει τὸ ἑξῆς· ἀναφέρεται δηλαδὴ εἰς ἐκεῖνο τὸ ὁποῖον εἶπον προηγουμένως, ὅτι δηλαδὴ ἐφαίνετο εἰς αὐτοὺς ὅτι εἶναι εὐτελὴς καὶ εὐκαταφρόνητος. Διότι δὲν ἤθελε βεβαίως νὰ κομπορρημονῇ, οὔτε αὐτὸ ποὺ ἦτο ἤθελε νὰ δείξῃ, οὔτε τὴν δύναμιν τὴν ὁποίαν εἶχεν εἰς τὸ νὰ κολάζῃ καὶ νὰ τιμωρῇ· διὰ τοῦτο καὶ ἐνομίζετο ὅτι εἶναι εὐτελής. Ἐπειδὴ λοιπόν, ἔχοντες αὐτὴν τὴν γνώμην, εὑρίσκοντο εἰς πολλὴν ἀναισθησίαν καὶ ραθυμίαν, καὶ δὲν ἀπεμακρύνοντο ἀπὸ τὰς ἁμαρτίας, ἀφοῦ ἔλαβε τὴν εὐκαιρίαν ὁμιλεῖ καὶ δι' αὐτὰ μὲ δύναμιν καὶ αὐστηρότητα, δεικνύων ὅτι ὄχι ἀπὸ ἀδυναμίαν, ἀλλὰ ἀπὸ μακροθυμίαν δὲν ἔκαμνε τίποτε.

3. Ὕστερον, ὅπως εἶπον, ἀφοῦ ἀπὸ μόνος του μετέφερε τὸν λόγον εἰς τὸν Χριστόν, ἐπιτείνει τὸν φόβον, αὐξάνει τὴν ἀπειλήν. Αὐτὸ δὲ ποὺ λέγει, σημαίνει τὸ ἑξῆς· μήπως, καὶ ἐὰν κάνω κάτι καὶ κολάσω καὶ τιμωρήσω τοὺς ἁμαρτήσαντας, ἐγὼ εἶμαι αὐτὸς ποὺ κολάζει καὶ τιμωρεῖ; Εἶναι αὐτὸς ποὺ κατοικεῖ μέσα μου, ὁ ἴδιος ὁ Χριστός. Ἐὰν ὅμως δὲν πιστεύετε αὐτό, ἀλλὰ θέλετε νὰ λάβετε ἀπόδειξιν διὰ τῶν ἔργων τοῦ Χριστοῦ ποὺ κατοικεῖ μέσα μου, θὰ λάβετε συντόμως· διότι δὲν εἶναι ἀδύνατος εἰς σᾶς, ἀλλὰ καὶ δυνατὸς μάλιστα. Καὶ διατί προσέθεσεν «εἰς ἐσᾶς», ἐνῷ παντοῦ εἶναι δυνατός; Διότι, καὶ ἂν ἀκόμη θελήσῃ νὰ κολάσῃ ἀπίστους ἠμπορεῖ νὰ τὸ πράξῃ· καὶ ἂν ἀκόμη δαίμονας, καὶ ἂν ἀκόμη ὁ,τιδήποτε ἄλλο.

Τί οὖν βούλεται ἡ προσθήκη; Σφόδρα ἐντρέποντος αὐτούς ἐστι τὸ ῥῆμα, ἀφ' ὧν ἤδη πεῖραν εἰλήφασιν· ἢ τοῦτο δηλοῦντος, ὅτι τέως ἐν ὑμῖν τὴν δύναμιν ἐπιδείκνυται τοῖς ὀφείλουσι διορθωθῆναι. Ὃ καὶ ἀλλαχοῦ ἔλεγε· «Τί γάρ μοι καὶ τοὺς ἔξω κρίνειν;». Τοὺς μὲν γὰρ ἔξω, φησί, τότε ἀπαιτήσει δίκην κατὰ τὴν ἡμέραν τῆς κρίσεως· ὑμᾶς δὲ καὶ νῦν, ὥστε ἐκείνης ἐξελέσθαι τῆς τιμωρίας. Ἀλλ' ὅμως καὶ τὸ κηδεμονικὸν τοῦτο καὶ διὰ φιλοστοργίαν γινόμενον, ὅρα πῶς μετὰ φόβου τίθησι καὶ πολλοῦ τοῦ θυμοῦ, λέγων· «Ὃς οὐκ ἀσθενεῖ εἰς μᾶς, ἀλλὰ δύναται ἐν ὑμῖν. Καὶ γὰρ εἰ ἐσταυρώθη ἐξ ἀσθενείας, ἀλλὰ ζῇ ἐκ δυνάμεως Θεοῦ».

Τί ἐστιν, «εἰ ἐσταυρώθη ἐξ ἀσθενείας»; Καὶ γὰρ εἰ εἵλετο, φησί, πρᾶγμα ὑπομεῖναι δοκοῦν ἀσθενείας ἔχειν ὑπόληψιν, ἀλλ' οὐδὲν τοῦτο τὴν δύναμιν αὐτοῦ διακόπτει· μένει γὰρ αὕτη ἄμαχος οὖσα, καὶ οὐδὲν τὸ πρᾶγμα τὸ δοκοῦν ἀσθενείας εἶναι ταύτην παρέβλαψεν, ἀλλ' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα αὐτοῦ δείκνυσι τὴν ἰσχύν, ὅτι καὶ τοιοῦτον πρᾶγμα ὑπέμεινε, καὶ τὰ τῆς δυνάμεως αὐτοῦ οὐκ ἠκρωτηριάσθη. Μὴ τοίνυν σε θορυβείτω ἡ λέξις τῆς ἀσθενείας· καὶ γὰρ καὶ ἀλλαχοῦ φησι· «Τὸ μωρὸν τοῦ Θεοῦ σοφώτερον τῶν ἀνθρώπων ἐστί, καὶ τὸ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί»· καίτοι οὔτε μωρόν, οὔτε ἀσθενὲς οὐδὲν ὁ Θεὸς ἔχει· ἀλλὰ τὸν σταυρὸν οὕτως ἐκάλεσε, τὴν τῶν ἀπίστων ὑπόνοιαν τὴν περὶ αὐτοῦ ἐξηγούμενος.

Ἄκουσον γοῦν αὐτοῦ ἑαυτὸν ἑρμηνεύοντος· «Ὁ λόγος γὰρ ὁ τοῦ σταυροῦ τοῖς μὲν ἀπολλυμένοις μωρία ἐστί, τοῖς δὲ σωζομένοις δύναμις Θεοῦ ἐστι»· καὶ πάλιν· «Ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, Ἕλλησι

---

10. Α' Κορ. 5, 12.
11. Α' Κορ. 1, 25.
12. Α' Κορ. 1, 18.

Τί θέλει λοιπὸν νὰ δείξη μὲ τὴν προσθήκην; Λέγει τὸν λόγον αὐτὸν διὰ νὰ τοὺς ἐντροπιάσῃ πάρα πολύ, ἀπὸ ὅσα ἤδη συνέβησαν εἰς αὐτούς· ἢ διὰ νὰ δηλώσῃ αὐτό, ὅτι δηλαδὴ κατ' ἀρχὴν δεικνύει τὴν δύναμιν εἰς ἐσᾶς ποὺ ὀφείλετε νὰ διορθωθῆτε. Πρᾶγμα ποὺ ἔλεγε καὶ ἀλλοῦ· «Διότι ποίαν ἁρμοδιότητα ἔχω νὰ κρίνω τοὺς ἔξω;»[10]. Διότι τοὺς μὴ Χριστιανούς, λέγει, θὰ κρίνῃ καὶ θὰ τιμωρήσῃ τότε, κατὰ τὴν ἡμέραν τῆς κρίσεως· σᾶς ὅμως καὶ τώρα, ὥστε ν' ἀπαλλαγῆτε ἀπὸ ἐκείνην τὴν τιμωρίαν. 'Αλλ' ὅμως καὶ αὐτὸ ποὺ γίνεται ἀπὸ πατρικὴν φροντίδα καὶ φιλοστοργίαν, κοίταξε πῶς τὸ λέγει μὲ πολὺν θυμὸν καὶ φοβέραν· «ὁ ὁποῖος δὲν εἶναι ἀδύνατος ἀπέναντί σας, ἀλλὰ δυνατὸς μεταξύ σας. Διότι ἂν καὶ ἐσταυρώθη ἐν ἀδυναμίᾳ, ζῇ ὅμως μὲ τὴν δύναμιν τοῦ Θεοῦ».

Τί σημαίνει, «ἂν καὶ ἐσταυρώθη ἐν ἀδυναμίᾳ;». Διότι, ἂν καὶ ἤθελε, λέγει, νὰ ὑπομείνῃ πρᾶγμα τὸ ὁποῖον ἐθεωρεῖτο ἀδυναμία, αὐτὸ δὲν διακόπτει καθόλου τὴν δύναμίν του· διότι ἡ δύναμίς του παραμένει ἀκαταμάχητος, καὶ εἰς τίποτε δὲν τὴν ἔβλαψεν αὐτὸ ποὺ φαίνεται ὡς ἀδυναμία, ἀλλ' αὐτὸ ἀκριβῶς κατ' ἐξοχὴν δεικνύει τὴν δύναμίν του, ὅτι δηλαδὴ καὶ ὑπέμεινε τέτοιο πρᾶγμα, καὶ ἡ δύναμίς του δὲν ἠκρωτηριάσθη. Μὴ σὲ θορυβῇ λοιπὸν ἡ λέξις ἀσθένεια· διότι καὶ ἀλλοῦ λέγει· «Διότι ἐκεῖνο ποὺ ἐνεργεῖ ὁ Θεὸς καὶ οἱ ἄπιστοι τὸ θεωροῦν ἀνόητον, εἶναι σοφώτερον ἀπὸ τοὺς ἀνθρώπους, καὶ ἐκεῖνο ποὺ θεωρεῖται ἀδυναμία τοῦ Θεοῦ εἶναι δυνατώτερον ἀπὸ τὴν δύναμιν τῶν ἀνθρώπων»[11]· ἂν καὶ τίποτε ἀνόητον, οὔτε ἀσθενὲς ἔχει ὁ Θεός· ἀλλ' ὠνόμασεν ἔτσι τὸν σταυρόν, διὰ νὰ ἐκφράσῃ τὴν δοξασίαν τῶν ἀπίστων γύρω ἀπὸ αὐτόν.

Ἄκουσε λοιπὸν αὐτὸν νὰ ἑρμηνεύῃ τὸν ἑαυτόν του· «Τὸ κήρυγμα περὶ τοῦ σταυροῦ εἰς ἐκείνους ποὺ βαδίζουν εἰς τὴν ἀπώλειαν εἶναι μωρία, ἀλλ' εἰς ἐμᾶς ποὺ σωζόμεθα εἶναι δύναμις Θεοῦ»[12]· καὶ πάλιν· «Ἐμεῖς ὅμως κηρύττομεν Χριστὸν ἐσταυρωμένον, ὁ ὁποῖος διὰ μὲν τοὺς Ἰουδαίους

δὲ μωρίαν, αὐτοῖς δὲ τοῖς κλητοῖς Ἰουδαίοις τε καὶ Ἕλλησι Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν»· καὶ πάλιν, «Ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος· μωρία γὰρ αὐτῷ ἐστιν». Ὅρα πῶς πανταχοῦ τῶν ἀπίστων τὴν ὑπόνοιαν ἑρμηνεύει, μωρίαν καὶ ἀσθένειαν τὸν σταυρὸν νομιζόντων. Οὕτω δὴ καὶ ἐνταῦθα οὐ τὴν οὖσαν ἀσθένειαν λέγει, ἀλλὰ τὴν ὑποπτευομένην παρὰ τοῖς ἀπίστοις. Οὐ τοῦτο οὖν φησιν, ὅτι ἀσθενὴς ὢν ἐσταυρώθη, ἄπαγε. Ὅτι γὰρ ἠδύνατο μὴ σταυρωθῆναι διὰ πάντων ἔδειξε, νῦν μὲν ὑπτίους ῥίψας, νῦν δὲ τὰς ἀκτῖνας ἀποστρέψας, καὶ συκῆν ξηράνας, καὶ τὰς ὄψεις τῶν ἐλθόντων ἐπ' αὐτὸν πηρώσας, καὶ μυρία ἕτερα ἐργασάμενος.

Τί οὖν ἐστιν ὅ φησιν, «ἐξ ἀσθενείας»; Ὅτι εἰ καὶ ἐσταυρώθη κίνδυνον ὑπομείνας καὶ ἐπιβουλὴν - ἐδείξαμεν γὰρ τὴν ἀσθένειαν κίνδυνον καλουμένην καὶ ἐπιβουλὴν - ἀλλ' ὅμως οὐδὲν παρεβλάβη. Ταῦτα δὲ ἔλεγεν εἰς τὰ καθ' ἑαυτὸν ἕλκων τὸ ὑπόδειγμα. Ἐπειδὴ γὰρ ἑώρων αὐτοὺς διωκομένους, ἐλαυνομένους, καταφρονουμένους, καὶ οὐκ ἀμυνομένους οὐδὲ ἐπεξιόντας, διδάσκων αὐτούς, ὅτι οὐδὲ αὐτοὶ παρὰ ἀτονίαν ταῦτα πάσχουσιν, οὐδὲ παρὰ τὸ μὴ δύνασθαι ἐπεξιέναι, ἀνάγει τὸν λόγον ἐπὶ τὸν δεσπότην· ἐπεὶ καὶ αὐτός, φησίν, ἐσταυροῦτο, ἐδεσμεῖτο, μυρία ἔπασχε, καὶ οὐκ ἐπεξῄει, ἀλλ' ἔμενε τὰ δοκοῦντα τῆς ἀσθενείας εἶναι ὑπομένων πράγματα, καὶ ταύτῃ τὴν δύναμιν ἐπιδεικνύμενος τὴν αὑτοῦ, ὅτι καὶ μὴ ἐπεξιὼν μηδὲ ἀμυνόμενος, οὐδὲν ὅλως παραβλάπτεται. Τὴν γοῦν ζωὴν οὐ διέκοψεν ὁ σταυρός, οὐδὲ ἐνεπόδισε τὴν ἀνάστασιν ἀλλὰ καὶ ἀνέστη καὶ ζῇ. Ὅταν δὲ ἀκούσῃς σταυρὸν καὶ ζωήν, τὸν περὶ τῆς οἰκονομίας ἐκδέχου λόγον· περὶ γὰρ ταύ-

---

13. Α' Κορ. 1, 23-24.
14. Α' Κορ. 2, 14.

εἶναι σκάνδαλον, διὰ δὲ τοὺς Ἕλληνας μωρία, ἀλλὰ δι' ἐκείνους ποὺ ἔχουν κληθῆ εἰς σωτηρίαν, καὶ Ἰουδαίους καὶ Ἕλληνας, ὁ Χριστὸς εἶναι Θεοῦ δύναμις καὶ Θεοῦ σοφία»[13]· καὶ πάλιν, «Ὁ ἄνθρωπος ποὺ ἔχει κοσμικὸν φρόνημα, δὲν δέχεται ὅσα προέρχονται ἀπὸ τὸ Πνεῦμα τοῦ Θεοῦ, διότι δι' αὐτὸν εἶναι μωρία»[14]. Πρόσεχε πῶς ἐκφράζει παντοῦ τὴν γνώμην τῶν ἀπίστων, οἱ ὁποῖοι ἐθεώρουν τὸν σταυρὸν ὡς δεῖγμα ἀσθενείας καὶ μωρίας. Ἔτσι λοιπὸν καὶ ἐδῶ δὲν ὀνομάζει ἀσθένειαν αὐτὸ καθ' αὐτὸ τὸ γεγονός, ἀλλ' αὐτὸ ποὺ ἐνόμιζον οἱ ἄπιστοι. Δὲν λέγει αὐτὸ λοιπόν, ὅτι ἐπειδὴ ἦτο ἀδύνατος ἐσταυρώθη, μακρυὰ ἀπὸ τέτοιαν σκέψιν! Διότι ἀπέδειξε μὲ κάθε τρόπον ὅτι ἠδύνατο νὰ μὴ σταυρωθῇ, ἄλλοτε μὲν ὅταν τοὺς ἔρριψεν ὑπτίους, ἄλλοτε δὲ ὅταν ἔστρεψεν ἀλλοῦ τὰς ἀκτῖνας, καὶ ὅταν ἐξήρανε τὴν συκῆν, καὶ ὅταν ἐτύφλωσε τὰ πρόσωπα αὐτῶν ποὺ ἦλθον ἐναντίον του, καὶ ἄπειρα ἄλλα ποὺ ἔκανε.

Τί σημαίνει λοιπὸν αὐτὸ ποὺ λέγει, «ἐξ ἀσθενείας»; Ὅτι, ἂν καὶ ἐσταυρώθη ὑπομείνας κίνδυνον καὶ ἐπιβουλὴν — διότι ἐδείξαμεν ὅτι ἡ λέξις ἀσθένεια σημαίνει καὶ κίνδυνον καὶ ἐπιβουλήν —, εἰς τίποτε ὅμως δὲν ἐβλάβη. Αὐτὰ δὲ τὰ ἔλεγε, διὰ νὰ ὁδηγήσῃ τὸ παράδειγμα εἰς τὸν ἑαυτόν του. Διότι ἐπειδὴ ἔβλεπον αὐτοὺς νὰ διώκωνται, νὰ ταλαιπωροῦνται, νὰ καταφρονοῦνται, καὶ νὰ μὴ ἀμύνωνται, οὔτε νὰ ἐπιτίθενται, διδάσκων αὐτοὺς ὅτι οὔτε αὐτοὶ ἀπὸ ἀδυναμίαν πάσχουν αὐτά, οὔτε ἐπειδὴ δὲν ἠμποροῦν νὰ τιμωρήσουν, μεταφέρει τὸν λόγον εἰς τὸν Κύριον· ἐπειδὴ καὶ ἐκεῖνος, λέγει, ἐσταυροῦτο, ἐφυλακίζετο, τὰ πάνδεινα ὑφίστατο, καὶ δὲν ἐτιμώρει, ἀλλ' ὑπέμεινεν αὐτὰ ποὺ φαίνονται ὡς σημεῖα ἀδυναμίας, καὶ δεικνύων ἔτσι τὴν δύναμίν του, μὲ τὸ ὅτι καὶ μὴ τιμωρῶν, οὔτε ἀποδιώκων αὐτά, εἰς τίποτε ἀπολύτως δὲν βλάπτεται. Τὴν ζωήν του λοιπὸν δὲν τὴν διέκοψεν ὁ σταυρός, οὔτε ἠμπόδισε τὴν ἀνάστασιν, ἀλλὰ καὶ ἀνέστη καὶ ζῇ. Ὅταν δὲ ἀκοῦς σταυρὸν καὶ ζωήν, νὰ ἐκλαμβάνῃς αὐτὰ ὡς τὸν λόγον διὰ τὴν σωτηριώδη πρόνοιαν τοῦ Θεοῦ· διότι δι'

την ὁ πᾶς οὗτος λόγος. Εἰ δέ φησιν, «ἐκ δυνάμεως Θεοῦ», οὐχ ὡς αὐτοῦ ἀτονοῦντος ζωογονῆσαι τὴν σάρκα, ἀλλ' ἀδιάφορον αὐτῷ λέγειν καὶ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Εἰπὼν γάρ, «ἐκ δυνάμεως Θεοῦ», ἐκ δυνάμεως τῆς αὐτοῦ εἴρηκεν.

Ὅτι γὰρ καὶ αὐτὸς αὐτὴν ἀνέστησε καὶ διακρατεῖ, ἄκουσον αὐτοῦ λέγοντος· «Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐγὼ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν». Εἰ δέ, ὅπερ αὐτοῦ ἐστιν, τοῦτο τοῦ Πατρὸς εἶναι λέγει, μὴ θορυβηθῇς· «Πάντα γὰρ τὰ τοῦ Πατρός μου ἐμά ἐστι», φησί· καὶ πάλιν, «Πάντα τὰ ἐμὰ σά ἐστι, καὶ τὰ σὰ ἐμά». Ὥσπερ οὖν ἐκεῖνος ὁ σταυρωθεὶς οὐδὲν παρεβλάβη, φησίν, οὕτως οὐδὲ ἡμεῖς διωκόμενοι, πολεμούμενοι· διὸ καὶ ἐπάγει· «Καὶ γὰρ καὶ ἡμεῖς εἰ ἀσθενοῦμεν ἐν αὐτῷ, ἀλλὰ ζησόμεθα ἐν αὐτῷ ἐκ δυνάμεως Θεοῦ». Τί ἐστιν, «ἀσθενοῦμεν ἐν αὐτῷ»; Διωκόμεθα, ἐλαυνόμεθα, τὰ ἔσχατα πάσχομεν. Ἀλλὰ τί ἐστιν, «ἐν αὐτῷ»; Διὰ τὸ κήρυγμα, φησί, καὶ τὴν πίστιν τὴν εἰς αὐτόν. Εἰ δὲ τὰ σκυθρωπὰ καὶ φορτικὰ ὑπομένομεν δι' αὐτόν, εὔδηλον ὅτι καὶ τὰ φαιδρά· διὸ καὶ ἐπήγαγεν, «ἀλλὰ σωζόμεθα σὺν αὐτῷ ἐκ δυνάμεως Θεοῦ».

4. «Ἑαυτοὺς πειράζετε, εἰ ἐστε ἐν τῇ πίστει, ἑαυτοὺς δοκιμάζετε. Ἢ οὐκ ἐπιγινώσκετε ἑαυτούς, ὅτι Χριστὸς ἐν ὑμῖν ἐστιν, εἰ μή τι ἀδόκιμοί ἐστε; Ἐλπίζω δέ, ὅτι γνώσεσθε ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι». Ἐπειδὴ γὰρ διὰ τῶν εἰρημένων ἔδειξεν ὅτι, εἰ καὶ μὴ ἐπεξέρχεται, οὐχ ὡς οὐκ ἔχων τὸν Χριστὸν ἐν ἑαυτῷ, ἀλλ' ὡς τὴν μακροθυμίαν τὴν ἐκείνου μιμούμενος τοῦ σταυρουμένου, καὶ μὴ ἀμυνομένου, πάλιν ἑτέρως τὸ αὐτὸ τοῦτο ἐργάζεται, καὶ ἐκ πλείονος περιουσίας, ἀπὸ τῶν μαθητῶν κατασκευάζων τὸν λόγον. Τί γὰρ λέγω περὶ ἐμοῦ τοῦ διδασκάλου, φησί, καὶ τοσαύτην ἔχοντος φροντίδα,

15. Ἰω. 2, 19.
16. Ἰω. 16, 15.
17. Ἰω. 17, 10.
18. Β' Κορ. 13, 5-6.

αὐτὴν γίνεται ὅλος ὁ λόγος αὐτός. Ἐὰν δὲ λέγῃ «μὲ τὴν δύναμιν τοῦ Θεοῦ», δὲν τὸ λέγει μὲ τὴν ἔννοιαν ὅτι ὁ Χριστὸς δὲν ἠδύνατο ν' ἀναστήσῃ τὸ σῶμα, ἀλλὰ δὲν κάνει διάκρισιν Πατρὸς καὶ Υἱοῦ. Διότι ὅταν εἶπεν «μὲ τὴν δύναμιν τοῦ Θεοῦ», μὲ τὴν δύναμιν τοῦ Χριστοῦ εἶπε.

Τὸ ὅτι λοιπὸν καὶ αὐτὸς ἀνέστησε τὸ σῶμά του καὶ τὸ διατηρεῖ, ἄκουσε τὸν ἴδιον ποὺ λέγει· «Κρημνίσατε τὸν ναὸν αὐτὸν καὶ εἰς τρεῖς ἡμέρας θὰ τὸν ἀνοικοδομήσω»[15]. Ἐὰν δέ, αὐτὸ ποὺ εἶναι ἰδικόν του, λέγει ὅτι εἶναι τοῦ Πατρός, μὴ σὲ θορυβῇ αὐτό· διότι, «ὅλα ὅσα ἔχει ὁ Πατήρ μου, εἶναι ἰδικά μου»[16], λέγει· καὶ πάλιν, «ὅλα τὰ ἰδικά μου εἶναι ἰδικά σου, καὶ τὰ ἰδικά σου εἶναι ἰδικά μου»[17]. Ὅπως ἀκριβῶς λοιπὸν ἐκεῖνος ὁ ὁποῖος ἐσταυρώθη εἰς τίποτε δὲν ἐβλάβη, λέγει, ἔτσι οὔτε καὶ ἐμεῖς ὅταν διωκώμεθα καὶ πολεμούμεθα· διὰ τοῦτο καὶ προσθέτει· «καθ' ὅσον ἐμεῖς συμμετέχομεν εἰς τὴν ἀδυναμίαν του, ἀλλὰ θὰ ζήσωμεν μαζί του». Τί σημαίνει, «συμμετέχομεν εἰς τὴν ἀδυναμίαν του»; Διωκόμεθα, ταλαιπωρούμεθα, ὑποφέρομεν τὰ πάνδεινα. Ἀλλὰ τί σημαίνει «ἐν αὐτῷ»; Διὰ τὸ κήρυγμα, λέγει, καὶ τὴν πίστιν πρὸς αὐτόν. Ἐὰν δὲ ὑποφέρωμεν δι' αὐτὸν τὰ τόσον δυσάρεστα καὶ σκληρά, εἶναι εὐνόητον ὅτι θὰ ἀπολαύσωμεν καὶ τὰ χαρμόσυνα· διὰ τοῦτο καὶ προσέθεσεν, «ἀλλὰ θὰ ζήσωμεν μαζί του μὲ τὴν δύναμιν τοῦ Θεοῦ».

4. «Ἐξετάζετε τὸν ἑαυτόν σας, ἐὰν ἵστασθε εἰς τὴν πίστιν, δοκιμάζετε τὸν ἑαυτόν σας. Ἢ δὲν ἀναγνωρίζετε ὅτι ὁ Ἰησοῦς Χριστὸς εἶναι μέσα σας; Ἐκτὸς ἐὰν εἶσθε ἀποτυχόντες. Ἐλπίζω νὰ ἀντιληφθῆτε ὅτι ἐμεῖς δὲν εἴμεθα ἀποτυχόντες»[18]. Ἐπειδὴ λοιπὸν διὰ τῶν λεχθέντων ἔδειξεν ὅτι, ἂν καὶ δὲν τιμωρῇ, δὲν τὸ κάμνει ἐπειδὴ δὲν ἔχει μέσα του τὸν Χριστόν, ἀλλ' ἐπειδὴ μιμεῖται τὴν μακροθυμίαν ἐκείνου, ὁ ὁποῖος ἐσταυροῦτο καὶ δὲν ἠμύνετο, πάλιν μὲ ἄλλον τρόπον τὸ ἴδιον κάμνει καὶ μὲ περισσότερα ἐπιχειρήματα, ἀποδεικνύων τὸν λόγον ἀπὸ τοὺς μαθητάς. Διότι, τί λέγω δι' ἐμὲ τὸν διδάσκαλον, λέγει, ὁ ὁποῖος καὶ τόσην

καὶ τὴν οἰκουμένην ἅπασαν ἐμπεπιστευμένου, καὶ τοσαῦτα σημεῖα πεποιηκότος; Ὑμᾶς γὰρ αὐτοὺς ἐὰν βουληθῆτε ἐξετάσαι τοὺς ἐν τάξει μαθητῶν ὄντας, ὄψεσθε ὅτι καὶ ἐν ὑμῖν ὁ Χριστός. Εἰ δὲ ἐν ὑμῖν, πολλῷ μᾶλλον ἐν τῷ διδασκάλῳ. Εἰ γὰρ τὴν πίστιν ἔχετε, καὶ ἐν ὑμῖν ὁ Χριστός. Οἱ γὰρ πιστεύοντες τότε, ἐθαυματούργουν· διὸ καὶ ἐπήγαγεν, «Ἑαυτοὺς πειράζετε, ἑαυτοὺς δοκομάζετε, εἰ ἐστε ἐν τῇ πίστει. Ἢ οὐκ ἐπιγινώσκετε ἑαυτούς, ὅτι Χριστὸς ἐν ὑμῖν, εἰ μή τι ἀδόκιμοί ἐστε;». Εἰ δὲ ἐν ὑμῖν, πολλῷ μᾶλλον ἐν τῷ διδασκάλῳ.

Ἐμοὶ δὲ δοκεῖ πίστιν ἐνταῦθα λέγειν καὶ τὴν τῶν σημείων. Εἰ γὰρ ἔχετε τὴν πίστιν ἐκείνην, φησίν, ὁ Χριστὸς ἐν ὑμῖν ἐστιν, εἰ μή τι ἀδόκιμοι γεγόνατε. Εἶδες πῶς πάλιν φοβεῖ καὶ ἐκ περιουσίας δείκνυσι παρ' αὐτῷ ὄντα τὸν Χριστόν; Ἐνταῦθα γάρ μοι δοκεῖ καὶ εἰς βίον αὐτοὺς αἰνίττεσθαι. Ἐπειδὴ γὰρ οὐκ ἀρκεῖ ἡ πίστις εἰς τὸ ἐπισπᾶσθαι τὴν ἐνέργειαν τὴν πνευματικήν, εἶπε δέ, ὅτι εἰ ἐστε ἐν τῇ πίστει, τὸν Χριστὸν ἔχετε ἐν ἑαυτοῖς συνέβαινε δὲ πολλοὺς εἶναι ταύτης τῆς ἐνεργείας ἐρήμους πίστιν ἔχοντας, λύων τὴν ἀπορίαν φησίν, «εἰ μή τι ἀδόκιμοί ἐστε», μὴ βίον διεφθαρμένον ἔχετε.

«Ἐλπίζω δέ, ὅτι γνώσεσθε ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι». Τὸ ἀκόλουθον ἦν εἰπεῖν, εἰ δὲ ὑμεῖς ἀδόκιμοι γεγόνατε, ἀλλ' οὐχ ἡμεῖς· ἀλλ' οὕτω μὲν οὐ λέγει, ἵνα μὴ πλήξῃ, ἀμυδρῶς δὲ αὐτὸ αἰνίττεται, οὔτε ἀποφαινόμενος καὶ λέγων, ὅτι ἀδόκιμοί ἐστε, οὔτε κατ' ἐρώτησιν προάγων καὶ λέγων, εἰ δὲ ὑμεῖς ἀδόκιμοι, ἀλλ' αὐτὸ τοῦτο τὸ κατ' ἐρώτησιν παραλιπών, αἰνιγματωδῶς αὐτὸ ἐνδείκνυται, ἐπάγων, «Ἐλπίζω δέ, ὅτι γνώ-

φροντίδα ἔχω, καὶ ὁλόκληρον τὴν οἰκουμένην μοῦ ἐνεπιστεύθη ὁ Θεός, καὶ τόσα θαύματα ἔκανα; Διότι ἐὰν θελήσετε νὰ ἐξετάσετε τοὺς ἰδίους τοὺς ἑαυτούς σας ποὺ εὑρίσκονται εἰς τὴν τάξιν τῶν μαθητῶν, θὰ ἰδῆτε ὅτι καὶ μέσα εἰς σᾶς εὑρίσκεται ὁ Χριστός. Ἐὰν δὲ εὑρίσκεται μέσα εἰς σᾶς, πολὺ περισσότερον εἰς τὸν διδάσκαλον. Διότι, ἐὰν ἔχετε τὴν πίστιν, εὑρίσκεται καὶ μέσα εἰς ἐσᾶς ὁ Χριστός. Καθ' ὅσον ὅσοι ἐπίστευον τότε ἔκαμνον θαύματα· διὰ τοῦτο καὶ προσέθεσεν, «Ἐξετάζετε τὸν ἑαυτόν σας ἐὰν ἵστασθε εἰς τὴν πίστιν, δοκιμάζετε τὸν ἑαυτόν σας. Ἢ δὲν ἀναγνωρίζετε ὅτι ὁ Ἰησοῦς Χριστὸς εἶναι μέσα σας; Ἐκτὸς ἐὰν εἶσθε ἀποτυχόντες». Ἐὰν δὲ εἶναι μέσα σας ὁ Χριστός, πολὺ περισσότερον μέσα εἰς τὸν διδάσκαλον.

Ἐμένα δὲ μοῦ φαίνεται ὅτι ἐδῶ πίστιν ὀνομάζει αὐτὴν ποὺ θαυματουργεῖ. Διότι, ἐὰν ἔχετε ἐκείνην τὴν πίστιν, λέγει, τότε ὁ Χριστὸς εἶναι μέσα σας, ἐκτὸς ἐὰν εἶσθε ἀποτυχόντες. Εἶδες πῶς φοβίζει πάλιν καὶ ἀποδεικνύει ἀναντιρρήτως ὅτι ὁ Χριστὸς εἶναι μαζί του; Ἐδῶ ὅμως νομίζω ὅτι ὑπαινίσσεται καὶ τὸν τρόπον ζωῆς των. Διότι ἐπειδὴ δὲν ἀρκεῖ ἡ πίστις διὰ νὰ προσελκύσῃ τὴν ἐνέργειαν τοῦ ἁγίου Πνεύματος, καὶ εἶπεν, ὅτι ἐὰν ἔχετε πίστιν, ἔχετε μέσα σας τὸν Χριστόν, ἐνῷ συνέβαινε πολλοὶ ποὺ εἶχον πίστιν νὰ μὴ ἔχουν ἀξιωθῆ αὐτὸ τὸ χάρισμα, διὰ νὰ λύσῃ τὴν ἀπορίαν λέγει, «ἐκτὸς ἐὰν εἶσθε ἀποτυχόντες», ἐὰν δηλαδὴ ἔχετε βίον διεφθαρμένον.

«Ἐλπίζω ν' ἀντιληφθῆτε ὅτι ἐμεῖς δὲν εἴμεθα ἀποτυχόντες». Θὰ ἠμποροῦσε νὰ εἴπῃ τὸ ἑξῆς, ὅτι δηλαδὴ ἐὰν σεῖς εἶσθε ἀποτυχόντες, ἐμεῖς ὅμως δὲν εἴμεθα· ἀλλ' αὐτὸ μὲν δὲν τὸ λέγει, διὰ νὰ μὴ τοὺς πληγώσῃ, ὑπαινίσσεται ὅμως αὐτὸ ἀμυδρῶς, χωρὶς οὔτε νὰ λέγῃ αὐτὸ ἀποφατικῶς, ὅτι εἶσθε ἀποτυχόντες, οὔτε δι' ἐρωτήσεως φανερώνων αὐτὸ καὶ λέγων, ἐὰν σεῖς εἶσθε ἀποτυχόντες, ἀλλ' αὐτὸ τὸ ὁποῖον ἀποφεύγει νὰ εἴπῃ ἀπ' εὐθείας, αὐτὸ τὸ ἴδιον δεικνύει κατὰ τρόπον αἰνιγματικόν, προσθέτων, «Ἐλπίζω ν'

σεσθε ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι». Πάλιν κἀνταῦθα πολλὴ ἡ ἀπειλή, μέγας ὁ φόβος. Ἐπειδὴ γὰρ ἐντεῦθεν βούλεσθε, φησί, διὰ τῆς εἰς ὑμᾶς κολάσεως τὴν δοκιμὴν λαβεῖν, οὐκ ἀπορήσομεν τοῦ δοῦναι ὑμῖν τὴν ἀπόδειξιν. Ἀλλ᾽ οὕτω μὲν οὐ λέγει, μετὰ πλείονος δὲ τοῦ βάρους καὶ τῆς ἀπειλῆς· «Ἐλπίζω δέ, ὅτι γνώσεσθε ὅτι ἡμεῖς οὐκ ἐσμὲν ἀδόκιμοι». Ἔδει μὲν γὰρ καὶ χωρὶς τούτου εἰδέναι ὑμᾶς, φησί, τὰ ἡμέτερα, καὶ ὅτι Χριστὸν ἔχομεν ἐν ἑαυτοῖς λαλοῦντα καὶ ἐνεργοῦντα· ἐπειδὴ δὲ καὶ διὰ τῶν ἔργων βούλεσθε λαβεῖν τὴν πεῖραν, εἴσεσθε ὅτι οὐκ ἐσμὲν ἀδόκιμοι. Εἶτα ἐπειδὴ τὴν ἀπειλὴν ἐπανετείνατο, καὶ τὴν κόλασιν λοιπὸν ἐπὶ θύρας ἤγαγε, καὶ ἐν τρόμῳ κατέστησεν αὐτούς, καὶ προσδοκᾶν ἐποίησε τιμωρίαν· ὅρα πῶς πάλιν καταγλυκαίνει τὸν λόγον, καὶ παραμυθεῖται τὸν φόβον, καὶ δείκνυσιν αὐτοῦ τὸ ἀφιλότιμον, τὸ πρὸς τοὺς μαθητὰς κηδεμονικόν, τὸ φιλόσοφον τῆς γνώμης, τὸ ὑψηλὸν καὶ ἀκενόδοξον. Ταῦτα γὰρ ἅπαντα δείκνυσι δι᾽ ὧν ἐπάγει λέγων, «Εὔχομαι δὲ πρὸς τὸν Θεόν, μὴ ποιῆσαι ὑμᾶς κακὸν μηδέν, ἵνα μὴ ἡμεῖς δόκιμοι φανῶμεν, ἀλλ᾽ ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν. Οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς ἀληθείας, ἀλλ᾽ ὑπὲρ τῆς ἀληθείας. Χαίρομεν γὰρ ὅταν ἡμεῖς ἀσθενῶμεν, ὑμεῖς δὲ δυνατοὶ ἦτε. Τοῦτο γὰρ καὶ εὐχόμεθα, τὴν ὑμῶν κατάρτισιν».

5. Τί ταύτης ἴσον γένοιτ᾽ ἂν τῆς ψυχῆς; Κατεφρονεῖτο, διεπτύετο, ἐκωμῳδεῖτο, ἐχλευάζετο, ὡς εὐτελής, ὡς εὐκαταφρόνητος, ὡς ἀλαζών, ὡς κομπάζων μὲν διὰ τῶν ῥημάτων, ἐπὶ δὲ τῶν πραγμάτων οὐδὲ μικρόν τι δεῖξαι δυνάμενος· καὶ τοσαύτην ὁρῶν ἀνάγκην τοῦ δεῖξαι τὴν ἑαυτοῦ ἰσχύν, οὐ μόνον ἀναβάλλεται, οὐδὲ μόνον ἀναδύεται, ἀλλὰ καὶ εὔχεται μὴ ἐμπεσεῖν εἰς τοιαύτην ὑπόθεσιν. «Εὔχομαι γάρ», φησί, «μὴ ποιῆσαι ὑμᾶς κακὸν μηδέν, ἵνα μὴ ἡμεῖς δόκιμοι

---

19. Β´ Κορ. 13, 7-9.

ἀντιληφθῆτε ὅτι ἐμεῖς δὲν εἴμεθα ἀποτυχόντες». Καὶ ἐδῶ πάλιν ὑπάρχει πολλὴ ἀπειλὴ καὶ μέγας ἐκφοβισμός. Διότι ἐπειδὴ θέλετε ἀπὸ ἐδῶ, λέγει, διὰ τῆς τιμωρίας σας νὰ λάβετε ἀπόδειξιν, δὲν θὰ σταθῶμεν ἀνήμποροι νὰ σᾶς δώσωμεν τὴν ἀπόδειξιν. Δὲν λέγει ὅμως ἔτσι, ἀλλὰ μὲ περισσοτέραν βαρύτητα καὶ ἀπειλήν· «Ἐλπίζω ν' ἀντιληφθῆτε ὅτι ἐμεῖς δὲν εἴμεθα ἀποτυχόντες». Διότι ἔπρεπε καὶ χωρὶς αὐτὸ νὰ γνωρίζετε, λέγει, τὰ ἰδικά μας, καὶ ὅτι ἔχομεν μέσα μας τὸν Χριστὸν ὁ ὁποῖος ἐνεργεῖ καὶ ὁμιλεῖ· ἐπειδὴ ὅμως καὶ ἐμπράκτως θέλετε νὰ λάβετε τὴν ἀπόδειξιν, θὰ γνωρίσετε ὅτι δὲν εἴμεθα ἀποτυχόντες. Ὕστερον ἐπειδὴ ηὔξησε τὴν ἀπειλὴν καὶ ἔφερε τὸν κολασμὸν πρὸ τῶν θυρῶν, καὶ ἐτρόμαζεν αὐτοὺς καὶ τοὺς ἔκανε νὰ ἀναμένουν τιμωρίαν, κοίταξε πῶς πάλιν καταγλυκαίνει τὸν λόγον καὶ καθησυχάζει τὸν φόβον καὶ δεικνύει πόσον περιφρονεῖ τὰς τιμάς, τὴν φροντίδα πρὸς τοὺς μαθητάς, τὸ σοφὸν τῆς γνώμης, τὸ ὑψηλὸν καὶ ἀκενόδοξον. Διότι αὐτὰ ὅλα δεικνύει μὲ ὅσα προσθέτει, λέγων, «Εὐχόμεθα δὲ εἰς τὸν Θεὸν νὰ μὴ πράξετε κανένα κακόν, ὄχι διὰ νὰ μὴ φανῶμεν ἐμεῖς ἀποτυχόντες, ἀλλὰ εὐχόμεθα σεῖς μὲν νὰ πράττετε τὸ καλόν, ἐμεῖς δὲ ἂς φαινώμεθα ὡς ἀποτυχόντες. Διότι δὲν ἠμποροῦμεν νὰ πράξωμεν τίποτε ἐναντίον τῆς ἀληθείας, ἀλλὰ μόνον ὑπὲρ τῆς ἀληθείας. Καὶ χαίρομεν ὅταν ἐμεῖς εἴμεθα ἀδύνατοι, σεῖς δὲ δυνατοί. Αὐτὸ λοιπὸν καὶ εὐχόμεθα, δηλαδὴ τὴν τελειοποίησίν σας»[19].

5. Τί θὰ ἠμποροῦσε νὰ φθάσῃ αὐτὴν τὴν ψυχήν; Περιεφρονεῖτο, ἐπτύετο, περιεπαίζετο, ἐχλευάζετο ὡς εὐτελής, ὡς εὐκαταφρόνητος, ὡς ἀλαζών, ὡς νὰ ἐκόμπαζε μόνον διὰ τῶν λόγων καὶ νὰ μὴ ἠδύνατο νὰ δείξῃ κάτι διὰ τῶν ἔργων· καὶ ἐνῷ ἔβλεπεν ὅτι ἦτο τόσον ἀναγκαῖον νὰ δείξῃ τὴν δύναμίν του, ὄχι μόνον ἀναβάλλει, ὄχι μόνον ἀργοπορεῖ, ἀλλὰ καὶ εὔχεται νὰ μὴ εὑρεθῇ εἰς τέτοιαν θέσιν. Διότι, «Εὐχόμεθα», λέγει, «εἰς τὸν Θεὸν νὰ μὴ διαπράξετε κανένα κακόν, ὄχι διὰ νὰ μὴ φανῶμεν ἐμεῖς ἀποτυχόντες, ἀλλὰ διὰ νὰ

φανῶμεν, ἀλλ' ἵνα ὑμεῖς τὸ καλὸν ποιῆτε, ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν. Τί ἐστιν ὃ λέγει; Παρακαλῶ τὸν Θεόν, φησίν, ἱκετεύω μηδένα εὑρεῖν ἀδιόρθωτον, μηδένα εὑρεῖν ἀμετανόητον· μᾶλλον δὲ οὐδὲ τοῦτο μόνον, ἀλλὰ μηδὲ τὴν ἀρχὴν ἁμαρτεῖν· «μὴ ποιῆσαι γὰρ ὑμᾶς», φησί, «μηδέν»· εἰ δὲ καὶ ἄρα ἁμάρτητε, μεταβαλέσθαι, καὶ προλαβόντας διορθώσασθαι, καὶ πᾶσαν ἀποκρούσασθαι ὀργήν. Οὐδὲ γὰρ τοῦτο σπουδάζω, ἵνα οὕτω δόκιμοι ὦμεν, ἀλλὰ τοὐναντίον ἅπαν, ἵνα μὴ ἡμεῖς δόκιμοι φανῶμεν. Εἰ γὰρ μένοιτε, φησίν, ἀμετανόητα ἁμαρτάνοντες, ἀνάγκη ἡμᾶς κολάζειν, τιμωρεῖσθαι, πηροῦν ὑμῶν τὰ σώματα· ὅπερ ἐπὶ Σαπφείρας καὶ ἐπὶ τοῦ μάγου γέγονε· καὶ ἐδώκαμεν δοκιμὴν τῆς δυνάμεως.

᾿Αλλ' οὐκ εὐχόμεθα τοῦτο, ἀλλὰ τοὐναντίον, ἵνα μήτε ἡμεῖς οὕτω δόκιμοι φανῶμεν· τουτέστιν, ἵνα μὴ οὕτω τὴν δοκιμὴν ἐπιδειξώμεθα τῆς δυνάμεως τῆς ἐν ἡμῖν, διὰ τοῦ κολάζειν ὑμᾶς καὶ τιμωρεῖσθαι ἁμαρτάνοντας καὶ ἀνίατα νοσοῦντας, ἀλλὰ τί; «῞Ινα ὑμεῖς τὸ καλὸν ποιῆτε», τοῦτο εὐχόμεθα, ἵνα ἀεὶ ἐν ἀρετῇ, ἀεὶ ἐν διορθώσει· «ἡμεῖς δὲ ὡς ἀδόκιμοι ὦμεν», οὐκ ἐπιδεικνύμενοι ἡμῶν τὴν τιμωρητικὴν δύναμιν. Καὶ οὐκ εἶπεν, ἀδόκιμοι· οὐ γὰρ ἔμελλεν εἶναι ἀδόκιμος, εἰ καὶ μὴ ἐκόλασεν, ἀλλὰ δι' αὐτὸ μὲν οὖν τοῦτο δόκιμος· ἀλλ' εἰ καί τινες ὑποπτεύουσιν ἡμᾶς, φησί, μὴ ἐπιδεικνυμένους τὴν ἰσχὺν ἡμῶν, εὐκαταφρονήτους εἶναι καὶ ἀπερριμμένους, οὐδὲν ἡμῖν μέλει τούτου. Βέλτιον ἡμᾶς τοῦτο νομίζεσθαι παρ' ἐκείνοις, ἢ ἐν ταῖς πληγαῖς καὶ τῷ ἀδιορθώτῳ τῆς γνώμης τὴν δύναμιν, ἣν ἔδωκεν ἡμῖν ὁ Θε-

πράττετε σεῖς μὲν τὸ καλόν, ἐμεῖς δὲ ἂς φαινώμεθα ὡς ἀποτυχόντες». Τί σημαίνει αὐτὸ ποὺ λέγει; Παρακαλῶ τὸν Θεόν, λέγει, τὸν ἱκετεύω νὰ μὴ εὕρῃ κανένα ἀδιόρθωτον, κανένα ἀμετανόητον· μᾶλλον δὲ ὄχι μόνον αὐτό, ἀλλ' οὔτε ἀπὸ τὴν ἀρχὴν ν' ἁμαρτάνῃ· διότι, «νὰ μὴ διαπράξῃ», λέγει, «κανένα κακόν». Ἐὰν ὅμως ἔχετε ἁμαρτήσει, νὰ μετανοήσετε, καὶ ἀφοῦ προλάβετε νὰ διορθωθῆτε, ν' ἀπομακρύνετε κάθε ὀργήν. Διότι οὔτε αὐτὸ ἐπιδιώκω, δηλαδὴ νὰ φανῶμεν ἐπιτυχόντες, ἀλλὰ τὸ ἐντελῶς ἀντίθετον, νὰ μὴ φανῶμεν ἐμεῖς ἐπιτυχόντες. Διότι ἐὰν παραμένετε, λέγει, ἀμετανόητοι εἰς τὴν ἁμαρτίαν, κατ' ἀνάγκην θὰ κολασθῆτε, θὰ τιμωρηθῆτε, θὰ βλαβοῦν τὰ σώματά σας· πρᾶγμα τὸ ὁποῖον ἔγινε καὶ εἰς τὴν Σαπφείραν καὶ εἰς τὸν μάγον· καὶ ἐδώσαμεν ἀπόδειξιν τῆς δυνάμεως.

Δὲν εὐχόμεθα ὅμως αὐτό, ἀλλὰ τὸ ἀντίθετον, διὰ νὰ μὴ φανῶμεν ἐμεῖς δόκιμοι ἔτσι· δηλαδή, διὰ νὰ μὴ δείξωμεν μὲ αὐτὸν τὸν τρόπον τὴν δύναμιν ἡ ὁποία εἶναι μέσα μας, μὲ τὸ νὰ κολάσωμεν καὶ τιμωρήσωμεν σᾶς οἱ ὁποῖοι ἁμαρτάνετε καὶ νοσεῖτε ἀπὸ ἀνιάτους νόσους, ἀλλὰ τί; «Νὰ διαπράττετε σεῖς τὸ καλόν», αὐτὸ εὐχόμεθα, νὰ εἶσθε πάντοτε ἐνάρετοι, πάντοτε νὰ διορθώνεσθε· «ἐμεῖς δὲ ὡσὰν ἀδόκιμοι», χωρὶς νὰ δείχνωμεν τὴν τιμωρητικήν μας δύναμιν. Καὶ δὲν εἶπεν, ἀδόκιμοι· διότι δὲν θὰ ἦτο ἀδόκιμος ἐὰν δὲν ἐτιμώρει, ἀλλὰ δι' αὐτὸ τοῦτο θὰ ἦτο ἄξιος ἐπιδοκιμασίας· ἀλλ' ἂν καὶ μερικοὶ ἀπὸ σᾶς ὑποπτεύονται, λέγει, ἐπειδὴ δὲν ἐπιδεικνύομεν τὴν δύναμίν μας, ὅτι εἴμεθα εὐκαταφρόνητοι καὶ τιποτένιοι, δὲν μᾶς ἐνδιαφέρει καθόλου δι' αὐτό. Καλύτερον εἶναι δι' ἐμᾶς νὰ νομίζετε αὐτὸ ὅπως καὶ ἐκεῖνοι, παρὰ νὰ ἐπιδεικνύωμεν τὴν δύναμιν τὴν ὁποίαν μᾶς ἔδωσεν ὁ Θεὸς μὲ τιμωρίας διὰ τὸ ἀδιόρθωτον τῆς γνώμης σας. «Διότι δὲν ἠμποροῦμεν νὰ πράξωμεν τίποτε ἐναντίον τῆς ἀληθείας, ἀλλὰ μόνον ὑπὲρ τῆς ἀληθείας». Διὰ νὰ μὴ φανῇ ὅτι χαρίζεται εἰς αὐτοὺς — διότι αὐτὸ εἶναι ἴδιον ἀκενοδόξου ψυχῆς — αὐτὸ ποὺ ἀπαιτεῖ ἡ φύσις τοῦ πράγματος νὰ κάνῃ,

ός, ἐπιδείκνυσθαι. «Οὐ γὰρ δυνάμεθα κατὰ τῆς ἀληθείας, ἀλλ' ὑπὲρ τῆς ἀληθείας». Ἵνα γὰρ μὴ δόξῃ αὐτοῖς χαρίζεσθαι - τοῦτο γάρ ἐστιν ἀκενοδόξου γνώμης - ἀλλ' ὅπερ ἡ τοῦ πράγματος ἀπαιτεῖ φύσις, τοῦτο ποιεῖν, τοῦτο ἐπήγαγε λέγων· «Οὐ γὰρ δυνάμεθά τι κατὰ τῆς ἀληθείας». Ἂν γὰρ εὕρωμεν, φησίν, ὑμᾶς εὐδοκιμοῦντας, ἀποκρουσαμένους τὰ ἁμαρτήματα διὰ τῆς μετανοίας, παρρησίαν πρὸς τὸν Θεὸν ἐσχηκότας· οὐδὲ δυνησόμεθα, κἂν βουληθῶμεν, κολάσαι λοιπόν, ἀλλὰ κἂν ἐπιχειρήσωμεν, οὐ συμπράξει ὁ Θεός. Εἰς τοῦτο γὰρ ἡμῖν ἔδωκε τὴν δύναμιν, ὥστε ἀληθῆ φέρειν τὴν ψῆφον καὶ δικαίαν, καὶ οὐχ ὑπεναντίαν τῇ ἀληθείᾳ.

Εἶδες πῶς πανταχόθεν ἀνεπαχθῆ ποιεῖ τὸν λόγον, καὶ παραμυθεῖται τῆς ἀπειλῆς τὸ τραχύ; Πλὴν ἀλλ' ὥσπερ τοῦτο ἐσπούδακεν, οὕτω βούλεται καὶ τὴν αὐτοῦ δεῖξαι γνώμην ᾠκειωμένην αὐτοῖς· διὸ καὶ ἐπήγαγε «Χαίρομεν γὰρ ὅταν ἡμεῖς ἀσθενῶμεν, ὑμεῖς δὲ δυνατοὶ ἦτε. Τοῦτο δὲ καὶ εὐχόμεθα, τὴν ὑμῶν κατάρτισιν». Μάλιστα μὲν γάρ, φησίν, οὔτε δυνάμεθά τι κατὰ τῆς ἀληθείας, τουτέστιν, εὐαρεστοῦντας ὑμᾶς κολάσαι· πλὴν ἐπειδὴ οὐ δυνάμεθα, διὰ τοῦτο οὐ βουλόμεθα καὶ τοὐναντίον ἐπιθυμοῦμεν. Ἀλλὰ καὶ δι' αὐτὸ μὲν οὖν τοῦτο μάλιστα χαίρομεν, ὅταν μὴ εὕρωμεν ὑμᾶς ἀφορμὴν ἡμῖν παρέχοντας τοῦ δεῖξαι ἡμῶν τὴν δύναμιν τὴν ἐπὶ τῇ κολάσει. Εἰ γὰρ καὶ τὸ τὰ τοιαῦτα ποιεῖν λαμπροὺς δείκνυσι καὶ δοκίμους καὶ ἰσχυρούς, ἀλλ' ἡμεῖς τὸ ἐναντίον βουλόμεθα, ὑμᾶς δοκίμους εἶναι καὶ ἀλήπτους, καὶ ἡμᾶς μηδέποτε τὴν ἐντεῦθε καρποῦσθαι δόξαν. Διό φησι· «Χαίρομεν γάρ, ὅταν ἡμεῖς ἀσθενῶμεν». Τί ἐστιν, «ἀσθενῶμεν»; Ὅταν νομιζώμεθα ἀσθενεῖς· οὐχ ὅτε ἐσμὲν ἀσθενεῖς, ἀλλ' ὅτε νομιζόμεθα ἀσθενεῖς· τοῦτο γὰρ ἐνομίζοντο παρὰ τοῖς ἐχθροῖς, οὐκ ἐπιδεικνύμενοι τὴν τιμωρητικὴν αὐτῶν δύναμιν. Ἀλλ' ὅμως χαίρομεν, ὅταν οὕτως ἀναστραφῆτε, ὥστε μὴ παρασχεῖν ἡμῖν πρόφασιν τοῦ τιμωρεῖσθαι ὑμᾶς. Καὶ ἡμῖν τοῦτο ἡδύ, ὅταν οὕτω νομιζώμεθα ἀσθενεῖς, μόνον ὑμεῖς ἵνα ἄληπτοι

αὐτὸ προσέθεσε λέγων· «Διότι δὲν ἠμποροῦμεν νὰ πράξωμεν τίποτε ἐναντίον τῆς ἀληθείας». Διότι ἐὰν σᾶς εὕρωμεν, λέγει, νὰ εὐδοκιμῆτε, νὰ ἔχετε ἀπομακρύνει τὰ ἁμαρτήματα διὰ τῆς μετανοίας, νὰ ἔχετε ἀποκτήσει παρρησίαν πρὸς τὸν Θεόν, δὲν θὰ ἠμπορέσωμεν, καὶ ἂν ἀκόμη θελήσωμεν, νὰ σᾶς τιμωρήσωμεν, ἀλλὰ καὶ ἂν ἐπιχειρήσωμεν, δὲν θὰ συνεργήσῃ ὁ Θεός. Διότι διὰ τοῦτο μᾶς ἔδωσε τὴν δύναμιν, ὥστε ἀληθῆ καὶ δικαίαν νὰ ἐπιφέρωμεν τὴν ἀπόφασιν, καὶ ὄχι ἀντίθετον πρὸς τὴν ἀλήθειαν.

Εἶδες πῶς παντοῦ κάμνει τὸν λόγον νὰ μὴ εἶναι σκληρός, καὶ μετριάζει τὴν σκληρότητα τῆς ἀπειλῆς; Καὶ ὅπως ἐφρόντισε δι' αὐτό, ἔτσι θέλει καὶ νὰ δείξῃ ὅτι ἡ διάθεσίς του εἶναι πάρα πολὺ φιλικὴ δι' αὐτούς· διὰ τοῦτο καὶ προσέθεσεν· «Χαίρομεν λοιπὸν ὅταν ἐμεῖς μὲν εἴμεθα ἀδύνατοι, σεῖς δὲ δυνατοί. Αὐτὸ δὲ καὶ εὐχόμεθα, δηλαδὴ τὴν τελειοποίησίν σας». Μάλιστα δέ, λέγει, οὔτε ἠμποροῦμεν νὰ διαπράξωμεν κάτι ἐναντίον τῆς ἀληθείας, δηλαδή, ἐνῷ εἶσθε εὐάρεστοι εἰς τὸν Θεὸν νὰ σᾶς τιμωρήσωμεν· ἀλλ' ἐπειδὴ δὲν ἠμποροῦμεν, διὰ τοῦτο δὲν θέλομεν, καὶ εὐχόμεθα τὸ ἀντίθετον. Καὶ μάλιστα πάρα πολὺ χαιρόμεθα, ὅταν δὲν σᾶς εὕρωμεν νὰ δίδετε ἀφορμὴν διὰ νὰ δείξωμεν τὴν δύναμίν μας τοῦ νὰ τιμωρῶμεν. Διότι, ἂν καὶ τὸ νὰ κάμνωμεν αὐτὰ μᾶς δεικνύει ἀξίους καὶ ἰσχυρούς, ἐμεῖς ὅμως τὸ ἀντίθετον ἐπιθυμοῦμεν, δηλαδὴ νὰ εἶσθε σεῖς ἄξιοι καὶ ἀνεπίληπτοι, καὶ ἐμεῖς ποτὲ νὰ μὴ καρπωθῶμεν τὴν δόξαν ἀπὸ τὴν τιμωρίαν σας. Διὰ τοῦτο λέγει· «Χαίρομεν λοιπὸν ὅταν ἐμεῖς εἴμεθα ἀδύνατοι». Τί σημαίνει, «ἀσθενῶμεν»; Ὅταν νομιζώμεθα ἀδύνατοι· ὄχι ὅταν εἴμεθα ἀδύνατοι, ἀλλ' ὅταν νομιζώμεθα ἀδύνατοι· διότι αὐτὸ ἐνομίζοντο ἀπὸ τοὺς ἐχθρούς, ἐπειδὴ δὲν ἐπεδείκνυον τὴν τιμωρητικήν των δύναμιν. Ἀλλ' ὅμως χαίρομεν, ὅταν ἔτσι μεταστραφῆτε, ὥστε νὰ μὴ μᾶς δώσετε ἀφορμὴν διὰ νὰ σᾶς τιμωρήσωμεν. Καὶ δι' ἐμᾶς αὐτὸ εἶναι εὐχάριστον, τὸ νὰ νομιζώμεθα ἔτσι ἀδύνατοι, μόνον

ἦτε· διὸ ἐπάγει, «ὑμεῖς δὲ δυνατοὶ ἦτε»· τουτέστι, δόκιμοι, ἐνάρετοι. Καὶ οὐ μόνον βουλόμεθα ταῦτα, ἀλλὰ εὐχόμεθα ταῦτα, ἀλήπτους ὑμᾶς εἶναι, τετελειωμένους, μηδεμίαν παρέχοντας ἡμῖν λαβήν.

6. Τοῦτο σπλάγχνα πατρικά, τῆς οἰκείας εὐδοκιμήσεως τὴν σωτηρίαν προτιμᾶν τῶν μαθητῶν· τοῦτο ψυχῆς ἀκενοδόξου· τοῦτο μάλιστα ἀπαλλάττει τῶν συνδέσμων τοῦ σώματος, καὶ μετεωρίζεσθαι ποιεῖ ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανόν, τὸ τῆς δόξης εἶναι τῆς κενῆς καθαρόν· ὥσπερ οὖν τὸ ἐναντίον εἰς πολλὰ ἄγει τὰ ἁμαρτήματα. Οὐ γάρ ἐστι μὴ καθαρεύοντα δόξης κενῆς, ὑψηλὸν γενέσθαι καὶ μέγαν καὶ γενναῖον, ἀλλὰ ἀνάγκη χαμαὶ σύρεσθαι, καὶ πολλὰ διαφθείρειν, δουλεύοντα μιαρᾷ δεσποίνῃ καὶ βαρβάρου παντὸς ἀπηνεστέρᾳ. Τί γὰρ αὐτῆς ἀγριώτερον γένοιτ' ἄν, ἣ ὅταν μάλιστα θεραπεύηται, τότε μάλιστα ἀγριοῦται; Καίτοιγε τοῦτο οὐδὲ τὰ θηρία ἔχει, ἀλλὰ τῇ πολλῇ τιθασσεύεται θεραπείᾳ. Ἡ δὲ κενοδοξία τοὐναντίον ἅπαν· καταφρονουμένη μὲν ἡμεροῦται, τιμωμένη δὲ ἀγριοῦται, καὶ ὁπλίζεται κατὰ τοῦ τιμῶντος. Ταύτην τιμήσαντες οἱ Ἰουδαῖοι, μετὰ πολλῆς τῆς σφοδρότητος ἐκολάσθησαν· ταύτην ἀτιμάσαντες οἱ μαθηταὶ ἐστεφανώθησαν. Καὶ τί λέγω κόλασιν καὶ στεφάνους; εἰ γὰρ αὐτὸ τὸ φανῆναι λαμπροὺς μάλιστα τὸ διαπτύειν αὐτὴν συντελεῖ. Καὶ ὄψει κἀνταῦθα τοὺς μὲν τιμῶντας αὐτήν, παραβλαπτομένους, τοὺς δὲ ἀτιμάζοντας, ὠφελουμένους. Οἱ μὲν γὰρ ἀτιμάσαντες αὐτὴν μαθηταί· οὐδὲν γὰρ κωλύει τῷ αὐτῷ πάλιν χρήσασθαι ὑποδείγματι· καὶ τὰ τοῦ Θεοῦ προτιμήσαντες, ὑπὲρ τὸν ἥλιον λάμπουσιν, ἀθάνατον κτησάμενοι μνήμην

ἐσεῖς νὰ εἶσθε ἀνεπίληπτοι· διὰ τοῦτο προσθέτει, «σεῖς δὲ εἶσθε δυνατοί»· δηλαδή, ἄξιοι, ἐνάρετοι. Καὶ ὄχι μόνον θέλομεν αὐτά, ἀλλὰ καὶ εὐχόμεθα αὐτά, τὸ νὰ εἶσθε σεῖς ἀνεπίληπτοι, τέλειοι, νὰ μὴ δίδετε εἰς ἐμᾶς καμμίαν ἀφορμήν.

6. Αὐτὸ εἶναι εὐσπλαγχνία πατρική, τὸ νὰ προτιμᾷ κανεὶς τὴν σωτηρίαν τῶν μαθητῶν, παρὰ νὰ τιμᾶται καὶ νὰ εὐτυχῇ ὁ ἴδιος· αὐτὸ εἶναι ψυχὴ ἀκενόδοξος· αὐτὸ κατ' ἐξοχὴν ἐλευθερώνει ἀπὸ τὰ σωματικὰ δεσμὰ καὶ κάνει τὸν ἄνθρωπον νὰ ἀναβαίνῃ ἀπὸ τῆς γῆς εἰς τὸν οὐρανόν, τὸ νὰ εἶναι δηλαδὴ καθαρὸς ἀπὸ τὴν ματαίαν δόξαν· ὅπως ἀκριβῶς βέβαια τὸ ἀντίθετον ὁδηγεῖ εἰς πολλὰ ἁμαρτήματα. Διότι δὲν εἶναι δυνατόν, ὅταν κάποιος δὲν εἶναι καθαρὸς ἀπὸ κενοδοξίαν νὰ γίνῃ ὑψηλὸς καὶ μέγας καὶ γενναῖος, ἀλλὰ κατ' ἀνάγκην θὰ σύρεται εἰς τὰ χαμηλὰ καὶ θὰ διαφθείρεται ἀπὸ πολλὰ ἁμαρτήματα, διότι θὰ εἶναι δοῦλος εἰς μιαρὰν κυρίαν καὶ ἀγριωτέραν ἀπὸ κάθε βάρβαρον. Διότι, τί ἠμπορεῖ νὰ ὑπάρξῃ ἀγριώτερον αὐτῆς, ἡ ὁποία ὅταν κατ' ἐξοχὴν τιμᾶται καὶ ὑπηρετῆται, τότε κατ' ἐξοχὴν ἐξαγριοῦται; Αὐτὸ βεβαίως οὔτε εἰς τὰ θηρία συμβαίνει, ἀλλὰ μὲ τὴν πολλὴν περιποίησιν τιθασσεύονται αὐτά. Ἡ κενοδοξία ὅμως εἶναι ἐντελῶς τὸ ἀντίθετον· ὅταν μὲν καταφρονῆται, ἡμεροῦται, ἐνῷ ὅταν τιμᾶται, ἐξαγριοῦται καὶ ὁπλίζεται ἐναντίον ἐκείνου ποὺ τὴν τιμᾷ. Ἐπειδὴ ἐτίμησαν αὐτὴν οἱ Ἰουδαῖοι, ἐτιμωρήθησαν μὲ πολλὴν σκληρότητα· ἐνῷ οἱ μαθηταὶ ἐπειδὴ τὴν περιεφρόνησαν ἐστεφανώθησαν. Καὶ διατί ὁμιλῶ διὰ τιμωρίαν καὶ στεφάνους; Ἀφοῦ εἰς τὸ νὰ ἀναδειχθοῦν λαμπροὶ συντελεῖ πάρα πολὺ τὸ νὰ τὴν περιφρονοῦν τελείως. Καὶ θὰ ἴδῃς καὶ ἐδῶ ἐκείνους μὲν οἱ ὁποῖοι τὴν τιμοῦν νὰ βλάπτωνται πάρα πολύ, ἐνῷ ἐκείνους ποὺ τὴν καταφρονοῦν νὰ ὠφελοῦνται. Αὐτοὶ λοιπὸν οἱ ὁποῖοι τὴν κατεφρόνησαν εἶναι οἱ μαθηταί· τίποτε βεβαίως δὲν ἐμποδίζει νὰ χρησιμοποιήσωμεν τὸ ἴδιον παράδειγμα· καὶ ἀφοῦ προετίμησαν ὅσα ἀρέσουν εἰς τὸν Θεόν, λάμπουν περισσότερον ἀπὸ τὸν ἥλιον, ἀφοῦ ἀπέκτησαν ἀθάνατον μνήμην

καὶ μετὰ τελευτήν· οἱ δὲ ὑποκατακλιθέντες αὐτῇ Ἰουδαῖοι, ἀπόλιδες, ἀνέστιοι, ἄτιμοι, φυγάδες, ἀνάστατοι γεγόνασιν, εὐτελεῖς, εὐκαταφρόνητοι.

Καὶ σὺ τοίνυν, εἰ βούλει δόξαν λαβεῖν, διάκρουσαι δόξαν· εἰ δὲ διώκεις δόξαν, ἐκπέσῃ δόξης. Καί, εἰ βούλεσθε, τοῦτον καὶ ἐν τοῖς βιωτικοῖς τὸν λόγον γυμνάσωμεν. Τίνας γὰρ σκώπτομεν ἐν τοῖς σκώμμασιν; οὐχὶ τοὺς ἐφιεμένους αὐτῆς; Οὐκοῦν μάλιστα οὗτοί εἰσιν οἱ ταύτης ἀπεστερημένοι, μυρίους ἔχοντας κατηγόρους, καὶ παρὰ πάντων ἀτιμαζόμενοι. Τίνας δὲ θαυμάζομεν, εἰπέ μοι; οὐ τοὺς καταφρονοῦντας αὐτῆς; Οὐκοῦν οὗτοί εἰσιν οἱ δοξαζόμενοι. Ὥσπερ γὰρ πλούσιος οὐχ ὁ πολλῶν δεόμενος, ἀλλ' ὁ μηδενός· οὕτως ἔνδοξος οὐχ ὁ δόξης ἐρῶν, ἀλλ' ὁ ταύτης ὑπερορῶν· σκιὰ γὰρ δόξης ἐστὶν αὕτη ἡ δόξα. Οὐδεὶς ἄρτον ἰδὼν ἐζωγραφημένον, κἂν μυριάκις ὑπὸ λιμοῦ κατέχηται, τῆς Γραφῆς ἅψεται. Μὴ τοίνυν μηδὲ σὺ δίωκε τὰς σκιάς· σκιὰ γὰρ δόξης τοῦτο, οὐ δόξα. Καὶ ἵνα μάθῃς, ὅτι τοῦτο τοῦτον ἔχει τὸν τρόπον, καὶ σκιὰ τοῦτό ἐστιν, ἐκεῖνο λογίζου· ὅταν διαβάλληται παρὰ ἀνθρώποις τὸ πρᾶγμα, ὅταν φευκτὸν εἶναι δοκῇ τοῖς πᾶσι, καὶ αὐτοῖς τοῖς ἐπιθυμοῦσιν αὐτοῦ, ὅταν αἰσχύνηται καλούμενος ἐντεῦθεν ὁ ἔχων ἢ ὁ ἐφιέμενος αὐτῆς.

Πόθεν οὖν ἡ ἐπιθυμία, φησίν, αὕτη, καὶ πῶς γίνεται τὸ πάθος; Ἀπὸ μικροψυχίας· οὐ γὰρ δεῖ κατηγορεῖν μόνον, ἀλλὰ καὶ διορθοῦσθαι· ἀπὸ ἀτελοῦς διανοίας, ἀπὸ παιδικῆς γνώμης. Παυσώμεθα τοίνυν παῖδες ὄντες, καὶ γενώμεθα ἄνδρες, καὶ πανταχοῦ τὴν ἀλήθειαν, μὴ τὰς σκιὰς διώκωμεν, καὶ ἐν πλούτῳ καὶ ἐν ἡδονῇ καὶ ἐν τρυφῇ καὶ ἐν δόξῃ καὶ ἐν

καὶ μετὰ θάνατον· ἐνῷ οἱ Ἰουδαῖοι οἱ ὁποῖοι ἐνέδωσαν εἰς αὐτήν, ἔγιναν ἀπάτριδες, περιπλανώμενοι, ἐξόριστοι, φυγάδες ἀνάστατοι, εὐτελεῖς, εὐκαταφρόνητοι.

Καὶ σύ, λοιπόν, ἐὰν θέλῃς νὰ λάβῃς δόξαν, ν' ἀποφεύγῃς τὴν δόξαν· ἐὰν δὲ ἐπιδιώκῃς τὴν δόξαν, θὰ ἐκπέσῃς τῆς δόξης. Καί, ἐὰν θέλετε, ἂς ἐφαρμόσωμεν αὐτὸν τὸν λόγον καὶ εἰς τὰ τῆς καθημερινῆς ζωῆς. Ποίους λοιπὸν περιπαίζομεν κατὰ τοὺς ἀστεϊσμούς; δὲν περιπαίζομεν ἐκείνους ποὺ ἐπιθυμοῦν αὐτήν; Λοιπὸν αὐτοὶ εἶναι ἐκεῖνοι ποὺ τὴν ἔχουν στερηθῆ περισσότερον ἀπὸ τὸν καθένα, ἐφ' ὅσον ἔχουν ἀπείρους κατηγόρους καὶ περιφρονοῦνται ἀπὸ ὅλους. Ποίους ὅμως θαυμάζομεν; εἰπέ μου. Ὄχι αὐτοὺς ποὺ τὴν καταφρονοῦν; Λοιπὸν αὐτοὶ εἶναι οἱ δοξαζόμενοι. Διότι ὅπως πλούσιος εἶναι ἐκεῖνος ποὺ δὲν ἔχει ἀνάγκην ἀπὸ πολλά, ἀλλ' ἀπὸ τίποτε, ἔτσι ἔνδοξος εἶναι ὄχι ὅποιος ἀγαπᾷ τὴν δόξαν, ἀλλ' αὐτὸς ποὺ τὴν περιφρονεῖ· διότι σκιὰ δόξης εἶναι αὐτὴ ἡ δόξα. Κανεὶς ἄνθρωπος ὅταν ἴδῃ ἄρτον ἐζωγραφημένον θὰ ἐγγίσῃ τὴν ζωγραφίαν, ἀκόμη καὶ ἂν κατέχεται ἀπὸ φοβερὰν πεῖναν. Οὔτε καὶ σὺ λοιπὸν νὰ ἐπιδιώκῃς τὰς σκιάς· διότι σκιὰ δόξης εἶναι αὐτό, ὄχι δόξα. Καὶ διὰ νὰ καταλάβῃς ὅτι αὐτὸ ἔτσι εἶναι, καὶ ὅτι σκιὰ εἶναι ἡ δόξα, ἐκεῖνο νὰ σκέπτεσαι, τὸ ὅτι δηλαδὴ κατηγορεῖται ἀπὸ τοὺς ἀνθρώπους αὐτὸ τὸ πρᾶγμα, τὸ ὅτι θεωρεῖται ἀπὸ ὅλους ἀποφευκτέον, ἀκόμη καὶ ἀπὸ αὐτοὺς ποὺ ἐπιθυμοῦν αὐτήν, τὸ ὅτι ἐντροπιάζεται ἐδῶ ἐκεῖνος ποὺ λέγεται ὅτι ἔχει ἢ ἐπιθυμεῖ τὴν δόξαν.

Ἀπὸ ποῦ λοιπὸν προέρχεται αὐτὴ ἡ ἐπιθυμία, λέγει, καὶ πῶς δημιουργεῖται αὐτὸ τὸ πάθος; Ἀπὸ μικροψυχίαν· διότι δὲν πρέπει μόνον νὰ κατηγοροῦμεν, ἀλλὰ καὶ νὰ διορθούμεθα· ἀπὸ ἀνώριμον σκέψιν, ἀπὸ παιδικὴν νοοτροπίαν. Ἂς παύσωμεν λοιπὸν νὰ εἴμεθα παιδιά, καὶ ἂς γίνωμεν ἄνδρες, καὶ ἂς ἐπιδιώκωμεν παντοῦ τὴν ἀλήθειαν καὶ ὄχι τὰς σκιάς, καὶ εἰς τὸν πλοῦτον καὶ εἰς τὴν ἡδονὴν καὶ εἰς τὴν ἀπόλαυσιν καὶ εἰς τὴν δόξαν καὶ εἰς τὴν δύναμιν· καὶ θὰ

δυνάμει· καὶ παύσεται τὸ νόσημα τοῦτο καὶ ἕτερα πλείονα. Τὸ γὰρ σκιὰς διώκειν, μαινομένου. Διὸ καὸ ὁ Παῦλος ἔλεγεν, «Ἐκνήψατε δικαίως, καὶ μὴ ἁμαρτάνετε».

Ἔστι γὰρ καὶ ἑτέρα μανία, χαλεπωτέρα ἐκείνης τῆς ἀπὸ τῶν δαιμόνων, τῆς ἀπὸ τῆς φρενίτιδος. Ἡ μὲν γὰρ ἔχει συγγνώμην, αὕτη δὲ ἀπολογίας ἐστέρηται, ὅταν αὐτὴ ἡ ψυχὴ διεφθαρμένη ᾖ καὶ ἡ ὀρθὴ κρίσις αὐτῆς ἀπολωλυῖα· καὶ τὸ μὲν τῆς φρενίτιδός ἐστι σωματικὸν πάθος, αὕτη δὲ ἡ μανία τοῦ τεχνίτου νοῦ. Ὥσπερ οὖν τῶν πυρετῶν ἐκεῖνοι χαλεπώτεροι καὶ ἀνίατοι οἱ τῶν στερεῶν ἁπτόμενοι σωμάτων, καὶ τοῖς νεύροις ἐνδομυχοῦντες, καὶ ταῖς φλεψὶν ἐναποκεκρυμμένοι· οὕτω δὴ καὶ αὕτη ἡ μανία, ἐπειδὴ αὐτῇ τῇ διανοίᾳ ἐνδομυχεῖ, διαστρέφουσα αὐτὴν καὶ λυμαινομένη. Πῶς γὰρ οὐ μανία λαμπρὰ καὶ σαφής, καὶ μανίας ἁπάσης χαλεπώτερον πάθος, τῶν μὲν μενόντων διηνεκῶς καταφρονεῖν, τῶν δὲ ἀπολλυμένων ἔχεσθαι μετὰ πολλῆς τῆς σπουδῆς; Εἰπὲ γάρ μοι, εἴ τις ἄνεμον ἐδίωκεν ἢ κρατεῖν ἐπεχείρει, οὐκ ἂν ἔφαμεν αὐτὸν μαίνεσθαι; Τί δέ; εἴ τις σκιᾶς κατεῖχε, τῶν ἀληθῶν ἀμελῶν, καὶ τὴν μὲν γυναῖκα ἐμίσει τὴν ἑαυτοῦ, περιεπλέκετο δὲ αὐτῆς τὴν σκιάν, ἢ τὸν μὲν υἱὸν ἀπεστρέφετο, τὴν δὲ τούτου σκιὰν πάλιν ἐφίλει, ἆρα ἂν ἕτερον ἐζήτησας σημεῖον τούτου σαφέστερον εἰς ἀπόδειξιν μανίας;

Τοιοῦτοί τινές εἰσι καὶ οὗτοι οἱ πρὸς τὰ παρόντα κεχηνότες. Καὶ γὰρ πάντα σκιά, κἂν δόξαν εἴπῃς, κἂν δυναστείαν, κἂν εὐδοκίμησιν, κἂν πλοῦτον, κἂν τρυφήν, κἂν ὁτιοῦν ἕτερον βιωτικόν. Διὰ δὴ τοῦτο καὶ ὁ προφήτης ἔλεγε, «Μέντοιγε

---

20. Α΄ Κορ. 15, 34.

ἐξαφανισθῇ αὐτὴ ἡ νόσος καὶ πολλὰ ἄλλα. Διότι, τὸ νὰ ἐπιδιώκῃ κανεὶς σκιὰς εἶναι ἴδιον γνώρισμα ἀνθρώπου ποὺ κατέχεται ἀπὸ μανίαν. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἔλεγε· «Συνέλθετε εἰς τὸν ἑαυτόν σας, ὅπως εἶναι δίκαιον καὶ συμφέρον σας καὶ μὴ ἁμαρτάνετε»[20].

Ὑπάρχει λοιπὸν καὶ ἄλλη μανία, χειροτέρα ἀπὸ ἐκείνην, ἡ ὁποία προέρχεται ἀπὸ τοὺς δαίμονας, ἀπὸ ἐκείνην τὴν παραφροσύνην. Διότι ἡ μὲν μία συγχωρεῖται, ἐνῷ αὐτὴ στερεῖται ἀπὸ κάθε ἀπολογίαν, ὅταν ἡ ἰδία ἡ ψυχὴ εἶναι διεφθαρμένη καὶ ἡ ὀρθὴ κρίσις της ἔχῃ ἐξαφανισθῆ· καὶ τὸ μὲν τῆς παραφροσύνης εἶναι σωματικὸν πάθος, ἐνῷ αὐτὴ ἡ μανία εἶναι προϊὸν τοῦ δολίου νοῦ. Ὅπως λοιπὸν οἱ χειρότεροι καὶ ἀθεράπευτοι ἀπὸ τοὺς πυρετοὺς εἶναι ἐκεῖνοι ποὺ προσβάλλουν τὰ εὔρωστα σώματα καὶ διεισδύουν εἰς τὰ νεῦρα καὶ κρύπτονται μέσα εἰς τὰς φλέβας, ἔτσι ἀκριβῶς καὶ αὐτὴ ἡ μανία, ἐπειδὴ διεισδύει καὶ μένει μέσα εἰς αὐτὴν τὴν ἰδίαν τὴν διάνοιαν καὶ τὴν διαστρέφει καὶ τὴν καταστρέφει. Διότι πῶς δὲν εἶναι καταφανὴς καὶ σαφὴς μανία, καὶ ἀπὸ κάθε μανίαν φοβερώτερον πάθος, ὅταν ἐκεῖνοι μὲν οἱ ὁποῖοι παραμένουν συνετοὶ συνεχῶς περιφρονοῦν τὴν δόξαν, ἐνῷ ἐκεῖνοι οἱ ὁποῖοι χάνονται ἀφοσιοῦνται εἰς αὐτὴν μὲ πολὺν ζῆλον; Διότι, εἰπέ μου, ἐὰν κάποιος ἐκυνηγοῦσε τὸν ἄνεμον ἢ ἐπεχείρει νὰ τὸν κρατήσῃ, δὲν θὰ ἐλέγομεν ὅτι εἶναι τρελλός; Τί δέ; Ἐὰν κάποιος ἐκράτει σκιάν, ἀδιαφορῶν διὰ τὰ ἀληθῆ, καὶ τὴν μὲν γυναῖκα του ἐμίσει, ἐνῷ μὲ τὴν σκιάν της περιεπλέκετο, ἢ τὸν μὲν υἱόν του ἀπεστρέφετο, ἐνῷ τὴν σκιάν του πάλιν ἠγάπα, ἆρά γε θὰ ἐζήτεις σαφέστερον ἀπὸ αὐτὸ τὸ σημεῖον ὡς ἀπόδειξιν τῆς παραφροσύνης του;

Τέτοιοι εἶναι καὶ αὐτοὶ οἱ ὁποῖοι χάσκουν θαυμάζοντες τὰ πράγματα τοῦ παρόντος βίου. Καὶ βεβαίως τὰ πάντα εἶναι σκιά, εἴτε τὴν δόξαν εἴπῃς, εἴτε ἐξουσίαν, εἴτε ὑπόληψιν καὶ εὐτυχίαν, εἴτε πλοῦτον, εἴτε ἀπόλαυσιν, εἴτε ὁ,τιδήποτε βιωτικόν. Διὰ τοῦτο βεβαίως καὶ ὁ προφήτης ἔλεγε· «Πράγμα-

ἐν εἰκόνι διαπορεύεται ἄνθρωπος· πλὴν μάτην ταράσσεται»· καὶ πάλιν, «Αἱ ἡμέραι ἡμῶν, ὡς σκιὰ ἐκλίθησαν». Καὶ ἀλλαχοῦ καπνὸν καὶ ἄνθος χόρτου καλεῖ τὰ ἀνθρώπινα. Οὐ τὰ χρηστὰ δὲ αὐτοῦ σκιὰ μόνον, ἀλλὰ καὶ τὰ λυπηρά, κἂν θάνατον εἴπῃς, κἂν πενίαν, κἂν ἀρρωστίαν, κἂν ὁτιοῦν ἕτερον. Ποῖα οὖν τὰ μένοντα, καὶ τὰ χρηστὰ καὶ τὰ λυπηρά; Ἡ βασιλεία ἡ αἰώνιος, καὶ ἡ γέεννα ἡ διηνεκής. Οὔτε γὰρ ὁ σκώληξ τελευτήσει, καὶ τὸ πῦρ οὐ σβεσθήσεται· καὶ ἀναστήσονται οὗτοι εἰς ζωὴν αἰώνιον, καὶ οὗτοι εἰς κόλασιν αἰώνιον.

Ἵν' οὖν τὴν μὲν φύγωμεν, τῆς δὲ ἀπολαύσωμεν, ἀφέμενοι τῆς σκιᾶς, ἐχώμεθα τῶν ἀληθινῶν πραγμάτων μετὰ σπουδῆς ἁπάσης· οὕτω γὰρ ἐπιτευξόμεθα τῆς βασιλείας τῶν οὐρανῶν· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

21. Ψαλμ. 38, 7.
22. Ψαλμ. 101, 12.

τι, ὡς σκιώδης εἰκὼν ζῇ ὁ ἄνθρωπος ἐδῶ. Ἄδικα λοιπὸν ταράσσεται μοχθῶν»[21]· καὶ πάλιν, «Αἱ ἡμέραι τῆς ζωῆς μου χάνονται, ὅπως καὶ αἱ σκιαὶ ὅταν δύῃ ὁ ἥλιος»[22]. Καὶ ἀλλοῦ καπνὸν καὶ ἄνθος χόρτου ποὺ ξηραίνεται συντόμως ὀνομάζει τὰ ἀνθρώπινα. Ὄχι μόνον δὲ τὰ ἀγαθὰ τοῦ ἀνθρώπου ὀνομάζει σκιάν, ἀλλὰ καὶ τὰ λυπηρά, εἴτε θάνατον εἴπῃς, εἴτε πτωχείαν, εἴτε ἀρρώστειαν, εἴτε ὁ,τιδήποτε ἄλλο. Ποῖα εἶναι λοιπὸν αὐτὰ ποὺ μένουν, καὶ τὰ ἀγαθὰ καὶ τὰ λυπηρά; Ἡ αἰώνιος βασιλεία καὶ ἡ ἀτελεύτητος γέεννα. Διότι οὔτε ὁ σκώληξ ὁ ἀκοίμητος θ' ἀποθάνῃ, οὔτε καὶ τὸ πῦρ θὰ σβήσῃ· καὶ θὰ ἀναστηθοῦν αὐτοὶ εἰς ζωὴν αἰώνιον, καὶ οἱ ἄλλοι εἰς αἰώνιον κόλασιν.

Διὰ ν' ἀποφύγωμεν λοιπὸν τὴν μέν, τὴν δὲ ἄλλην ν' ἀπολαύσωμεν, ἀφοῦ ἐλευθερωθῶμεν ἀπὸ τὴν σκιάν, ἂς εἴμεθα ἀφωσιωμένοι μὲ κάθε ζῆλον εἰς τὰ ἀληθινὰ πράγματα· διότι ἔτσι θὰ κερδίσωμεν τὴν βασιλείαν τῶν οὐρανῶν, τὴν ὁποίαν εἴθε νὰ συμβῇ νὰ τὴν ἐπιτύχωμεν ὅλοι ἐμεῖς, μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα καὶ ἡ δύναμις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Λ΄
Β΄ Κορ. 13, 10 - 13

«Διὰ τοῦτο ταῦτα ἀπὼν γράφω, ἵνα παρὼν μὴ ἀποτόμως χρήσωμαι, κατὰ τὴν ἐξουσίαν ἣν ἔδωκέ μοι ὁ Κύριος εἰς οἰκοδομὴν καὶ οὐκ εἰς καθαίρεσιν».

1. Ἤσθετο αὐτοῦ σφοδρότερον διαλεχθείς, καὶ μάλιστα πρὸς τὸ τέλει τῆς ἐπιστολῆς. Καὶ γὰρ ἔμπροσθεν ἔλεγε· «Αὐτὸς δὲ ἐγὼ Παῦλος παρακαλῶ ὑμᾶς διὰ τῆς πραότητος καὶ ἐπιεικείας τοῦ Χριστοῦ· ὃς κατὰ πρόσωπον μὲν ταπεινὸς ἐν ὑμῖν, ἀπὼν δὲ θαρρῶ εἰς ὑμᾶς. Δέομαι δὲ τὸ μὴ παρὼν θαρρῆσαι τῇ πεποιθήσει, ᾗ λογίζομαι τολμῆσαι ἐπί τινας τοὺς λογιζομένους ἡμᾶς κατὰ σάρκα περιπατοῦντας»· καί· «Ἐν ἑτοίμῳ ἔχοντες ἐκδικῆσαι πᾶσαν παρακοήν, ὅταν πληρωθῇ ὑμῶν ἡ ὑπακοή»· καί· «Φοβοῦμαι μή πως ἐλθών, οὐχ οἵους θέλω, εὕρω ὑμᾶς, καὶ ἐγὼ εὑρεθῶ ὑμῖν, οἷον οὐ θέλετε»· καὶ πάλιν, «Μή πως ἐλθόντα με ταπεινώσῃ ὁ Θεός μου πρὸς ὑμᾶς καὶ πενθήσω πολλοὺς τῶν προημαρτηκότων καὶ μὴ μετανοησάντων ἐπὶ τῇ ἀσελγείᾳ καὶ ἀκαθαρσίᾳ ᾗ ἔπραξαν»· καὶ μετὰ ταῦτα· «Προείρηκα καὶ προλέγω ὡς παρὼν τὸ δεύτερον, καὶ ἀπὼν νῦν γράφω, ὅτι ἐὰν ἔλθω εἰς τὸ πάλιν, οὐ φείσομαι· ἐπεὶ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ».

Ἐπεὶ οὖν ταῦτά τε καὶ ἕτερα πλείονα εἴρηκε, φοβῶν, ἐντρέπων, ὀνειδίζων, καθαπτόμενος, ἀπολογούμενος ὑπὲρ ἁπάντων φησί· «Διὰ τοῦτο ταῦτα ἀπὼν γράφω, ἵνα μὴ παρὼν ἀποτόμως χρήσωμαι». Βούλομαι γὰρ ἐν τοῖς γράμ-

1. Β΄ Κορ. 13, 10.
1α. Β΄ Κορ. 13, 2-3.

ΛΟΓΟΣ Λ΄
Β΄ Κορ. 13, 10 - 13

«Δι' αὐτὸ σᾶς γράφω αὐτά, ὅταν δὲν εἶμαι μεταξύ σας, διὰ νὰ μὴ συμπεριφερθῶ μὲ αὐστηρότητα, ὅταν θὰ εἶμαι παρών, συμφώνως πρὸς τὴν ἐξουσίαν ποὺ μοῦ ἔδωσεν ὁ Κύριος πρὸς οἰκοδομὴν καὶ ὄχι πρὸς καταστροφήν»[1].

1. Ἠσθάνθη ὅτι ὡμίλησε αὐστηρότερα καὶ μάλιστα πρὸς τὸ τέλος τῆς ἐπιστολῆς. Ἀλλὰ καὶ εἰς τὴν ἀρχὴν ἔλεγεν· «Ἐγὼ ὁ ἴδιος ὁ Παῦλος, σᾶς παρακαλῶ διὰ τῆς πραότητος καὶ τῆς ἐπιεικείας τοῦ Χριστοῦ, ἐγώ, ὁ ὁποῖος ἐνώπιόν σας εἶμαι ταπεινός, ἀλλ' ὅταν εἶμαι μακρὰν εἶμαι θαρραλέος ἀπέναντί σας· παρακαλῶ νὰ μὴ ἀναγκασθῶ νὰ φανῶ θαρραλέος, ὅταν θὰ εἶμαι μεταξύ σας, μὲ τὴν τόλμην τὴν ὁποίαν σκέπτομαι νὰ χρησιμοποιήσω ἐναντίον μερικῶν, οἱ ὁποῖοι μᾶς θεωροῦν ὅτι ἐνεργοῦμεν κατὰ τρόπον κοσμικόν»· καί· «εἴμεθα ἕτοιμοι νὰ τιμωρήσωμεν κάθε παρακοήν, ὅταν γίνῃ πλήρης ἡ ὑπακοή σας»· καί· «Φοβοῦμαι μήπως, ὅταν ἔλθω, δὲν σᾶς εὕρω ὅπως σᾶς θέλω, καὶ σεῖς δὲν μὲ εὕρετε ὅπως μὲ θέλετε»· καὶ πάλιν· «Μήπως, ὅταν πάλιν ἔλθω, μὲ ταπεινώσῃ ὁ Θεός μου ἀπέναντί σας, καὶ πενθήσω πολλοὺς ποὺ ἡμάρτησαν προηγουμένως καὶ δὲν μετενόησαν διὰ τὴν ἀκαθαρσίαν καὶ τὴν ἀσέλγειαν καὶ τὴν πορνείαν ποὺ διέπραξαν»· καὶ μετὰ ἀπὸ αὐτά· «Ἔχω προείπει καὶ προλέγω καὶ πάλιν, ὅπως ἤμουν παρὼν τὴν δευτέραν φορὰν καὶ ἀπὼν τώρα γράφω εἰς ἐκείνους ποὺ ἡμάρτησαν προηγουμένως καὶ εἰς ὅλους τοὺς ὑπολοίπους· ὅτι, ὅταν ἔλθω πάλιν, δὲν θὰ σᾶς λυπηθῶ, ἀφοῦ ζητεῖτε ἀπόδειξιν διὰ τὸν Χριστὸν ὁ ὁποῖος ὁμιλεῖ μέσῳ ἐμοῦ»[1α].

Ἐπειδὴ λοιπὸν αὐτὰ καὶ ἄλλα εἶπε, φοβίζων, ἐντροπιάζων, κατηγορῶν, προσβάλλων, ἀπολογούμενος δι' ὅλα, λέγει· «Διὰ τοῦτο σᾶς γράφω αὐτά, ὅταν δὲν εἶμαι μεταξύ σας, διὰ νὰ μὴ συμπεριφερθῶ μὲ αὐστηρότητα, ὅταν θὰ εἶ-

μασι κεῖσθαι τὴν ἀποτομίαν, ἀλλὰ μὴ ἐν τοῖς πράγμασι· βούλομαι σφοδρὰς εἶναι τὰς ἀπειλάς, ἵνα μείνωσιν ἀπειλαὶ καὶ μὴ εἰς ἔργον ἐξέλθωσι. Πάλιν καὶ ἐν ταύτῃ τῇ ἀπολογίᾳ φοβερώτερον ποιεῖ τὸν λόγον, δεικνὺς ὅτι οὐκ αὐτός ἐστιν ὁ μέλλων κολάζειν, ἀλλ' ὁ Θεός· ἐπήγαγε γάρ, «κατὰ τὴν ἐξουσίαν, ἣν ἔδωκέ μοι ὁ Κύριος»· καὶ πάλιν δεικνὺς ὅτι οὐκ ἐπιθυμεῖ τῇ ἐξουσίᾳ εἰς τὴν ἐκείνων ἀποχρήσασθαι τιμωρίαν, προσέθηκεν, «οὐκ εἰς κοθαίρεσιν, ἀλλ' εἰς οἰκοδομήν». Καὶ ᾐνίξατο μὲν τοῦτο νῦν, ὅπερ ἔφην, ἀλλὰ κατέλιπεν αὐτοῖς ἀναλογίσασθαι, ὅτι ἐὰν ἀδιόρθωτοι μείνωσι, καὶ τοῦτο πάλιν οἰκοδομή ἐστι, τὸ τοὺς οὕτω διακειμένους κολάζειν. Καὶ γὰρ οὕτως ἔχει καὶ αὐτὸς τοῦτο οἶδε καὶ διὰ τῶν ἔργων ἔδειξε.

«Τὸ λοιπόν, ἀδελφοί, χαίρετε, καταρτίζεσθε, παρακαλεῖσθε, τὸ αὐτὸ φρονεῖτε, εἰρηνεύετε· καὶ ὁ Θεὸς τῆς ἀγάπης καὶ εἰρήνης ἔσται μεθ' ὑμῶν». Τί ἐστι, «Τὸ λοιπόν, ἀδελφοί, χαίρετε»; Ἐλύπησας, ἐφόβησας, εἰς ἀγωνίαν ἐνέβαλες, τρέμειν ἐποίησας καὶ δεδοικέναι, καὶ πῶς κελεύεις χαίρειν; Δι' αὐτὸ μὲν οὖν τοῦτο κελεύω χαίρειν. Εἰ γὰρ τὰ παρ' ὑμῶν, φησίν, ἀκολουθήσειε τοῖς παρ' ἐμοῦ, οὐδὲν ἔσται τὸ κωλῦον τὴν χαράν. Τὰ μὲν γὰρ ἐμὰ ἅπαντα γέγονεν· ἐμακροθύμησα, ἐνεβαλόμην, οὐκ ἐξέκοψα, παρεκάλεσα, συνεβούλευσα, ἐφόβησα, ἠπείλησα, ὥστε πανταχόθεν ὑμᾶς συναγαγεῖν εἰς τὸν τῆς μετανοίας καρπόν. Δεῖ δὲ λοιπὸν γενέσθαι τὰ παρ' ὑμῶν· καὶ οὕτως ἀμάραντος ὑμῖν ἡ χαρά.

«Καταρτίζεσθε». Τί ἐστι, «καταρτίζεσθε»; Τέλειοι γίνεσθε, ἀναπληροῦτε τὰ λείποντα. «Παρακαλεῖσθε». Ἐπειδὴ γὰρ πολλοὶ ἦσαν οἱ πειρασμοὶ καὶ μεγάλοι οἱ κίνδυνοι, φησί, παρακαλεῖσθε, καὶ ὑπ' ἀλλήλων, καὶ ὑφ' ἡμῶν, καὶ ὑπὸ τῆς ἐπὶ τὸ βέλτιον μεταβολῆς. Εἰ γὰρ ἀπὸ τοῦ συνειδότος γέ-

---

2. Β' Κορ. 13, 11.

μαι παρών». Διότι θέλω ἡ αὐστηρότης νὰ εὑρίσκεται εἰς τὰ γράμματα καὶ ὄχι εἰς τὰ πράγματα· θέλω νὰ εἶναι αὐστηραὶ αἱ ἀπειλαί, διὰ νὰ μείνουν ἀπειλαὶ καὶ νὰ μὴ πραγματοποιηθοῦν. Πάλιν καὶ εἰς αὐτὴν τὴν ἀπολογίαν κάμνει φοβερώτερον τὸν λόγον, δεικνύων ὅτι δὲν εἶναι αὐτὸς ἐκεῖνος ποὺ πρόκειται νὰ κολάσῃ, ἀλλ' ὁ Θεός· διότι προσέθεσε, «συμφώνως πρὸς τὴν ἐξουσίαν ποὺ μοῦ ἔδωσεν ὁ Κύριος»· καὶ πάλιν διὰ νὰ δείξῃ ὅτι δὲν ἐπιθυμεῖ νὰ χρησιμοποιήσῃ αὐτὴν τὴν ἐξουσίαν διὰ νὰ τιμωρήσῃ ἐκείνους, προσέθεσε, «πρὸς οἰκοδομὴν καὶ ὄχι πρὸς καταστροφήν». Καὶ ὑπηνίχθη μὲν τώρα αὐτὸ τὸ ὁποῖον εἶπον, ἀλλ' ἄφησεν αὐτοὺς ν' ἀναλογισθοῦν, ὅτι ἐὰν μείνουν ἀδιόρθωτοι, καὶ αὐτὸ ἐπίσης οἰκοδομὴ εἶναι, δηλαδὴ τὸ νὰ κολάζῃ ἐκείνους ποὺ διάκεινται ἔτσι. Καὶ πράγματι ἔτσι ἔχουν τὰ πράγματα, καὶ αὐτὸς τὸ γνωρίζει αὐτὸ καὶ τὸ ἔδειξε διὰ τῶν ἔργων.

«Λοιπόν, ἀδελφοί, χαίρετε, προχωρεῖτε εἰς τὴν τελειοποίησιν, νὰ νουθετῆτε ὁ ἕνας τὸν ἄλλον, νὰ ἔχετε τὸ ἴδιο φρόνημα, νὰ εἰρηνεύετε, καὶ ὁ Θεὸς τῆς ἀγάπης καὶ τῆς εἰρήνης θὰ εἶναι μαζί σας»[2]. Τί σημαίνει «Τὸ λοιπόν, ἀδελφοί, χαίρετε»; Ἐλύπησες, ἐφόβισες, ἔβαλες αὐτοὺς εἰς ἀγωνίαν, τοὺς ἔκανες νὰ φοβοῦνται καὶ νὰ τρέμουν, πῶς τώρα παραγγέλλεις νὰ χαίρωνται; Δι' αὐτὸ λοιπὸν λέγω νὰ χαίρουν. Διότι ἐὰν τὰ ἔργα σας, λέγει, ἀκολουθήσουν αὐτὰ ποὺ σᾶς παρήγγειλα, τίποτε δὲν θὰ ἐμποδίζῃ τὴν χαράν. Ἀπὸ τὴν ἰδικήν μου πλευρὰν ἐγὼ ἔκανα τὰ πάντα· ἐμακροθύμησα, ἀνέβαλον, δὲν ἐκτύπησα, παρεκάλεσα, συνεβούλευσα, ἐφόβισα, ἠπείλησα, ὥστε μὲ κάθε τρόπον νὰ σᾶς ὁδηγήσω εἰς τὸν καρπὸν τῆς μετανοίας. Μένει λοιπὸν νὰ γίνουν ὅσα ἀνήκουν εἰς ἐσᾶς· καὶ ἔτσι θὰ εἶναι ἀμάραντος ἡ χαρά σας.

«Καταρτίζεσθε»· Τί σημαίνει, «καταρτίζεσθε»; Νὰ γίνεσθε τέλειοι, ν' ἀναπληροῦτε ὅσα λείπουν. «Νὰ νουθετῆτε ὁ ἕνας τὸν ἄλλον». Ἐπειδὴ λοιπὸν ἦσαν πολλοὶ οἱ πειρασμοὶ καὶ μεγάλοι οἱ κίνδυνοι, λέγει «νὰ νουθετῆσθε» καὶ μεταξύ σας, καὶ ἀπὸ ἐμᾶς, καὶ ἀπὸ τὴν πρόοδον πρὸς τὸ καλύτερον.

νοιτο χαρὰ καὶ τέλειοι καταστaίητε, οὐδὲν λείπει εἰς ἐπιθυμίαν ὑμῖν καὶ παράκλησιν. Οὐδὲν γὰρ οὕτω ποιεῖ παράκλησιν, ὡς καθαρὸν συνειδὸς κἂν μύριοι περικέωνται πειρασμοί. «Τὸ αὐτὸ φρονεῖτε, εἰρηνεύετε»· ὃ καὶ ἐν τῇ προτέρᾳ ἐπιστολῇ ἐκ προοιμίων ᾔτησεν. Ἔστι γὰρ καὶ τὸ αὐτὸ φρονεῖν, καὶ μὴ εἰρηνεύειν, ὅταν ἐν τοῖς δόγμασι συμβαίνωσί τινες, ἐν δὲ τοῖς πρὸς ἀλλήλους διαστασιάζωσιν. Ἀλλὰ ἀμφότερα ὁ Παῦλος ἀπαιτεῖ.

«Καὶ ὁ Θεὸς τῆς ἀγάπης καὶ τῆς εἰρήνης ἔσται μεθ' ὑμῶν». Οὐ γὰρ δὴ μόνον παραινεῖ καὶ συμβουλεύει, ἀλλὰ καὶ ἐπεύχεται. Ἢ γὰρ ἐπεύχεται τοῦτο, ἢ προλέγει τὸ ἐσόμενον· μᾶλλον δὲ ἀμφότερα. Ἐὰν γὰρ ταῦτα ποιῆτε, φησίν, οἷον, ἐὰν τὸ αὐτὸ φρονῆτε καὶ εἰρηνεύητε, ἔσται καὶ ὁ Θεὸς μεθ' ὑμῶν· ἀγάπης γάρ ἐστιν ὁ Θεὸς καὶ εἰρήνης, καὶ τούτοις χαίρει, τούτοις εὐφραίνεται. Ἐντεῦθεν ὑμῖν καὶ εἰρήνη ἀπὸ τῆς ἀγάπης αὐτοῦ· ἐντεῦθεν τῶν κακῶν ἡ ἀναίρεσις ἁπάντων. Αὕτη τὴν οἰκουμένην ἔσωσεν, αὕτη τὸν χρόνιον πόλεμον κατέλυσεν, αὕτη τῷ οὐρανῷ τὴν γῆν ἀνέμιξεν, αὕτη τοὺς ἀνθρώπους ἀγγέλους ἐποίησε. Ταύτην τοίνυν καὶ ἡμεῖς μιμησώμεθα· μυρίων γὰρ ἀγαθῶν μήτηρ ἡ ἀγάπη. Διὰ ταύτης ἐσώθημεν, διὰ ταύτης ἡμῖν τὰ ἀπόρρητα ἀγαθὰ ἅπαντα.

2. Εἶτα ἐνάγων αὐτοὺς εἰς ταύτην, φησίν· «Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ». Τί ἐστιν, «ἁγίῳ»; Μὴ ὑπούλῳ, μὴ δολερῷ, καθάπερ ὁ Ἰούδας τὸν Χριστὸν ἐφίλησε. Διὰ γὰρ τοῦτο τὸ φίλημα δέδοται, ἵνα ἐμπύρευμα τῆς ἀγάπης γένηται, ἵνα ἀνακαίῃ τὴν διάθεσιν, ἵνα οὕτως ἀλλήλους φιλῶμεν, ὡς ἀδελφοὺς ἀδελφοί, ὡς παῖδες πατέρας, ὡς πατέρες παῖδας· μᾶλλον δὲ καὶ πολλῷ πλεῖον. Ἐκεῖνα μὲν γὰρ

---

3. Β' Κορ. 13, 12.

Διότι ἐὰν ἀπὸ τὴν συνείδησιν ἔλθῃ χαρὰ καὶ γίνετε τέλειοι, τίποτε δὲν θὰ σᾶς λείπῃ διὰ νὰ σᾶς χαρίζῃ εὐθυμίαν καὶ παρηγορίαν. Διότι τίποτε δὲν παρηγορεῖ τόσον, ὅσον ἡ καθαρὰ συνείδησις καὶ ἂν ἀκόμη περιφλέγουν ἄπειραι πειρασμοί. «Νὰ ἔχετε τὸ ἴδιον φρόνημα, νὰ εἰρηνεύετε»· αὐτὸ καὶ εἰς τὴν προηγουμένην ἐπιστολὴν ἐζήτησεν ἀπὸ τὸ προοίμιον. Διότι εἶναι δυνατόν, ἐνῷ ἔχουν τὸ αὐτὸ φρόνημα, νὰ μὴ εἰρηνεύουν, ὅταν εἰς τὰ δόγματα συμφωνοῦν μερικοί, ἀλλ' εἰς τὰ προσωπικά των ζητήματα ἔρχονται εἰς διάστασιν. 'Αλλ' ὁ Παῦλος ζητεῖ καὶ τὰ δύο.

«Καὶ ὁ Θεὸς τῆς ἀγάπης καὶ τῆς εἰρήνης θὰ εἶναι μαζί σας». Δὲν παραινεῖ καὶ συμβουλεύει λοιπὸν μόνον, ἀλλὰ καὶ εὔχεται. Διότι ἢ εὔχεται αὐτὸ ἢ προλέγει αὐτὸ ποὺ πρόκειται νὰ γίνῃ· μᾶλλον δὲ καὶ τὰ δύο. Διότι ἐὰν κάμνετε αὐτά, λέγει, δηλαδή, ἐὰν ἔχετε τὸ ἴδιον φρόνημα καὶ εἰρηνεύετε, θὰ εἶναι καὶ ὁ Θεὸς μαζί σας. Διότι ὁ Θεὸς εἶναι Θεὸς ἀγάπης καὶ εἰρήνης, καὶ εἰς αὐτὰ χαίρει, εἰς αὐτὰ εὐχαριστεῖται. 'Απὸ ἐδῶ ἔρχεται καὶ εἰς ἐμᾶς εἰρήνη, ἀπὸ τὴν ἀγάπην του· ἀπὸ ἐδῶ ἡ κατάργησις ὅλων τῶν κακῶν. Αὐτὴ ἔσωσε τὴν οἰκουμένην, αὐτὴ κατέλυσε τὸν ἀσταμάτητον πόλεμον, αὐτὴ συνήνωσε τὴν γῆν μὲ τὸν οὐρανόν, αὐτὴ ἔκανε τοὺς ἀνθρώπους ἀγγέλους. Αὐτὴν λοιπὸν ἂς μιμηθῶμεν καὶ ἐμεῖς· διότι ἡ ἀγάπη εἶναι μήτηρ ἀπείρων ἀγαθῶν. Δι' αὐτῆς ἐσώθημεν, δι' αὐτῆς ἐδόθησαν εἰς ἐμᾶς τὰ ἀπόρρητα ἀγαθά.

2. Ὕστερον, ὁδηγῶν αὐτοὺς εἰς τὴν ἀγάπην, λέγει· «'Ασπασθῆτε ὁ ἕνας τὸν ἄλλον μὲ φίλημα ἅγιον»[*]. Τί σημαίνει «ἅγιον»; Ὄχι μὲ ὕπουλον, ὄχι μὲ δόλιον, ὅπως ἐφίλησεν ὁ 'Ιούδας τὸν Χριστόν. Διότι δι' αὐτὸ ἐδόθη εἰς τοὺς ἀνθρώπους τὸ φίλημα, διὰ νὰ ἀνάπτῃ τὴν ἀγάπην, διὰ νὰ διεγείρῃ τὴν φιλικὴν διάθεσιν, διὰ ν' ἀγαπῶμεν καὶ ν' ἀγαπώμεθα, ὅπως οἱ ἀδελφοὶ τοὺς ἀδελφούς, ὅπως τὰ παιδιὰ τοὺς πατέρας, ὅπως οἱ πατέρες τὰ παιδιά· μᾶλλον δὲ καὶ πολὺ περισσότερον. Διότι ἐκείνη μὲν ἡ ἀγάπη εἶναι φυσικὴ διάθεσις, ἐνῷ αὐτὴ εἶναι ἔργον τῆς χάριτος τοῦ ἁγίου Πνεύ-

φύσεως διάθεσις, ταῦτα δὲ χάριτος πνευματικῆς. Οὕτως αἱ ψυχαὶ ἀλλήλαις συνδέονται. Διὰ τοῦτο καὶ ἐξ ἀποδημίας ἐπανιόντες ἀλλήλους φιλοῦμεν, τῶν ψυχῶν ἐπειγομένων εἰς τὴν πρὸς ἀλλήλους συνουσίαν. Τοῦτο γὰρ μάλιστα τὸ μέλος ἐστὶ τὸ τὰ τῆς ψυχῆς ἡμῖν κηρύττον. Ἐπὶ δὲ τοῦ φιλήματος τούτου τοῦ ἁγίου ἐστὶ καὶ ἕτερον λόγον εἰπεῖν. Ποῖον δὴ τοῦτον; Ναός ἐσμεν τοῦ Χριστοῦ· τὰ τοίνυν πρόθυρα φιλοῦμεν τοῦ ναοῦ καὶ τὴν εἴσοδον, ἀλλήλους φιλοῦντες. Ἢ οὐχ ὁρᾶτε ὅσοι καὶ τὰ πρόθυρα τοῦ ναοῦ τούτου φιλοῦσιν, οἱ μὲν κύψαντες, οἱ δὲ τῇ χειρὶ κατέχοντες καὶ τῷ στόματι τὴν χεῖρα προσάγοντες; Καὶ διὰ τούτων τῶν πυλῶν καὶ τῶν θυρῶν καὶ εἰσῆλθε καὶ εἰσέρχεται πρὸς ἡμᾶς ὁ Χριστός, ἡνίκα ἂν κοινωνῶμεν. Ἴστε οἱ τῶν μυστηρίων μετέχοντες τὸ λεγόμενον. Καὶ γὰρ οὐχ ὡς ἔτυχε τὸ στόμα ἡμῶν τετίμηται, δεχόμενον τὸ σῶμα τὸ δεσποτικόν. Διὰ τοῦτο μάλιστα ἐνταῦθα φιλοῦμεν.

Ἀκουέτωσαν οἱ αἰσχρὰ φθεγγόμενοι, οἱ λοιδορίας ἐξάγοντες, καὶ φριττέτωσαν οἷον καταισχύνουσι στόμα· ἀκουέτωσαν οἱ αἰσχρῶς φιλοῦντες. Ἄκουσον οἷα ἔχρησε διὰ τοῦ στόματός σου ὁ Θεὸς καὶ φύλαξον αὐτὸ ἀκηλίδωτον. Περὶ τῆς μελλούσης ζωῆς διελέχθη, περὶ ἀναστάσως, περὶ ἀθανασίας, ὅτι ὁ θάνατος οὐ θάνατος, τὰ ἄλλα μυρία ἀπόρρητα. Ὥσπερ γὰρ εἰς χρηστήριον παραγίνεται πρὸς τὸ στόμα τοῦ ἱερέως ὁ μυσταγωγεῖσθαι μέλλων, ἀκουσόμενος ἅπερ ἐστὶ φρίκης μεστά. Καὶ γὰρ ἀπώλεσεν αὐτοῦ τὴν ζωὴν ἐκ προγόνων καὶ ἔρχεται αὐτὴν ἀναζητήσων καὶ ἐρωτήσων πῶς ἂν αὐτὴν εὕροι καὶ ἀνακτήσαιτο. Εἶτα αὐτῷ ὁ Θεὸς χρᾷ πῶς ἂν εὑρεθείη καὶ γίνεται τοῦ ἱλαστηρίου τὸ στόμα τοῦτο φρικωδέστερον. Ἐκεῖνο μὲν γὰρ τὸ ἱλαστήριον οὐδαμοῦ τοιαύτην ἠφίει φωνήν, ἀλλὰ πολὺ περὶ ἐλαττόνων διελέγετο πραγμάτων, περὶ πολέμων καὶ εἰρήνης τῆς κάτω· τοῦτο δὲ ἅπαντα περὶ

ματος. Ἔτσι συνδέονται μεταξύ των αἱ ψυχαί. Διὰ τοῦτο καὶ ὅταν ἐπιστρέφωμεν ἀπὸ κάποιαν ἀποδημίαν δίδομεν φίλημα μεταξύ μας, ἐπειδὴ αἱ ψυχαὶ ἐπιθυμοῦν τὴν μεταξύ μας συνένωσιν. Αὐτὴ λοιπὸν κατ' ἐξοχὴν εἶναι ἡ μελωδία ἡ ὁποία κηρύττει εἰς ἐμᾶς τὰ πρέποντα εἰς τὴν ψυχήν. Σχετικῶς δὲ πρὸς αὐτὸ τὸ ἅγιον φίλημα εἶναι δυνατὸν νὰ εἴπωμεν καὶ ἄλλον λόγον. Ποῖος λοιπὸν εἶναι αὐτός; Εἴμεθα ναὸς τοῦ Χριστοῦ· ὅταν λοιπὸν ἀνταποδίδωμεν φίλημα μεταξύ μας, φιλοῦμεν τὰ πρόθυρα καὶ τὴν εἴσοδον τοῦ ναοῦ. Ἢ δὲν βλέπετε ὅτι ὅσοι φιλοῦν τὰ πρόθυρα καὶ τοῦ ναοῦ αὐτοῦ, φιλοῦν οἱ μὲν ἀφοῦ σκύψουν, ἄλλοι δὲ ἀφοῦ ἐγγίσουν αὐτὰ μὲ τὸ χέρι καὶ φέρουν μετὰ τὸ χέρι εἰς τὸ στόμα; Καὶ δι' αὐτῶν τῶν πυλῶν καὶ τῶν θυρῶν καὶ εἰσῆλθε καὶ εἰσέρχεται εἰς ἐμᾶς ὁ Χριστός, ὅποτε μεταλαμβάνωμεν. Γνωρίζετε αὐτὸ ποὺ λέγω ὅσοι μετέχετε εἰς τὰ μυστήρια. Καθ' ὅσον δὲν εἶναι τυχαία ἡ τιμὴ ποὺ ἔλαβε μὲ τὸ νὰ δέχεται τὸ σῶμα τοῦ Κυρίου. Διὰ τοῦτο μάλιστα καὶ τώρα φιλοῦμεν.

Ἂς ἀκούσουν ὅσοι αἰσχρολογοῦν, ὅσοι ὑβρίζουν, καὶ ἂς φρίξουν σκεπτόμενοι ποῖον στόμα κατεντροπιάζουν· ἂς ἀκούσουν ὅσοι δίδουν φίλημα αἰσχρόν. Ἄκουσε ποῖα προεῖπε μὲ τὸ στόμα σου ὁ Χριστὸς καὶ φύλαξε αὐτὸ ἀκηλίδωτον. Διὰ τὴν μέλλουσαν ζωὴν ὡμίλησε, διὰ τὴν ἀνάστασιν, διὰ τὴν ἀθανασίαν, διὰ τὸ ὅτι ὁ θάνατος δὲν εἶναι πλέον θάνατος, διὰ τὰ ἄλλα ἄπειρα ποὺ εἶναι ἀπόρρητα. Διότι ὅποιος πρόκειται νὰ μυσταγωγηθῇ, ἔρχεται εἰς τὸ στόμα τοῦ ἱερέως ὡσὰν νὰ εἶναι στόμα Θεοῦ, διὰ ν' ἀκούσῃ αὐτὰ ποὺ εἶναι φρικτά. Καθ' ὅσον ἀπώλεσε τὴν ζωήν του ἀπὸ τοὺς προγόνους του καὶ ἔρχεται νὰ τὴν ἀναζητήσῃ καὶ νὰ ἐρωτήσῃ πῶς θὰ ἠμπορέσῃ νὰ τὴν ἐπανεύρῃ καὶ νὰ τὴν ἐπανακτήσῃ. Ὕστερον ἀποκρίνεται εἰς αὐτὸν ὁ Θεὸς πῶς θὰ τὴν ἐπανεύρῃ καὶ γίνεται αὐτὸ τὸ στόμα φρικωδέστερον ἀπὸ τὸ θυσιαστήριον τῆς Παλαιᾶς Διαθήκης. Διότι ἐκεῖνο μὲν ποτὲ δὲν ἐξέβαλε τέτοιον λόγον, ἀλλ' ὡμίλει διὰ πράγματα πολὺ κατώτερα, διὰ πολέμους καὶ εἰρήνην ἐπίγειον· ἐνῷ αὐτὸ ὁμιλεῖ

οὐρανοῦ καὶ τῆς μελλούσης ζωῆς καὶ πραγμάτων καινῶν καὶ διάνοιαν ὑπερβαινόντων.

Εἰπὼν δέ, «Ἀσπάσασθε ἀλλήλους ἐν φιλήματι ἁγίῳ», ἐπήγαγεν· «Ἀσπάζονται ὑμᾶς οἱ ἅγιοι πάντες», κἀντεῦθεν διδοὺς αὐτοῖς χρηστὰς ἐλπίδας. Τοῦτο προσέγραψεν ἀντὶ τοῦ φιλήματος, διὰ τῆς προσρήσεως αὐτοὺς συνάπτων· ἀπὸ γὰρ τοῦ αὐτοῦ στόματος, οὗ τὸ φίλημα, πρόεισι καὶ τὰ ῥήματα. Εἶδες πῶς ἅπαντας συνάγει, καὶ τοὺς πόρρωθεν διεστῶτας τοῖς σώμασι καὶ τοὺς πλησίον, τοὺς μὲν διὰ τοῦ φιλήματος, τοὺς δὲ διὰ τῶν γραμμάτων;

3. «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρός, καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος μετὰ πάντων ὑμῶν. Ἐπειδὴ συνῆψεν αὐτοὺς ἀλλήλοις διὰ τῶν ἀσπασμῶν καὶ τῶν φιλημάτων, πάλιν εἰς εὐχὴν καταλύει τὸν λόγον, μετὰ πολλῆς τῆς ἀκριβείας συνάπτων αὐτοὺς καὶ τῷ Θεῷ. Ποῦ νῦν οἱ λέγοντες, ἐπειδὴ οὐκ ἐντέτακται τὸ Πνεῦμα τὸ ἅγιον ἐν τοῖς προοιμίοις τῶν ἐπιστολῶν, οὐκ ἔστι τῆς αὐτῆς οὐσίας; Ἰδοὺ γὰρ νῦν μετὰ Πατρὸς αὐτὸ κατέλεξε καὶ Υἱοῦ. Χωρὶς δὲ τούτου, κἀκεῖνο ἔστιν εἰπεῖν, ὅτι Κολοσσαεῦσιν ἐπιστέλλων, καὶ εἰπών, «Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν», τὸν Υἱὸν ἐσίγησε καὶ οὐ προσέθηκεν, ὡς ἐν πάσαις ταῖς ἐπιστολαῖς, «καὶ Κυρίου Ἰησοῦ Χριστοῦ». Ἆρα οὖν οὐδὲ ὁ Υἱὸς ἔσται τῆς αὐτῆς οὐσίας διὰ τοῦτο; Ἀλλὰ ἐσχάτης ταῦτα ἀνοίας. Καὶ γὰρ αὐτὸ τοῦτο μάλιστα δείκνυσι τῆς αὐτῆς οὐσίας ὄντα αὐτόν, τὸ ἀδιαφόρως κεχρῆσθαι τὸν Παῦλον τούτῳ. Καὶ ὅτι οὐ στοχασμὸς τὸ εἰρημένον, ἄκουσον πῶς Υἱοῦ καὶ Πνεύματος μέμνηται καὶ τὸν Πατέρα ἀποσιγᾷ.

Κορινθίοις γὰρ γράφων φησίν, «Ἀλλ' ἀπελούσασθε, ἀλλ'

---

4. Β' Κορ. 13, 13.
5. Κολ. 1, 2.

δι' ὅλα τὰ οὐράνια καὶ τὴν μέλλουσαν ζωὴν καὶ διὰ πράγματα καινὰ καὶ ποὺ ὑπερβαίνουν τὴν διάνοιαν.

'Αφοῦ εἶπε δέ, «'Ασπασθῆτε ὁ ἕνας τὸν ἄλλον μὲ φίλημα ἅγιον», προσέθεσε· «Σᾶς ἀσπάζονται ὅλοι οἱ ἅγιοι, δίδων καὶ μὲ αὐτὸ εἰς αὐτοὺς ἀγαθὰς καὶ σωτηρίους ἐλπίδας. Ἔγραψεν αὐτὸ ἀντὶ τοῦ φιλήματος, διὰ νὰ τοὺς συνδέσῃ διὰ τοῦ χαιρετισμοῦ· διότι ἀπὸ τὸ ἴδιον στόμα ἀπὸ τὸ ὁποῖον προέρχεται τὸ φίλημα, προέρχονται καὶ οἱ λόγοι. Εἶδες πῶς συσφίγγει ὅλους, καὶ αὐτοὺς ποὺ εὑρίσκονται σωματικῶς μακρὰν καὶ αὐτοὺς ποὺ εὑρίσκονται πλησίον, τοὺς μὲν διὰ τοῦ φιλήματος, τοὺς δὲ δι' ὅσων γράφει;

3. «Ἡ χάρις τοῦ Κυρίου μας 'Ιησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ Πατρὸς καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος εἴθε νὰ εἶναι μὲ ὅλους σας»[4]. 'Αφοῦ συνήνωσεν αὐτοὺς μεταξύ των διὰ τῶν ἀσπασμῶν καὶ τῶν φιλημάτων, πάλιν μὲ εὐχὴν κατακλείει τὸν λόγον, συνδέων αὐτοὺς μὲ πολλὴν ἀκρίβειαν καὶ μὲ τὸν Θεόν. Ποῦ εἶναι τώρα αὐτοὶ ποὺ λέγουν ὅτι ἐπειδὴ δὲν συμπεριέλαβε τὸ ἅγιον Πνεῦμα εἰς τὴν ἁγίαν Τριάδα εἰς τὸ προοίμιον τῆς ἐπιστολῆς, δὲν εἶναι τῆς αὐτῆς οὐσίας μὲ τὸν Πατέρα καὶ τὸν Υἱόν; 'Ιδοὺ λοιπὸν τώρα συγκαταλέγει αὐτὸ μαζὶ μὲ τὸν Πατέρα καὶ τὸν Υἱόν. 'Εκτὸς ἀπὸ αὐτὸ ὅμως εἶναι δυνατὸν νὰ εἴπῃ κανείς, ὅτι ὅταν ἔγραφεν εἰς τοὺς Κολοσσαεῖς καὶ εἶπε, «Χάρις ἂς εἶναι εἰς ἐσᾶς καὶ εἰρήνη ἀπὸ τὸν Θεὸν Πατέρα μας»[5], ἀπεσιώπησε τὸν Υἱὸν καὶ δὲν προσέθεσεν, ὅπως εἰς ὅλας τὰς ἐπιστολάς, «καὶ ἀπὸ τὸν Κύριον 'Ιησοῦν Χριστόν». Κατὰ συνέπειαν ἐξ αἰτίας αὐτοῦ, οὔτε ὁ Υἱὸς θὰ εἶναι τῆς αὐτῆς οὐσίας; 'Αλλ' αὐτὰ εἶναι λόγοι μεγίστης ἀνοησίας. Διότι αὐτὸ ἀκριβῶς δεικνύει ὅτι ὁ Υἱὸς εἶναι τῆς αὐτῆς οὐσίας, τὸ ὅτι ὁ Παῦλος θέτει ἢ παραλείπει αὐτὸ χωρὶς νὰ ἐνδιαφέρεται δι' αὐτό. Καὶ ὅτι δὲν εἶναι αὐθαίρετος σκέψις αὐτὸ ποὺ ἐλέχθη, ἄκουσε πῶς μνημονεύει τὸν Υἱὸν καὶ τὸ ἅγιον Πνεῦμα καὶ ἀποσιωπᾷ τὸν Πατέρα.

Γράφων δηλαδὴ εἰς τοὺς Κορινθίους, λέγει· «ἀλλὰ ἐ-

ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ Πνεύματι τοῦ Θεοῦ ἡμῶν». Τί οὖν, εἰπέ μοι; οὐκ ἐβαπτίσθησαν εἰς Πατέρα οὗτοι; Οὐκοῦν οὐδὲ ἀπελούσαντο, οὐδὲ ἡγιάσθησαν. Ἀλλὰ ἐβαπτίσαντο; ὥσπερ οὖν καὶ ἐβαπτίσαντο. Πῶς οὖν οὐκ εἶπεν, ὅτι ἀπελούσασθε ἐν τῷ ὀνόματι τοῦ Πατρός; Ὅτι ἀδιάφορον αὐτῷ, ποτὲ μὲν ταύτης, ποτὲ δὲ ἐκείνης μεμνῆσθαι τῆς ὑποστάσεως· καὶ εὕροις ἂν τοῦτο πολλαχοῦ τῶν ἐπιστολῶν τὸ ἔθος. Καὶ γὰρ Ρωμαίοις γράφων, φησί, «Παρακαλῶ οὖν ὑμᾶς διὰ τῶν οἰκτιρμῶν τοῦ Θεοῦ»· καίτοι τοῦ Υἱοῦ εἰσιν οἱ οἰκτιρμοί· καί, «Παρακαλῶ δὲ ὑμᾶς διὰ τῆς ἀγάπης τοῦ Πνεύματος»· καίτοι τοῦ Πατρός ἐστιν ἡ ἀγάπη. Τίνος οὖν ἕνεκεν οὐκ ἐμνήσθη ἐν τοῖς οἰκτιρμοῖς τοῦ Υἱοῦ, οὐδὲ ἐν τῇ ἀγάπῃ τοῦ Πατρός; Ὅτι ὡς δῆλα καὶ ὡμολογημένα ἐσίγησεν.

Εὑρεθήσεται δὲ καὶ τὰ δῶρα αὐτὰ πάλιν ἀντιστρόφως τιθείς. Εἰπὼν γάρ, «Ἡ χάρις τοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος», ἀλλαχοῦ τὴν κοινωνίαν τοῦ Υἱοῦ καὶ τὴν ἀγάπην τοῦ Πνεύματός φησι. «Παρακαλῶ γὰρ ὑμᾶς διὰ τῆς ἀγάπης τοῦ Πνεύματος», φησί. Καὶ ἐν τῇ πρὸς Κορινθίους, «Πιστὸς ὁ Θεός, δι' οὗ ἐκλήθητε εἰς κοινωνίαν τοῦ Υἱοῦ αὐτοῦ». Οὕτω τὰ τῆς Τριάδος ἀδιαίρετα· καὶ οὗ τοῦ Πνεύματός ἐστιν ἡ κοινωνία, εὑρέθη τοῦ Υἱοῦ· καὶ οὗ τοῦ Υἱοῦ ἐστιν ἡ χάρις, καὶ τοῦ Πατρὸς καὶ τοῦ ἁγίου Πνεύματος. «Χάρις γὰρ ὑμῖν ἀπὸ Θεοῦ Πατρός». Καὶ ἀλλαχοῦ πολλὰ αὐτῆς εἴδη καταλέξας, ἐπήγαγε, «Πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ Πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται». Καὶ ταῦτα

---

6. Α' Κορ. 6, 11.
7. Ρωμ. 12, 1.
8. Ρωμ. 15, 30.
9. Α' Κορ. 1, 9.
10. Α' Κορ. 12, 11.

λούσθητε, ἡγιάσθητε, ἐλάβατε δικαίωσιν διὰ τοῦ ὀνόματος τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ καὶ διὰ τοῦ Πνεύματος τοῦ Θεοῦ μας»[6]. Τί λοιπόν; Εἰπέ μου· δὲν ἐβαπτίσθησαν εἰς τὸ ὄνομα τοῦ Πατρὸς αὐτοί; Ἑπομένως οὔτε ἐλούσθησαν, οὔτε ἡγιάσθησαν. Ἀλλὰ ἐβαπτίσθησαν; Καὶ ἀσφαλῶς ἐβαπτίσθησαν. Πῶς λοιπὸν δὲν εἶπεν ὅτι ἐλούσθητε εἰς τὸ ὄνομα τοῦ Πατρός; Διότι εἶναι ἀδιάφορον εἰς αὐτόν, ἀφοῦ μνημονεύει ἄλλοτε μὲν αὐτήν, ἄλλοτε δὲ ἐκείνην τὴν ὑπόστασιν· καὶ θὰ εὕρῃς αὐτὴν τὴν συνήθειαν εἰς πολλὰ σημεῖα τῶν ἐπιστολῶν. Διότι καὶ εἰς τοὺς Ρωμαίους ὅταν γράφῃ, λέγει, «Σᾶς παρακαλῶ λοιπόν, ἀδελφοί, χάριν τῶν οἰκτιρμῶν τοῦ Θεοῦ»[7]· ἂν καὶ οἱ οἰκτιρμοὶ εἶναι τοῦ Υἱοῦ· καί, «Σᾶς παρακαλῶ διὰ τῆς ἀγάπης τοῦ Πνεύματος»[8]· καὶ ὅμως ἡ ἀγάπη εἶναι τοῦ Πατρός. Διατί λοιπὸν δὲν ἐμνημόνευσεν εἰς τοὺς οἰκτιρμοὺς τὸν Υἱόν, οὔτε εἰς τὴν ἀγάπην τὸν Πατέρα; Διότι τὰ ἀπεσιώπησεν ὡς γνωστὰ καὶ ὡμολογημένα.

Θὰ εὕρωμεν δὲ νὰ ἔχῃ θέσει καὶ τὰ δῶρα αὐτὰ πάλιν ἀντιστρόφως. Ἐνῷ δηλαδὴ εἶπεν «Ἡ χάρις τοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος», ἀλλοῦ λέγει, ἡ κοινωνία τοῦ Υἱοῦ καὶ ἡ ἀγάπη τοῦ ἁγίου Πνεύματος. Διότι, «Σᾶς παρακαλῶ διὰ τῆς ἀγάπης τοῦ Πνεύματος», λέγει. Καὶ εἰς τὴν πρὸς Κορινθίους· «Ἀξιόπιστος εἶναι ὁ Θεός, διὰ τοῦ ὁποίου εἴσθε καλεσμένοι νὰ ἔχετε κοινωνίαν μὲ τὸν Υἱόν του Ἰησοῦν Χριστὸν τὸν Κύριόν μας»[9]. Ἔτσι εἶναι ἀδιαίρετα τὰ πρόσωπα τῆς ἁγίας Τριάδος· καὶ ὅπου ὑπάρχει ἡ κοινωνία τοῦ ἁγίου Πνεύματος εὑρέθη ὅτι ἀνήκει καὶ εἰς τὸν Υἱόν· καὶ ὅπου ἀναφέρεται ἡ χάρις τοῦ Υἱοῦ, ἀνήκει αὐτὴ καὶ εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα. Διότι, «Χάρις εἰς ἐσᾶς ἀπὸ τὸν Θεὸν Πατέρα». Καὶ ἀλλοῦ, ἀφοῦ ἀπηρίθμησε πολλὰς ἰδιότητας τῆς χάριτος, κατέληξεν, «Ὅλα αὐτὰ τὰ ἐνεργεῖ τὸ ἕνα καὶ τὸ αὐτὸ Πνεῦμα, τὸ ὁποῖον τὰ διανέμει εἰς τὸν καθένα ἰδιαιτέρως ὅπως αὐτὸ θέλει»[10]. Καὶ λέγω αὐτά, ὄχι συγχέων τὰς ὑποστάσεις — μακρυὰ ἀπὸ αὐτό —, ἀλλ' ἔχων γνῶσιν καὶ τὸ

λέγω· οὐ συναλείφων τὰς ὑποστάσεις, ἄπαγε, ἀλλὰ εἰδὼς καὶ τὸ τούτων ἰδιάζον καὶ διῃρημένον καὶ τῆς οὐσίας τὴν ἑνότητα.

4. Μένωμεν τοίνυν καὶ τῶν δογμάτων τούτων τὴν ἀκρίβειαν ἔχοντες καὶ τοῦ Θεοῦ τὴν ἀγάπην ἐπισπώμενοι. Πρότερον μὲν γὰρ μισοῦντας ἠγάπησε καὶ ἐχθροὺς ὄντας κατήλλαξε· λοιπὸν δὲ ἀγαπῶντας ἀγαπᾶν βούλεται. Μένωμεν τοίνυν ἀγαπῶντες αὐτόν, ὥστε καὶ παρ' αὐτοῦ ἀγαπᾶσθαι. Εἰ γὰρ παρὰ ἀνθρώπων δυνατῶν ἀγαπώμενοι, φοβεροὶ πᾶσίν ἐσμεν, πολλῷ μᾶλλον παρὰ τοῦ Θεοῦ. Κἂν χρήματα δέῃ, κἂν σώματα, κἂν αὐτὴν τὴν ψυχὴν ὑπὲρ ταύτης δοῦναι τῆς ἀγάπης, μὴ φεισώμεθα. Οὐ γὰρ ἀρκεῖ τὸ διὰ ρημάτων λέγειν, ὅτι ἀγαπῶμεν, ἀλλὰ χρὴ καὶ τὴν τῶν πραγμάτων παρέχειν ἀπόδειξιν· οὐδὲ γὰρ αὐτὸς διὰ ρημάτων μόνον, ἀλλὰ καὶ διὰ τῶν πραγμάτων ἔδειξε τὴν ἀγάπην. Δεῖξον τοίνυν καὶ σὺ διὰ τῶν ἔργων τοῦτο, καὶ ποίει τὰ δοκοῦντα αὐτῷ· οὕτω γὰρ αὐτὸς καρπώσῃ τὸ κέρδος πάλιν. Ἐκεῖνος γὰρ οὐδενὸς δεῖται τῶν παρ' ἡμῶν· ὃ καὶ μάλιστα γνησίας ἀγάπης, τὸ μὴ δεόμενον μηδὲ ἐν χρείᾳ καθεστῶτα, πάντα ποιεῖν ὑπὲρ τοῦ φιλεῖσθαι παρ' ἡμῶν. Διὸ καὶ Μωϋσῆς ἔλεγε, «Τί γὰρ ζητεῖ Κύριος ὁ Θεὸς παρ' ὑμῶν, ἀλλ' ἢ ἀγαπᾶν αὐτόν, καὶ ἕτοιμον εἶναί σε τοῦ πορεύεσθαι ὀπίσω αὐτοῦ;». Ὥστε, ὅταν αὐτὸν κελεύῃ φιλεῖν, τότε μάλιστα δείκνυσιν ὅτι σε φιλεῖ. Οὐδὲν γὰρ οὕτω συγκροτεῖ τὴν σωτηρίαν τὴν ἡμετέραν, ὡς τὸ αὐτὸν ἀγαπᾶν.

Ὅρα γοῦν, ὅτι καὶ τὰ ἐπιτάγματα αὐτοῦ πάντα εἰς τὴν

---

11. Δευτ. 10, 12.

ἴδιον γνώρισμα τῶν ὑποστάσεων καὶ τὸ διῃρημένον αὐτῶν καὶ τὴν ἑνότητα τῆς οὐσίας.

4. Ἂς μένωμεν λοιπὸν σταθεροὶ καὶ εἰς τὸ νὰ φυλάσσωμεν μὲ ἀκρίβειαν αὐτὰ τὰ δόγματα καὶ εἰς τὸ νὰ προσελκύωμεν τὴν ἀγάπην τοῦ Θεοῦ. Διότι ἐνῷ τὸν ἐμισούσαμεν μᾶς ἠγάπησε, καὶ ἐνῷ ἤμεθα ἐχθροὶ μᾶς συνεφιλίωσε· εἰς τὸ ἑξῆς ὅμως θέλει νὰ τὸν ἀγαπῶμεν διὰ νὰ μᾶς ἀγαπᾷ. Ἂς μένωμεν σταθεροὶ λοιπὸν εἰς τὸ νὰ τὸν ἀγαπῶμεν, ὥστε καὶ νὰ ἀγαπώμεθα ὑπ' αὐτοῦ. Διότι ἐὰν ὅταν ἀγαπώμεθα ἀπὸ ἀνθρώπους ποὺ ἔχουν δύναμιν εἴμεθα φοβεροὶ εἰς ὅλους, πολὺ περισσότερον ὅταν ἀγαπώμεθα ἀπὸ τὸν Θεόν. Εἴτε χρήματα χρειασθοῦν, εἴτε τὰ σώματά μας, εἴτε τὴν ψυχήν μας ἀκόμη νὰ δώσωμεν δι' αὐτὴν τὴν ἀγάπην, ἂς μὴ τὰ λυπηθῶμεν. Διότι δὲν εἶναι ἀρκετὸν τὸ νὰ λέγωμεν μὲ λόγους ὅτι ἀγαπῶμεν, ἀλλὰ πρέπει καὶ ἐμπράκτως νὰ τὸ ἀποδεικνύωμεν. Δεῖξε λοιπὸν αὐτὸ καὶ σὺ εἰς τὰ ἔργα, καὶ κάμνε ὅσα ἀρέσουν εἰς τὸν Θεόν. Εἴτε χρήματα χρειασθοῦν, εἴτε τὰ σώματά μας, εἴτε τὴν ψυχήν μας ἀκόμη νὰ δώσωμεν δι' αὐτὴν τὴν ἀγάπην, ἂς μὴ τὰ λυπηθῶμεν. Διότι δὲν εἶναι ἀρκετὸν τὸ νὰ λέγωμεν μὲ λόγους ὅτι ἀγαπῶμεν, ἀλλὰ πρέπει καὶ ἐμπράκτως νὰ τὸ ἀποδεικνύωμεν. Δεῖξε λοιπὸν αὐτὸ καὶ σὺ εἰς τὰ ἔργα, καὶ κάμνε ὅσα ἀρέσουν εἰς τὸν Θεόν· διότι ἔτσι σὺ ὁ ἴδιος θὰ καρπωθῇς τὸ κέρδος πάλιν. Διότι ὁ Θεὸς δὲν ἔχει εἰς τίποτε ἀνάγκην ἀπὸ ἐμᾶς· καὶ αὐτὸ ἀκριβῶς εἶναι τὸ γνώρισμα τῆς ἀληθινῆς ἀγάπης, τὸ νὰ κάμνῃ τὰ πάντα διὰ ν' ἀγαπᾶται ἀπὸ ἐμᾶς, ἐνῷ δὲν ἔχει οὐδεμίαν ἀνάγκην καὶ δὲν τοῦ λείπει τίποτε ἀπολύτως. Διὰ τοῦτο καὶ ὁ Μωϋσῆς ἔλεγε, «Τί ἄλλο ζητεῖ λοιπὸν Κύριος ὁ Θεὸς ἀπὸ σᾶς ἀπὸ τοῦ νὰ τὸν ἀγαπᾷς καὶ νὰ εἶσαι πρόθυμος νὰ τὸν ἀκολουθήσῃς;»[11]. Ὥστε, ὅταν παραγγέλλῃ νὰ τὸν ἀγαπᾷς, τότε περισσότερον δεικνύει ὅτι σὲ ἀγαπᾷ. Διότι τίποτε δὲν συντελεῖ εἰς τὴν σωτηρίαν μας τόσον, ὅσον τὸ ν' ἀγαπῶμεν τὸν Θεόν.

Πρόσεχε λοιπόν, ὅτι καὶ αἱ ἐντολαί του ὅλαι συντεί-

ἡμετέραν ἀνάπαυσιν καὶ σωτηρίαν καὶ εὐδοκίμησιν συντείνει. Καὶ γὰρ ὅταν εἴπῃ, «Μακάριοι οἱ ἐλεήμονες, μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, μακάριοι οἱ πραεῖς, μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, μακάριοι οἱ εἰρηνοποιεῖ», αὐτὸς μὲν οὐδὲν ἐντεῦθεν καρποῦται, ἡμᾶς δὲ καλλωπίζων καὶ ρυθμίζων ταῦτα ἐπιτάττει· καὶ ὅταν λέγῃ, «ἐπείνασα», οὐ δεόμενος τῆς παρ' ἡμῶν διακονίας, ἀλλά σε ἀλείφων εἰς φιλανθρωπίαν. Ἠδύνατο γὰρ καὶ χωρὶς σοῦ τὸν πένητα τρέφειν, ἀλλὰ θησαυρόν σοι χαριζόμενος μέγιστον, ταῦτα ἐπέταξεν. Εἰ γὰρ ὁ ἥλιος, κτίσμα ὤν, οὐδὲν δεῖται τῶν ἡμετέρων ὀφθαλμῶν - μένει γὰρ τὴν οἰκείαν φαιδρότητα ἔχων, κἂν μηδεὶς εἰς αὐτὸν ἐμβλέπῃ· οἱ δὲ κερδαίνοντες ἡμεῖς ἐσμεν, ὅταν αὐτοῦ τῆς ἀκτῖνος ἀπολαύωμεν - πολλῷ μᾶλλον ἐπὶ Θεοῦ τοῦτο συμβαίνει.

Ἵνα δὲ καὶ ἑτέρωθεν τοῦτο μάθῃς, πόσον εἶναι βούλει, τὸ μέσον τοῦ Θεοῦ καὶ ἡμῶν; ἆρα ὅσον κωνώπων καὶ ἡμῶν ἢ πολλῷ πλέον; Εὔδηλον ὅτι πολλῷ πλέον καὶ ἄπειρον. Εἰ τοίνυν ἡμεῖς οἱ κενόδοξοι τῆς παρὰ τῶν κωνώπων οὐ δεόμεθα διακονίας ἢ δόξης, πολλῷ μᾶλλον τὸ θεῖον, καὶ ἀπαθὲς ὂν καὶ ἀνενδεές. Τοσοῦτον ἡμῶν ἀπολαύει, ὅσον εὐεργετούμεθα, ὅσον ἐντρυφᾷ ἡμῶν τῇ σωτηρίᾳ. Διὰ τοῦτο καὶ πολλαχοῦ τὰ αὐτοῦ ἀφιείς, τὰ σὰ ζητεῖ. «Εἴ τις γάρ», φησί, «γυναῖκα ἔχει ἄπιστον, καὶ αὐτὴ συνευδοκεῖ οἰκεῖν μετ' αὐτοῦ, μὴ ἀφιέτω αὐτήν». «Ὁ δὲ ἀπολύων γυναῖκα παρεκτὸς λόγου πορνείας, ποιεῖ αὐτὴν μοιχευθῆναι».

Εἶδες ἄφατον ἀγαθότητα; Ἐὰν ᾖ πόρνη ἡ γυνή, φησίν, οὐκ ἀναγκάζω συνοικεῖν· ἐὰν δὲ ἄπιστος, οὐ κωλύω. Πάλιν, ἐὰν λυπῇ πρός τινα, κελεύω ἀφεῖναί μου τὴν προσ-

---

12. Α' Κορ. 7, 12.
13. Ματθ. 5, 32.

νουν εἰς τὴν ἰδικήν μας ἀνάπαυσιν καὶ σωτηρίαν καὶ εὐτυχίαν. Διότι καὶ ὅταν λέγῃ, «Μακάριοι ὅσοι ἐλεοῦν, μακάριοι ὅσοι ἔχουν καθαρὰν τὴν καρδίαν, μακάριοι οἱ πραεῖς, μακάριοι οἱ ταπεινοί, μακάριοι οἱ εἰρηνοποιοί», ἐκεῖνος μὲν τίποτε δὲν καρποῦται ἀπὸ αὐτά, ἀλλὰ παραγγέλλει αὐτὰ διὰ νὰ εὐτρεπίσῃ καὶ νὰ καλλωπίσῃ ἐμᾶς· καὶ ὅταν λέγῃ «ἐπείνασα», δὲν τὸ λέγει ἐπειδὴ ἔχει ἀνάγκην τῆς φιλανθρωπίας σου, ἀλλὰ διὰ νὰ σὲ ἐγκαρδιώσῃ εἰς τὴν φιλανθρωπίαν. Διότι ἠμποροῦσε καὶ χωρὶς ἐσένα νὰ τρέφῃ τὸν πτωχόν, ἀλλὰ παρήγγειλεν αὐτὰ διὰ νὰ σοῦ χαρίσῃ μέγιστον θησαυρόν. Διότι ἐὰν ὁ ἥλιος, ποὺ εἶναι κτίσμα, δὲν ἔχει ἀνάγκην ἀπὸ τοὺς ὀφθαλμούς μας — διότι δὲν κάνει τίποτε ἀπὸ τὴν φωτεινότητά του, καὶ ἂν κανεὶς δὲν βλέπῃ εἰς αὐτόν, οἱ κερδισμένοι εἴμεθα ἐμεῖς, ὅταν ἀπολαμβάνωμεν τὸ φῶς του — πολὺ περισσότερον συμβαίνει αὐτὸ μὲ τὸν Θεόν.

Διὰ ν' ἀντιληφθῇς δὲ αὐτὸ καὶ μὲ ἄλλον τρόπον, πόση λέγεις ὅτι εἶναι ἡ ἀπόστασις μεταξὺ Θεοῦ καὶ ἡμῶν; Ἆρά γε ὅση εἶναι μεταξὺ ἡμῶν καὶ τῶν κωνώπων, ἢ πολὺ μεγαλυτέρα; Εἶναι φανερὸν ὅτι πολὺ περισσότερα καὶ ἄπειρος. Ἐὰν λοιπὸν ἐμεῖς οἱ κενόδοξοι δὲν ἔχωμεν ἀνάγκην οὔτε νὰ δοξαζώμεθα, οὔτε νὰ ὑπηρετώμεθα ἀπὸ τοὺς κώνωπας, πολὺ περισσότερον τὸ θεῖον ποὺ δὲν ἔχει ἀπὸ τίποτε ἀνάγκην καὶ εἶναι ἀπαθές. Ὅσον εὐεργετούμεθα, ὅσον εὐφραίνεται μὲ τὴν σωτηρίαν μας, τόσον εὐαρέσκειαν νοιώθεις δι' ἡμᾶς. Διὰ τοῦτο καὶ εἰς πολλὰ σημεῖα, ἐνῷ ἀφήνει τὰ ἰδικά του, ζητεῖ τὰ ἰδικά σου ἀγαθά. Διότι, «Ἐὰν κάποιος ἀδελφός», λέγει, «ἔχῃ γυναῖκα ἄπιστον καὶ αὐτὴ συγκατανεύῃ νὰ συγκατοικῇ μαζί του, ἂς μὴν τὴν ἐγκαταλείπῃ[12]. «Ἐκεῖνος ποὺ θὰ διώξῃ τὴν γυναῖκα του, χωρὶς νὰ ὑπάρχῃ αἰτία μοιχείας, τὴν ἀναγκάζει νὰ διαπράξῃ μοιχείαν»[13].

Εἶδες ἀπερίγραπτον ἀγαθότητα; Ἐὰν εἶναι μοιχαλὶς ἡ γυναῖκα σου, λέγει, δὲν σὲ ἀναγκάζω νὰ συγκατοικῇς μαζί της· ἐὰν ὅμως εἶναι ἄπιστος δὲν ἐμποδίζω. Πάλιν, ἀλλοῦ, ἐὰν σὲ ἐλύπησε κάποιος, παραγγέλλω νὰ ἀφήσῃ τὴν εἰς ἐμὲ

φοράν, καὶ πρὸς σὲ δραμεῖν τὸν λελυπηκότα. «Ἐὰν γὰρ προσφέρῃς τὸ δῶρόν σου, φησί, κἀκεῖ μνησθῇς, ὅτι ὁ ἀδελφός σου ἔχει τι κατὰ σοῦ, ἄφες τὸ δῶρόν σου ἔμπροσθεν τοῦ θυσιαστηρίου καὶ ὕπαγε, πρῶτον διαλλάγηθι τῷ ἀδελφῷ σου, καὶ τότε ἐλθὼν πρόσφερε τὸ δῶρόν σου». Τί δὲ ἡ παραβολὴ τοῦ πάντα κατεδηδοκότος; οὐ τοῦτο ἐνδείκνυται; Ὅτε μὲν γὰρ τὰ μυρία τάλαντα κατέφαγεν, ἠλέησεν αὐτόν, καὶ ἀφῆκεν· ὅτι δὲ ἑκατὸν δηνάρια ἀπῄτει τὸν σύνδουλον, καὶ πονηρὸν ἐκάλεσε καὶ τῇ κολάσει παρέδωκεν.

Οὕτω πολὺς αὐτῷ λόγος ἐστὶ τῆς ἀναπαύσεως τῆς σῆς. Εἰς τὴν γυναῖκα τοῦ δικαίου ἔμελλεν ἁμαρτάνειν ὁ βάρβαρος, καί φησιν, «Ἐφεισάμην σου τοῦ ἁμαρτῆσαι εἰς ἐμέ». Τοὺς ἀποστόλους ἐδίωκεν ὁ Παῦλος, καὶ λέγει πρὸς αὐτόν. «Τί με διώκεις;». Ἄλλοι πεινῶσι, καὶ λέγει αὐτὸς πεινᾶν, καὶ γυμνὸς περιϊέναι καὶ ξένος, βουλόμενός σε ἐντρέπειν, καὶ ταύτῃ εἰς τὸν τῆς ἐλεημοσύνης λόγον ἐμβαλεῖν.

Ἐννοοῦντες τοίνυν τὴν ἀγάπην, ὅσην διὰ πάντων ἐπεδείξατο καὶ ἐπιδείκνυται, γνωρίσαι τε ἡμῖν ἑαυτὸν καταξιώσας· ὅπερ μέγιστόν ἐστι κεφάλαιον τῶν ἀγαθῶν καὶ φῶς διανοίας καὶ διδασκαλία ἀρετῆς· καὶ βίον ἄριστον νομοθετῆσαι· καὶ πάντα δι' ἡμᾶς ἐργασάμενος, καὶ τὸν Υἱὸν δεδωκὼς καὶ βασιλείαν ἐπαγγειλάμενος καὶ ἐπὶ τὰ ἀπόρρητα ἡμᾶς καλῶν ἀγαθὰ καὶ μακαριωτάτην ζωὴν παρασκευάσας ἡμῖν, ἅπαντα ποιῶμεν καὶ λέγωμεν, ὥστε καὶ τῆς ἀγάπης ἄξιοι φανῆναι τῆς αὐτοῦ καὶ ἐπιτυχεῖν τῶν μελλόντων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἡ δόξα, σὺν τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

14. Ματθ. 5, 23-24.
15. Γεν. 20, 6.

θυσίαν καὶ νὰ τρέξῃ εἰς ἐσένα αὐτὸς ποὺ σὲ ἐλύπησε. Διότι, «ἐάν, ὅταν προσφέρῃς», λέγει, «τὸ δῶρον σου εἰς τὸ θυσιαστήριον, θυμηθῇς ὅτι ὁ ἀδελφός σου ἔχει κάτι ἐναντίον σου, τότε ἄφησε τὸ δῶρον σου ἐμπρὸς εἰς τὸ θυσιαστήριον καὶ πήγαινε πρῶτα νὰ συμφιλιωθῇς μὲ τὸν ἀδελφόν σου, καὶ τότε ἔλα νὰ προσφέρῃς τὸ δῶρον σου»[14]. Τί λέγει δὲ ἡ παραβολὴ τοῦ δούλου ποὺ κατέφαγε τὰ πάντα; δὲν δεικνύει αὐτό; Διότι ὅταν μὲν κατέφαγε τὰ χίλια τάλαντα, τὸν ἠλέησεν ὁ Κύριος καὶ τὸν συνεχώρησεν, ὅταν ὅμως ἀπῄτει ἀπὸ τὸν σύνδουλόν του τὰ ἑκατὸν δηνάρια, καὶ πονηρὸν τὸν ὠνόμασε καὶ εἰς τὴν κόλασιν τὸν παρέδωσε.

Τόσον πολὺ ὑπολογίζει τὴν ἰδικήν σου ἀνάπαυσιν. Εἰς τὴν γυναῖκα τοῦ δικαίου ἐπρόκειτο ν' ἁμαρτήσῃ ὁ βάρβαρος, καὶ λέγει, «σὲ ἐλυπήθηκα, ὥστε νὰ μὴ ἁμαρτήσῃς ἐνώπιόν μου»[15]. Τοὺς ἀποστόλους κατεδίωκεν ὁ Παῦλος, καὶ λέγει πρὸς αὐτόν, «Διατί μὲ καταδιώκεις;». Ἄλλοι πεινοῦν καὶ λέγει ὅτι αὐτὸς πεινᾷ καὶ περιέρχεται γυμνὸς καὶ ξένος, θέλων νὰ σὲ κάνῃ νὰ ἐντραπῇς, καὶ διὰ τῆς ἐντροπῆς νὰ σοῦ ἐμπνεύσῃ τὴν ἐλεημοσύνην.

Σκεπτόμενοι λοιπὸν τὴν ἀγάπην, ὅσην μᾶς ἔδειξε καὶ μᾶς δεικνύει μὲ κάθε τρόπον, καὶ μὲ τὸ ὅτι μᾶς ἠξίωσε νὰ μᾶς γνωρίσῃ τὸν ἑαυτόν του, πρᾶγμα ποὺ εἶναι τὸ μέγιστον ἀποκορύφωμα τῶν ἀγαθῶν, καὶ φῶς τῆς διανοίας καὶ διδασκαλία ἀρετῆς, καὶ τὸ ὅτι ἐνομοθέτησε δι' ἐμᾶς ἄριστον βίον, καὶ τὸ ὅτι τὰ πάντα ἔπραξε δι' ἡμᾶς, καὶ τὸ ὅτι τὸν Υἱόν του ἔδωσε καὶ τὴν βασιλείαν ὑπεσχέθη, καὶ τὸ ὅτι μᾶς καλεῖ εἰς τὰ ἀπόρρητα ἀγαθά, καὶ τὸ ὅτι μᾶς ἡτοίμασε μακαριωτάτην ζωήν, ἂς κάμνωμεν καὶ ἂς λέγωμεν τὰ πάντα, ὥστε καὶ τῆς ἀγάπης του ἄξιοι νὰ φανῶμεν, καὶ νὰ ἐπιτύχωμεν τὰ μέλλοντα ἀγαθά, τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχωμεν ὅλοι ἐμεῖς μὲ τὴν χάριν καὶ φιλανθρωπίαν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει ἡ δόξα, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΑΣ ΕΠΙΣΤΟΛΑΣ ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΚΑΙ ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ

ΕΙΣΑΓΩΓΗ

1. ΥΠΟΜΝΗΜΑ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΝ

Ἡ ἑρμηνεία τοῦ ἱεροῦ Ἰωάννου Χρυσοστόμου εἰς τὴν πρὸς Γαλάτας ἐπιστολὴν τοῦ Παύλου διαφέρει ἀπὸ τὰς ἄλλας κατὰ τοῦτο, ὅτι δὲν διεξάγεται εἰς ὁμιλίας ἐπὶ περικοπῶν, μὲ ἔμφασιν ἐπὶ τῶν ἠθικῶν παραινέσεων, ἀλλὰ εἰς συνεχῆ ὑπομνημάτισιν κατὰ κεφάλαια καὶ στίχον. Εναι ἑπομένως τοῦτο καθαρῶς ὑπόμνημα, ἂν καὶ δὲν παραβλέπεται καὶ ἡ ἀγαπητὴ εἰς τὸν ἱερὸν πατέρα ἠθικὴ διδασκαλία, ἀκόμη δὲ εὐκαιριακῶς καὶ ἡ δογματική. Κατὰ πᾶσαν πιθανότητα συνέβη ἐδῶ ὅ,τι καὶ μὲ τοὺς ψαλμούς. Ὁ Χρυσόστομος εἶχεν ἀκολουθήσει καὶ δι' αὐτὴν τὴν ἐπιστολὴν τὸ σύστημα τῶν ὁμιλιῶν, ἀλλὰ μεταγενέστερος διασκευαστὴς μετέφερε τὰς ὁμιλίας εἰς ὑπόμνημα· ἀλλ' οὕτω τὸ κείμενον διετήρησε μὲν τὴν ἀκρίβειαν τῆς ἑρμηνείας, ἔχασεν ὅμως τὴν λαμπρότητα τοῦ ὕφους.

Εἰς τὴν ἑρμηνείαν τοῦ στίχου 1,9 ὁ συγγραφεὺς λέγει: «Καὶ ἡμῖν δὲ εἴρηταί τις ὑπὲρ τούτων λόγος, ὅτε περὶ τῆς μεταθέσεως αὐτοῦ τῆς προσηγορίας πρὸς ὑμᾶς διαλεγόμεθα καὶ τίνος ἕνεκεν Σαῦλον αὐτὸν καλούμενον Παῦλον ἐκάλεσεν· εἰ δὲ ἐπιλέλησθε, ἐντυχόντες ἐκείνῳ τῷ βιβλίῳ, πάντα εἴσεσθε ταῦτα». Ὁ λόγος εἰς τὸν ὁποῖον ἀναφέρεται ὁ ὁμιλητὴς ἐδῶ εἶναι ἡ περὶ μετονομασίας τοῦ Παύλου(3). Ἐπειδὴ δὲ αὐτὴ ἡ ὁμιλία ἐξεφωνήθη εἰς τὴν Ἀντιόχειαν, οἱ δὲ ἀκροαταὶ τῆς ἑρμηνείας τῆς πρὸς Γαλάτας εἶναι οἱ ἴδιοι μὲ τοὺς ἀκροατὰς ἐκείνου, εἶναι φανερὸν ὅτι ἡ ἑρμηνεία αὐτὴ ἐξεφωνήθη ὑπὸ τύπον σειρᾶς ὁμιλιῶν ἐπίσης εἰς τὴν Ἀντιόχειαν.

Διακρίνεται διὰ τὴν σαφήνειαν τῆς ἐκφράσεως καὶ τὴν ἀκρίβειαν τῆς ἀποδόσεως τῶν λόγων τοῦ Παύλου.

2. ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ

Ἀποτελεῖται ἀπὸ 24 ὁμιλίας αἱ ὁποῖαι ἐξεφωνήθησαν, ὅπως φαίνεται ἀπὸ ὡρισμένα ἠθικολογικὰ ἐνδιαφέροντα, εἰς τὴν Ἀντιόχειαν.

Εἰς τὸ τέταρτον κεφάλαιον τῆς ἐπιστολῆς ἀφιερώνει τὰ τέσσαρα δέκατα τῆς ἐκτάσεως τῆς ἑρμηνείας, διότι εἰς αὐτὸ εὕρισκεν ἔδαφος νὰ ἀσκήσῃ τὴν ἠθικολογίαν του εἰς ὅλην τὴν εὐρύτητά της, νὰ ὁμιλήσῃ ἐπὶ τῶν καθ' ὑπερβολὴν ἀρεστῶν του θεμάτων τῆς ἀρετῆς καὶ τῆς ἀγάπης, ἂν καὶ εἰς αὐτὰ ἀναφέρεται κατὰ πᾶσαν περίστασιν. Ἤδη εἰς τὴν δευτέραν ὁμιλίαν ἰσχυρίζεται ὅτι τὸ εὔκολον εἶναι ἡ ἀρετὴ καὶ τὸ δύσκολον ἡ ἁμαρτία, διότι ἡ πρώτη εἶναι τὸ κατὰ φύσιν· «κατὰ φύσιν μὲν ἡ ἀρετή, παρὰ φύσιν δὲ ἡ κακία» (2, 4). Ἡ ὀλιγωρία καὶ ῥαθυμία εἶναι ἐκεῖνο τὸ ὁποῖον ὁδηγεῖ εἰς τὴν κακίαν.

Ἀρετὴ ἰσοδυναμεῖ περίπου μὲ τὴν ἀγάπην, διότι ὅλαι αἱ χάριτες ἀπὸ τὴν τελευταίαν προέρχονται· «ἀπὸ ἀγάπης ἡ ἀρετὴ καὶ ἀπὸ ἀρετῆς ἡ ἀγάπη»(9, 4). Τῆς πλέκει ἕνα ὕμνον ἀντάξιον τοῦ παυλείου.

«Ἡ ἀγάπη τοῦ Θεοῦ
τῷ οὐρανῷ συνῆψε τὴν γῆν·
ἡ ἀγάπη τοῦ Θεοῦ
τὸν ἄνθρωπον ἐπὶ τὸν θρόνον τὸν βασιλικὸν ἐκάθισεν·
ἡ ἀγάπη τοῦ Θεοῦ
τὸν Θεὸν ἔδειξεν ἐπὶ τῆς γῆς·
ἡ ἀγάπη τοῦ Θεοῦ
τὸν Δεσπότην δοῦλον ἐποίησεν·
ἡ ἀγάπη τοῦ Θεοῦ
ὑπὲρ τῶν ἐχθρῶν τὸν Ἀγαπητόν,
ὑπὲρ τῶν μισούντων τὸν Υἱόν,
ὑπὲρ τῶν δούλων τὸν Δεσπότην,
ὑπὲρ τῶν ἀνθρώπων τὸν Θεόν,
ὑπὲρ οἰκετῶν τὸν ἐλεύθερον
ἐκδοθῆναι ἐποίησεν»(9, 4).

Ἡ ἑρμηνεία τῆς ἐπιστολῆς πρὸς Ἐφεσίους εἶναι ἀπὸ τὰς αμπροτέρας τοῦ ἱεροῦ Χρυσοστόμου.

ΥΠΟΜΝΗΜΑ

ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΓΑΛΑΤΑΣ

ΕΡΜΗΝΕΙΑ ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΝ

Κεφ. 1,1-24

«Παῦλος ἀπόστολος, οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ Πατρὸς τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν, καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοί, ταῖς ἐκκλησίαις τῆς Γαλατίας· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν καὶ Κυρίου Ἰησοῦ Χριστοῦ».

1. Πολλοῦ τὸ προοίμιον γέμει θυμοῦ καὶ μεγάλου φρονήματος· οὐ τὸ προοίμιον δὲ μόνον, ἀλλὰ καὶ πᾶσα, ὡς εἰπεῖν, ἡ ἐπιστολή. Τὸ γὰρ μετ' ἐπιεικείας ἀεὶ τοῖς μαθητευομένοις διαλέγεσθαι, κἂν σφοδρότητος δέωνται, οὐ διδασκάλου, ἀλλὰ λυμεῶνος ἂν εἴη καὶ πολεμίου. Διὰ τοῦτο καὶ ὁ Κύριος πολλὰ προσηνῶς τοῖς μαθηταῖς διαλεχθείς, ἔστιν ὅπου καὶ αὐστηρότερον κέχρηται τῷ λόγῳ, καὶ νῦν μὲν μακαρίζει, νῦν δὲ ἐπιτιμᾷ. Τῷ γοῦν Πέτρῳ εἰπών, «Μακάριος εἶ, Σίμων Βὰρ Ἰωνᾶ», καὶ ἐπαγγειλάμενος τὰ θεμέλια τῆς Ἐκκλησίας ἐπὶ τῆς ὁμολογίας αὐτοῦ καταθήσεσθαι, μετ' οὐ πολὺ τῶν λόγων τούτων φησίν· «Ὕπαγε ὀπίσω μου, Σατανᾶ, σκάνδαλόν μου εἶ». Καὶ ἀλλαχοῦ πάλιν, «Ἀκμὴν καὶ ὑμεῖς ἀσύνετοί ἐστε;». Καὶ τοσοῦτον αὐτοῖς φόβον ἐνέθηκεν, ὡς καὶ τὸν Ἰωάννην εἰπεῖν, ὅτι ὁρῶντες αὐτὸν μετὰ γυναικὸς Σαμαρείτιδος λαλοῦντα, περὶ μὲν τῆς τροφῆς ὑπέμνησαν, «Οὐδεὶς μέντοι ἐτόλμησεν εἰπεῖν, τί ζητεῖς, ἢ τί λαλεῖς μετ' αὐτῆς;».

Ταῦτα μαθὼν ὁ Παῦλος, καὶ κατ' ἴχνος τοῦ διδασκάλου βαίνων, ἐποίκιλε τὸν λόγον πρὸς τὴν τῶν μαθητευομένων χρείαν, νῦν μὲν καίων καὶ τέμνων, νῦν δὲ προσηνῆ φάρ-

---

1. Γαλ. 5, 1-3.
2. Ματθ. 16, 17.
3. Ματθ. 16, 23.
4. Ματθ. 15, 16.
5. Ἰωάν. 4, 27.

ΕΡΜΗΝΕΙΑ
ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΓΑΛΑΤΑΣ ΕΠΙΣΤΟΛΗΝ
Κεφ. 1,1 - 24

«Ὁ Παῦλος, ἀπόστολος ἐντεταλμένος ὄχι ἀπὸ ἀνθρώπους, οὔτε δι' ἀνθρώπου, ἀλλὰ διὰ τοῦ Ἰησοῦ Χριστοῦ καὶ τοῦ Θεοῦ Πατρός, ὁ ὁποῖος τὸν ἀνέστησεν ἐκ νεκρῶν, καὶ ὅλοι οἱ ἀδελφοὶ οἱ ὁποῖοι εἶναι μαζί μου, πρὸς τὰς ἐκκλησίας τῆς Γαλατίας· χάρις ἂς εἶναι εἰς ἐσᾶς καὶ εἰρήνη ἀπὸ τὸν Θεὸν Πατέρα καὶ τὸν Κύριον Ἰησοῦν Χριστόν»[1].

1. Εἶναι πλῆρες πολλοῦ θυμοῦ καὶ μεγάλης σφοδρότητος τὸ προοίμιον τῆς ἐπιστολῆς· ὄχι δὲ μόνον τὸ προοίμιον, ἀλλὰ καὶ ὁλόκληρος σχεδὸν ἡ ἐπιστολή. Διότι τὸ νὰ ὁμιλῇ κανεὶς συνεχῶς μὲ ἐπιείκειαν εἰς τοὺς μαθητάς του, ἀκόμη καὶ ὅταν ἔχουν ἀνάγκην αὐστηρότητος, θὰ ἦτο ἔργον ὄχι διδασκάλου, ἀλλὰ καταστροφέως καὶ ἐχθροῦ. Διὰ τοῦτο καὶ ὁ Κύριος, ἀφοῦ ὡμίλησε μὲ προσήνειαν πολλὰς φορὰς εἰς τοὺς μαθητάς, ὡρισμένας φορὰς ὁμιλεῖ καὶ αὐστηρότερον, καὶ ἄλλοτε μὲν μακαρίζει, ἄλλοτε δὲ ἐπιτιμᾷ. Ἐνῷ λοιπὸν εἶπεν εἰς τὸν Πέτρον, «μακάριος εἶσαι Σίμων υἱὲ τοῦ Ἰωνᾶ»[2], καὶ ἐνῷ ὑπεσχέθη ὅτι θὰ θέσῃ τὸ θεμέλια τῆς Ἐκκλησίας ἐπάνω εἰς τὴν ἰδικήν του ὁμολογίαν, ὀλίγον ἀργότερον ἀπὸ τοὺς λόγους αὐτοὺς λέγει· «Ὕπαγε ὀπίσω μου σατανᾶ· μοῦ εἶσαι σκάνδαλον»[3]. Καὶ ἀλλοῦ πάλιν· «Ἀκόμη καὶ σεῖς εἶσθε ἀνόητοι;»[4]. Καὶ τόσον φόβον ἐνέπνευσεν εἰς τοὺς μαθητάς, ὥστε καὶ ὁ Ἰωάννης ἀκόμη νὰ εἴπῃ ὅτι, ἐνῷ ἔβλεπον αὐτὸν νὰ συνομιλῇ μὲ Σαμαρείτιδα γυναῖκα δημοσίως, πρᾶγμα ἀπηγορευμένον, διὰ μὲν τὴν τροφὴν τοῦ ὑπενθύμισαν, «ἀλλὰ κανεὶς δὲν ἐτόλμησε νὰ εἴπῃ, εἰς τί ζητεῖς νὰ σὲ ὑπηρετήσῃ ἡ γυναῖκα αὐτὴ ἤ, περὶ ποίου θέματυς ὁμιλεῖς μαζί της;»[5].

Αὐτὰ ἐπειδὴ τὰ ἐγνώρισεν ὁ Παῦλος, βαδίζων εἰς τὰ ἴχνη τοῦ διδασκάλου, ἐποίκιλλε τὸν λόγον ἀναλόγως πρὸς τὴν ἀνάγκην τῶν μαθητῶν, ἄλλοτε μὲν κατακόπτων καὶ

μακα ἐπιτιθείς. Καὶ Κορινθίοις μὲν ἔλεγε· «Τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς, ἢ ἐν ἀγάπῃ πνεύματί τε πραότητος;» Γαλάταις δέ, «Ὦ ἀνόητοι Γαλάται»· καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ δεύτερον ταύτῃ κέχρηται τῇ ἐπιτιμήσει. Καὶ πρὸς τῷ τέλει δὲ καθαπτόμενος αὐτῶν ἔλεγε, «Κόπους μοι μηδεὶς παρεχέτω». Καὶ θεραπεύει δὲ πάλιν, ὡς ὅταν λέγῃ, «Τεκνία μου, οὓς πάλιν ὠδίνω»· καὶ ἕτερα πολλὰ τοιαῦτα.

Ἀλλ' ὅτι μὲν θυμοῦ ἡ ἐπιστολὴ γέμει, παντί που δῆλον καὶ ἐκ πρώτης ἀναγνώσεως· δεῖ δὲ εἰπεῖν, τί τὸ παροξῦναν αὐτὸν κατὰ τῶν μαθητῶν. Οὐ γὰρ μικρὸν τοῦτο οὐδὲ εὐτελές, ἐπεὶ οὐδὲ αὐτὸς τοσαύτῃ ἂν ἐχρήσατο τῇ καταφορᾷ. Τὸ γὰρ ἐπὶ τοῖς τυχοῦσι παροξύνεσθαι, μικροψύχων ἀνδρῶν καὶ σκληρῶν καὶ ταλαιπώρων· ὥσπερ οὖν τὸ ἐπὶ τοῖς μεγάλοις ἀναπίπτειν, νωθροτέρων καὶ ὑπνηλοτέρων. Ἀλλ' οὐχ ὁ Παῦλος τοιοῦτος.

Τί οὖν τὸ κινῆσαν ἦν αὐτὸν ἁμάρτημα; Μέγα καὶ ὑπέρογκον, καὶ ὃ τοῦ Χριστοῦ πάντας αὐτοὺς ἠλλοτρίου, ὡς καὶ αὐτὸς προϊὼν ἔλεγεν· «Ἰδὲ ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει»· καὶ πάλιν, «Οἵτινες ἐν νόμῳ δικαιοῦσθε, τῆς χάριτος ἐξεπέσετε». Τί ποτ' οὖν τοῦτό ἐστι; δεῖ γὰρ αὐτὸ σαφέστερον ἀναπλῶσαι. Οἱ ἐξ Ἰουδαίων πιστεύσαντες, ὁμοῦ μὲν τῇ προλήψει τοῦ Ἰουδαϊσμοῦ κατεχόμενοι, ὁμοῦ δὲ κενοδοξίᾳ μεθύοντες, καὶ βουλόμενοι διδασκάλων ἀξίωμα ἑαυτοῖς περιθεῖναι, ἐλθόντες εἰς Γαλατῶν ἔθνος ἐδίδασκον, ὅτι δεῖ περιτέμνεσθαι, καὶ Σάββατα καὶ νουμηνίας τηρεῖν, καὶ μὴ ἀνέχεσθαι Παύλου ταῦτα ἀναιροῦντος. Οἱ γὰρ περὶ Πέτρον καὶ Ἰάκωβον

6. Α' Κορ. 4, 21.
7. Γαλ. 3, 1.
8. Γαλ. 6, 17.
9. Γαλ. 4, 19.
10. Γαλ. 5, 2.
11. Γαλ. 5, 4.

καυτηριάζων, ἄλλοτε δὲ θέτων ἐπάνω εἰς τὰς πληγὰς φάρμακα τὰ ὁποῖα καταπραΰνουν. Καὶ εἰς μὲν τοὺς Κορινθίους ἔλεγεν· «Τί θέλετε; Νὰ ἔλθω εἰς ἐσᾶς μὲ ράβδον ἢ μὲ ἀγάπην καὶ πνεῦμα πραότητος;»[6]. Εἰς δὲ τοὺς Γαλάτας· «Ὦ, ἀνόητοι Γαλάται»[7]. Καὶ ὄχι μόνον μίαν, ἀλλὰ καὶ δευτέραν φορὰν χρησιμοποιεῖ αὐτὴν τὴν ἐπίπληξιν. Καὶ εἰς τὸ τέλος τῆς ἐπιστολῆς ἐπίσης ἐπιπλήττων αὐτοὺς ἔλεγεν· «Ἂς μὴ μὲ ἐνοχλῇ κανεὶς εἰς τὸ ἑξῆς»[8]. Ἄλλοτε ὅμως περιποιεῖται καὶ τιμᾷ, ὅπως ὅταν λέγῃ· «Παιδιά μου, διὰ τὰ ὁποῖα πάλιν δοκιμάζω πόνους τοκετοῦ»[9], καὶ πολλὰ ἄλλα παρόμοια.

Διὰ τὸ ὅτι λοιπὸν εἶναι πλήρης ἡ ἐπιστολὴ ἀπὸ θυμόν, ἀπὸ παντοῦ εἶναι φανερὸν καὶ ἀπὸ τὴν πρώτην ἀκόμη ἀνάγνωσιν. Πρέπει δὲ νὰ λεχθῇ τί ἦτο ἐκεῖνο τὸ ὁποῖον παρώξυνε τὸν ἀπόστολον κατὰ τῶν μαθητῶν. Αὐτὸ δὲν ἦτο δὲ οὔτε μικρόν, οὔτε ἀσήμαντον πρᾶγμα, διότι, εἰς τοιαύτην περίπτωσιν, οὔτε καὶ ὁ Παῦλος θὰ ἔδιδε τόσον δυνατὸν κτύπημα. Διότι τὸ νὰ ὀργίζεται κανεὶς διὰ πράγματα ἀσήμαντα, εἶναι ἴδιον ἀνθρώπων μικροψύχων καὶ σκληρῶν καὶ ἀθλίων· ὅπως ἀκριβῶς βεβαίως τὸ νὰ ἀδιαφορῇ κανεὶς διὰ τὰ μεγάλα, εἶναι ἴδιον ὀκνηρῶν καὶ ὑπνηλοτέρων. Ἀλλ' ὁ Παῦλος δὲν εἶναι τέτοιος.

Ποῖον ἦτο λοιπὸν τὸ ἁμάρτημα τὸ ὁποῖον τὸν διήγειρεν; Μεγάλο καὶ πολὺ βαρύ, καὶ τέτοιο ποὺ ἔκαμνε ἐχθροὺς τοῦ Χριστοῦ ὅλους αὐτούς, ὅπως καὶ ὁ ἴδιος προχωρῶν ἔλεγεν· «Ἐγὼ ὁ Παῦλος σᾶς λέγω ὅτι ἐὰν περιτέμνεσθε, ὁ Χριστὸς δὲν πρόκειται νὰ σᾶς ὠφελήσῃ εἰς τίποτε»[10]· καὶ πάλιν· «Ἔχετε ἀποχωρισθῇ ἀπὸ τὸν Χριστὸν ὅσοι ἐπιδιώκετε νὰ δικαιωθῆτε διὰ τοῦ νόμου»[11]. Τί εἶναι λοιπὸν αὐτό; Διότι πρέπει νὰ τὸ ἀναπτύξωμεν σαφέστερον. Ὅσοι ἀπὸ τοὺς Ἰουδαίους εἶχον πιστεύσει, κατεχόμενοι ἀπὸ τὴν προκατάληψιν τοῦ Ἰουδαϊσμοῦ καὶ ταυτοχρόνως μεθοῦντες ἀπὸ κενοδοξίαν καὶ ἐπιθυμοῦντες νὰ περιβληθοῦν οἱ ἴδιοι ἀξίωμα διδασκάλων, ἀφοῦ ἐπῆγαν εἰς τὴν Γαλατίαν ἐδίδασκον εἰς τοὺς Γαλάτας ὅτι πρέπει νὰ περιτέμνωνται καὶ νὰ τηροῦν τὰ σάββατα καὶ τὰς νουμηνίας, καὶ νὰ μὴ ἀνέχωνται τὸν Παῦλον ὁ ὁποῖος καταργεῖ αὐτά. Διότι, ἔλεγον, οἱ

καὶ Ἰωάννην ταῦτα, φησίν, οὐ κωλύουσιν, οἱ πρῶτοι τῶν ἀποστόλων, οἱ μετὰ Χριστοῦ γενόμενοι. Καὶ ἀληθῶς οὐκ ἐκώλυον· ἀλλ' οὐ δογματίζοντες τοῦτο ἐποίουν, ἀλλὰ τῇ ἀσθενείᾳ συγκαταβαίνοντες τῶν ἐξ Ἰουδαίων πιστευόντων.

Ὁ δὲ Παῦλος εἰς τὰ ἔθνη κηρύττων, οὐ χρείαν εἶχε τῆς συγκαταβάσεως ταύτης. Ὅτε οὖν ἐν Ἰουδαίᾳ γέγονε, καὶ αὐτὸς τῇ συγκαταβάσει ἐχρήσατο ταύτῃ. Ἀλλ' οἱ ἀπατῶντες, οὐ λέγοντες τὰς αἰτίας, δι' ἃς καὶ οὗτος κἀκεῖνοι συγκατέβαινον, παρελογίζοντο τοὺς ἀφελεστέρους λέγοντες, ὅτι οὐ δεῖ Παύλου ἀνέχεσθαι· οὗτος γὰρ χθὲς καὶ σήμερον ἐφάνη, ἐκεῖνοι δὲ πρῶτοι οἱ περὶ Πέτρον· καὶ οὗτος μὲν μαθητὴς τῶν ἀποστόλων γέγονεν, ἐκεῖνοι δὲ τοῦ Χριστοῦ· καὶ οὗτος μόνος, ἐκεῖνοι δὲ πολλοί, καὶ στῦλοι τῆς ἐκκλησίας. Καὶ εἰς ὑπόκρισιν δὲ αὐτὸν διέβαλλον λέγοντες, ὅτι καὶ αὐτὸς οὗτος ὁ ἀναιρῶν περιτομήν, φαίνεται καὶ τούτοις χρησάμενος ἀλλαχοῦ, καὶ ἑτέρως μὲν ὑμῖν, ἑτέρως δὲ ἄλλοις κηρύττων.

2. Ἐπεὶ οὖν ἐμπρησθὲν εἶδεν ἔθνος ὁλόκληρον, καὶ πυρὰν χαλεπὴν κατὰ τῆς Γαλατῶν ἀναφθεῖσαν ἐκκλησίας, καὶ τὴν οἰκοδομὴν σαλευομένην καὶ κινδυνεύουσαν καταπεσεῖν, τοῦτο μὲν ὑπὸ θυμοῦ δικαίου, τοῦτο δὲ ὑπὸ ἀθυμίας κατεχόμενος· καὶ γὰρ καὶ τοῦτο ἐδήλωσεν εἰπών, ὅτι «Ἤθελον παρεῖναι πρὸς ὑμᾶς ἄρτι, καὶ ἀλλάξαι τὴν φωνήν μου»· γράφει τὴν ἐπιστολήν, πρὸς ἅπαντα ταῦτα ἀπολογούμενος. Καὶ ἐκ προοιμίων εὐθέως πρὸς ἐκεῖνο ἀποτείνεται, ὃ διορύττοντες αὐτοῦ τὴν ὑπόληψιν ἔλεγον, ὅτι οἱ μὲν ἄλλοι τοῦ Χριστοῦ, αὐτὸς δὲ τῶν ἀποστόλων γέγονε μαθητής. Διὸ καὶ οὕτως ἤρξατο· «Παῦλος ἀπόστολος, οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων».

Ἔλεγον γάρ, ὡς ἔφθην εἰπών, οἱ ἀπατεῶνες ἐκεῖνοι, ὅτι τῶν ἀποστόλων ἁπάντων ἔσχατος οὗτός ἐστι, καὶ παρ'

---

12. Γαλ. 4, 20.

περὶ τὸν Πέτρον καὶ τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην, οἱ ὁποῖοι ἦσαν οἱ πρῶτοι ἀπὸ τοὺς ἀποστόλους καὶ ἔζησαν μαζὶ μὲ τὸν Χριστὸν καὶ ἔγιναν ἀπὸ τὸν ἴδιον ἀπόστολοι, δὲν τὰ ἐμποδίζουν αὐτά. Καὶ πράγματι δὲν τὰ ἠμπόδιζον· τὸ ἔκαμνον ὅμως αὐτὸ ὄχι ὡς δόγμα, ἀλλὰ ἀπὸ συγκατάβασιν εἰς τὴν ἀδυναμίαν τῶν πιστῶν τῶν προερχομένων ἀπὸ τοὺς Ἰουδαίους.

Ὁ Παῦλος ὅμως, ἐπειδὴ ἐκήρυττεν εἰς τὰ ἔθνη, δὲν εἶχεν ἀνάγκην ἀπὸ αὐτὴν τὴν συγκατάβασιν. Ἀλλ' οἱ ἀπατεῶνες, μὴ λέγοντες τοὺς λόγους διὰ τοὺς ὁποίους καὶ αὐτὸς καὶ ἐκεῖνοι ἐδείκνυον συγκατάβασιν, ἐξηπάτων τοὺς ἀφελεστέρους, λέγοντες ὅτι δὲν πρέπει νὰ ἀνέχωνται τὸν Παῦλον· διότι αὐτὸς τώρα ἐνεφανίσθη ὡς ἀπόστολος, ἐνῷ οἱ περὶ τὸν Πέτρον ἐνωρίτερον· καὶ αὐτὸς μὲν ὑπῆρξε μαθητὴς τῶν ἀποστόλων, ἐνῷ ἐκεῖνοι τοῦ Χριστοῦ· καὶ αὐτὸς ἦτο μόνον εἷς, ἐνῷ ἐκεῖνοι καὶ πολλοὶ καὶ στῦλοι τῆς ἐκκλησίας. Καὶ ἐσυκοφάντουν αὐτὸν ὡς ὑποκριτὴν λέγοντες ὅτι καὶ αὐτὸς ὁ ἴδιος καταργεῖ τὴν περιτομήν, ἐμφανίζεται ἀλλοῦ νὰ ἔχῃ χρησιμοποιήσει αὐτὰ τὰ ὁποῖα καταργεῖ, κηρύττων ἄλλα μὲν εἰς σᾶς, ἄλλα δὲ εἰς ἄλλους.

2. Ἐπειδὴ λοιπὸν εἶδεν ὁ Παῦλος ὁλόκληρον ἔθνος νὰ ἔχῃ ἐμπρησθῇ καὶ νὰ ἔχῃ ἀναφθῇ ἐπικίνδυνος πυρκαϊὰ εἰς τὴν ἐκκλησίαν τῶν Γαλατῶν καὶ τὴν οἰκοδομὴν νὰ σείεται καὶ νὰ κινδυνεύῃ νὰ καταστραφῇ, γράφει αὐτὴν τὴν ἐπιστολὴν ἀπολογούμενος πρὸς ὅλα αὐτά, ἐνῷ κατέχεται ἀφ' ἑνὸς μὲν ἀπὸ δίκαιον θυμόν, ἀφ' ἑτέρου δὲ ἀπὸ λύπην. Καὶ αὐτὸ ἐφανέρωσεν ὅταν εἶπεν ὅτι «θὰ ἤθελον νὰ εἶμαι τώρα μαζί σας καὶ νὰ ἀλλάξω τὸν τόνον τῆς φωνῆς μου»[12]. Καὶ ἀπὸ τὸ προοίμιον ἀκόμη ἀμέσως ἀγωνίζεται ἰσχυρῶς δι' ἐκεῖνο τὸ ὁποῖον, ὑποσκάπτοντες τὴν ὑπόληψίν του, ἔλεγον ὅτι οἱ μὲν ἄλλοι ἔγιναν μαθηταὶ τοῦ Χριστοῦ, ἐνῷ αὐτὸς τῶν ἀποστόλων. Διὰ τοῦτο καὶ ἤρχισεν ἔτσι· «Ὁ Παῦλος, ἀπόστολος ἐντεταλμένος ὄχι ἀπὸ ἀνθρώπους, οὔτε δι' ἀνθρώπων».

Ἔλεγον λοιπόν, ὅπως προανέφερα, ἐκεῖνοι οἱ ἀπατεῶνες, ὅτι αὐτὸς εἶναι ὁ τελευταῖος τῶν ἀποστόλων καὶ ὅτι ἀ-

ἐκείνων ἐδιδάχθη. Πέτρος γὰρ καὶ Ἰάκωβος καὶ Ἰωάννης καὶ ἐκλήθησαν πρῶτοι, καὶ κορυφαῖοι τῶν μαθητῶν εἰσι, καὶ τὰ δόγματα ἐδέξαντο παρὰ τοῦ Χριστοῦ, καὶ χρὴ μᾶλλον ἐκείνοις πείθεσθαι, ἢ τούτῳ· ἐκεῖνοι δὲ οὐ κωλύουσι περιτέμνεσθαι, οὐδὲ νόμον μὴ τηρεῖν. Καὶ ταῦτα καὶ τὰ τοιαῦτα λέγοντες, καὶ τοῦτον μὲν καθαιροῦντες, ἐκείνων δὲ τὴν δόξαν ἐπαίροντες, οὐχ ἵνα ἐκείνους ἐγκωμιάσωσιν, ἀλλ' ἵνα Γαλάτας ἀπατήσωσιν, ἔπειθον ἀκαίρως τῷ νόμῳ προσέχειν.

Εἰκότως οὖν οὕτως ἤρξατο. Ἐπειδὴ γὰρ τὴν μὲν αὐτοῦ διδασκαλίαν ἐξηυτέλιζον, παρὰ ἀνθρώπων αὐτὴν λέγοντες εἶναι, τὴν δὲ Πέτρου παρὰ τοῦ Χριστοῦ, ἐκ προοιμίων εὐθέως πρὸς τοῦτο ἵσταται, λέγων ἀπόστολος εἶναι, «οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπων». Ἐβάπτισε μὲν γὰρ αὐτὸν Ἀνανίας, ἀλλ' οὐκ ἐκεῖνος τῆς πλάνης ἀπήλλαξεν, οὐδὲ πρὸς τὴν πίστιν ἤγαγεν· ἀλλ' αὐτὸς ἄνωθεν ὁ Χριστὸς τὴν θαυμαστὴν ἐκείνην πρὸς αὐτὸν ἀφῆκε φωνήν, δι' ἧς αὐτὸν ἐσαγήνευσε. Τὸν μὲν γὰρ Πέτρον καὶ τὸν ἀδελφὸν αὐτοῦ, καὶ Ἰωάννην καὶ τὸν ἀδελφὸν τὸν ἐκείνου, περιπατῶν παρὰ τὴν θάλασσαν ἐκάλεσε, τὸν δὲ Παῦλον εἰς οὐρανοὺς ἀνελθών. Καὶ ὥσπερ οὐκ ἐδεήθησαν ἐκεῖνοι δευτέρας φωνῆς, ἀλλ' εὐθέως ἀφέντες τὰ δίκτυα καὶ πάντα τὰ ἄλλα, ἠκολούθησαν αὐτῷ· οὕτω καὶ οὗτος ἀπὸ τῆς πρώτης κλήσεως πρὸς ἄκραν ἀνέβη κορυφήν, ὁμοῦ τε βαπτισάμενος καὶ πόλεμον ἄσπονδον πρὸς Ἰουδαίους ἑλόμενος, καὶ ταύτῃ μάλιστα τῶν ἀποστόλων πλεονεκτήσας. «Περισσότερον γὰρ αὐτῶν ἐκοπίασα», φησίν.

Ἀλλὰ τέως οὐ κατασκευάζει τοῦτο, ἀλλ' ἀγαπᾷ τὰ ἴσα φέρων. Τὸ γὰρ σπουδαζόμενον ἦν αὐτῷ, οὐ δεῖξαι ἑαυτὸν ἐκείνων ὑπερέχοντα, ἀλλὰ τῆς πλάνης καταλῦσαι τὴν ὑπόθεσιν. Τὸ μὲν οὖν, «οὐκ ἀπ' ἀνθρώπων», κοινὸν ἁπάντων ἦν· ἄνωθεν γὰρ τὴν ἀρχὴν καὶ τὴν ῥίζαν ἔχει τὸ κήρυγμα· τὸ δέ, «οὐ δι' ἀνθρώπων», ἴδιον τῶν ἀποστόλων· οὐ

13. Α' Κορ. 15, 10.

πὸ ἐκείνους ἐδιδάχθη. Διότι ὁ Πέτρος καὶ ὁ Ἰάκωβος καὶ ὁ Ἰωάννης καὶ ἐκλήθησαν πρῶτοι, καὶ παρέλαβον τὰς ἀληθείας τῆς πίστεως ὑπὸ τοῦ Χριστοῦ, καὶ πρέπει μᾶλλον εἰς ἐκείνους νὰ πείθωνται, παρὰ εἰς αὐτόν. Ἐκεῖνοι δὲ δὲν ἐμποδίζουν τὴν περιτομήν, οὔτε τὴν τήρησιν τοῦ Ἰουδαϊκοῦ νόμου. Καὶ αὐτὰ καὶ τέτοια λέγοντες, καὶ τὸν μὲν Παῦλον ταπεινοῦντες, τῶν δὲ ἄλλων ἀποστόλων τὴν δόξαν ἐξυψοῦντες, ὄχι διὰ νὰ ἐγκωμιάσουν ἐκείνους, ἀλλὰ διὰ νὰ ἐξαπατήσουν τοὺς Γαλάτας, ἔπειθον αὐτοὺς νὰ προσηλοῦνται εἰς τὸν νόμον, ἐνῷ εἶχε παρέλθει ὁ καιρὸς τοῦ νόμου.

Ὀρθῶς λοιπὸν ἤρχισεν ἔτσι. Διότι, ἐπειδὴ τὴν μὲν ἰδικήν του διδασκαλίαν ὑπετίμων, λέγοντες ὅτι προέρχεται ἀπὸ ἀνθρώπους, ἐνῷ ἡ τοῦ Πέτρου ἀπὸ τὸν Χριστόν, ἀπὸ τὸ προοίμιον ἤδη ἀσχολεῖται ἀμέσως μὲ αὐτό, λέγων ὅτι εἶναι ἀπόστολος «ὄχι ἀπὸ ἀνθρώπους, οὔτε δι' ἀνθρώπων». Διότι τὸν ἐβάπτισε μὲν ὁ Ἀνανίας, ἀλλὰ δὲν τὸν ἀπήλλαξεν ἐκεῖνος ἀπὸ τὴν πλάνην, οὔτε τὸν ὡδήγησεν εἰς τὴν πίστιν· ἀλλ' αὐτὸς ὁ ἴδιος ὁ Χριστὸς ἄνωθεν ἐκάλεσεν αὐτὸν θαυματουργικῶς καὶ τὸν ἐσαγήνευσε. Καὶ τὸν μὲν Πέτρον καὶ τὸν ἀδελφόν του, καθὼς καὶ τὸν Ἰωάννην μὲ τὸν ἀδελφόν του, τοὺς ἐκάλεσεν ἐνῷ περιεπάτει πλησίον τῆς θαλάσσης, ἐνῷ τὸν Παῦλον ἀφοῦ ἀνῆλθεν εἰς τὸν οὐρανόν. Καὶ ὅπως ἀκριβῶς ἐκεῖνοι δὲν ἐχρειάσθησαν καὶ δευτέραν πρόσκλησιν, ἀλλὰ ἀμέσως ἀφοῦ ἄφησαν τὰ δίκτυα καὶ ὅλα τὰ ἄλλα τὸν ἠκολούθησαν, ἔτσι καὶ αὐτὸς ἀπὸ τὴν πρώτην κλῆσιν ὑψώθη εἰς τὴν μεγαλυτέραν κορυφήν, ἀφοῦ συγχρόνως ἐβαπτίσθη καὶ προετίμησεν ἀδιάλλακτον πόλεμον κατὰ τῶν Ἰουδαίων, καὶ εἰς τοῦτο μάλιστα ὑπερίσχυσε τῶν ἄλλων ἀποστόλων. Διότι «περισσότερον ἀπὸ αὐτοὺς ἐκοπίασα»[13], λέγει.

Μέχρι τώρα ὅμως δὲν τὸ προβάλλει αὐτό, ἀλλὰ ἀγαπᾶ νὰ εἶναι ἴσος μαζί των. Διότι αὐτὸ τὸ ὁποῖον ἐπιδιώκει δὲν εἶναι νὰ δείξῃ ὅτι αὐτὸς ὑπερέχει ἐκείνων, ἀλλὰ νὰ διαλύσῃ τὴν πλάνην. Τὸ μὲν λοιπὸν «ὄχι ἀπὸ ἀνθρώπους», ἦτο κοινὸν γνώρισμα ὅλων τῶν διδασκάλων· διότι ἄνωθεν ἔχει τὸ κήρυγμα τὴν ἀρχὴν καὶ τὴν ρίζαν· ἀλλὰ τὸ «ὄχι δι' ἀνθρώπων», εἶναι ἴδιον τῶν ἀποστόλων. Διότι δὲν τοὺς ἐκάλε-

γὰρ δι᾿ ἀνθρώπων ἐκάλεσεν αὐτούς, ἀλλ᾿ αὐτὸς δι᾿ ἑαυτοῦ. Διὰ τί δὲ μὴ τῆς κλήσεως ἐμνημόνευσε καὶ εἶπε, Παῦλος κλητὸς οὐκ ἀπ᾿ ἀνθρώπων, ἀλλὰ τῆς ἀποστολῆς; Ὅτι περὶ τούτου πᾶς ὁ λόγος ἦν. Ἔλεγον γὰρ ὑπὸ ἀνθρώπων τῶν ἀποστόλων ἐγκεχειρίσθαι τὴν διδασκαλίαν ταύτην, καὶ δεῖν ἐκείνοις αὐτὸν ἕπεσθαι.

Ὅτι δὲ οὐχ ὑπὸ ἀνθρώπων ἐνεχειρίσθη, ὁ Λουκᾶς ἐδήλωσεν, εἰπών· «Λειτουργούντων δὲ αὐτῶν καὶ νηστευόντων τῷ Κυρίῳ, εἶπε τὸ Πνεῦμα τὸ ἅγιον, ἀφορίσατε δή μοι τὸν Παῦλον καὶ τὸν Βαρνάβαν». Ὅθεν δῆλον, ὅτι μία ἐξουσία Υἱοῦ καὶ Πνεύματος. Ὑπὸ γὰρ τοῦ Πνεύματος ἀποσταλείς, ὑπὸ τοῦ Χριστοῦ φησιν ἀπεστάλθαι. Τοῦτο καὶ ἀλλαχοῦ δηλοῖ, τὰ τοῦ Θεοῦ τῷ Πνεύματι λογιζόμενος. Τοῖς γὰρ Μιλησίων διαλεγόμενος πρεσβυτέροις, «Προσέχετε ἑαυτοῖς», φησί, «καὶ τῷ ποιμνίῳ, ἐν ᾧ ἔθετο ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ποιμένας καὶ ἐπισκόπους»· καίτοιγε ἐν ἄλλῃ φησὶν ἐπιστολῇ, «Οὓς μὲν ἔθετο ὁ Θεὸς ἐν τῇ ἐκκλησίᾳ, πρῶτον ἀποστόλους, δεύτερον προφήτας, εἶτα ποιμένας καὶ διδασκάλους». Οὕτως ἀδιαφόρως κέχρηται τῷ λόγῳ, τὰ τοῦ Πνεύματος τοῦ Θεοῦ λέγων εἶναι, καὶ τὰ τοῦ Θεοῦ τοῦ Πνεύματος.

3. Ἐμφράττει δὲ καὶ ἄλλως τῶν αἱρετικῶν τὰ στόματα, λέγων, «Διὰ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ Πατρός». Ἐπειδὴ γὰρ τὴν λέξιν ταύτην ὡς ἐλάττονα οὖσαν προσερρῖφθαι τῷ Υἱῷ φασιν, ὅρα τί ποιεῖ· ἐπὶ τοῦ Πατρὸς αὐτὴν τίθησιν, διδάσκων ἡμᾶς μὴ νομοθετεῖν τῇ ἀρρήτῳ φύσει, μηδὲ μέτρα θεότητος ὁρίζειν μέσον Υἱοῦ καὶ Πατρός. Εἰπὼν γάρ, «διὰ Ἰησοῦ Χριστοῦ», ἐπήγαγε, «καὶ Θεοῦ Πατρός». Εἰ μὲν γὰρ καθ᾿ ἑαυτὸ τοῦ Πατρὸς μνημονεύσας εἶπε τό, «δι᾿ οὗ, ἴσως ἂν καὶ ἐσοφίσαντο, λέγοντες ἁρμόζειν τῷ Πατρὶ τό,

14. Πράξ. 13, 2.
15. Πράξ. 20, 28.
16. Α΄ Κορ. 12, 28.

σε δι' ἀνθρώπων ὁ Χριστός, ἀλλὰ αὐτὸς ὁ ἴδιος. Διατί ὅμως δὲν ἐμνημόνευσε τὴν κλῆσιν του ἀπὸ τὸν Χριστὸν καὶ δὲν εἶπε· Παῦλος κεκλημένος ὄχι ἀπὸ ἀνθρώπους, ἀλλ' ἐμνημόνευσε μόνον τὴν ἀποστολήν; Ἐπειδὴ διὰ τοῦτο ἐγίνετο ὅλος ὁ θόρυβος. Διότι ἔλεγον ὅτι παρέλαβε τὴν διδασκαλίαν ἀπὸ ἀνθρώπους, δηλαδὴ τοὺς ἀποστόλους, καὶ ὅτι πρέπει ἐκείνους ν' ἀκολουθῇ αὐτός.

Διὰ τὸ ὅτι ὅμως δὲν παρέλαβε τὴν διδασκαλίαν ἀπὸ ἀνθρώπους, ἐμαρτύρησεν ὁ Λουκᾶς ὅταν εἶπεν· «Ἐνῷ δὲ ὑπηρέτουν τὸν Κύριον καὶ ἐνήστευον, εἶπε τὸ Πνεῦμα τὸ ἅγιον «Ξεχωρίσατέ μου τὸν Βαρνάβαν καὶ τὸν Παῦλον εἰς τὸ ἔργον, εἰς τὸ ὁποῖον τοὺς προσεκάλεσα»[14]. Ἀπὸ τὸ ὁποῖον εἶναι φανερὸν ὅτι μία εἶναι ἡ ἐξουσία τοῦ Υἱοῦ καὶ τοῦ Πνεύματος. Διότι, ἐνῷ ἀπεστάλη ἀπὸ τὸ Πνεῦμα, ὑπὸ τοῦ Χριστοῦ λέγει ὅτι ἀπεστάλη. Τοῦτο δηλώνει καὶ ἀλλοῦ, θεωρῶν τὰ τοῦ Θεοῦ τοῦ Πνεύματος. Ὁμιλῶν δηλαδὴ εἰς τοὺς πρεσβυτέρους τῶν Μιλησίων, λέγει «Προσέχετε λοιπὸν τοὺς ἑαυτούς σας καὶ ὁλόκληρον τὸ ποίμνιον, εἰς τὸ ὁποῖον τὸ ἅγιον Πνεῦμα σᾶς ἐτοποθέτησεν ἐπισκόπους, διὰ νὰ ποιμαίνετε τὴν ἐκκλησίαν τοῦ Θεοῦ»[15]· ἂν καὶ βεβαίως εἰς ἄλλην ἐπιστολὴν λέγει· «Καὶ ὁ Θεὸς ἐτοποθέτησεν εἰς τὴν ἐκκλησίαν πρῶτον ἀποστόλους, δεύτερον προφήτας, τρίτον ποιμένας καὶ διδασκάλους»[16]. Ἔτσι ἀδιακρίτως χρησιμοποιεῖ τὸν λόγον, ἀποδίδων τὰ τοῦ Πνεύματος εἰς τὸν Πατέρα καὶ τὰ τοῦ Πατρὸς εἰς τὸ Πνεῦμα.

3. Φράσσει δὲ καὶ μὲ ἄλλον τρόπον τὰ στόματα τῶν αἱρετικῶν λέγων· «Διὰ Ἰησοῦ Χριστοῦ καὶ Θεοῦ Πατρός». Ἐπειδὴ δηλαδὴ λέγουν ὅτι αὐτὴ ἡ λέξις ἀπεδόθη εἰς τὸν Υἱὸν διὰ τὸ ὅτι εἶναι κατωτέρα, πρόσεχε τί κάνει· θέτει αὐτὴν εἰς τὸν Πατέρα, διδάσκων εἰς ἐμᾶς νὰ μὴ θέτωμεν νόμους εἰς τὴν ἄρρητον φύσιν, οὔτε νὰ ὁρίζωμεν μέτρα θεότητος μεταξὺ Υἱοῦ καὶ Πατρός. Διότι ἀφοῦ εἶπε «διὰ Ἰησοῦ Χριστοῦ», προσέθεσε «καὶ Θεοῦ Πατρός». Διότι ἐὰν μὲν ἔλεγε μόνον του τὸ «διὰ τοῦ ὁποίου», ἔχων μνημονεύσει τὸν Πατέρα προηγουμένως, ἴσως νὰ ἐσοφίζοντο καὶ νὰ ἔλεγον ὅτι τὸ «διὰ τοῦ ὁποίου» ἀποδίδει εἰς τὸν Πατέρα καὶ ὅτι εἰς αὐ-

δι' οὗ, τῷ τὰ ἔργα τοῦ Υἱοῦ εἰς αὐτὸν ἀναφέρεσθαι· νῦν δὲ τοῦ Υἱοῦ μνημονεύσας ὁμοῦ καὶ τοῦ Πατρός, καὶ κοινῇ θεὶς τὴν λέξιν, οὐκέτι τὸν λόγον τοῦτον χώραν ἀφίησιν ἔχειν. Οὐ γάρ, ὡς τὰ τοῦ Υἱοῦ νῦν ἀνατιθεὶς τῷ Πατρί, τοῦτο ποιεῖ, ἀλλὰ δεικνὺς ὅτι οὐδεμίαν αὕτη ἡ λέξις οὐσίας διαφορὰν εἰσάγει.

Τί δὲ καὶ οἱ ἀπὸ τοῦ βαπτίσματος ἐπινοοῦντές τινα ἐλάττωσιν διὰ τὸ εἰς ὄνομα Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος βαπτίζεσθαι, ἐνταῦθα ἂν εἴποιεν; Εἰ γὰρ καταδεέστερος ὁ Υἱὸς διὰ τὸ μετὰ Πατέρα κεῖσθαι, ἐπειδὴ ἐνταῦθα ἀπὸ τοῦ Χριστοῦ ἀρξάμενος ὁ ἀπόστολος ἐπὶ τὸν Πατέρα ἔρχεται, τί ἂν εἴποιεν; Ἀλλ' οὐδὲν ἂν εἴποιμεν βλάσφημον. Οὐ γὰρ χρὴ φιλονεικοῦντας ἐκείνοις τῆς ἀληθείας ἐξίστασθαι, ἀλλά, κἂν μυριάκις μαίνωνται, τὰ μέτρα τῆς εὐσεβείας ἡμᾶς διατηρεῖν ἀναγκαῖον. Ὥσπερ οὖν οὐκ ἂν εἴποιμεν ἡμεῖς μείζονα τοῦ Πατρὸς τὸν Υἱόν, ἐπειδὴ τοῦ Χριστοῦ πρῶτον ἐμνημόνευσεν· ἐσχάτης γὰρ τοῦτο μανίας, καὶ ἀσεβείας ὑπερβολὴ πάσης· οὕτως οὐδὲ ἐκεῖ διὰ τὸ μετὰ τὸν Πατέρα κεῖσθαι τὸν Υἱόν, ἐλάττονα χρὴ νομίζειν ἡμᾶς εἶναι τοῦ Πατρὸς τὸν Υἱόν.

«Τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν». Τί ποιεῖς, ὦ Παῦλε; Ἰουδαΐζοντας ἀνθρώπους ἐνάγειν εἰς πίστιν θέλων, οὐδὲν τῶν μεγάλων ἐκείνων καὶ λαμπρῶν ἄγεις εἰς μέσον, οἷον ὃ πρὸς Φιλιππησίους ἔγραφες, λέγων, ὅτι «Ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ»· «ὃ μετὰ ταῦτα ἐπιστέλλων Ἑβραίοις ἀνεβόησας, ὅτι «Ἀπαύγασμά ἐστι τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ»· ὃ ἐκ προοιμίων ὁ τῆς βροντῆς υἱὸς ἀνεφώνησεν, ὅτι «Ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν,

17. Φιλιπ. 2, 6.

τὸν ἀναφέρονται τὰ ἔργα τοῦ Υἱοῦ· τώρα ὅμως, ἔχων μνημονεύσει τὸν Υἱὸν μαζὶ μὲ τὸν Πατέρα, καὶ ἀφοῦ ἀπέδωσε τὴν λέξιν καὶ εἰς τὸν Υἱὸν καὶ εἰς τὸν Πατέρα, δὲν ἀφήνει τόπον οὔτε καὶ εἰς αὐτὴν τὴν ἀντιλογίαν. Βεβαίως δὲν τὸ κάνει αὐτὸ διότι ἀποδίδει τὰ τοῦ Υἱοῦ εἰς τὸν Πατέρα, ἀλλὰ διὰ νὰ δείξῃ ὅτι αὐτὴ ἡ λέξις οὐδεμίαν διαφορὰν εἰσάγει εἰς τὴν οὐσίαν τῆς θεότητος.

Τί θὰ ἠδύναντο λοιπὸν νὰ εἴπουν ἐδῶ καὶ ἐκεῖνοι οἱ ὁποῖοι ἐπινοοῦν ἀπὸ τὸ βάπτισμα κάποιαν μείωσιν διὰ τὸν Υἱὸν ἐπειδή, ὅταν βαπτιζώμεθα εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, ἀναφέρεται δεύτερος; Διότι ἐὰν εἶναι ὑποδεέστερος ὁ Υἱὸς διὰ τὸ ὅτι ἀναφέρεται μετὰ τὸν Πατέρα, τί θὰ ἠδυνάμεθα νὰ εἴπωμεν ἐδῶ, ὅταν ὁ ἀπόστολος, ἔχων ἀρχίσει ἀπὸ τὸν Χριστὸν καταλήγει εἰς τὸν Πατέρα; Ἀλλ' ἂς μὴ εἴπωμεν τίποτε βλάσφημον. Διότι δὲν πρέπει φιλονεικοῦντες μὲ ἐκείνους νὰ ἐξερχώμεθα τῆς ἀληθείας, ἀλλὰ καὶ ἂν ἀκόμη μαίνωνται μυριάδας φοράς, εἶναι ἀνάγκη ἐμεῖς νὰ διατηρῶμεν τὰ μέτρα τῆς εὐσεβείας. Ὅπως ἀκριβῶς λοιπὸν δὲν θὰ ἐλέγομεν ἐμεῖς μεγαλύτερον τοῦ Πατρὸς τὸν Υἱόν, ἐπειδὴ ἀνέφερε πρῶτον τὸν Χριστόν, διότι αὐτὸ θὰ ἦτο ἀποτέλεσμα μανίας καὶ ὑπέρβασις κάθε ἀσεβείας, ἔτσι οὔτε καὶ ἐκεῖ, ἐπειδὴ ὁ Υἱὸς ἀναφέρεται μετὰ τὸν Πατέρα, πρέπει νὰ νομίζωμεν ὅτι ὁ Υἱὸς εἶναι κατώτερος τοῦ Πατρός.

«Ὁ ὁποῖος τὸν ἀνέστησεν ἐκ νεκρῶν». Τί κάνεις, ὦ Παῦλε; Ἐνῷ θέλεις νὰ ὁδηγήσῃς Ἰουδαΐζοντας ἀνθρώπους εἰς τὴν πίστιν, δὲν παρουσιάζεις τίποτε ἀπὸ ἐκεῖνα τὰ μεγάλα καὶ λαμπρά, ὅπως αὐτὸ τὸ ὁποῖον ἔγραφες εἰς τοὺς Φιλιππησίους, λέγων ὅτι· «ἂν καὶ εἶχε θεϊκὴν ὕπαρξιν ὁ Χριστός, δὲν ἐθεώρησεν ὅτι ἦτο ἴσος πρὸς τὸν Θεὸν Πατέρα ὡσὰν κάτι πρὸς ἁρπαγμόν»· ἢ ἐκεῖνο τὸ ὁποῖον μετὰ ἀπὸ αὐτά, γράφων ἐπιστολὴν εἰς τοὺς Ἑβραίους ἐκήρυξες ὅτι «ὁ Υἱός, ὁ ὁποῖος εἶναι ἡ ἀκτινοβολία τῆς δόξης καὶ ἡ σφραγὶς τῆς οὐσίας τοῦ Θεοῦ Πατρός»[17]· τὸ ὁποῖον εἰς τὸ προοίμιον τοῦ εὐαγγελίου ἐκήρυξεν ὁ υἱὸς τῆς βροντῆς· «ἐν ἀρχῇ ὑπῆρχεν ὁ Λόγος καὶ ὁ Λόγος ἦτο πρὸς τὸν Θεὸν καὶ Θεὸς

καὶ Θεὸς ἦν ὁ Λόγος»· ὃ πρὸς Ἰουδαίους πολλάκις αὐτὸς ὁ Ἰησοῦς φθεγγόμενος ἔλεγεν, ὅτι τὰ αὐτὰ δύναται τῷ Πατρί, καὶ τὴν αὐτὴν ἐξουσίαν ἔχει· τούτων οὐδὲν λέγεις, ἀλλὰ ταῦτα πάντα ἀφείς, τῆς κατὰ σάρκα οἰκονομίας μέμνησαι, σταυρὸν εἰς μέσον φέρων καὶ νέκρωσιν; Ναί, φησίν. Εἰ μὲν γὰρ πρὸς ἀνθρώπους ὁ λόγος ἦν μηδὲν μέγα περὶ τοῦ Χριστοῦ φανταζομένους, καλῶς εἶχεν ἐκεῖνα λέγειν· ἐπειδὴ δὲ ὡς μέλλοντες τιμωρεῖσθαι, εἰ ἀποσταῖεν τοῦ νόμου, στασιάζουσι πρὸς ἡμᾶς, διὰ τοῦτο πράγματος μέμνηται, δι' οὗ πᾶσαν ἐκβάλλει τοῦ νόμου τὴν χρείαν, λέγω δὴ τὴν ἐκ τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως εὐεργεσίαν ἐγγινομένην ἅπασι. Τὸ μὲν γὰρ εἰπεῖν, ὅτι ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὅτι ἐν μορφῇ Θεοῦ ὑπῆρχε, καὶ τὸ ἴσον ἑαυτὸν ποιεῖν τῷ Θεῷ, καὶ ὅσα τοιαῦτα, δεικνύντος μὲν ἦν τὴν τοῦ Λόγου θεότητα, οὐδὲν δὲ τοσοῦτον εἰς τὸ παρὸν συμβαλλομένου· τὸ δὲ εἰπεῖν, «τοῦ ἐγείραντος αὐτὸν ἐκ νεκρῶν», ἀναμιμνήσκοντος ἦν τῆς ὑπὲρ ἡμῶν εὐεργεσίας τὸ κεφάλαιον, ὅπερ οὐ μικρὸν εἰς τὸ προκείμενον αὐτῷ συνετέλει. Καὶ γὰρ εἰώθασιν οἱ πολλοὶ τῶν ἀνθρώπων οὐχ οὕτω τοῖς τὴν τοῦ Θεοῦ μεγαλωσύνην παριστῶσι προσέχειν λόγοις, ὡς τοῖς τὴν εἰς ἀνθρώπους εὐεργεσίαν ἐνδεικνυμένοις. Διόπερ ἀφεὶς ἐκεῖνα εἰπεῖν, περὶ τῆς εἰς ἡμᾶς εὐεργεσίας γεγενημένης ποιεῖται τὸν Λόγον.

Ἀλλ' ἐπιπηδῶσιν οἱ αἱρετικοὶ λέγοντες, ἰδοὺ ὁ Πατὴρ ἐγείρει τὸν Υἱόν. Ἐπειδὴ γὰρ ἅπαξ νενοσήκασι, πρὸς μὲν τὰ ὑψηλὰ τῶν δογμάτων ἐθελοκωφοῦσι, τὰ δὲ ταπεινά, καὶ ἢ τῆς σαρκὸς ἕνεκεν εἰρημένα οὕτως, ἢ διὰ τὴν εἰς τὸν Πατέρα τιμήν, ἢ δι' ἄλλην τινὰ οἰκονομίαν, ταῦτα ἐκλέγουσι, καὶ καθ' ἑαυτὰ ἐξετάζοντες, ἐπηρεάζουσιν ἑαυτοῖς· οὐ γὰρ ἂν εἴποιμι τῇ Γραφῇ. Οὓς ἡδέως ἂν ἐροίμην, τίνος ἕνεκεν ταῦτα λέγουσιν; ἆρα ἀσθενῆ τὸν Υἱὸν ἐπιδεῖξαι βουλόμενοι, καὶ οὐκ ἰσχύοντα πρὸς ἑνὸς ἀνάστασιν σώματος; Καὶ μὴν ἡ εἰς αὐτὸν πίστις καὶ τὰς σκιὰς τῶν εἰς αὐτὸν

---

18. Ἑβρ. 1, 3.
19. Ἰωάν. 1, 1. 5, 19.

ἦτο ὁ Λόγος»[18]· αὐτό, ὁμιλῶν πρὸς τοὺς Ἰουδαίους, πολλὰς φορὰς ἔλεγεν ὁ ἴδιος ὁ Ἰησοῦς, ὅτι δύναται νὰ κάνῃ ὅσα καὶ ὁ Πατὴρ καὶ ὅτι ἔχει τὴν αὐτὴν ἐξουσίαν μὲ ἐκεῖνον[19]. Ἀπὸ ὅλα αὐτὰ λοιπὸν δὲν λέγεις τίποτε, ἀλλὰ ἀφοῦ τὰ ἄφησες, ἐνθυμεῖσαι μόνον τὴν κατὰ σάρκα οἰκονομίαν, παρουσιάζων τὸν σταυρὸν καὶ τὸν θάνατον; Ναί, λέγει. Διότι, ἐὰν μὲν ὁ λόγος ἀπηυθύνετο εἰς ἀνθρώπους οἱ ὁποῖοι τίποτε μεγάλο δὲν ἐφαντάζοντο διὰ τὸν Χριστόν, ὀρθῶς θὰ ὡμίλει δι' ἐκεῖνα· ἐπειδὴ ὅμως ἐπαναστατοῦν ἐναντίον μας ὡσὰν νὰ πρόκειται νὰ τιμωρηθῶμεν ἐὰν ἀποστατήσωμεν ἀπὸ τὸν νόμον, διὰ τοῦτο μνημονεύει πρᾶγμα διὰ τοῦ ὁποίου ἀπορρίπτει κάθε ἀναγκαιότητα τοῦ νόμου, δηλαδὴ τὴν εὐεργεσίαν τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως, ἡ ὁποία ἔγινε δι' ὅλους. Διότι τὸ νὰ εἴπῃ μὲν ὅτι ἐν ἀρχῇ ὑπῆρχεν ὁ Λόγος, καὶ ὅτι εἶχε θεϊκὴν ὕπαρξιν, καὶ ὅτι εἶναι ἴσος μὲ τὸν Πατέρα, καὶ ὅλα τὰ παρόμοια, θὰ ἀπεδείκνυε μὲν τὴν θεότητα τοῦ Λόγου, ἀλλὰ δὲν θὰ συνέβαλλε τόσον εἰς τὸ παρὸν θέμα· μὲ τὸ νὰ εἴπῃ ὅμως «ὁ ὁποῖος τὸν ἀνέστησεν ἐκ νεκρῶν», ὑπενθυμίζει τὸ ἀποκορύφωμα τῆς εἰς ἐμᾶς εὐεργεσίας, πρᾶγμα τὸ ὁποῖον συνετέλει εἰς τὴν ὑπόθεσιν ὄχι ὀλίγον. Διότι οἱ περισσότεροι τῶν ἀνθρώπων συνήθως δὲν προσέχουν τόσον εἰς τοὺς λόγους οἱ ὁποῖοι παριστοῦν τὴν μεγαλωσύνην τοῦ Θεοῦ, ὅσον εἰς ἐκείνους οἱ ὁποῖοι ἀποδεικνύουν τὴν εὐεργεσίαν τοῦ Θεοῦ εἰς τοὺς ἀνθρώπους. Διὰ τοῦτο, ἀφοῦ ἄφησεν ἐκεῖνα, ὁμιλεῖ διὰ τὴν εἰς ἐμᾶς εὐεργεσίαν.

Ἀλλὰ ἀναπηδοῦν οἱ αἱρετικοὶ λέγοντες, ἰδού, ὁ Πατὴρ ἀνιστᾷ τὸν Υἱόν. Διότι, ἐπειδὴ ἅπαξ ἠσθένησαν, πρὸς μὲν τὰ ὑψηλὰ ἀπὸ τὰ δόγματα κωφεύουν ἑκουσίως, ἐνῷ τὰ μικρὰ ἢ ἐξ αἰτίας τῆς σαρκὸς λεγόμενα ἔτσι, εἴτε διὰ ν' ἀποδώσουν τὴν εἰς τὸν Πατέρα τιμήν, εἴτε δι' ἄλλον λόγον, αὐτὰ ἐκλέγουν, καὶ ἀφοῦ τὰ ἐξετάζουν αὐτὰ καθ' ἑαυτά, βλάπτουν τοὺς ἑαυτούς των· διότι δὲν θὰ ἔλεγον διὰ τὴν Γραφήν. Τοὺς ὁποίους εὐχαρίστως θὰ ἠρώτων, διατί τὰ λέγουν αὐτά; Ἆρά γε διότι θέλουν νὰ ἐμφανίσουν τὸν Υἱὸν ὡς ἀσθενῆ, καὶ ὡς μὴ ἰσχυρὸν νὰ ἀναστήσῃ ἓν σῶμα; Ἀλλὰ καὶ μόνον ἡ πίστις εἰς αὐτόν, ἀκόμη καὶ τὰς σκιὰς ὅσων πιστεύουν

πιστευόντων ἀνιστᾶν ἐποίησε νεκρούς. Εἶτα οἱ μὲν εἰς αὐτὸν πιστεύοντες ἄνθρωποι, θνητοὶ μένοντες ἔτι, ἀπὸ σκιᾶς μόνης τῶν πηλίνων σωμάτων ἐκείνων, καὶ ἱματίων τοῖς σώμασι τούτοις περικειμένων, νεκροὺς ἤγειρον, αὐτὸς δὲ ἑαυτὸν ἀναστῆσαι οὐκ ἴσχυε; Καὶ πῶς οὐ φανερὰ αὕτη μανία, καὶ παρανοίας ἐπίτασις; Οὐκ ἤκουσας αὐτοῦ λέγοντος, ὅτι «Λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν»; καὶ πάλιν, «Ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν»;

4. Τίνος οὖν ἕνεκεν ὁ Πατὴρ αὐτὸν ἐγηγερκέναι λέγεται; Ὥσπερ καὶ τὰ ἄλλα ποιεῖν, ἅπερ αὐτὸς ποιεῖ. Καὶ γὰρ καὶ τῆς εἰς τὸν Πατέρα τιμῆς ἕνεκεν εἴρηται τοῦτο, καὶ τῆς τῶν ἀκροατῶν ἀσθενείας. «Καὶ οἱ σὺν ἐμοὶ πάντες ἀδελφοί». Τί δήποτε οὐδαμοῦ τοῦτο προσέθηκεν ἐπιστέλλων; Ἢ γὰρ τὸ αὐτοῦ ὄνομα τίθησι μόνον, ἢ δύο καὶ τριῶν ἑτέρων ὀνομαστί· ἐνταῦθα δὲ πλῆθος ὁλόκληρον τέθεικε· διόπερ οὐδὲ ὀνομαστί τινος ἐμνημόνευσε. Τίνος οὖν ἕνεκεν τοῦτο ποιεῖ; Διέβαλλον αὐτὸν ὡς μόνον ταῦτα κηρύττοντα, καὶ καινοτομίαν τινὰ τοῖς δόγμασιν ἐπεισάγοντα. Θέλων οὖν ἀνελεῖν αὐτῶν τὴν ὑποψίαν, καὶ δεῖξαι ὅτι πολλοὺς ἔχει τῆς γνώμης κοινωνούς, συνέταξε τοὺς ἀδελφούς, δηλῶν ὅτι ἅπερ γράφει, καὶ ἀπὸ τῆς ἐκείνων γράφει γνώμης. «Ταῖς ἐκκλησίαις τῆς Γαλατίας». Οὐ γὰρ μίαν πόλιν, οὐδὲ δύο καὶ τρεῖς, ἀλλ' ὁλόκληρον τῶν Γαλατῶν τὸ ἔθνος αὕτη τῆς πλάνης ἐπενέμετο ἡ πυρά.

Θέα δέ μοι καὶ ἐνταῦθα τὴν πολλὴν ἀγανάκτησιν. Οὐ γὰρ εἶπε, τοῖς ἀγαπητοῖς, οὐδέ, τοῖς ἡγιασμένοις, ἀλλά, «ταῖς ἐκκλησίαις τῆς Γαλατίας». Τοῦτο δὲ ἦν σφόδρα βαρυθυμοῦντος καὶ τὴν ὀδύνην ἐνδεικνυμένου, τὸ μὴ ἀπὸ τῆς ἀγάπης, μηδὲ ἀπὸ τῶν ὀνομάτων αὐτοὺς καλέσαι τῆς τιμῆς, ἀλλ' ἀπὸ τῆς συνόδου μόνης· καὶ μηδὲ προσθεῖναι ταῖς ἐκκλησίαις τοῦ Θεοῦ, ἀλλ' ἁπλῶς, «ταῖς ἐκκλησίαις τῆς Γαλατίας». Ἄλλως δέ, καὶ συνάψαι ἐκ προοιμίων τὸ στασιάζον

---

20. Ἰωάν. 2, 19.
21. Ἰωάν. 10, 18.

ἔκανε νὰ ἀνιστοῦν νεκρούς. Ἐπομένως, οἱ μὲν πιστεύοντες εἰς αὐτὸν ἄνθρωποι, θνητοὶ παραμένοντες, ἀπὸ μόνην τὴν σκιὰν τῶν πηλίνων ἐκείνων σωμάτων καὶ ἀπὸ τὰ ἱμάτια τὰ ὁποῖα περιέβαλλον τὰ σώματα ἐκείνων, ἀνίστων νεκρούς, καὶ αὐτὸς ὁ ἴδιος τὸν ἑαυτόν του δὲν θὰ ἠδύνατο νὰ τὸν ἀναστήσῃ; Καὶ πῶς δὲν εἶναι ὁλοφάνερος τρέλλα αὐτὴ καὶ μεγίστη παραφροσύνη; Δὲν ἤκουσες αὐτὸν νὰ λέγῃ «Κατεδαφίσατε τὸν ναὸν τοῦτον καὶ εἰς τρεῖς ἡμέρας θὰ τὸν ἀνοικοδομήσω»;[20] Καὶ πάλιν· «Ἔχω ἐξουσίαν νὰ θυσιάσω τὴν ζωήν μου, καὶ ἔχω πάλιν ἐξουσίαν νὰ τὴν λάβω;»[21]

4. Ἐξ αἰτίας τίνος λοιπὸν λέγει ὅτι ὁ Πατὴρ ἀνέστησεν αὐτόν; Ὅπως ἀκριβῶς κάνει καὶ τὰ ἄλλα, ὅσα κάνει αὐτός. Δηλαδὴ ἐλέχθη τοῦτο καὶ διὰ τὴν εἰς τὸν Πατέρα τιμήν, καὶ ἐξ αἰτίας τῆς ἀσθενείας τῶν ἀκροατῶν. «Καὶ ὅλοι οἱ ἀδελφοὶ οἱ ὁποῖοι εἶναι μαζί μου». Διατί ἆρά γε δὲν ἔγραψε τοῦτο εἰς οὐδεμίαν ἄλλην ἐπιστολήν; Διότι εἰς τὰς ἄλλας ἐπιστολὰς θέτει ἢ μόνον τὸ ἰδικόν του ὄνομα ἢ καὶ τῶν δύο, τριῶν ἄλλων ὀνομαστικῶς. Ἐδῶ ὅμως ἔθεσε πλῆθος ὁλόκληρον· διὰ τοῦτο κανένα δὲν ἐμνημόνευσεν ὀνομαστικῶς. Διὰ ποῖον λόγον τὸ κάνει αὐτό; Διότι διέβαλλον αὐτὸν ὅτι μόνον ἐκεῖνος κηρύττει αὐτά, καὶ ὅτι κάποιαν καινοτομίαν εἰσάγει εἰς τὰ δόγματα. Θέλων λοιπὸν νὰ ἀναιρέσῃ τὴν ὑποψίαν των καὶ νὰ δείξῃ ὅτι ἔχει πολλοὺς πιστοὺς οἱ ὁποῖοι ἔχουν τὴν αὐτὴν γνώμην, ἔταξε μαζί του καὶ τοὺς ἀδελφούς, διὰ νὰ δηλώσῃ ὅτι ὅσα γράφει, τὰ γράφει ὡς ἔκφρασιν καὶ τῆς ἰδικῆς των γνώμης. «Πρὸς τὰς ἐκκλησίας τῆς Γαλατίας». Διότι ὄχι μόνον μίαν πόλιν, οὔτε δύο καὶ τρεῖς, ἀλλ' ὁλόκληρον τὸ ἔθνος τῶν Γαλατῶν κατέτρωγεν ἡ πυρκαϊὰ αὐτῆς τῆς πλάνης.

Πρόσεχε δὲ καὶ ἐδῶ τὴν πολλὴν ἀγανάκτησιν. Διότι δὲν εἶπε «πρὸς τοὺς ἀγαπητούς», οὔτε «πρὸς τοὺς ἡγιασμένους», ἀλλὰ «πρὸς τὰς ἐκκλησίας τῆς Γαλατίας». Τοῦτο δέ, τὸ νὰ μὴ λάβῃ τὴν προσφώνησιν μὲ τὴν ὁποίαν ἀπευθύνεται εἰς αὐτούς, οὔτε ἀπὸ τὴν ἀγάπην, οὔτε ἀπὸ τὴν ἐκτίμησιν, ἀλλὰ μόνον ἀπὸ τὸ σύνολον αὐτῶν, ἦτο σημεῖον μεγάλης δυσαρεσκείας καὶ ὀδύνης. Καὶ οὔτε κἂν εἶπε «πρὸς τὰς ἐκκλησίας τοῦ Θεοῦ», ἀλλὰ μόνον «πρὸς τὰς ἐκκλησίας τῆς Γαλατίας». Ἄλλως τε δὲ σπεύδει καὶ ἀπὸ τὸ προοίμιον

ἐπείγεται· διὸ καὶ τὸ ὄνομα τῆς ἐκκλησίας τέθεικεν, ἐντρέπων αὐτοὺς καὶ συνάγων εἰς ἕν. Οἱ γὰρ εἰς πολλὰ διῃρημένοι μέρη, οὐκ ἂν δύναιντο ταύτῃ καλεῖσθαι τῇ προσηγορίᾳ· τὸ γὰρ τῆς ἐκκλησίας ὄνομα, συμφωνίας ὄνομα καὶ ὁμονοίας ἐστί.

«Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς καὶ Κυρίου Ἰησοῦ Χριστοῦ». Πανταχοῦ μὲν ἀναγκαίως τοῦτο τίθησι, μάλιστα δὲ Γαλάταις ἐπιστέλλων νῦν. Ἐπειδὴ γὰρ τῆς χάριτος ἐκινδύνευον ἐκπεσεῖν, ἐπεύχεται αὐτοῖς ταύτην ἀνακτήσασθαι πάλιν. Ἐπειδὴ πρὸς τὸν Θεὸν ἑαυτοὺς ἐξεπολέμωσαν, παρακαλεῖ τὸν Θεὸν πρὸς τὴν αὐτὴν αὐτοὺς ἐπαναγαγεῖν εἰρήνην. «Θεοῦ Πατρός». Κἀντεῦθεν πάλιν ῥᾳδίως ἁλίσκονται οἱ αἱρετικοί. Ἐπειδὴ γάρ φασι τὸν Ἰωάννην ἐν προοιμίῳ τῶν εὐαγγελίων λέγοντα, «Καὶ Θεὸς ἦν ὁ Λόγος», διὰ τοῦτο χωρὶς ἄρθρου τεθεικέναι τοῦτο, ὡς ἐλάττονα εἰσάγοντα τὴν θεότητα τοῦ Υἱοῦ· καὶ πάλιν τὸν Παῦλον ἐν μορφῇ Θεοῦ ὑπάρχειν τὸν Υἱὸν λέγοντα, οὐ περὶ τοῦ Πατρὸς εἰρηκέναι, διὰ τὸ χωρὶς ἄρθρου καὶ αὐτὸ κεῖσθαι· τί ἂν εἴποιεν ἐνταῦθα, τοῦ Παύλου λέγοντος, οὐκ, ἀπὸ τοῦ Θεοῦ, ἀλλ', «ἀπὸ Θεοῦ Πατρός»; Πατέρα δὲ ἐνταῦθα τὸν Θεὸν καλεῖ οὐ κολακεύων αὐτούς, ἀλλὰ καὶ σφόδρα καθαπτόμενος, καὶ ὑπομιμνήσκων τὴν αἰτίαν δι' ἧς ἐγένοντο υἱοί. Οὐ γὰρ διὰ νόμου, ἀλλὰ διὰ λουτροῦ παλιγγενεσίας ταύτης ἠξιώθησαν τῆς τιμῆς.

Διὰ τοῦτο πανταχοῦ καὶ ἐν προοιμίοις κατασπείρει τὰ ἴχνη τῆς εὐεργεσίας τοῦ Θεοῦ, μονονουχὶ λέγων· οἱ δοῦλοι καὶ οἱ ἐχθροὶ καὶ οἱ ἠλλοτριωμένοι, πόθεν ἐξαίφνης Πατέρα καλεῖτε τὸν Θεόν; μὴ ὁ νόμος ὑμῖν ταύτην ἐχαρίσατο τὴν συγγένειαν; τί τοίνυν καταλιπόντες τὸν εἰς ταύτην ὑμᾶς τὴν ἐγγύτητα ἀγαγόντα, προστρέχετε πάλιν τῷ παιδαγωγῷ; Οὐκ ἐπὶ τοῦ Πατρὸς δὲ μόνον, ἀλλὰ καὶ ἐπὶ τοῦ Υἱοῦ ἱκανὰ τὰ ὀνόματα αὐτοῖς ταῦτα τὴν εὐεργεσίαν ἐνδείξασθαι.

ἀκόμη νὰ ἀσχοληθῇ μὲ αὐτὸ τὸ ὁποῖον προκαλεῖ τὴν στάσιν· διὰ τοῦτο καὶ ἔθεσε τὸ ὄνομα τῆς ἐκκλησίας, διὰ νὰ προξενήσῃ ἐντροπὴν εἰς αὐτοὺς καὶ νὰ τοὺς συναθροίσῃ εἰς ἕν. Διότι αὐτοὶ οἱ ὁποῖοι εἶναι διῃρημένοι εἰς πολλὰ μέρη, δὲν θὰ ἦτο δυνατὸν νὰ ὀνομασθοῦν μὲ αὐτὴν τὴν προσηγορίαν, ἀφοῦ τὸ ὄνομα τῆς ἐκκλησίας εἶναι ὄνομα συμφωνίας καὶ ὁμονοίας.

«Χάρις ἂς εἶναι εἰς ἐσᾶς καὶ εἰρήνη ἀπὸ τὸν Θεὸν Πατέρα καὶ τὸν Κύριον Ἰησοῦν Χριστόν». Εἰς ὅλας βεβαίως τὰς ἐπιστολὰς θέτει αὐτὸ ἀπαραιτήτως, περισσότερον ὅμως τώρα, γράφων εἰς τοὺς Γαλάτας. Διότι, ἐπειδὴ ἐκινδύνευον νὰ ἐκπέσουν τῆς χάριτος, εὔχεται εἰς αὐτοὺς νὰ τὴν ἐπανακτήσουν. Καὶ ἐπειδὴ ἔθεσαν τοὺς ἑαυτούς των εἰς πόλεμον μὲ τὸν Θεόν, παρακαλεῖ τὸν Θεὸν νὰ τοὺς ἐπαναφέρῃ εἰς τὴν αὐτὴν εἰρήνην. «Θεοῦ Πατρός». Καὶ ἐδῶ πάλιν εὐκόλως κυριεύονται ἀπὸ τὴν πλάνην οἱ αἱρετικοί. Διότι ἐπειδὴ ἰσχυρίζονται ὅτι ὁ Ἰωάννης λέγων τὸ προοίμιον τοῦ εὐαγγελίου «Καὶ Θεὸς ἦτο ὁ Λόγος», ἔθεσε τοῦτο χωρὶς ἄρθρον, διότι θεωρεῖ ἐλάσσονα τὴν θεότητα τοῦ Υἱοῦ· καὶ ἐπίσης ὅτι ὁ Παῦλος λέγων διὰ τὸν Υἱὸν ὅτι ὑπάρχει ἐν μορφῇ Θεοῦ, δὲν εἶπε καὶ διὰ τὸν Πατέρα, ἐπειδὴ εἶναι καὶ αὐτὸ χωρὶς ἄρθρον. Τί θὰ εἶχον νὰ εἴπουν ἐδῶ, ὅπου ὁ Παῦλος λέγει ὄχι ἀπὸ τοῦ Θεοῦ, ἀλλὰ «ἀπὸ Θεοῦ Πατρός»; Πατέρα δὲ καλεῖ ἐδῶ τὸν Θεόν, ὄχι κολακεύων, ἀλλὰ καὶ ἐντόνως κατηγορῶν αὐτούς, καὶ ὑπενθυμίζων τὴν αἰτίαν διὰ τῆς ὁποίας ἔγιναν υἱοί. Διότι ὄχι διὰ τοῦ νόμου, ἀλλὰ διὰ λουτροῦ παλιγγενεσίας ἠξιώθησαν αὐτῆς τῆς τιμῆς.

Διὰ τοῦτο εἰς ὅλην τὴν ἐπιστολὴν καὶ εἰς τὸ προοίμιον σπείρει παντοῦ τὰ ἴχνη τῆς εὐεργεσίας τοῦ Θεοῦ, ὄχι μόνον λέγων· οἱ δοῦλοι καὶ οἱ ἐχθροὶ καὶ οἱ ἀπεξενωμένοι, ἀπὸ ποῦ αἴφνης ὀνομάζετε Πατέρα τὸν Θεόν; Μήπως ὁ νόμος ἐχάρισεν εἰς ἐσᾶς αὐτὴν τὴν συγγένειαν; Διατί λοιπόν, ἀφοῦ ἔχετε ἐγκαταλείψει αὐτὸν ὁ ὁποῖος σᾶς ὡδήγησεν εἰς αὐτὴν τὴν ἐγγύτητα, προστρέχετε πάλιν εἰς τὸν παιδαγωγὸν νόμον; Ὄχι μόνον δὲ τοῦ Πατρός, ἀλλὰ καὶ τοῦ Υἱοῦ τὸ ὄνομα εἶναι ἀρκετὸν νὰ φανερώσῃ αὐτὴν τὴν εὐεργεσίαν. Διότι

Τὸ γὰρ Κυρίου Ἰησοῦ Χριστοῦ ὄνομα μετὰ ἀκριβείας ἐξεταζόμενον τὴν εὐεργεσίαν πᾶσαν ἐνδείκνυται. Καὶ γὰρ Ἰησοῦς διὰ τοῦτο κληθήσεται, φησίν. «Ὅτι αὐτὸς σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν»· καὶ ἡ τοῦ Χριστοῦ δὲ προσηγορία τῆς τοῦ Πνεύματος ἀνέμνησε χρίσεως.

5. «Τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν». Ὁρᾷς ὅτι οὐ δουλικὴν ὑπέμεινε διακονίαν οὐδὲ ἠναγκασμένην, οὐδὲ ἐξεδόθη παρά τινος, ἀλλ' ἑαυτὸν ἔδωκεν; ὥστε ὅταν ἀκούσῃς Ἰωάννου λέγοντος, ὅτι τὸν Υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν ὑπὲρ ἡμῶν ὁ Πατήρ, μὴ ἐλαττώσῃς τὴν ἀξίαν τοῦ μονογενοῦς διὰ τοῦτο, μηδὲ ἀνθρώπινόν τι ὑποπτεύσῃς. Κἂν γὰρ ὁ Πατὴρ λέγηται δεδωκέναι, οὐχ ἵνα δουλικὴν διακονίαν ἐννοήσῃς, τοῦτο λέγεται, ἀλλ' ἵνα μάθῃς, ὅτι καὶ τῷ Πατρὶ τοῦτο δοκοῦν ἦν, ὅπερ οὖν καὶ ἐνταῦθα ὁ Παῦλος ἐδήλωσεν εἰπών· «Κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν»· οὐ κατ' ἐπιταγήν, ἀλλὰ κατὰ τὸ θέλημα. Ἐπειδὴ γὰρ ἓν θέλημα Πατρὸς καὶ Υἱοῦ, ἅπερ ὁ Υἱὸς ἐβούλετο, ταῦτα καὶ ὁ Πατὴρ ἤθελεν.

«Ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν». Μυρίοις, φησίν, ἑαυτοὺς περιεπείραμεν κακοῖς, καὶ τῆς ἐσχάτης ἦμεν ὑπεύθυνοι κολάσεως. Καὶ ὁ μὲν νόμος οὐ μόνον οὐκ ἀπήλλαξεν, ἀλλὰ καὶ κατεδίκασε, τὸ μὲν ἁμάρτημα φανερώτερον καθιστάς, ἐλευθερῶσαι δὲ οὐκ ἰσχύων, οὐδὲ παῦσαι τοῦ Θεοῦ τὴν ὀργήν· ὁ δὲ Υἱὸς τοῦ Θεοῦ καὶ τὸ ἀδύνατον τοῦτο δυνατὸν ἐποίησε, τάς τε ἁμαρτίας λύσας, καὶ τοὺς ἐχθροὺς ἐν τάξει φίλων καταστήσας, καὶ μυρία ἕτερα χαρισάμενος ἀγαθά. Εἶτά φησιν· «Ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ». Πάλιν ἕτεροι ταύτης τῆς λέξεως ἐπιλαμβάνονται αἱρετικοί, τὸν παρόντα βίον διαβάλλοντες, καὶ τὴν Παύλου μαρτυρίαν παράγοντες. Ἰδοὺ γάρ, φησί, τὸν ἐνεστῶτα αἰῶνα πονηρὸν εἴρηκε. Καὶ τί ποτέ ἐστιν αἰών, εἰπέ μοι; Χρόνος ἐν ἡμέραις καὶ ὥραις. Τί οὖν; τὸ διάστημα τῶν ἡμερῶν

---

22. Ματθ. 1, 21.
23. Γαλ. 1, 4.

τὸ ὄνομα τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, ἐξεταζόμενον μὲ ἀκρίβειαν, φανερώνει ὁλόκληρον τὴν εὐεργεσίαν. Διότι, διὰ τοῦτο, λέγει, θὰ ὀνομασθῇ Ἰησοῦς «διότι αὐτὸς θὰ σώσῃ τὸν λαόν του ἀπὸ τὰς ἁμαρτίας του»[22]· ἡ δὲ προσηγορία Χριστὸς ἀναμιμνήσκει τὴν χρῖσιν τοῦ ἁγίου Πνεύματος.

5. «Ὁ ὁποῖος ἔδωσε τὸν ἑαυτόν του διὰ τὰς ἁμαρτίας μας»[23]. Βλέπεις ὅτι δὲν ὑπέμεινε δουλικῶς, οὔτε ἀναγκαστικῶς τὴν διακονίαν, οὔτε παρεδόθη ἀπὸ κάποιον, ἀλλ' ἔδωσε τὸν ἑαυτόν του ἑκουσίως; Ὥστε, ὅταν ἀκούσῃς τὸν Ἰωάννην νὰ λέγῃ ὅτι ὁ Πατὴρ ἔδωσε τὸν μονογενῆ Υἱόν του ὑπὲρ ἡμῶν, νὰ μὴ θεωρήσῃς μικροτέραν τὴν ἀξίαν τοῦ Υἱοῦ διὰ τοῦτο, οὔτε νὰ ὑποπτευθῇς τίποτε ἀνθρώπινον. Διότι καὶ ἂν λέγεται ὅτι ὁ Πατὴρ ἔδωσε τὸν Υἱόν, λέγεται ὄχι διὰ νὰ θεωρήσῃς αὐτὸ ὡς δουλικὴν διακονίαν, ἀλλὰ διὰ νὰ γνωρίσῃς ὅτι αὐτὸ ἦτο ἀπόφασις καὶ τοῦ Πατρός, πρᾶγμα τὸ ὁποῖον καὶ ὁ Παῦλος ἐδήλωσεν ἐδῶ, λέγων· «συμφώνως πρὸς τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν»· ὄχι κατὰ προσταγήν, ἀλλὰ κατὰ τὸ θέλημα. Διότι, ἐπειδὴ ἕνα εἶναι τὸ θέλημα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ, αὐτὰ τὰ ὁποῖα ἤθελεν ὁ Υἱός, αὐτὰ ἤθελε καὶ ὁ Πατήρ.

«Διὰ τὰς ἁμαρτίας μας». Εἰς μύρια κακά, λέγει, διεσπείραμεν τοὺς ἑαυτούς μας, καὶ εἴμεθα ὑπεύθυνοι τῆς ἐσχάτης κολάσεως. Καὶ ὁ μὲν νόμος, ὄχι μόνον δὲν ἀπήλλαξεν, ἀλλὰ καὶ κατεδίκασε, διότι τὸ μὲν ἁμάρτημα κατέστησε φανερώτερον, ἐνῷ δὲν εἶχε δύναμιν νὰ μᾶς ἐλευθερώσῃ, οὔτε νὰ παύσῃ τὴν ὀργὴν τοῦ Θεοῦ· ἐνῷ ὁ Υἱὸς τοῦ Θεοῦ καὶ αὐτὸ τὸ ἀδύνατον κατέστησε δυνατόν, διότι καὶ τὰς ἁμαρτίας κατέλυσε, καὶ τοὺς ἐχθροὺς κατέστησε φίλους, καὶ μύρια ἄλλα ἀγαθὰ μᾶς ἐχάρισε. Ὕστερον λέγει· «Διὰ νὰ μᾶς ἐλευθερώσῃ ἀπὸ τὸν σημερινὸν πονηρὸν κόσμον». Ἄλλοι πάλιν αἱρετικοὶ στηρίζονται εἰς αὐτὴν τὴν λέξιν, διὰ νὰ κατηγοροῦν τὴν παροῦσαν ζωήν, διαστρέφοντες τὴν μαρτυρίαν τοῦ Παύλου. Διότι, ἰδού, λέγουν, τὸν παρόντα αἰῶνα ὠνόμασε πονηρόν. Ἀλλά, εἰπέ μου, τί εἶναι τάχα ὁ αἰών; χρόνος διῃρημένος εἰς ἡμέρας καὶ ὥρας. Τί λοιπόν; Τὸ διάστημα τῶν ἡμερῶν εἶναι πονηρὸν καὶ ἡ πορεία τοῦ

πονηρόν, καὶ ὁ τοῦ ἡλίου δρόμος; Ἀλλ' οὐδεὶς ἂν εἴποι τοῦτό ποτε, κἂν εἰς ἐσχάτην ἀλογίαν κατενεχθῇ. Ἀλλ' οὐ τὸν χρόνον εἶπε, φησίν, ἀλλὰ τὴν παροῦσαν ζωὴν πονηρὰν ἐκάλεσε. Καὶ μὴν τὰ ῥήματα οὐ τοῦτό φησιν ἀλλ' οὐχ ἵστασαι ἐπὶ τῶν ῥημάτων, ἀφ' ὧν τὴν κατηγορίαν ἔπλεξας, ἀλλὰ σαυτῷ τέμνεις ἑρμηνείας ὁδόν. Οὐκοῦν καὶ ἡμῖν συγχωρήσεις ἑρμηνεῦσαι τὰ εἰρημένα, καὶ τοσούτῳ μᾶλλον, ὅσῳ καὶ εὐσεβῆ τὰ ἡμέτερα, καὶ λόγον ἔχοντα.

Τί οὖν ἂν εἴποιμεν; Ὅτι οὐδὲν τῶν κακῶν γένοιτ' ἂν αἴτιόν ποτε τῶν καλῶν, τῶν δὲ μυρίων στεφάνων καὶ τοσούτων μισθῶν ὁ παρὼν βίος αἴτιός ἐστιν. Αὐτὸς γοῦν οὗτος ὁ μακάριος Παῦλος ἐπαινεῖ μεθ' ὑπερβολῆς αὐτὸν λέγων οὕτως· «Εἰ δὲ τὸ ζῆν ἐν σαρκί, τοῦτό μοι καρπὸς ἔργου, καὶ τί αἱρήσομαι, οὐ γνωρίζω». Καὶ αἵρεσιν δὲ ἑαυτῷ προθεὶς τοῦ ζῆν ἐνταῦθα, καὶ τοῦ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, προτιμᾷ τὴν ἐνταῦθα διαγωγήν. Εἰ δὲ πονηρὸς ἦν, οὔτ' ἂν ἐκεῖνος ταῦτα περὶ ἑαυτοῦ εἶπεν, οὔτ' ἂν ἄλλος τις εἰς ἀρετὴν αὐτῷ καταχρήσασθαι ἠδυνήθη, εἰ καὶ σφόδρα ἐσπούδαζε. Κακίᾳ γὰρ οὐκ ἄν ποτε εἰς ἀγαθόν τις χρήσαιτο, οὐ πορνείᾳ εἰς σωφροσύνην, οὐ φθόνῳ εἰς φιλοφροσύνην. Καὶ γὰρ ὅταν λέγῃ Παῦλος περὶ τοῦ φρονήματος τῆς σαρκός, ὅτι «Τῷ νόμῳ τοῦ Θεοῦ οὐχ ὑποτάσσεται· οὐδὲ γὰρ δύναται»· τοῦτο λέγει, ὅτι ἡ κακία μένουσα κακία οὐ δύναται εἶναι ἀρετή.

6. Ὥστε ὅταν ἀκούσῃς πονηρὸν αἰῶνα, τὰς πράξεις νόει τὰς πονηράς, τὴν προαίρεσιν τὴν διεφθαρμένην. Οὐδὲ γὰρ ἵνα ἀποκτείνῃ ἡμᾶς, καὶ ἐξαγάγῃ τῆς παρούσης ζωῆς, ἦλθεν ὁ Χριστός, ἀλλ' ἵνα ἀφεὶς ἐν τῷ κόσμῳ, παρασκευάσῃ τῆς ἐν τοῖς οὐρανοῖς διαγωγῆς γενέσθαι ἀξίους. Διὰ τοῦτο καὶ τῷ Πατρὶ διαλεγόμενος ἔλεγε· «Καὶ οὗτοι ἐν τῷ κόσμῳ εἰσί, καὶ ἐγὼ πρὸς σὲ ἔρχομαι. Οὐκ ἐρωτῶ, ἵνα ἄρῃς αὐτοὺς

---

24. Φιλιπ. 1, 22.
25. Ρωμ. 8, 7.
26. Ἰωάν. 17, 11.

ἡλίου; Ἀλλὰ κανεὶς δὲν θὰ τὸ ἔλεγε ποτὲ αὐτό, ἀκόμη καὶ ἐὰν καταντήσῃ εἰς τὸν ἔσχατον παραλογισμόν. Ὅμως, θὰ εἴπουν, ὄχι τὸν χρόνον, ἀλλὰ τὴν παροῦσαν ζωὴν ὠνόμασε πονηράν. Τὰ λεχθέντα ὅμως δὲν ἐννοοῦν αὐτό, ἀλλὰ σὺ δὲν στηρίζεσαι εἰς τὰ λεχθέντα ἀπὸ τὰ ὁποῖα ἤλλαξες τὴν κατηγορίαν, ἀλλὰ χαράσσεις ἰδικήν σου ὁδὸν ἑρμηνείας. Λοιπὸν θὰ ἐπιτρέψῃς καὶ εἰς ἐμᾶς νὰ δώσωμεν ἑρμηνείαν τῶν λεχθέντων, τόσον περισσότερον, ὅσον καὶ εὐσεβὴς καὶ ᾐτιολογημένη εἶναι ἡ ἰδική μας.

Τί λοιπὸν θὰ εἴχομεν νὰ εἴπωμεν; Ὅτι κανὲν κακὸν δὲν θὰ ἠδύνατο νὰ γίνῃ ποτὲ αἴτιον τῶν καλῶν, ἐνῷ ἡ παροῦσα ζωὴ εἶναι αἴτιος τόσων στεφάνων καὶ μισθῶν. Αὐτὸς ὁ ἴδιος λοιπὸν ὁ μακάριος Παῦλος ἐπαινεῖ ὑπερβολικῶς αὐτήν, λέγων ἔτσι· «Ἀλλ' ἐὰν τὸ νὰ εἰπῶ εἰς τὸ σῶμα μοῦ ἐπιτρέπει νὰ ἐργασθῶ μὲ καρποφορίαν, δὲν γνωρίζω τί νὰ προτιμήσω»[24]. Καὶ προτείνων εἰς τὸν ἑαυτόν του νὰ ἐκλέξῃ μεταξὺ τοῦ νὰ ζῇ ἐδῶ ἢ τοῦ νὰ φύγῃ καὶ νὰ εἶναι μαζὶ μὲ τὸν Χριστόν, προτιμᾷ τὸ νὰ ζῇ ἐδῶ. Ἐὰν δὲ ἦτο κακὴ ἡ παροῦσα ζωή, δὲν θὰ ἔλεγε καὶ ἐκεῖνος αὐτὰ διὰ τὸν ἑαυτόν του, οὔτε ἐὰν κάποιος ἄλλος θὰ εἶχε κατορθώσει νὰ κάνῃ αὐτὸν τέλειον εἰς τὴν ἀρετήν, ἂν καὶ ὁ ἴδιος ἠγωνίζετο πολύ. Διότι τὴν κακίαν δὲν θὰ ἠδύνατο ποτὲ νὰ χρησιμοποιήσῃ κανεὶς διὰ τὸ ἀγαθόν, οὔτε τὴν πορνείαν διὰ σωφροσύνην, οὔτε τὸν φθόνον διὰ τὴν ἀγάπην. Καὶ βεβαίως ὅταν λέγῃ ὁ Παῦλος διὰ τὸ φρόνημα τῆς σαρκός, ὅτι «δὲν ὑποτάσσεται εἰς τὸν νόμον τοῦ Θεοῦ, ἀλλ' οὔτε εἶναι δυνατὸν νὰ ὑποταχθῇ»[25], αὐτὸ λέγει, ὅτι ἡ κακία, παραμένουσα κακία, δὲν δύναται νὰ εἶναι ἀρετή.

6. Ὥστε ὅταν ἀκοῦς πονηρὸν αἰῶνα, νὰ ἐννοήσῃς τὰς πονηρὰς πράξεις καὶ τὴν διεφθαρμένην προαίρεσιν. Διότι ὁ Χριστὸς δὲν ἦλθε διὰ νὰ μᾶς θανατώσῃ καὶ νὰ μᾶς πάρῃ ἀπὸ τὴν παροῦσαν ζωήν, ἀλλὰ ἀφοῦ μᾶς ἀφήσῃ εἰς τὸν κόσμον, νὰ μᾶς προετοιμάσῃ διὰ νὰ γίνωμεν ἄξιοι τῆς οὐρανίου ζωῆς. Διὰ τοῦτο καὶ συνομιλῶν μὲ τὸν Πατέρα ἔλεγε· «Δὲν θὰ εἶμαι πλέον εἰς τὸν κόσμον, ἐνῷ αὐτοὶ θὰ εἶναι εἰς τὸν κόσμον, καὶ ἐγὼ ἔρχομαι εἰς ἐσένα»[26]· «Δὲν σὲ παρακα-

ἐκ τοῦ κόσμου, ἀλλ' ἵνα τηρήσῃς αὐτοὺς ἐκ τοῦ πονηροῦ», τουτέστιν, ἀπὸ τῆς κακίας. Εἰ δὲ οὐκ ἀνέχῃ τούτων, ἀλλ' ἔτι πονηρὰν τὴν παροῦσαν ζωὴν εἶναι φῄς, μὴ ἐγκάλει τοῖς ἑαυτοὺς ἀναιροῦσιν. Ὥσπερ γὰρ ὁ τῆς κακίας ἑαυτὸν ὑπεξάγων, οὐκ ἐγκλημάτων, ἀλλὰ καὶ στεφάνων ἄξιος· οὕτω καὶ ὁ βιαίῳ θανάτῳ, καὶ δι' ἀγχόνης ἢ δι' ἄλλων τινῶν καταλύων τὸ ζῆν, οὐκ ἂν εἴη δίκαιος ἐγκαλεῖσθαι καθ' ὑμᾶς.

Νῦν δὲ καὶ ὁ Θεὸς τοὺς τοιούτους κολάζει τῶν ἀνδροφόνων μᾶλλον, καὶ πάντες βδελυττόμεθα, εἰκότως. Εἰ γὰρ ἑτέρους ἀνελεῖν οὐ καλόν, πολλῷ μᾶλλον ἑαυτόν. Εἰ δὲ πονηρὸν ἡ παροῦσα ζωή, τοὺς ἀνδροφόνους στεφανοῦν ἔδει, ὅτι τῆς πονηρίας ἡμᾶς ἀπαλλάττουσι. Χωρὶς δὲ τούτων, καὶ ἐξ ὧν αὐτοὶ λέγουσιν, ἑαυτοῖς περιπίπτουσι. Τὸν γὰρ ἥλιον Θεὸν εἶναι φάσκοντες, καὶ μετ' ἐκεῖνον τὴν σελήνην, καὶ προσκυνοῦντες ὡς τῶν πολλῶν ἀγαθῶν αἰτίους, ἑαυτοῖς μαχόμενα λέγουσιν. Ἡ γὰρ τούτων χρεία καὶ τῶν λοιπῶν ἄστρων πρὸς ἕτερον μὲν οὐδέν, εἰς δὲ τὴν παροῦσαν ἡμῖν συντελεῖ ζωήν, τήν, ὡς αὐτοί φασι, πονηράν, σώματα τρέφουσά τε, καὶ καταυγάζουσα, καὶ καρποὺς εἰς ἀκμὴν ἄγουσα. Πῶς οὖν πρὸς τὴν σύστασιν τοῦ πονηροῦ βίου τοσαύτην εἰσάγουσι λειτουργίαν οὗτοι οἱ καθ' ὑμᾶς θεοί; Ἀλλ' οὔτε τὰ ἄστρα θεοί, μὴ γένοιτο, ἀλλ' ἔργα Θεοῦ πρὸς τὴν ἡμετέραν πεποιημένα χρείαν, οὔτε ὁ κόσμος πονηρός. Εἰ δὲ λέγεις μοι τοὺς ἀνδροφόνους καὶ τοὺς μοιχοὺς καὶ τοὺς τυμβωρύχους, οὐδὲν ταῦτα πρὸς τὸν παρόντα βίον· οὐδὲ γὰρ τῆς ἐν σαρκὶ ζωῆς ταῦτα ἁμαρτήματα, ἀλλὰ τῆς διεφθαρμένης προαιρέσεως. Εἰ γὰρ τῆς παρούσης ζωῆς ἦν ταῦτα, ὡς πάντως αὐτῇ συγκεκληρωμένα, οὐδεὶς ἂν ἐλεύθερος ἦν οὐδὲ καθαρός.

Ὅρα γοῦν τῆς ἐν σαρκὶ ζωῆς τὰ ἰδιώματα οὐδένα δυνάμενον διαφυγεῖν. Τίνα δὲ ταῦτά ἐστι; Τὸ ἐσθίειν, τὸ πί-

27. Ἰωάν. 17, 15.

λῶ νὰ τοὺς πάρῃς ἀπὸ τὸν κόσμον, ἀλλὰ νὰ τοὺς φυλάξῃς ἀπὸ τὸν πονηρόν»[27], δηλαδὴ ἀπὸ τὴν κακίαν. Ἐὰν ὅμως δὲν παραδέχεσαι αὐτά, ἀλλὰ λέγεις ἀκόμη κακὴν τὴν παροῦσαν ζωήν, μὴ κατηγορῇς ὅσους αὐτοκτονοῦν. Διότι ὅπως ἀκριβῶς ἐκεῖνος ὁ ὁποῖος διασώζει τὸν ἑαυτόν του ἀπὸ τὴν κακίαν, ὄχι κατηγορίας, ἀλλὰ καὶ στεφάνων εἶναι ἄξιος, ἔτσι καὶ ἐκεῖνος ὁ ὁποῖος μὲ βίαιον θάνατον καὶ μὲ ἀγχόνην ἢ μὲ ἄλλα μέσα αὐτοκτονεῖ, δὲν θὰ ἦτο δίκαιον δι' ἐσᾶς νὰ κατηγορῆται.

Τώρα ὅμως αὐτοὺς καὶ ὁ Θεὸς τοὺς κολάζει περισσότερον ἀπὸ τοὺς φονεῖς, καὶ ἐμεῖς οἱ ἄνθρωποι τοὺς βδελυσσόμεθα ὅλοι, καὶ ὀρθῶς. Διότι ἐὰν τὸ νὰ φονεύσῃς ἄλλους δὲν εἶναι καλόν, πολὺ περισσότερον τὸ νὰ φονεύσῃς τὸν ἑαυτόν σου. Ἐὰν ὅμως εἶναι κακὴ ἡ παροῦσα ζωή, θὰ ἔπρεπε καὶ νὰ βραβεύουν τοὺς φονεῖς, διότι μᾶς ἀπαλλάσσουν ἀπὸ τὴν κακίαν, ἐκτὸς αὐτῶν δέ, καὶ ἀπὸ ὅσα λέγουν αὐτοί, ἀντιφάσκουν πρὸς τοὺς ἑαυτούς των. Διότι, ἐνῷ λέγουν ὅτι ὁ ἥλιος εἶναι θεός, καὶ μετὰ ἀπὸ ἐκεῖνον ἡ σελήνη, καὶ ἐνῷ προσκυνοῦν αὐτὰ ὡς αἴτια πολλῶν ἀγαθῶν, λέγουν πράγματα τὰ ὁποῖα συγκρούονται μεταξύ των. Διότι ἡ ἀνάγκη αὐτῶν καὶ τῶν ἄλλων ἄστρων, τὰ ὁποῖα καὶ τὰ σώματα τρέφουν καὶ καταφωτίζουν τὸν κόσμον, καὶ τοὺς καρποὺς ὡριμάζουν, εἰς τίποτε ἄλλο δὲν συντελεῖ, παρὰ εἰς τὴν παροῦσαν ζωήν μας, τὴν ὁποίαν αὐτοὶ λέγουν κακήν. Πῶς λοιπὸν αὐτοί, οἱ ὁποῖοι εἶναι δι' ἐσᾶς θεοί, προσφέρουν τόσην ἐργασίαν διὰ τὴν ὕπαρξιν αὐτῆς τῆς κακῆς ζωῆς; Οὔτε τὰ ἄστρα ὅμως εἶναι θεοί, μὴ γένοιτο, ἀλλὰ ἔργα Θεοῦ, τὰ ὁποῖα ἔγιναν διὰ τὴν ἰδικήν μας ἀνάγκην, οὔτε ὁ κόσμος πονηρός. Ἐὰν δὲ ἐννοῇς τοὺς φονεῖς καὶ τοὺς μοιχοὺς καὶ τοὺς κακούργους, καθόλου δὲν ὀφείλονται αὐτὰ εἰς τὴν παροῦσαν ζωήν· διότι αὐτὰ τὰ ἁμαρτήματα δὲν ὀφείλονται καθόλου εἰς τὸ ὅτι ζῶμεν εἰς σῶμα, ἀλλὰ εἰς τὴν διεφθαρμένην προαίρεσιν. Διότι ἐὰν αὐτὰ ἀνῆκον εἰς τὴν παροῦσαν ζωήν, ὡς συνυφασμένα μὲ αὐτήν, οὐδεὶς θὰ ἦτο ἐλεύθερος, οὔτε καθαρός.

Διότι, πρόσεξε πῶς κανεὶς δὲν εἶναι δυνατὸν νὰ διαφύγῃ τὰ φυσικὰ ἰδιώματα τῆς ἐν σώματι ζωῆς. Ποῖα δὲ εἶναι

νειν, τὸ καθεύδειν, τὸ αὔξεσθαι, τὸ πεινῆν, τὸ διψῆν, τὸ γεννᾶσθαι, τὸ τελευτᾶν καὶ τὰ τούτοις ἐοικότα ἅπαντα. Καὶ τούτων οὐδεὶς ἂν περιγένοιτο, οὐχ ἁμαρτωλός, οὐ δίκαιος, οὐ βασιλεύς, οὐκ ἰδιώτης, ἀλλὰ πάντες ὑποκείμεθα τῇ τῆς φύσεως ἀνάγκῃ. Οὕτω καὶ τὸ φαῦλα πράττειν, εἰ τῇ φύσει τῆς ζωῆς ἦν συγκεκληρωμένον, οὐδεὶς ἂν αὐτὰ διέφυγεν, ὥσπερ οὐδὲ ἐκεῖνα. Μὴ γάρ μοι τοῦτο εἴπῃς, ὅτι σπάνιοι οἱ κατορθοῦντες· τῶν γὰρ φυσικῶν ἀναγκῶν οὐδένα εὑρήσεις περιγεγενημένον ποτέ. Ὥστε ἕως ἂν εὑρίσκηται καὶ εἷς κατωρθωκὼς ἀρετήν, οὐδὲν ὁ λόγος παραβλαβήσεται.

Τί φῄς, ἄθλιε καὶ ταλαίπωρε; πονηρὰ ἡ παροῦσα ζωή, ἐν ᾗ τὸν Θεὸν ἐπέγνωμεν, ἐν ᾗ περὶ τῶν μελλόντων φιλοσοφῶμεν, ἐν ᾗ γεγόναμεν ἐξ ἀνθρώπων ἄγγελοι, καὶ ταῖς ἄνω συγχορεύομεν δυνάμεσι; Καὶ ποίαν ἑτέραν ζητήσομεν τῆς πονηρᾶς ὑμῶν γνώμης καὶ διεστραμμένης ἀπόδειξιν; Τίνος οὖν ἕνεκεν ὁ Παῦλος, φησίν, εἶπεν αἰῶνα πονηρὸν τὸν ἐνεστῶτα; Τῇ κοινῇ κεχρημένος συνηθείᾳ. Καὶ γὰρ καὶ ἡμεῖς εἰώθαμεν λέγειν, κακὴν ἔσχον ἡμέραν, οὐ τὸν καιρόν, ἀλλὰ τὴν πρᾶξιν ἢ τὴν περίστασιν διαβάλλοντες. Οὕτω καὶ Παῦλος τὰς πονηρὰς διαβάλλων προαιρέσεις, τῇ συνηθείᾳ κέχρηται· καὶ δείκνυσιν, ὅτι καὶ τῶν προτέρων ἡμᾶς ἀπήλλαξεν ὁ Χριστὸς ἁμαρτημάτων, καὶ πρὸς τὸ μέλλον ἠσφαλίσατο. Τῶν μὲν γὰρ εἰπεῖν, «τοῦ δόντος ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν», ἐκεῖνο ἐδήλωσε· τῷ δὲ προσθεῖναι, «ὅπως ἐξέληται ἡμᾶς ἐκ τοῦ ἐνεστῶτος αἰῶνος πονηροῦ», τὴν πρὸς τὸ μέλλον ἀσφάλειαν ἐνέφηνεν. Ὁ μὲν γὰρ νόμος καὶ πρὸς τὸ ἓν ἠσθένει, ἡ δὲ χάρις πρὸς ἀμφότερα δυνατὴ γέγονε.

«Κατὰ τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν». Ἐπειδὴ γὰρ ἐνόμιζον ἐκεῖνοι τοῦ Θεοῦ παρακούειν, ὡς δεδωκότος τὸν νόμον, καὶ ἐδεδοίκεσαν, εἰ τὴν παλαιὰν ἀφέντες προσέλθοιεν τῇ καινῇ· καὶ ταύτην αὐτῶν διορθοῦται τὴν ὑπόνοιαν

αὐτά; Τὸ νὰ τρώγῃ κανείς, νὰ πίνῃ, νὰ κοιμᾶται, νὰ αὐξάνῃ, νὰ πεινᾷ, νὰ διψᾷ, νὰ γεννᾶται, νὰ ἀποθνήσκῃ, καὶ ὅλα τὰ ὅμοια μὲ αὐτά. Καὶ αὐτὰ κανεὶς δὲν θὰ ἠδύνατο νὰ τὰ ὑπερβῇ, οὔτε ἁμαρτωλός, οὔτε δίκαιος, οὔτε βασιλεύς, οὔτε στρατιώτης, ἀλλὰ ὅλοι ὑποκείμεθα εἰς τὴν ἀνάγκην τῆς φύσεως. Ἔτσι καὶ τὸ νὰ πράττῃ κανεὶς κακά, ἐὰν ἦτο ἐκ φύσεως ἰδίωμα τῆς ζωῆς, οὐδεὶς θὰ διέφευγεν αὐτά, ὅπως ἀκριβῶς οὔτε ἐκεῖνα. Ἀλλὰ μὴ μοῦ εἴπῃς ὅτι σπάνιοι εἶναι ὅσοι κατορθώνουν τὴν ἀρετήν· διότι δὲν θὰ εὕρῃς κανένα ὁ ὁποῖος νὰ ἔχῃ νικήσει τὰς φυσικὰς ἀνάγκας. Ὥστε λοιπόν, ἕως ὅτου θὰ εὑρίσκεται ἔστω καὶ ἕνας ὁ ὁποῖος θὰ ἔχῃ κατορθώσει τὴν ἀρετήν, εἰς τίποτε δὲν θὰ βλαβῇ αὐτὸς ὁ λόγος.

Τί λέγεις ἄθλιε καὶ ταλαίπωρε; Εἶναι κακὴ ἡ παροῦσα ζωή, εἰς τὴν ὁποίαν ἐγίναμεν ἀπὸ ἄνθρωποι ἄγγελοι, καὶ ἀποτελοῦμεν μίαν χορείαν μὲ τὰς ἄνω δυνάμεις; Καὶ ποίαν ἄλλην ἀπόδειξιν νὰ ζητήσωμεν διὰ τὴν πονηρίαν καὶ διεστραμμένην σας προαίρεσιν; Διατί, λοιπόν, ὁ Παῦλος, λέγουν, εἶπε πονηρὸν τὸν παρόντα αἰῶνα; Χρησιμοποιῶν τὴν κοινὴν συνήθειαν. Διότι καὶ ἐμεῖς συνηθίζομεν νὰ λέγωμεν· «κακὴν ἡμέραν εἶχον», κατηγοροῦντες ὄχι τὸ χρονικὸν διάστημα τῆς ἡμέρας, ἀλλὰ τὰ διαπραχθέντα ἢ τὴν περίστασιν. Ἔτσι καὶ ὁ Παῦλος κατηγορῶν τὴν πονηρὰν προαίρεσιν, χρησιμοποιεῖ τὴν συνήθειαν· καὶ δεικνύει ὅτι ὁ Χριστὸς καὶ ἀπὸ τὰ προηγούμενα ἁμαρτήματα μᾶς ἀπήλλαξεν, καὶ διὰ τὸ μέλλον μᾶς ἠσφάλισε. Διότι μὲ τὸ νὰ εἴπῃ μὲν «ὁ ὁποῖος ἔδωκε τὸν ἑαυτόν του διὰ τὰς ἁμαρτίας μας», ἐκεῖνο ἐδήλωσε· μὲ τὸ νὰ προσθέσῃ δὲ «διὰ νὰ μᾶς λυτρώσῃ ἀπὸ τὸν σημερινὸν πονηρὸν κόσμον», παρέστησε τὴν πρὸς τὸ μέλλον ἀσφάλειαν. Διότι ὁ μὲν νόμος καὶ διὰ τὸ ἓν ἀπὸ τὰ δύο ἦτο ἀδύνατος, ἡ δὲ χάρις εἶναι δυνατὴ καὶ διὰ τὰ δύο.

«Συμφώνως πρὸς τὸ θέλημα τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν». Διότι, ἐπειδὴ ἐκεῖνοι ἐνόμιζον ὅτι παρακούουν τὸν Θεόν, ὁ ὁποῖος ἔδωσε τὸν νόμον, καὶ ἐφοβοῦντο, ἀφοῦ ἀφήσουν τὴν Παλαιὰν καὶ προσέλθουν εἰς τὴν Καινὴν Διαθήκην, ἐξαλείφει καὶ αὐτὴν τὴν ὑπόνοιάν των, λέγων ὅτι καὶ

λέγων, ὅτι καὶ τῷ Πατρὶ ταῦτα δοκεῖ. Καὶ οὐχ ἁπλῶς εἶπε, Πατρός, ἀλλά, «Πατρὸς ἡμῶν», καὶ συνεχῶς αὐτὸ τίθησιν, ἐντρέπων αὐτοὺς τῷ δεικνύναι, ὅτι Πατέρα ἡμῶν τὸν αὐτοῦ Πατέρα πεποίηκεν ὁ Χριστός.

7. «Ὧ ἡ δόξα εἰς τοὺς αἰῶνας». Καὶ τοῦτο καινὸν καὶ παρηλλαγμένον. Τὸ γάρ, «Ἀμήν», οὐδαμοῦ ἐν ἀρχῇ καὶ προοιμίοις ἐπιστολῆς εὑρίσκομεν κείμενον, ἀλλὰ μετὰ πολλά. Ἐνταῦθα δὲ δεικνὺς ὅτι καὶ τὰ εἰρημένα ἱκανὴν εἶχε κατηγορίαν Γαλατῶν, καὶ ὅτι ὁ λόγος ἀπηρτισμένος ἐστί, τὸ προοίμιον τοῦτο τέθεικε. Τὰ γὰρ φανερὰ τῶν ἐγκλημάτων οὐ πολλῆς δεῖται κατασκευῆς. Ἀναμνήσας γὰρ τοῦ σταυροῦ καὶ τῆς ἀναστάσεως, τῆς τῶν ἁμαρτημάτων λυτρώσεως, τῆς πρὸς τὸ μέλλον ἀσφαλείας, τῆς τοῦ Πατρὸς γνώμης, τῆς τοῦ Υἱοῦ βουλῆς, τῆς χάριτος, τῆς εἰρήνης, πάσης αὐτοῦ τῆς δωρεᾶς, εἰς δοξολογίαν τὸν λόγον κατέκλεισεν.

Οὐ διὰ τοῦτο δὲ μόνον τοῦτο πεποίηκεν, ἀλλὰ καὶ διὰ τὸ μεθ' ὑπερβολῆς ἐκπλήττεσθαι τῆς δωρεᾶς τὸ μέγεθος, τῆς χάριτος τὴν ὑπερβολήν, καὶ ἐννοεῖν τίνας ὄντας τί εἰργάσατο ὁ Θεὸς ἀθρόον καὶ ἐν ἀκαριαίᾳ καιροῦ ῥοπῇ· ἅπερ τῷ λόγῳ παραστῆσαι μὴ δυνάμενος, εἰς δοξολογίαν κατέλυσεν, οὐ τὴν ἀξίαν, ἀλλὰ τὴν αὐτῷ δυνατὴν εὐφημίαν ὑπὲρ τῆς οἰκουμένης ἀναπέμπων ἁπάσης. Διὰ τοῦτο καὶ σφοδρότερον τῷ μετὰ ταῦτα κέχρηται λόγῳ, καθάπερ πυρωθεὶς σφοδρῶς ὑπὸ τῆς ἐννοίας τῶν εὐεργεσιῶν τοῦ Θεοῦ. Εἰπὼν γάρ, «ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας, Ἀμήν», ἀπὸ σφοδροτέρας ἄρχεται ἐπιπλήξεως, οὕτω λέγων· «Θαυμάζω, ὅτι οὕτω ταχέως μετατίθεσθε ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ, εἰς ἕτερον εὐαγγέλιον». Ἐπειδὴ γὰρ διὰ τῆς τοῦ νόμου φυλακῆς ὑπώπτευον ἀρέσκειν τῷ Πατρί, καθάπερ καὶ Ἰουδαῖοι τὸν Χριστὸν διώκοντες, τοῦτο πρῶτον ἐνδείκνυται, ὅτι οὐ τὸν Χριστὸν μόνον, ἀλλὰ καὶ τὸν Πατέρα

28. Γαλ. 1, 5.
29. Γαλ. 1, 6.

τὸ θέλημα τοῦ Πατρὸς αὐτὸ εἶναι. Καὶ δὲν εἶπεν ἁπλῶς τοῦ Πατρός, ἀλλὰ «τοῦ Πατρὸς ἡμῶν», καὶ συνεχῶς θέτει αὐτό, διὰ νὰ ἐντροπιάζῃ αὐτοὺς μὲ τὸ νὰ δεικνύῃ ὅτι ὁ Χριστὸς ἔκανε Πατέρα μας τὸν Πατέρα του.

7. «Εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν»[28]. Καὶ τοῦτο εἶναι καινοφανὲς καὶ διαφορετικὸν ἀπὸ τὰ μέχρι τώρα. Διότι τὸ «Ἀμὴν» εἰς οὐδεμιᾶς ἐπιστολῆς τὴν ἀρχὴν καὶ τὸ προοίμιον δὲν εὑρίσκομεν νὰ ἔχῃ τεθῇ, ἀλλ' ἀφοῦ προηγουμένως ἔχουν λεχθῇ πολλά. Ἐδῶ ὅμως, δεικνύων καὶ ὅτι τὰ λεχθέντα περιεῖχον ἀρκετὴν κατηγορίαν κατὰ τῶν Γαλατῶν, καὶ ὅτι ὁ λόγος εἶναι ὁλοκληρωμένος, ἔθεσεν αὐτὸ τὸ προοίμιον. Διότι τὰ φανερὰ ἐγκλήματα δὲν ἔχουν ἀνάγκην ἀπὸ πολλὰ διὰ νὰ φανοῦν. Ἀφοῦ λοιπὸν ἐθύμισε τὸν σταυρὸν καὶ τὴν ἀνάστασιν, τὴν λύτρωσιν ἀπὸ τὰς ἁμαρτίας, τὴν ἀσφάλειαν διὰ τὰ μέλλοντα, τὴν ἀπόφασιν τοῦ Πατρός, τὸ θέλημα τοῦ Υἱοῦ, τὴν χάριν, τὴν εἰρήνην, ὁλόκληρον τὴν δωρεὰν τοῦ Θεοῦ, κατέκλεισε τὸν λόγον μὲ δοξολογίαν.

Τοῦτο δὲ ἔκανεν ὄχι μόνον δι' αὐτό, ἀλλὰ καὶ διὰ νὰ θαυμάζουν μὲ ὑπερβολὴν τὸ μέγεθος τῆς δωρεᾶς, τὴν ὑπερβολὴν τῆς χάριτος, καὶ νὰ κατανοήσουν ποῖοι ἦσαν καὶ εἰς ποίους τοὺς ἀνέδειξεν ὁ Θεὸς διὰ μιᾶς καὶ μὲ ἀκαριαίαν μεταβολήν· ἐπειδὴ δὲν ἠδύνατο νὰ παραστήσῃ αὐτὰ μὲ τὸν λόγον, κατέληξεν εἰς δοξολογίαν, ἀναπέμπων, ὄχι ὅσην ἀξίζει, ἀλλ' ὅσην ἠδύνατο δοξολογίαν ὑπὲρ ὁλοκλήρου τῆς οἰκουμένης. Διὰ τοῦτο καὶ ὁμιλεῖ ἐντονώτερον μετὰ ἀπὸ αὐτά, ὡσὰν νὰ ἔχῃ φλογισθῇ πολὺ ἀπὸ τὴν ἐνθύμησιν τῶν εὐεργεσιῶν τοῦ Θεοῦ. Διότι ἀφοῦ εἶπεν, «Εἰς τὸν ὁποῖον ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν», ἀρχίζει σφοδροτέραν ἐπίπληξιν, λέγων ἔτσι· «ἐκπλήττομαι διότι τόσον συντόμως μετατίθεσθε ἀπὸ ἐκεῖνον ὁ ὁποῖος σᾶς ἐκάλεσε διὰ τῆς χάριτος τοῦ Χριστοῦ, πρὸς ἄλλο Εὐαγγέλιον»[29]. Διότι, ἐπειδὴ διὰ τῆς τηρήσεως τοῦ νόμου ἐνόμιζον ὅτι θὰ φανοῦν ἀρεστοὶ εἰς τὸν Πατέρα, ὅπως ἀκριβῶς καὶ οἱ Ἰουδαῖοι ὅταν ἐδίωκον τὸν Χριστόν, πρῶτον αὐτὸ δεικνύει ὅτι, ὄχι μόνον τὸν Χριστόν, ἀλλὰ καὶ τὸν Πατέρα παροργίζουν πράτ-

παροξύνουσι τοῦτο πράττοντες. Οὐ γὰρ ἀπὸ τοῦ Χριστοῦ, φησίν, ἀλλὰ καὶ ἀπὸ τοῦ Πατρὸς μεθίστασθε τοῦτο ποιοῦντες. Ὥσπερ γὰρ ἡ παλαιὰ οὐ τοῦ Πατρὸς μόνον, ἀλλὰ καὶ τοῦ Υἱοῦ, οὕτω καὶ ἡ χάρις οὐ τοῦ Υἱοῦ μόνον, ἀλλὰ καὶ τοῦ Πατρός, καὶ πάντα κοινά.

Πάντα γὰρ τὰ τοῦ Πατρός μου, ἐμά ἐστιν». Εἰπὼν τοίνυν, ὅτι καὶ τοῦ Πατρὸς ἀφίστανται, δύο ἐγκλήματα τίθησι, καὶ τὴν μετάθεσιν, καὶ τὴν ταχίστην μετάθεσιν. Καὶ μὴν τὸ ἐναντίον κατηγορίας ἄξιον, τὸ μετὰ πολὺν ἀποστῆναι χρόνον· ἀλλ' ἐνταῦθα περὶ ἀπάτης ὁ λόγος. Ἄξιος μὲν γὰρ ἐγκλημάτων καὶ ὁ μετὰ πολὺν χρόνον· ὁ δὲ ἐκ πρώτης προσβολῆς καὶ ἐν αὐτοῖς τοῖς ἀκροβολισμοῖς καταπεσών, ἐσχάτης ἀσθενείας ἐξήνεγκεν ὑπόδειγμα. Ὃ καὶ τούτοις ἐγκαλεῖ, λέγων· τί τοῦτο, ὅτι οὐδὲ χρόνου δέονται οἱ ἀπατῶντες ὑμᾶς, ἀλλ' ἐκ πρώτης προσαγωγῆς ἀρκεῖ πάντας ὑμᾶς καταστρέψασθαι καὶ ἑλεῖν; καὶ ποίαν ἂν σχοίητε συγγνώμην; Εἰ γὰρ ἐπὶ φίλων τοῦτο γινόμενον, ἔγκλημα, καὶ ὁ τοὺς προτέρους καὶ χρησίμους τῶν ἐπιτηδείων ἀφεὶς καταγνώσεως ἄξιος, ὁ Θεοῦ καλοῦντος ἀποπηδῶν, ἐννόησον ὅσης ἂν εἴη τιμωρίας ὑπεύθυνος.

Ὅταν δὲ εἴπῃ, «θαυμάζω», οὐ μόνον ἐντρέπων αὐτοὺς λέγει, ὅτι μετὰ τοσαύτην δωρεάν, μετὰ τοσαύτην ἁμαρτημάτων συγχώρησιν καὶ φιλανθρωπίας ὑπερβολήν, εἰς ζυγὸν δουλείας ηὐτομόλησαν· ὁμοῦ δὲ καὶ δεικνεὶς οἵαν ἔχει περὶ αὐτῶν ὑπόνοιαν, ὅτι μεγάλην τινὰ καὶ ἐσπουδασμένην. Οὐδὲ γὰρ ἄν, εἰ τῶν τυχόντων ἐνόμιζεν αὐτοὺς εἶναι καὶ εὐεξαπατήτων, ἐθαύμασεν ἂν ἐπὶ τῷ γενομένῳ· ἀλλ' ἐπειδὴ τῶν γνησίων, φησί, καὶ πολλὰ πεπονηκότων ὑμεῖς, διὰ τοῦτο θαυμάζω· ὅπερ ἦν ἱκανὸν αὐτοὺς ἀνακτήσασθαι, καὶ πρὸς τὰ πρότερα ἐπαναγαγεῖν. Ὃ καὶ ἐν μέσῃ τῇ ἐπιστολῇ δηλῶν ἔλεγε· «Τοσαῦτα ἐπάθετε εἰκῇ, εἴγε καὶ εἰκῇ».

---

30. Ἰωάν. 16, 15.
31. Γαλ. 3, 4.

τοντες τοῦτο. Διότι, λέγει, ὄχι μόνον ἀπὸ τὸν Χριστόν, ἀλλὰ καὶ ἀπὸ τὸν Πατέρα ἀπομακρύνεσθε πράττοντες αὐτό. Διότι ὅπως ἡ Παλαιὰ εἶναι ὄχι μόνον τοῦ Πατρὸς ἀλλὰ καὶ τοῦ Υἱοῦ, ἔτσι καὶ ἡ χάρις εἶναι ὄχι μόνον τοῦ Υἱοῦ, ἀλλὰ καὶ τοῦ Πατρός, καὶ τὰ πάντα εἶναι κοινά.

Διότι «ὅσα ἔχει ὁ Πατήρ μου εἶναι ἰδικά μου»[30]. Ἀφοῦ λοιπὸν εἶπεν ὅτι καὶ ἀπὸ τὸν Πατέρα ἀπομακρύνονται, δύο κατηγορίας παραθέτει, δηλαδὴ καὶ ὅτι μετετέθησαν καὶ ὅτι τάχιστα μετετέθησαν. Καὶ τὸ ἀντίθετον μάλιστα εἶναι ἄξιον κατηγορίας, δηλαδὴ τὸ νὰ ἀπομακρυνθῇ κανεὶς μετὰ ἀπὸ πολὺν χρόνον· ἀλλ' ἐδῶ ὁ λόγος γίνεται δι' ἀπάτην. Διότι εἶναι ἀξιοκατάκριτος καὶ ὁ μετὰ πολὺν χρόνον ἀπομακρυνθείς· ἀλλ' ἐκεῖνος ὁ ὁποῖος πίπτει μετὰ τὴν πρώτην προσβολὴν καὶ ἐνόχλησιν τοῦ ἐχθροῦ, παρουσιάζει σημεῖον μεγίστης ἀδυναμίας. Διὰ τὸ ὁποῖον καὶ κατηγορεῖ αὐτοὺς λέγων· τί εἶναι αὐτό, νὰ μὴ χρειάζωνται κἂν χρόνον οἱ ἀπατεῶνες, καὶ ἡ πρώτη προσέγγισίς των ἀρκεῖ διὰ νὰ σᾶς καταστρέψουν καὶ νὰ σᾶς κυριεύσουν; Καὶ ποίαν συγγνώμην θὰ λάβετε; Διότι ἐὰν αὐτὸ εἶναι ἔγκλημα ὅταν γίνεται εἰς φίλους καὶ εἶναι ἄξιος κατηγορίας ὅποιος ἐγκαταλείπει τοὺς ἰδικούς του καὶ τοὺς χρησίμους καὶ τοὺς συγγενεῖς, αὐτὸς ὁ ὁποῖος, ἐνῷ τὸν καλεῖ ὁ Θεός, ἀποστατεῖ, σκέψου πόσης τιμωρίας ὑπεύθυνος θὰ ἦτο.

Ὅταν δὲ λέγῃ «θαυμάζω», δὲν τὸ λέγει μόνον διὰ νὰ τοὺς ἐντροπιάσῃ, διὰ τὸ ὅτι μετὰ ἀπὸ τόσην δωρεάν, μετὰ ἀπὸ ὑπερβολὴν φιλανθρωπίας καὶ συγχώρησιν τῶν ἁμαρτιῶν, ἐλιποτάκτησαν εἰς ζυγὸν δουλείας, ἀλλὰ ταὐτοχρόνως καὶ δεικνύων ὅτι ἔχει καλὴν γνώμην δι' αὐτοὺς καὶ τοὺς ἔχει περὶ πολλοῦ. Διότι καθόλου δὲν θὰ ἐξεπλήττετο διὰ τὸ γεγονός, ἐὰν ἐνόμιζεν αὐτοὺς ὡς τυχόντας καὶ εὐεξαπατήτους· ἀλλ' ἐπειδὴ εἶσθε γνήσιοι, λέγει, καὶ ἔχετε κοπιάσει πολύ, διὰ τοῦτο ἐκπλήσσομαι· αὐτὸ ἦτο ἱκανὸν νὰ τοὺς ξανακερδίσῃ καὶ νὰ τοὺς ἐπαναφέρῃ εἰς τὴν προηγουμένην κατάστασιν. Πρᾶγμα τὸ ὁποῖον δηλῶν καὶ εἰς τὸ μέσον τῆς ἐπιστολῆς, ἔλεγεν· «Ὅσα ἔχετε ἐκ πείρας δοκιμάσει ἀπέβησαν μάταια· ἐὰν μόνον μάταια!»[31].

«*Μετατίθεσθε*». *Οὐκ εἶπε, μετέρεσθε, ἀλλά, «μετατίθεσθε», τουτέστιν, οὐδέπω πιστεύω, οὐδὲ ἡγοῦμαι ἀπηρτισμένην εἶναι τὴν ἀπάτην· ὃ καὶ αὐτὸ πάλιν ἐστὶν ἀνακτωμένου. Τοῦτο οὖν σαφέστερον προϊὼν λέγει· «Ἐγὼ πέποιθα εἰς ὑμᾶς, ὅτι οὐδὲν ἄλλο φρονήσετε». «Ἀπὸ τοῦ καλέσαντος ὑμᾶς ἐν χάριτι Χριστοῦ». Ἡ μὲν κλῆσίς ἐστι τοῦ Πατρός, τῆς δὲ κλήσεως ἡ αἰτία, τοῦ Υἱοῦ· αὐτὸς γάρ ἐστιν ὁ καταλλάξας καὶ δωρεὰν δούς· οὐ γὰρ ἐξ ἔργων τῶν ἐν δικαιοσύνῃ ἐσώθημεν. Μᾶλλον δὲ καὶ ταῦτα ἐκείνου, καὶ ἐκεῖνα τούτου· «Τὰ γὰρ ἐμὰ σά», φησί, «καὶ τὰ σὰ ἐμά». Καὶ οὐκ εἶπεν, ἀπὸ τοῦ εὐαγγελίου μετατίθεσθε, ἀλλ', «ἀπὸ τοῦ καλέσαντος ὑμᾶς Θεοῦ». Ὃ γὰρ ἦν φρικωδέστερον, καὶ μᾶλλον ἱκανὸν αὐτοὺς καταπλῆξαι, τοῦτο τέθεικεν. Οἱ γὰρ ἀπατᾶν αὐτοὺς βουλόμενοι, οὐκ ἀθρόως τοῦτο ἐποίουν, ἀλλ' ἠρέμα αὐτοὺς τῶν πραγμάτων μεθιστῶντες, τῶν ὀνομάτων οὐ μεθίστων. Τοιαύτη γὰρ ἡ τοῦ διαβόλου πλάνη, μὴ γυμνὰ προτιθέναι τὰ θήρατρα. Εἰ μὲν γὰρ εἶπον, ἀπόστητε ἀπὸ τοῦ Χριστοῦ, ὡς πλάνους ἂν καὶ λυμεῶνας ἐφυλάξαντο· νῦν δὲ ἀφέντες αὐτοὺς ἐν τῇ πίστει τέως, καὶ τῇ πλάνῃ εὐαγγελίου ἐπιθέντες ὄνομα, μετὰ πολλῆς τῆς ἀδείας διώρυττον τὴν οἰκοδομήν, τῶν εἰρημένων, καθάπερ τινῶν παραπετασμάτων, διὰ τῶν ὀνομάτων τούτων κρυπτόντων τοὺς τοιχωρύχους.*

Ἐπεὶ οὖν εὐαγγέλιον ἐκάλουν τὴν ἑαυτῶν ἀπάτην, καλῶς αὐτὸς καὶ πρὸς τὸ ὄνομα μάχεται, καὶ παρρησιάζεται, λέγων· «Εἰς ἕτερον εὐαγγέλιον, ὃ οὐκ ἔστιν ἄλλο». Καλῶς· οὐδὲ γάρ ἐστιν ἄλλο. Ἀλλ' ὅμως ὅπερ πάσχουσιν οἱ νοσοῦντες ἐκ τῶν ὑγιεινῶν βλαπτόμενοι σιτίων, τοῦτο καὶ Μαρκίων ἐνταῦθα ἔπαθεν. Ἐπελάβετο γὰρ τῶν εἰρημένων εἰπών, ὅτι ἰδοὺ καὶ Παῦλος εἶπεν, οὐκ ἔστιν ἕτερον εὐαγγέλιον. Οὐδὲ γὰρ παραδέχονται τοὺς εὐαγγελιστὰς ἅπαντας,

32. Γαλ. 5, 10.
33. Ἰωάν. 17, 10.
34. Γαλ. 1, 7.

«Μετατίθεσθε». Δὲν εἶπεν «ἔχετε μετατεθῆ», ἀλλὰ «μετατίθεσθε», δηλαδὴ δὲν πιστεύω, οὔτε θεωρῶ ὅτι ἔχει ὁλοκληρωθῆ ἡ ἀπάτη· τὸ ὁποῖον γίνεται καὶ αὐτὸ διὰ νὰ ξανακερδηθοῦν. Αὐτὸ λοιπόν, προχωρῶν, λέγει σαφέστερον· «Ἔχω πεποίθησιν εἰς τὸν Κύριον, ὅτι δὲν θὰ ἔχετε διαφορετικὴν γνώμην»[32]. «Ἀπὸ ἐκεῖνον, ὁ ὁποῖος σᾶς ἐκάλεσε διὰ τῆς χάριτος τοῦ Χριστοῦ». Ἡ μὲν κλῆσις εἶναι τοῦ Πατρός, ἡ δὲ αἰτία τῆς κλήσεως, τοῦ Υἱοῦ· διότι αὐτὸς εἶναι ἐκεῖνος ὁ ὁποῖος μᾶς συνεφιλίωσε καὶ ἔδωσε δωρεάν· διότι δὲν ἐσώθημεν διὰ τῶν ἔργων τῆς ἀρετῆς. Μᾶλλον δὲ καὶ αὐτὰ ἀνήκουν εἰς ἐκεῖνον, καὶ ἐκεῖνα εἰς αὐτόν. Διότι λέγει, «τὰ ἰδικά μου εἶναι ἰδικά σου, καὶ τὰ ἰδικά σου ἰδικά μου»[33]. Καὶ δὲν εἶπεν ὅτι μετατίθεσθε ἀπὸ τὸ εὐαγγέλιον, ἀλλὰ «ἀπὸ τὸν Θεὸν ὁ ὁποῖος σᾶς ἐκάλεσεν». Αὐτὸ τὸ ὁποῖον ἦτο περισσότερον φρικτὸν καὶ ἱκανὸν νὰ προκαλέσῃ εἰς αὐτοὺς τρόμον, αὐτὸ ἔγραψε. Διότι ἐκεῖνοι οἱ ὁποῖοι ἤθελον νὰ τοὺς ἐξαπατοῦν, δὲν ἔκαμνον αὐτὸ διὰ μιᾶς, ἀλλ' ὀλίγον κατ' ὀλίγον, χωρὶς ν' ἀπομακρύνουν αὐτοὺς ἀπὸ τὸ γράμμα, τοὺς ἀπεμάκρυνον ἀπὸ τὴν οὐσίαν. Διότι τέτοια εἶναι ἡ πλάνη τοῦ διαβόλου, νὰ μὴ τοποθετῇ ἀκαλύπτους τὰς παγίδας. Διότι ἐὰν ἔλεγον, φύγετε ἀπὸ τὸν Χριστόν, θὰ ἐφυλάσσοντο ἀπὸ αὐτοὺς ὡς ἀπὸ πλάνους καὶ καταστροφεῖς· τώρα ὅμως, ἀφοῦ ἄφησαν αὐτοὺς εἰς τὴν ἕως τότε πίστιν καὶ ἀφοῦ ἔθεσαν τὸ ὄνομα τοῦ εὐαγγελίου εἰς τὴν πλάνην, μὲ πολλὴν ἄνεσιν ὑπέσκαπτον τὴν οἰκοδομήν, ἐνῷ τὰ λεχθέντα, ὡσὰν παραπετάσματα, μὲ αὐτὴν τὴν ὀνομασίαν ἔκρυπτον τοὺς πανούργους.

Ἐπειδὴ λοιπὸν ὠνόμαζον εὐαγγέλιον τὴν ἰδικήν των ἀπάτην, ὀρθῶς καὶ ὁ Παῦλος πολεμᾷ καὶ κρίνει τὴν ὀνομασίαν αὐτὴν λέγων· «Πρὸς ἄλλο εὐαγγέλιον, τὸ ὁποῖον δὲν εἶναι ἄλλο»[34]. Ὀρθῶς· διότι δὲν ὑπάρχει ἄλλο. Ἀλλ' ἐκεῖνο ἀκριβῶς τὸ ὁποῖον οἱ ἀσθενεῖς βλαπτόμενοι ἀπὸ τὰς ὑγιεῖς τροφάς, αὐτὸ ἔπαθεν ἐδῶ καὶ ὁ Μαρκίων. Διότι ἐστηρίχθη εἰς τὰ λεχθέντα διὰ νὰ εἴπῃ ὅτι, ἰδοὺ καὶ ὁ Παῦλος εἶπεν ὅτι δὲν ὑπάρχει ἄλλο εὐαγγέλιον. Διότι δὲν παραδέχονται ὅλους τοὺς εὐαγγελιστάς, ἀλλὰ μόνον ἕνα καὶ αὐτὸν ἀφοῦ

ἀλλ' ἕνα μόνον, καὶ αὐτὸν περικόψαντες καὶ συγχέαντες, ὡς ἐβούλοντο. Τί οὖν, ὅταν αὐτὸς λέγῃ, «Κατὰ τὸ εὐαγγέλιόν μου καὶ τὸ κήρυγμα Ἰησοῦ Χριστοῦ»; Ἔστι μὲν οὖν πολλοῦ γέλωτος τὰ εἰρημένα παρ' αὐτῶν· πλὴν κἂν καταγέλαστα ᾖ, ἀναγκαῖον διελέγχειν αὐτὰ διὰ τοὺς εὐκόλως ἀπατωμένους.

Τί οὖν ἐροῦμεν; Ὅτι κἂν μυρίοι γράφωσιν εὐαγγέλια, τὰ δὲ αὐτὰ γράφωσιν, ἕν ἐστι τὰ πολλά, καὶ οὐδὲν ἀπὸ τοῦ τῶν γραφόντων πλήθους εἰς τὸ ἓν εἶναι παραβλαβήσεται· ὥσπερ οὖν κἂν εἷς ᾖ πάλιν ὁ γράφων, καὶ ἐναντία λέγῃ, οὐκ ἔστιν ἓν τὰ γραφόμενα. Τὸ γὰρ ἓν καὶ οὐχ ἕν, οὐ τῷ τῶν γραφόντων ἀριθμῷ, ἀλλὰ τῇ ταυτότητι καὶ ἑτερότητι τῶν λεγομένων κρίνεται. Ὅθεν δῆλον, ὅτι καὶ τὰ τέσσαρα εὐαγγέλια ἕν ἐστιν εὐαγγέλιον. Ὅταν γὰρ οἱ τέσσαρες τὰ αὐτὰ λέγωσιν, οὐκ ἔστιν ἄλλο καὶ ἄλλο διὰ τὴν τῶν προσώπων διαφοράν, ἀλ' ἓν διὰ τὴν τῶν εἰρημένων συμφωνίαν. Οὐδὲ γὰρ ὁ Παῦλος περὶ ἀριθμοῦ λέγει νῦν, ἀλλὰ περὶ διαφωνίας τῶν εἰρημένων. Εἰ μὲν οὖν ἄλλο τὸ Ματθαίου, καὶ τὸ Λουκᾶ ἕτερον κατὰ τὴν δύναμιν τῶν ἐγγεγραμμένων καὶ τὴν τῶν δογμάτων ἀκρίβειαν, καλῶς ἐπιλαμβάνονται τοῦ λόγου· εἰ δὲ ἓν καὶ τὸ αὐτό, παυσάσθωσαν ἀνοηταίνοντες, καὶ ταῦτα προσποιούμενοι ἀγνοεῖν, ἃ καὶ τοῖς ἄγαν παισίν ἐστι κατάδηλα.

«Εἰ μή τινές εἰσιν οἱ ταράσσοντες ὑμᾶς, καὶ θέλοντες ἀναιρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ». Τουτέστιν, ἕως ἂν ὑγιαίνητε τὸν νοῦν, οὐκ ἐπιγνώσεσθε ἕτερον εὐαγγέλιον, ἕως ἂν ὀρθὰ βλέπητε, καὶ μὴ διεστραμμένα, τὰ μὴ ὄντα φανταζόμενοι. Ὥσπερ γὰρ ὀφθαλμὸς διαταραχθεὶς ἕτερα ἀνθ' ἑτέρων ὁρᾷ· οὕτω καὶ νοῦς τῇ τῶν πονηρῶν συγχύσει

---

35. Ρωμ. 16, 25.

προηγουμένως περιέκοψαν καὶ ἐσύγχυσαν ὅπως ἤθελον. Ἀλλὰ τί ἐννοεῖ ὅταν ὁ ἴδιος λέγῃ «συμφώνως πρὸς τὸ εὐαγγέλιόν μου καὶ τὸ κήρυγμα τοῦ Ἰησοῦ Χριστοῦ»;[25] Διότι δι' αὐτοὺς εἶναι ἄξια πολλοῦ γέλωτος τὰ λεχθέντα· πλὴν ὅμως, ἔστω καὶ ἂν εἶναι καταγέλαστα, εἶναι ἀνάγκη νὰ ἐλέγχωνται αὐτὰ δι' ὅσους ἀπατῶνται εὐκόλως.

Τί λοιπὸν θὰ εἴπωμεν; Ὅτι καὶ ἂν ἀκόμη χιλιάδες ἄνθρωποι γράφουν εὐαγγέλια, γράφουν ὅμως τὰ ἴδια, ἓν εὐαγγέλιον εἶναι τὰ πολλά, καὶ τίποτε δὲν ἐμποδίζει τὸ πλῆθος τῶν συγγραφέων εἰς τὸ νὰ εἶναι ἕν· ὅπως ἀκριβῶς καὶ ἂν ἀκόμη εἶναι εἷς ὁ γράφων καὶ λέγῃ τὰ ἀντίθετα, δὲν εἶναι ἓν εὐαγγέλιον τὰ γραφόμενα. Διότι τὸ ἂν εἶναι ἓν ἢ πολλά, δὲν κρίνεται ἀπὸ τὸν ἀριθμὸν τῶν συγγραφέων, ἀλλ' ἀπὸ τὴν ταυτότητα τῶν λεγομένων. Ἀπὸ τὸ ὁποῖον εἶναι φανερὸν ὅτι καὶ τὰ τέσσαρα εὐαγγέλια εἶναι ἕν. Διότι ὅταν οἱ τέσσαρες λέγουν τὰ αὐτά, δὲν εἶναι ἄλλο καὶ ἄλλο ἐξ αἰτίας τῆς διαφορᾶς τῶν προσώπων, ἀλλ' ἓν εὐαγγέλιον, ἐξ αἰτίας τῆς συμφωνίας τῶν λεχθέντων. Καὶ ὁ Παῦλος βεβαίως δὲν λέγει τώρα διὰ τὸν ἀριθμόν, ἀλλὰ διὰ τὴν διαφωνίαν τῶν λεχθέντων. Ἐὰν μὲν λοιπὸν εἶναι ἄλλο τὸ εὐαγγέλιον τοῦ Ματθαίου καὶ ἄλλο τοῦ Λουκᾶ ὡς πρὸς τὴν δύναμιν τῶν γραφέντων καὶ τὴν ἀκρίβειαν τῶν δογμάτων τῆς πίστεως, τότε ὀρθῶς στηρίζονται εἰς τὸν λόγον τοῦ ἀποστόλου· ἐὰν ὅμως εἶναι ἓν καὶ τὸ αὐτό, ἂς παύσουν νὰ ἀνοηταίνουν καὶ νὰ προσποιοῦνται ὅτι ἀγνοοῦν ὅσα καὶ εἰς τὰ παιδία εἶναι ὁλοφάνερα.

«Μόνον ποὺ ὑπάρχουν μερικοὶ οἱ ὁποῖοι σᾶς ταράσσουν καὶ θέλουν νὰ διαστρέψουν τὸ εὐαγγέλιον τοῦ Χριστοῦ». Δηλαδή, ἕως ὅτου θὰ ἔχετε ὑγιῆ νοῦν, δὲν θὰ γνωρίσετε ἄλλο εὐαγγέλιον, ἕως ὅτου θὰ βλέπετε τὰ ὀρθὰ καὶ ὄχι τὰ διεστραμμένα, φανταζόμενοι τὰ ἀνύπαρκτα. Διότι ὅπως ἀκριβῶς ὅταν διαταραχθῇ ὁ ὀφθαλμὸς βλέπει ἄλλα ἀντ' ἄλλων, ἔτσι καὶ ὁ νοῦς, ὅταν θολοῦται ἀπὸ τὴν σύγχυσιν τῶν πονηρῶν λογισμῶν, παθαίνει τὸ ἴδιο. Διὰ τοῦτο καὶ ἐκεῖνοι

λογισμῶν θολούμενος τὸ αὐτὸ τοῦτο πάσχειν εἴωθε. Διὰ γὰρ τοῦτο καὶ οἱ μαινόμενοι ἕτερα ἀνθ' ἑτέρων φαντάζονται. Ἀλλ' αὕτη χαλεπωτέρα ἐκείνης ἡ μανία, οὐκ ἐν τοῖς αἰσθητοῖς, ἀλλ' ἐν τοῖς νοητοῖς τὴν βλάβην ἐργαζομένη, οὐκ ἐν τῇ κόρῃ τῶν τοῦ σώματος ὀμμάτων, ἀλλ' ἐν τοῖς ὀφθαλμοῖς τῆς διανοίας τὴν καταστροφὴν κατασκευάζουσα.

«Καὶ θέλοντες ἀνατρέψαι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ». Καὶ μὴν μίαν μόνην ἢ δευτέραν ἐπεισῆγον ἐντολήν, τὴν τῆς περιτομῆς καὶ τὴν τῶν ἡμερῶν μόνον καινοτομοῦντες· ἀλλὰ δεικνὺς ὅτι μικρὸν παραποιηθὲν τὸ ὅλον λυμαίνεται, εἶπε τὸ εὐαγγέλιον ἀνατρέπεσθαι. Καθάπερ γὰρ ἐν τοῖς βασιλικοῖς νομίσμασιν ὁ μικρὸν τοῦ χαρακτῆρος περικόψας, ὅλον τὸ νόμισμα κίβδηλον εἰργάσατο· οὕτω καὶ ὁ τῆς ὑγιοῦς πίστεως καὶ τὸ βραχύτατον ἀνατρέψας, τῷ παντὶ λυμαίνεται, ἐπὶ τὰ χείρονα προϊὼν ἀπὸ τῆς ἀρχῆς. Ποῦ τοίνυν εἰσὶν οἱ φιλονεικίας ἡμᾶς κρίνοντες ἕνεκεν τῆς πρὸς τοὺς αἱρετικοὺς διαστάσεως; ποῦ νῦν εἰσιν οἱ λέγοντες οὐδὲν μέσον εἶναι ἡμῶν κἀκείνων, ἀλλ' ἀπὸ φιλαρχίας τὴν διαφορὰν γίνεσθαι; Ἀκουέτωσαν τί φησιν ὁ Παῦλος, ὅτι τὸ εὐαγγέλιον ἀνέτρεψαν οἱ καὶ μικρόν τι καινοτομοῦντες.

Οὗτοι δὲ οὔ τι μικρόν· πῶς γάρ, οἱ τὸν Υἱὸν τοῦ Θεοῦ κτίσμα λέγοντες; Οὐκ ἤκουσας ὅτι καὶ ἐν τῇ παλαιᾷ ἐν Σαββάτῳ ξύλα τις συλλέξας, καὶ μίαν ἐντολὴν παραβάς, καὶ οὐδὲ ταύτην μεγίστην, ἐσχάτην δέδωκε δίκην; καὶ Ὀζᾶ τὴν κιβωτὸν μέλλουσαν περιτρέπεσθαι στηρίξας, παραχρῆμα ἀπέθανε, ὅτι μὴ προσηκούσης αὐτῷ διακονίας ἥψατο; Εἶτα Σαββάτου μὲν ἡ παράβασις, καὶ τὸ τῆς κιβωτοῦ καταπιπτούσης ἅψασθαι, εἰς τοσαύτην ἤγαγε τὸν Θεὸν ἀγανάκτησιν, ὥστε μηδὲ βραχείας τυχεῖν συγγνώμης τοὺς ταῦτα τολμήσαντας· ὁ δὲ δόγματα φρικτὰ καὶ ἀπόρρητα λυμηνά-

οἱ ὁποῖοι καταλαμβάνονται ἀπὸ μανίαν, φαντάζονται ἄλλα ἀντ' ἄλλων. Ἀλλ' αὐτὴ ἡ μανία εἶναι πολὺ χειροτέρα ἀπὸ ἐκείνην, διότι ἐπιφέρει τὴν βλάβην ὄχι εἰς τὰ αἰσθητά, ἀλλ' εἰς τὰ νοητά, προκαλοῦσα τὴν καταστροφὴν ὄχι εἰς τὴν κόρην τῶν σωματικῶν ὀφθαλμῶν, ἀλλ' εἰς τοὺς ὀφθαλμοὺς τῆς διανοίας.

«Καὶ θέλουν νὰ διαστρέψουν τὸ εὐαγγέλιον τοῦ Χριστοῦ». Βεβαίως μίαν μόνην ἢ καὶ δευτέραν ἐντολὴν ὑπούλως εἰσῆγον καινοτομοῦντες, δηλαδὴ τὴν τῆς περιτομῆς καὶ τῆς τηρήσεως τῶν ἡμερῶν· ἀλλ' εἶπεν ὅτι διαστρέφεται τὸ εὐαγγέλιον, δεικνύων ὅτι καὶ ἂν ἀκόμη παραποιηθῇ ὀλίγον, βλάπτεται ὁλόκληρον. Διότι ὅπως καὶ εἰς τὰ βασιλικὰ νομίσματα ὅποιος κόψῃ ὀλίγον ὅ,τι ἔχει χαραχθῇ ἐπάνω, καθιστᾷ κίβδηλον ὅλον τὸ νόμισμα, ἔτσι καὶ ἐκεῖνος ὁ ὁποῖος διαστρέφει καὶ τὸ ἐλάχιστον ἀπὸ τὴν ὑγιῆ πίστιν, καταστρέφει τὰ πάντα, ἐκπίπτων εἰς χειρότερα ἀπὸ ὅ,τι πρὶν πιστέψῃ. Ποῦ εἶναι λοιπὸν ὅσοι μᾶς κατηγοροῦν διὰ φιλονεικίαν ἐξ αἰτίας τῆς πρὸς τοὺς αἱρετικοὺς διαστάσεως; Ποῦ εἶναι τώρα ὅσοι λέγουν ὅτι οὐδεμίαν διαφορὰν ἔχομεν μὲ ἐκείνους, ἀλλ' ἡ διαφορὰ δημιουργεῖται ἀπὸ τὴν φιλαρχίαν; Ἂς ἀκούουν τί λέγει ὁ Παῦλος, ὅτι διέστρεψαν τὸ εὐαγγέλιον καὶ κατ' ἐλάχιστον μόνον καινοτομοῦντες.

Ἀλλ' αὐτοὶ οὔτε κἂν ὀλίγον· διότι πῶς νὰ εἴπῃ κανεὶς ὀλίγον καινοτομοῦντας αὐτοὺς οἱ ὁποῖοι λέγουν κτίσμα τὸν Υἱὸν τοῦ Θεοῦ; Δὲν ἔχεις ἀκούσει ὅτι καὶ εἰς τὴν Παλαιὰν Διαθήκην, κάποιος ὁ ὁποῖος συνέλεξε ξύλα τὸ Σάββατον, καὶ ἐπειδὴ παρέβη μίαν ἐντολήν, καὶ αὐτὴν ὄχι μεγίστην, ἐτιμωρήθη αὐστηρότατα; Καὶ ὁ Ὀζᾶ ὁ ὁποῖος ἐστήριξε τὴν κιβωτὸν ἡ ὁποία θὰ ἀνετρέπετο, ἀπέθανεν ἀμέσως διότι ἠσχολήθη μὲ διακονίαν ἡ ὁποία δὲν ἥρμοζεν εἰς αὐτόν; Ἑπομένως, ἡ μὲν παράβασις τοῦ Σαββάτου καὶ τὸ νὰ στηριχθῇ ἡ κιβωτὸς ἡ ὁποία κατέπιπτε, τόσον πολὺ ἠγανάκτησε τὸν Θεόν, ὥστε νὰ μὴ τύχουν συγγνώμης οὔτε δι' ὀλίγον ἐκεῖνοι οἱ ὁποῖοι ἀπετόλμησαν αὐτά, ἐνῷ αὐτὸς ὁ ὁποῖος δια-

μενος, οὗτος ἀπολογίας τεύξεται καὶ συγγνώμης; Οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν· ἀλλὰ καὶ αὐτὸ μὲν οὖν τοῦτό ἐστι τὸ πάντων αἴτιον τῶν κακῶν, τὸ μὴ καὶ ὑπὲρ τῶν μικρῶν τούτων ἀγανακτεῖν. Διὰ τοῦτο τὰ μείζονα τῶν ἁμαρτημάτων ἐπεισῆλθεν, ὅτι τὰ ἐλάττονα τῆς προσηκούσης οὐ τυγχάνει διορθώσεως.

Καὶ καθάπερ ἐν τοῖς σώμασιν οἱ τῶν τραυμάτων καταφρονήσαντες, πυρετοὺς ἔτεκον καὶ σηπεδόνας καὶ θάνατον· οὕτω καὶ ἐπὶ τῶν ψυχῶν οἱ τῶν μικρῶν ὑπερορῶντες, τὰ μείζονα ἐπεισάγουσιν. Ὁ δεῖνα, φησί, περὶ τὴν νηστείαν σφάλλεται, καὶ οὐδὲν μέγα ἐστίν· ἕτερος τῇ πίστει μὲν ἔρρωται τῇ ὀρθῇ, ὑποκρινόμενος δὲ διὰ τὸν καιρόν, τὴν παρρησίαν προέδωκεν· οὐδὲ τοῦτό τι μέγα δεινόν· ἄλλος παροξυνθείς, ἠπείλησεν ἀποστήσεσθαι τῆς ὀρθῆς πίστεως· ἀλλ' οὐδὲ τοῦτο ἄξιον τιμωρίας· ὀργῇ γὰρ ἥμαρτε, φησί, καὶ θυμῷ. Καὶ μυρία τις ἂν εὕροι τοιαῦτα καθ' ἑκάστην ἡμέραν ἁμαρτήματα ἐπεισαγόμενα ταῖς ἐκκλησίαις. Διὰ τοῦτο καὶ καταγέλαστοι γεγόναμεν καὶ Ἕλλησι καὶ Ἰουδαίοις, εἰς μυρία τῆς ἐκκλησίας σχιζομένης. Εἰ γὰρ οἱ παρὰ τὴν ἀρχὴν ἀποπηδᾶν τῶν θείων θεσμῶν ἐπιχειροῦντες καὶ μικρόν τι παρακινεῖν, τῆς προσηκούσης ἐτύγχανον ἐπιτιμήσεως, οὐκ ἂν ὁ παρὼν ἐτέχθη λοιμός, καὶ τοσοῦτος χειμὼν τὰς ἐκκλησίας κατέλαβεν.

9. Ὅρα γοῦν ὁ Παῦλος πῶς τὴν περιτομὴν ἀνατροπὴν τοῦ εὐαγγελίου καλεῖ. Νῦν δέ εἰσι πολλοὶ παρ' ἡμῖν καὶ τὴν αὐτὴν Ἰουδαίοις νηστεύοντες ἡμέραν, καὶ Σάββατα τηροῦντες ὁμοίως· καὶ φέρομεν γενναίως, μᾶλλον δὲ ταλαιπώρως. Καὶ τί λέγω τὰ Ἰουδαίων, καὶ γὰρ Ἑλλήνων ἔθη πολλὰ παρά τισι τῶν ἡμετέρων φυλάττεται, κληδονισμοὶ καὶ οἰωνισμοὶ καὶ σύμβολα, καὶ ἡμερῶν παρατηρήσεις, καὶ ἡ

στρέφει δόγματα φρικτὰ καὶ ἀπόρρητα, αὐτὸς θὰ τύχῃ ἀπολογίας καὶ συγγνώμης; Δὲν εἶναι ὀρθὰ αὐτά, δὲν εἶναι· ἀλλὰ καὶ αὐτὸ εἶναι μάλιστα τὸ αἴτιον ὅλων τῶν κακῶν, τὸ νὰ μὴ ἀγανακτῇ κανεὶς καὶ δι' αὐτὰ τὰ μικρά. Διὰ τοῦτο ἔχουν ὑπεισέλθει τὰ μεγαλύτερα ἁμαρτήματα, διότι τὰ μικρότερα δὲν τυγχάνουν τῆς πρεπούσης διορθώσεως.

Καὶ ὅπως ἀκριβῶς εἰς τὰ σώματα, ὅσοι κατεφρόνησαν τὰ τραύματα προεκάλεσαν πυρετοὺς καὶ ἐμπυασμένας πληγὰς καὶ θάνατον, ἔτσι καὶ εἰς τὰς ψυχάς, οἱ περιφρονοῦντες τὰ μικρὰ ἁμαρτήματα, εἰσάγουν εἰς αὐτὰς τὰ μεγαλύτερα. Ὁ δεῖνα, λέγει, δὲν τηρεῖ κανονικῶς τὴν νηστείαν, καὶ δὲν εἶναι τίποτε μεγάλο· ἄλλος εἶναι μὲν ὑγιὴς ὡς πρὸς τὴν ὀρθὴν πίστιν, ἀλλὰ ἀφοῦ ἔπεσεν εἰς ὑποκρισίαν διὰ τὴν περίστασιν, ἐπρόδωσε τὴν εἰλικρίνειαν· οὔτε αὐτὸ εἶναι κανὲν μεγάλο κακόν· ἄλλος, ἀφοῦ ὠργίσθη, ἠπείλησεν ὅτι θὰ ἐγκαταλείψῃ τὴν ὀρθὴν πίστιν· ἀλλ' οὔτε αὐτὸ εἶναι ἄξιον τιμωρίας· διότι ἡμάρτησεν ἐν ὀργῇ καὶ θυμῷ. Καὶ ἄπειρα ἄλλα τέτοια ἁμαρτήματα θὰ εὕρῃ κανεὶς νὰ ὑπεισέρχωνται εἰς τὰς ἐκκλησίας. Διὰ τοῦτο καὶ ἔχομεν γίνει καταγέλαστοι εἰς τοὺς Ἕλληνας καὶ εἰς τοὺς Ἰουδαίους, ἐφ' ὅσον σχίζεται ἡ ἐκκλησία εἰς μύρια τμήματα. Διότι ἐάν, ὅσοι ἐπιχειροῦν νὰ παρεκτρέπωνται καὶ νὰ διαστρέφουν κατ' ἐλάχιστον τοὺς θείους θεσμούς, ἐδέχοντο ἀπὸ τὴν ἀρχὴν τὴν πρέπουσαν ἐπιτίμησιν, δὲν θὰ εἶχε γεννηθῇ ἡ παροῦσα ἐπιδημία καὶ δὲν θὰ ἐπεκράτει τόση ταραχὴ εἰς τὴν ἐκκλησίαν.

9. Πρόσεχε λοιπὸν πῶς ὁ Παῦλος ὀνομάζει τὴν περιτομὴν διαστροφὴν τοῦ εὐαγγελίου. Τώρα δὲ ὑπάρχουν πολλοὶ εἰς ἐμᾶς, οἱ ὁποῖοι νηστεύουν τὴν αὐτὴν ἡμέραν μὲ τοὺς Ἰουδαίους, καὶ οἱ ὁποῖοι τηροῦν τὰ Σάββατα ὅπως καὶ οἱ Ἰουδαῖοι· καὶ τοὺς ἀνεχόμεθα μὲ γενναιοψυχίαν, μᾶλλον δὲ μὲ ἀθλιότητα. Καὶ τί λέγω διὰ τὰ τῶν Ἰουδαίων; Μάλιστα καὶ ἀπὸ τὰ ἔθη τῶν Ἑλλήνων πολλὰ τηροῦνται ἀπὸ ὡρισμένους ἰδικούς μας, μαντεῖαι καὶ οἰωνοσκοπίαι καὶ μαγικὰ σημεῖα καὶ παρατηρήσεις ἡμερῶν, καὶ ἡ διὰ τὴν

περὶ τὴν γένεσιν σπουδή, καὶ τὰ πάσης ἀσεβείας γέμοντα γραμματεῖα, ἃ τικτομένων τῶν παιδίων εὐθέως ἐπὶ κακῷ τῆς ἑαυτῶν συντιθέασι κεφαλῆς, ἐκ προοιμίων παιδεύοντες καταλύειν τοὺς ὑπὲρ ἀρετῆς πόνους, καὶ ὑπὸ τὴν πεπλανημένην τυραννίδα τῆς εἱμαρμένης τό γε αὐτῶν ἄγοντες μέρος. Εἰ δὲ τοὺς περιτεμνομένους οὐδὲν ὁ Χριστὸς ὠφελεῖ, τοὺς τοσαῦτα ἐπισυρομένους κατὰ τί τοσοῦτον ἡ πίστις εἰς σωτηρίαν ὠφελήσει λοιπόν; Καίτοι ἡ περιτομὴ παρὰ Θεοῦ δεδομένη ἦν, ἀλλ' ὅμως ἐπειδὴ ἐλυμαίνετο τῷ εὐαγγελίῳ οὐκ ἐν καιρῷ τελουμένη, πάντα ἔπραττεν ὁ Παῦλος, ὥστε αὐτὴν περικόψαι.

Εἶτα ὁ μὲν Παῦλος ὑπὲρ ἐθῶν Ἰουδαϊκῶν τοσαύτην ἐποιεῖτο σπουδήν, ἐπειδὴ ἀκαίρως ἐφυλάττετο, ἡμεῖς δὲ οὐδὲ τὴν Ἑλληνικὴν περικόψομεν συνήθειαν; καὶ ποίαν σχοίημεν ἀπολογίαν; Διὰ ταῦτα ἐν ταραχαῖς καὶ θορύβοις νῦν τὰ ἡμέτερα καὶ οἱ μαθητευόμενοι φρονήματος ἐμπλησθέντες πολλοῦ τὴν τάξιν ἀνέτρεψαν, καὶ τὰ ἄνω κάτω γεγένηται. Κἂν μικρόν τις ἐγκαλέσῃ, διαπτύουσι τοὺς ἄρχοντας, ἐπειδὴ κακῶς ἡμεῖς αὐτοὺς ἐπαιδοτριβήσαμεν. Καίτοιγε εἰ καὶ μοχθηρότεροι, καὶ μυρίων ἦσαν κακῶν γέμοντες οἱ προεστῶτες, οὐδὲ οὕτω τῷ μαθητῇ θέμις ἦν παρακούειν. Εἰ γὰρ περὶ τῶν Ἰουδαίων διδασκάλων φησίν, ὅτι ἐπειδὴ ἐπὶ τῆς Μωϋσέως καθέδρας ἐκάθισαν, ἀκούεσθαι δίκαιοι παρὰ τῶν μαθητευομένων ἂν εἶεν, καίτοιγε ἔργα εἶχον οὕτω πονηρά, ὡς τοὺς μαθητὰς κελεῦσαι μὴ ζηλοῦν, μηδὲ μιμεῖσθαι ἐκεῖνα, τίνος ἂν εἶεν συγγνώμης ἄξιοι οἱ τοὺς τῆς Ἐκκλησίας προέδρους τοὺς τῇ χάριτι τοῦ Θεοῦ μετ' ἐπιεικείας ζῶντας διαπτύοντες καὶ καταπατοῦντες; Εἰ γὰρ ἀλλήλους κρίνειν οὐ θέμις, πολλῷ μᾶλλον τοὺς διδασκάλους.

γέννησιν ἐπιμέλεια καὶ τὰ σχολεῖα τὰ ὁποῖα εἶναι γεμᾶτα ἀπὸ κάθε ἀσέβειαν, τὰ ὁποῖα, ὅταν γεννῶνται τὰ βρέφη ἀμέσως συνάπτουν τὴν κεφαλήν των μὲ τὸ κακόν, ἀπὸ τὴν ἀρχὴν διδάσκοντες εἰς αὐτὰ νὰ καταπατοῦν τοὺς ὑπὲρ τῆς ἀρετῆς κόπους καὶ ὁδηγοῦντες βεβαίως αὐτὰ κάτω ἀπὸ τὴν πεπλανημένην τυραννίαν τῆς μοίρας. Ἐὰν δὲ ἐκείνους οἱ ὁποῖοι περιτέμνονται οὔτε ὁ Χριστὸς ὠφελῇ, αὐτοὺς οἱ ὁποῖοι σύρουν κατόπιν των τόσα κακά, πῶς λοιπὸν νὰ τοὺς ὠφελήσῃ ἡ πίστις εἰς σωτηρίαν; Ἂν καὶ ἡ περιτομὴ εἶχε δοθῇ ἀπὸ τὸν Θεόν, ἀλλ' ἐπειδὴ ἔβλαπτε τὸ εὐαγγέλιον διότι ἐτελεῖτο ὄχι εἰς τὸν ἁρμόζοντα καιρόν, τὰ πάντα ἔκανεν ὁ Παῦλος, ὥστε νὰ τὴν περικόψῃ.

Ὁ μὲν Παῦλος λοιπόν, κατέβαλλε τόσην προσπάθειαν δι' ἔθη Ἰουδαϊκά, ἐπειδὴ ἐτηροῦντο παρὰ τὸν καιρόν των, καὶ ἐμεῖς οὔτε τὴν εἰδωλολατρικὴν συνήθειαν δὲν θὰ περικόψωμεν; Καὶ ποίαν ἀπολογίαν θὰ ἔχωμεν; Δι' ὅλ' αὐτὰ εὑρίσκονται εἰς ταραχὴν καὶ θόρυβον τώρα τὰ ἰδικά μας πράγματα, καὶ εἰς τὴν τάξιν τῶν μαθητῶν εὑρισκόμενοι, ἀφοῦ ἐπλήσθησαν ἀλαζονείας, ἀνέτρεψαν τὴν τάξιν καὶ εὑρέθησαν τὰ ἄνω κάτω. Καὶ ἐὰν κανεὶς τοὺς ἐλέγξῃ ὀλίγον, περιφρονοῦν τοὺς ἄρχοντας, ἐπειδὴ ἐμεῖς κακῶς τοὺς ἐπαιδαγωγήσαμεν. Ἂν καὶ βεβαίως, καὶ μοχθηρότεροι ἀκόμη ἂν ἦσαν καὶ πλήρεις μυρίων κακιῶν οἱ ἄρχοντες, οὔτε τότε θὰ ἦτο ἐπιτρεπτὸν εἰς τὸν μαθητὴν νὰ παρακούῃ. Διότι ἐὰν διὰ τοὺς διδασκάλους τῶν Ἰουδαίων λέγῃ ὅτι ἐπειδὴ ἐκάθισαν εἰς τὸν θρόνον τοῦ Μωϋσέως ἔπρεπε νὰ ἀκούωνται ἀπὸ τοὺς μαθητευομένους ὡσὰν νὰ ἦσαν δίκαιοι, παρ' ὅ,τι τὰ ἔργα των ἦσαν τόσον πονηρά, ὥστε εἰς τοὺς μαθητὰς νὰ παραγγείλῃ νὰ μὴ ζηλεύουν, οὔτε νὰ μιμοῦνται ἐκεῖνα, ποίας συγγνώμης θὰ ἦσαν ἄξιοι οἱ περιφρονοῦντες καὶ καταπατοῦντες τοὺς ἐκπροσώπους τῆς ἐκκλησίας, οἱ ὁποῖοι μὲ τὴν χάριν τοῦ Θεοῦ ζοῦν μὲ δικαιοσύνην; Διότι ἐὰν δὲν ἐπιτρέπεται νὰ κρίνωμεν ἀλλήλους, πολὺ περισσότερον τοὺς διδασκάλους.

«Ἀλλὰ κἂν ἐγώ, ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίζηται ὑμῖν παρ' ὃ παρελάβετε, ἀνάθεμα ἔστω». Ὅρα σύνεσιν ἀποστολικήν. Ἵνα γὰρ μή τις λέγῃ, ὅτι κενοδοξίας ἕνεκεν τὰ ἴδια συγκροτεῖ δόγματα, καὶ ἑαυτὸν ἀνεθεμάτισεν. Ἐπειδὴ δὲ καὶ εἰς ἀξιώματα κατέφευγον, Ἰάκωβον καὶ Ἰωάννην, διὰ τοῦτο καὶ ἀγγέλων ἐμνήσθη. Μὴ γάρ μοι Ἰάκωβον εἴπῃς, φησί, καὶ Ἰωάννην· κἂν γὰρ τῶν πρώτων ἀγγέλων ᾖ τις τῶν ἐξ οὐρανοῦ διαφθείρων τὸ κήρυγμα ἀνάθεμα ἔστω. Καὶ οὐχ ἁπλῶς εἶπεν, «ἐξ οὐρανοῦ», ἀλλ' ἐπειδὴ καὶ οἱ ἱερεῖς ἄγγελοι ἐκαλοῦντο· «Χείλη γὰρ ἱερέως φυλάξεται γνῶσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ, ὅτι ἄγγελος Κυρίου παντοκράτορός ἐστιν», ἵνα μὴ τούτους νομίσῃς λέγεσθαι νῦν ἀγγέλους, τῇ τοῦ οὐρανοῦ προσθήκῃ τὰς ἄνω δυνάμεις ᾐνίξατο. Καὶ οὐκ εἶπεν, ἐὰν ἐναντία καταγγέλλωσιν, ἢ ἀνατρέπωσι τὸ πᾶν, ἀλλά, κἂν μικρόν τι εὐαγγελίζωνται παρ' ὃ εὐαγγελισάμεθα, κἂν τὸ τυχὸν παρακινήσωσιν, ἀνάθεμα ἔστωσαν.

«Ὡς προείρηκα, καὶ ἄρτι πάλιν λέγω». Ἵνα γὰρ μὴ νομίσῃς θυμοῦ τὰ ῥήματα εἶναι, ἢ ὑπερβολικῶς εἰρῆσθαι, ἢ κατὰ συναρπαγήν τινα, δεύτερον τὰ αὐτὰ πάλιν τίθησιν. Ὁ μὲν γὰρ θυμῷ τι προαχθεὶς εἰπεῖν, κἂν μεταγνοίη ταχέως· ὁ δὲ δεύτερον τὰ αὐτὰ λέγων, δείκνυσιν ὅτι κρίνας οὕτως εἶπε, καὶ πρότερον ἐν τῇ γνώμῃ κυρώσας, οὕτως ἐξήνεγκε τὸ λεχθέν. Ὁ μὲν οὖν Ἀβραὰμ ἀξιούμενος πέμψαι τὸν Λάζαρον ἔλεγεν, «Ἔχουσι Μωϋσέα καὶ τοὺς προφήτας· ἐὰν μὴ ἐκείνων ἀκούσωσιν, οὐδὲ νεκρῶν ἀνισταμένων ἀκούσον-

---

36. Γαλ. 1, 8.
37. Μαλ. 2, 7.
38. Γαλ. 1,9.
39. Λουκᾶ 16. 29, 31.

«Ἀλλὰ καὶ ἂν ἀκόμη ἐγὼ ὁ ἴδιος ἢ κάποιος ἄγγελος ἀπὸ τὸν οὐρανὸν σᾶς κηρύξῃ διαφορετικὸν εὐαγγέλιον ἀπὸ ἐκεῖνο τὸ ὁποῖον σᾶς ἐκήρυξα, αὐτὸς ἂς εἶναι ἀνάθεμα»[86]. Κοίταξε ἀποστολικὴν σύνεσιν! Διὰ νὰ μὴ λέγῃ κανεὶς ὅτι ἀπὸ κενοδοξίαν συνιστᾷ τὰ ἰδικά του δόγματα, ἀνεθεμάτισε καὶ τὸν ἑαυτόν του. Ἐπειδὴ δὲ ἐκεῖνοι κατέφυγον καὶ εἰς ἀξιώματα, εἰς τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην, διὰ τοῦτο ἀνέφερε καὶ τοὺς ἀγγέλους. Λέγει δηλαδή, μὴ μοῦ εἴπῃς τὸν Ἰάκωβον καὶ τὸν Ἰωάννην· διότι καὶ ἂν ἀκόμη κάποιος ἀπὸ τοὺς πρώτους ἀγγέλους ἀπὸ τὸν οὐρανὸν εἶναι αὐτὸς ποὺ ἀλλοιώνει τὸ κήρυγμα, ἂς εἶναι ἀνάθεμα. Καὶ δὲν εἶπε τυχαίως «ἀπὸ τὸν οὐρανόν», ἀλλὰ τὸ εἶπεν ἐπειδὴ καὶ οἱ ἱερεῖς ὠνομάζοντο ἄγγελοι. Διότι «ἔργον τῶν χειλέων τοῦ ἱερέως εἶναι νὰ φυλάττουν τὴν γνῶσιν καὶ ἀπὸ τὸ στόμα του νὰ ζητοῦν διδασκαλίαν, διότι αὐτὸς εἶναι ἄγγελος τοῦ Κυρίου τῶν δυνάμεων»[87]· διὰ νὰ μὴ νομίσῃς ὅτι αὐτοὶ λέγονται τώρα ἄγγελοι, προσθέτων τὸ «ἀπὸ τὸν οὐρανόν», ὑπηνίχθη τὰς ἄνω δυνάμεις. Καὶ δὲν εἶπεν, ἐὰν κηρύττουν ἀντίθετα ἢ ἀνατρέπουν τὸ πᾶν, ἀλλὰ καὶ ἂν κάτι ἐλάχιστον εὐαγγελίζωνται διάφορον ἀπὸ ὅ,τι σᾶς ἐκήρυξα, καὶ ἂν ἀκόμη κάτι ἀσήμαντον παρασαλεύσουν, ἂς εἶναι ἀνάθεμα.

«Ὅπως εἴπομεν προηγουμένως καὶ τώρα πάλιν σᾶς λέγω, ἐὰν κανεὶς σᾶς κηρύξῃ διαφορετικὸν εὐαγγέλιον ἀπὸ ἐκεῖνο τὸ ὁποῖον ἔχετε παραλάβει, ἂς εἶναι ἀνάθεμα»[88]. Διὰ νὰ μὴ νομίσῃς ὅτι οἱ λόγοι αὐτοὶ προέρχονται ἀπὸ θυμόν, γράφει πάλιν τὰ ἴδια διὰ δευτέραν φοράν. Διότι ἐκεῖνος ὁ ὁποῖος ἔχει εἴπει κάτι παρασυρθεὶς ἀπὸ θυμόν, μετανοεῖ ταχέως· ἐνῷ αὐτὸς ὁ ὁποῖος διὰ δευτέραν φορὰν λέγει τὰ ἴδια, δεικνύει ὅτι κατόπιν κρίσεως ὡμίλησεν ἔτσι, καὶ ἐξέφερε τὸ λεχθέν, ἀφοῦ προηγουμένως ἐπεκύρωσε τὴν ἀπόφασιν. Ὁ μὲν πλούσιος λοιπόν, παρακαλῶν τὸν Ἀβραὰμ νὰ στείλῃ τὸν Λάζαρον ἔλεγεν· «Ἔχουν τὸν Μωϋσῆν καὶ τοὺς προφήτας· ἐὰν δὲν ἀκούσουν ἐκείνους, δὲν θὰ πεισθοῦν καὶ ἂν ἀκόμη ἀναστηθῇ κάποιος ἀπὸ τοὺς νεκρούς»[89]. Αὐτὸν δὲ πα-

ται». Ταῦτα δὲ αὐτὸν εἰσάγει λέγοντα ὁ Χριστός, δεικνὺς ὅτι καὶ νεκρῶν ἐγειρομένων ἀξιοπιστοτέρας βούλεται εἶναι τὰς Γραφάς. Ὁ δὲ Παῦλος ὅταν δὲ Παῦλον εἴπω, τὸν Χριστὸν πάλιν λέγω· αὐτὸς γὰρ ἦν ὁ κινῶν αὐτοῦ τὴν ψυχὴν καὶ ἀγγέλων ἐξ οὐρανοῦ καταβαινόντων αὐτὰς προτίθησι· καὶ μάλα εἰκότως. Οἱ γὰρ ἄγγελοι, κἂν μεγάλοι, ἀλλὰ δοῦλοι καὶ λειτουργοὶ τυγχάνουσιν ὄντες· αἱ δὲ Γραφαὶ πᾶσαι οὐ παρὰ δούλων, ἀλλὰ παρὰ τοῦ τῶν ὅλων δεσπότου Θεοῦ γραφεῖσαι ἐπέμφθησαν.

Διὰ τοῦτό φησιν· «Ἐάν τις ὑμᾶς εὐαγγελίσηται παρ' ὃ εὐηγγελισάμεθα ὑμᾶς». Καὶ οὐκ εἶπεν, ὁ δεῖνα καὶ ὁ δεῖνα, συνετῶς σφόδρα καὶ ἀνεπαχθῶς. Τί γὰρ ἔδει λοιπὸν ὀνομάτων μνησθῆναι τὸν τοσαύτῃ χρησάμενον ὑπερβολῇ, ὡς καὶ ἅπαντας, καὶ τοὺς ἄνω καὶ τοὺς κάτω, περιλαβεῖν; Διὰ μὲν γὰρ τοῦ εὐαγγελιστὰς καὶ ἀγγέλους ἀναθεματίσαι, πᾶν ἀξίωμα περιέγραψε· διὰ δὲ τοῦ ἑαυτόν, πᾶσαν οἰκειότητα καὶ γνησιότητα. Μὴ γάρ μοι εἴπῃς, ὅτι οἱ συναπόστολοί σου καὶ ἑταῖροι ταῦτα λέγουσιν· οὐδὲ γὰρ ἐμαυτοῦ φείδομαι τοιαῦτα κηρύττοντος. Ταῦτα δὲ οὐχ ὡς καταγινώσκων τῶν ἀποστόλων φησίν, οὐδὲ ὡς παραβαινόντων τὸ κήρυγμα, ἄπαγε· «Εἴτε γὰρ ἡμεῖς, εἴτε ἐκεῖνοι», φησίν, «οὕτω κηρύσσομεν»· ἀλλὰ δεῖξαι βουλόμενος, ὅτι ἀξίωμα προσώπων οὐ προσίεται, ὅταν περὶ ἀληθείας ὁ λόγος ᾖ.

«Ἄρτι γὰρ ἀνθρώπους πείθω, ἢ τὸν Θεόν; ἢ ζητῶ ἀνθρώποις ἀρέσκειν; Εἰ γὰρ ἔτι ἀνθρώποις ἤρεσκον, Χριστοῦ δοῦλος οὐκ ἂν ἤμην». Εἰ γὰρ καὶ ὑμᾶς ἠπάτων, φησί, ταῦτα λέγων, μὴ τὸν Θεὸν δύναμαι παραλογίσασθαι τὸν τὰ ἀπόρρητα τῆς διανοίας εἰδότα, καὶ ᾧ πᾶσά μοι σπουδὴ διαπαντὸς ἀρέσκειν; Εἶδες φρόνημα ἀποστολικόν; εἶδες ὕψος

---

40. Α' Κορ. 15, 11.
41. Γαλ. 1, 10.

ρουσιάζει ὁ Χριστὸς νὰ τὰ λέγῃ αὐτά, διὰ νὰ δείξῃ ὅτι καὶ ἂν ἀκόμη ἀναστηθοῦν νεκροί, θέλει νὰ εἶναι πιὸ ἀξιόπιστοι αἱ Γραφαί. Ὁ δὲ Παῦλος — καὶ ὅταν λέγω τὸν Παῦλον πάλιν τὸν Χριστὸν λέγω, διότι αὐτὸς ἦτο ἐκεῖνος ὁ ὁποῖος ἐκίνει τὴν ψυχήν του — καὶ ἀπὸ ἀγγέλους οἱ ὁποῖοι καταβαίνουν ἀπὸ τὸν οὐρανόν, αὐτὰς προτιμᾷ· καὶ πολὺ ὀρθῶς. Διότι οἱ ἄγγελοι, ἔστω καὶ ἂν εἶναι μεγάλοι, εἶναι πάντως ὑπηρέται καὶ λειτουργοί, ἐνῷ αἱ Γραφαὶ καθ' ὁλοκληρίαν ὄχι ἀπὸ δούλους, ἀλλὰ ἀπὸ τὸν Κύριον τῶν πάντων ἀφοῦ ἐγράφησαν παρεδόθησαν εἰς ἐμᾶς.

Διὰ τοῦτο λέγει· «ἐὰν κάποιος σᾶς κηρύξῃ διαφορετικὸν εὐαγγέλιον ἀπὸ αὐτὸ τὸ ὁποῖον σᾶς ἐκηρύξαμεν». Καὶ δὲν εἶπεν ὁ τάδε καὶ ὁ τάδε, μὲ πολλὴν σύνεσιν καὶ χωρὶς φορτικότητα. Διότι τί ἐχρειάζετο νὰ μνημονεύσῃ ὀνόματα αὐτὸς ὁ ὁποῖος τόσην ὑπερβολὴν ἐχρησιμοποίησεν ὥστε νὰ συμπεριλάβῃ ὅλους, καὶ τοὺς ἄνω καὶ τοὺς κάτω; Διότι μὲ τὸ νὰ ἀναθεματίσῃ μὲν Εὐαγγελιστὰς καὶ ἀγγέλους, περιέκλεισε κάθε ἀξίωμα· μὲ τὸ νὰ ἀναθεματίσῃ δὲ καὶ τὸν ἑαυτόν του, κάθε συγγένειαν καὶ οἰκειότητα. Μὴ μοῦ εἴπῃς δηλαδὴ ὅτι καὶ οἱ συναπόστολοί μου καὶ οἱ φίλοι αὐτὰ λέγουν· διότι οὔτε τὸν ἑαυτόν μου φείδομαι κηρύττων αὐτά. Αὐτὰ δὲ λέγει ὄχι κατηγορῶν τοὺς ἀποστόλους, οὔτε ὡσὰν ἐκεῖνοι νὰ παραβαίνουν τὸ κήρυγμα, μακρυὰ ἀπὸ τέτοιαν σκέψιν· διότι λέγει, «εἴτε λοιπὸν ἐγώ, εἴτε ἐκεῖνοι, τὰ ἴδια κηρύσσομεν»[40]· ἀλλ' ἐπειδὴ θέλει νὰ δείξῃ ὅτι δὲν ὑπολογίζει ἀξίωμα προσώπων ὅταν ὁ λόγος εἶναι διὰ τὴν ἀλήθειαν.

«Ζητῶ τὴν εὔνοιαν τῶν ἀνθρώπων τώρα ἢ τοῦ Θεοῦ; Ἢ μήπως ζητῶ νὰ γίνω ἀρεστὸς εἰς τοὺς ἀνθρώπους; Ἐὰν ἐζητοῦσα ἀκόμη νὰ εἶμαι ἀρεστὸς εἰς ἀνθρώπους, δὲν θὰ ἤμουν δοῦλος τοῦ Χριστοῦ»[41]. Ἐὰν λοιπὸν λέγων αὐτὰ ἐξηπάτων ἐσᾶς, λέγει, μήπως δύναμαι νὰ ἐξαπατήσω καὶ τὸν Θεόν, ὁ ὁποῖος γνωρίζει τὰ ἀπόρρητα τῆς ψυχῆς καὶ ποὺ ὅλος μου ὁ ἀγὼν εἶναι νὰ ἀρέσω εἰς αὐτόν; Εἶδες ἀποστολικὸν φρόνημα; Εἶδες εὐαγγελικὸν ὕψος; Τὰ ἴδια

εὐαγγελικόν; Τὰ αὐτὰ δὲ ταῦτα καὶ Κορινθίοις ἐπιστέλλων ἔλεγεν· «Οὐχ ὑμῖν ἀπολογούμεθα, ἀλλ' ἀφορμὴν διδόντες ὑμῖν καυχήματος»· καὶ πάλιν, «Ἐμοὶ δὲ εἰς ἐλάχιστόν ἐστιν, ἵνα ὑφ' ὑμῶν ἀνακριθῶ, ἢ ὑπὸ ἀνθρωπίνης ἡμέρας». Ἐπειδὴ γὰρ μαθηταῖς διδάσκαλος ὢν ἀναγκάζεται ἀπολογεῖσθαι ὑπομένει μὲν αὐτό, δυσανασχετεῖ δέ, οὐ δι' ἀπόνοιαν, μὴ γένοιτο, ἀλλὰ διὰ τὴν εὐκολίαν τῆς τῶν ἀπατωμένων γνώμης, καὶ τὸ μὴ σφόδρα παρ' αὐτοῖς πιστεύεσθαι. Διὸ καὶ ταῦτα εἴρηκε, μονονουχὶ λέγων· μὴ γὰρ πρὸς ὑμᾶς μοι ὁ λόγος ἐστί; μὴ γὰρ ἄνθρωποί μοι δικάζειν μέλλουσι; πρὸς τὸν Θεὸν ἡμῖν ἐστιν ὁ λόγος, καὶ ὑπὲρ τῶν εὐθυνῶν τῶν ἐκεῖ ἅπαντα πράττομεν, καὶ οὐκ ἂν εἰς τοσοῦτον ἤλθομεν ἀθλιότητος, ὡς μέλλοντες ἀπολογεῖσθαι τῷ πάντων Δεσπότῃ ὑπὲρ ὧν κηρύττομεν, διαφθείρειν τὰ δόγματα. Ὥστε ὁμοῦ μὲν ἀπολογούμενος, ὁμοῦ δὲ αὐτῶν κατεξανιστάμενος, ταῦτα τέθεικε.

Τοὺς γὰρ μαθητευομένους οὐ δικάζειν τοῖς διδασκάλοις, ἀλλὰ πιστεύειν προσῆκεν· ἐπειδὴ δὲ ἀντεστράφη ἡ τάξις, καὶ κριταὶ καθέζεσθε, φησί, μάθετε ὅτι τῆς μὲν πρὸς ὑμᾶς ἀπολογίας οὐ πολύς μοι λόγος, τὸ δὲ πᾶν διὰ τὸν Θεὸν πράττομεν, καὶ ὥστε ἐκείνῳ περὶ τῶν δογμάτων ἀπολογήσασθαι τούτων. Ὁ μὲν γὰρ ἀνθρώπους θέλων πεῖσαι, πολλὰ ὕπουλα ποιεῖ καὶ διεστραμμένα, καὶ ἀπάτῃ κέχρηται καὶ ψεύδει, ὥστε πεῖσαι καὶ ἑλεῖν τὴν τῶν ἀκουόντων γνώμην· ὁ δὲ Θεὸν πείθων, καὶ ἀρέσκειν ἐκείνῳ σπουδάζων, ἁπλῆς δεῖται διανοίας καὶ καθαρᾶς· ἀνεξαπάτητον γὰρ τὸ θεῖον. Ὅθεν δῆλον, ὅτι καὶ ἡμεῖς, φησίν, οὐ φιλαρχίας ἕνεκεν, οὐδὲ ὥστε μαθητὰς ἔχειν, οὐδὲ τῆς παρ' ὑμῶν ἐφιέμενοι δόξης ταῦτα γράφομεν· οὐ γὰρ ἀνθρώποις ἀρέσαι ἐσπουδάκαμεν, ἀλλὰ

---

42. Β' Κορ. 5, 12.
43. Α' Κορ. 4, 3.

δὲ ἔλεγεν καὶ εἰς τὴν πρὸς Κορινθίους ἐπιστολήν του· «δὲν συνιστῶμεν πάλιν τοὺς ἑαυτούς μας εἰς ἐσᾶς, ἀλλὰ σᾶς δίδομεν ἀφορμὴν νὰ καυχᾶσθε δι' ἐμᾶς»[42]· καὶ πάλιν· «Ὡς πρὸς ἐμέ, μοῦ εἶναι τελείως ἀδιάφορον νὰ κριθῶ ἀπὸ ἐσᾶς ἢ ἀπὸ ἀνθρώπινον δικαστήριον»[43]. Διότι ἐπειδή, ἐνῷ εἶναι διδάσκαλος, ἀναγκάζεται νὰ ἀπολογῆται εἰς τοὺς μαθητάς, τὸ ἀνέχεται μέν, ἀλλὰ μὲ δυσαρέσκειαν, ὄχι ἀπὸ ἀφροσύνην, μὴ γένοιτο, ἀλλὰ διὰ τὸ ὅτι τόσον εὐκόλως ἐξαπατᾶται ἡ ψυχή των καὶ ὅτι δὲν γίνεται πολὺ πιστευτὸς ἀπὸ αὐτούς. Διὰ τοῦτο καὶ εἶπεν αὐτά, ὄχι μόνον λέγων· μήπως θὰ ἀπολογηθῶ εἰς ἐσᾶς; Ἢ μήπως πρόκειται νὰ μὲ δικάσουν ἄνθρωποι; Εἰς τὸν Θεὸν θὰ δώσωμεν λόγον, καὶ διὰ τὰς εὐθύνας αἱ ὁποῖαι θὰ ζητηθοῦν ἐκεῖ τὰ κάμνομεν ὅλα, καὶ δὲν ἔχομεν καταντήσει εἰς τέτοιον σημεῖον ἀθλιότητος, ὥστε, ἐνῷ πρόκειται ν' ἀπολογηθῶμεν εἰς τὸν Κύριον τῶν πάντων δι' ὅσα κηρύττομεν, νὰ διαστρέφωμεν τὰς ἀληθείας τῆς πίστεως. Ὥστε αὐτὰ τὰ ἔγραψε καὶ ἀπολογούμενος καὶ ἐπαναστατῶν ἐναντίον των.

Διότι εἰς τοὺς μαθητὰς δὲν ἁρμόζει νὰ δικάζουν τοὺς διδασκάλους, ἀλλὰ νὰ πιστεύουν εἰς αὐτούς· ἐπειδὴ ὅμως, λέγει, ἔχει ἀντιστραφῆ ἡ τάξις καὶ αὐτοδιορίζεσθε κριταί, μάθετε ὅτι διὰ μὲν τὴν πρὸς ἐσᾶς ἀπολογίαν μου δὲν θὰ ὁμιλήσω πολύ, ἀλλὰ διὰ τὸν Θεὸν πράττομεν τὸ πᾶν, ἐφ' ὅσον εἰς ἐκεῖνον θὰ ἀπολογηθῶμεν δι' αὐτὸ τὸ κήρυγμα. Διότι ἐκεῖνος μὲν ὁ ὁποῖος θέλει νὰ πείσῃ ἀνθρώπους, πολλὰ δόλια καὶ διεστραμμένα κάνει, καὶ χρησιμοποιεῖ καὶ ἀπάτην καὶ ψεῦδος, διὰ νὰ πείσῃ καὶ νὰ κερδίσῃ τὴν γνώμην τῶν ἀκροατῶν· ἀλλ' ἐκεῖνος ὁ ὁποῖος θέλει νὰ πείσῃ τὸν Θεὸν καὶ προσπαθεῖ νὰ ἀρέσῃ εἰς ἐκεῖνον, χρειάζεται μόνον ἁπλοῦν καὶ καθαρὸν νοῦν· διότι δὲν ἐξαπατᾶται ὁ Θεός. Ἀπὸ τὸν ὁποῖον εἶναι φανερόν, λέγει, ὅτι καὶ ἐμεῖς τὰ γράφομεν αὐτά, ὄχι ἐξ αἰτίας φιλαρχίας, οὔτε διὰ νὰ ἔχωμεν μαθητάς, οὔτε ποθοῦντες νὰ κερδίσωμεν δόξαν ἀπὸ ἐσᾶς· διότι δὲν ἀγωνιζόμεθα νὰ ἀρέσωμεν εἰς τοὺς ἀνθρώπους,

Θεῷ. Εἰ γὰρ ἤθελον ἀνθρώποις ἀρέσκειν, ἔτι μετὰ Ἰουδαίων ἤμην, ἔτι τὴν ἐκκλησίαν ἐδίωκον. Ὁ δὲ ἔθνους ὁλοκλήρου καὶ οἰκείων καὶ φίλων καὶ συγγενῶν καὶ δόξης τοσαύτης καταφρονήσας, καὶ ἀνταλλαξάμενος τούτων διωγμοὺς καὶ ἔχθρας καὶ πολέμους καὶ θανάτους καθημερινούς, εὔδηλον ὅτι καὶ ταῦτα, ἃ λέγω νῦν, οὐ τῆς τῶν ἀνθρώπων δόξης ἐφιέμενος λέγω.

10. Τοῦτο δὲ εἴρηκεν, ἐπειδὴ μέλλει καὶ τὸν πρότερον αὐτοῦ διηγεῖσθαι βίον, καὶ τὴν ἀθρόαν μεταβολήν, καὶ δεικνύναι δι' ἐναργῶν ἀποδείξεων, ὅτι μετὰ ἀληθείας μετέστη, ἵνα μὴ νομίσωσιν, ὅτι αὐτοῖς ἀπολογούμενος ταῦτα ποιεῖ, καὶ ἐπαρθῶσι. Διὰ τοῦτο προεῖπεν· «Ἄρτι γὰρ ἀνθρώπους πείθω;». Οἶδε γὰρ εἰς καιρὸν τὸν προσήκοντα πρὸς τὴν τῶν μαθητευομένων διόρθωσιν καὶ ὑψηλὸν καὶ μέγα τι φθέγγεσθαι. Καίτοιγε ἦν ἑτέρωθεν τὰς ἀποδείξεις ποιήσασθαι τοῦ μετὰ ἀληθείας κηρύττειν, ἀπὸ τῶν σημείων, ἀπὸ τῶν θαυμάτων, ἀπὸ τῶν κινδύνων, ἀπὸ τῶν δεσμωτηρίων, ἀπὸ τῶν καθημερινῶν θανάτων, ἀπὸ τοῦ λιμοῦ καὶ τοῦ δίψους καὶ τῆς γυμνότητος, ἀπὸ τῶν ἄλλων τῶν τοιούτων.

Ἀλλ' ἐπειδὴ οὐ πρὸς τοὺς ψευδαποστόλους, ἀλλὰ πρὸς τοὺς ἀποστόλους ὁ λόγος ἦν αὐτῷ νῦν, ἐκεῖνοι δὲ καὶ τούτων ἦσαν κεκοινωνηκότες, τῶν κινδύνων λέγω, ἑτέρωθεν μεθοδεύει τὸν λόγον. Ἐπεί, ὅτε πρὸς τοὺς ψευδαποστόλους ἀπετείνατο, οὕτω προάγει τὴν σύγκρισιν, τὴν ἐν τοῖς κινδύνοις ὑπομονὴν εἰς μέσον φέρων καὶ λέγων· «Διάκονοι Χριστοῦ εἰσι; παραφρονῶν λαλῶ· ὑπὲρ ἐγώ· ἐν κόποις περισσοτέρως, ἐν πληγαῖς ὑπερβαλλόντως, ἐν φυλακαῖς περισσοτέρως, ἐν θανάτοις πολλάκις»· νῦν μέντοι τὴν προτέραν ἀναστροφὴν λέγει, καί φησι· «Γνωρίζω ὑμῖν, ἀδελφοί, τὸ εὐαγγέλιον τὸ εὐαγγελισθὲν ὑπ' ἐμοῦ, ὅτι οὐκ ἔστι κατὰ ἄνθρωπον. Οὐδὲ γὰρ ἐγὼ παρὰ ἀνθρώπου παρέλαβον αὐ-

44. Β' Κορ. 11, 23.

ἀλλ' εἰς τὸν Θεόν. Διότι ἐὰν ἤθελον νὰ ἀρέσω εἰς τοὺς ἀνθρώπους, θὰ ἤμουν ἀκόμη μὲ τοὺς Ἰουδαίους καὶ θὰ κατεδίωκον ἀκόμη τὴν ἐκκλησίαν. Ὅταν ὅμως ὁλόκληρον ἔθνος καὶ οἰκείους καὶ φίλους καὶ συγγενεῖς καὶ τόσην δόξαν κατεφρόνησα καὶ ἀντήλλαξα αὐτὰ μὲ διωγμοὺς καὶ ἔχθρας καὶ πολέμους καὶ θανάτους καθημερινούς, εἶναι ὁλοφάνερον ὅτι καὶ αὐτὰ τὰ ὁποῖα λέγω τώρα, δὲν τὰ λέγω ἐπιδιώκων τὴν ἀνθρωπίνην δόξαν.

10. Εἶπε δὲ αὐτό, ἐπειδὴ πρόκειται νὰ διηγηθῇ καὶ τὸν μέχρι τώρα βίον του καὶ τὴν ἀκαριαίαν μεταβολήν του, καὶ νὰ δείξῃ μὲ σαφεῖς ἀποδείξεις, ὅτι πραγματικῶς μετεστράφη, διὰ νὰ μὴ νομίσουν ὅτι ἀπολογούμενος εἰς αὐτοὺς κάνει αὐτὰ καὶ ὑπερηφανευθοῦν. Διὰ τοῦτο εἶπε προηγουμένως· «Ζητῶ τώρα τὴν εὔνοιαν τῶν ἀνθρώπων;». Διότι γνωρίζει εἰς τὴν κατάλληλον στιγμὴν νὰ λέγῃ κάτι μεγάλο καὶ ὑψηλὸν διὰ τὴν διόρθωσιν τῶν μαθητῶν. Ἂν καὶ βεβαίως ἦτο δυνατὸν καὶ ἀπὸ ἀλλοῦ νὰ λάβῃ τὰς ἀποδείξεις ὅτι κηρύττει ἀληθῶς, δηλαδὴ ἀπὸ τὰ σημεῖα, ἀπὸ τὰ θαύματα, ἀπὸ τοὺς κινδύνους, ἀπὸ τὰς φυλακάς, ἀπὸ τοὺς καθημερινοὺς θανάτους, ἀπὸ τὴν πεῖναν καὶ ἀπὸ τὴν δίψαν καὶ τὴν γυμνότητα καὶ ἀπὸ τὰ ἄλλα παρόμοια.

Ἀλλ' ἐπειδὴ ὁ λόγος ἐγίνετο τώρα ὄχι διὰ τοὺς ψευδαποστόλους, ἀλλὰ διὰ τοὺς ἀποστόλους καὶ εἶχον καὶ ἐκεῖνοι δοκιμάσει αὐτά, δηλαδὴ τοὺς κινδύνους, ἐπιχειρεῖ ἀπὸ ἀλλοῦ νὰ στηρίξῃ τὸν λόγον. Ἐπειδή, ὅταν ἀπετείνετο εἰς τοὺς ψευδαποστόλους, ἔτσι ἔκανε τὴν σύγκρισιν, παρουσιάζων τὴν ὑπομονὴν εἰς τοὺς κινδύνους καὶ λέγων· «Ὑπηρέται τοῦ Χριστοῦ εἶναι; Ὁμιλῶ ὡσὰν παράφρων, ἐγὼ ὑπερτερῶ αὐτῶν· εἰς κόπους πολὺ περισσότερον, εἰς μαστιγώσεις εἰς μεγάλον βαθμόν, εἰς φυλακίσεις πολὺ περισσότερον, πολλὰς φορὰς ἐκινδύνευσα νὰ θανατωθῶ»[44]· τώρα ὅμως ὁμιλεῖ διὰ τὴν προηγουμένην μεταστροφὴν καὶ λέγει· «σᾶς κάνω γνωστὸν ἀδελφοί, ὅτι τὸ εὐαγγέλιον τὸ ὁποῖον ἐκηρύχθη ἀπὸ ἐμὲ δὲν εἶναι ἀνθρώπινον, διότι οὔτε τὸ ἔλαβον, οὔτε

τό, οὐδὲ ἐδιδάχθην, ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ».

Ὅρα πῶς ἄνω καὶ κάτω τοῦτο διϊσχυρίζεται, ὅτι τοῦ Χριστοῦ γέγονε μαθητής, οὐκ ἀνθρώπου μεσιτεύοντος, ἀλλ' αὐτοῦ δι' ἑαυτοῦ καταξιώσαντος ἀποκαλύψαι τὴν γνῶσιν αὐτῷ πᾶσαν. Καὶ ποία τοῖς ἀπιστοῦσιν ἀπόδειξις γένοιτ' ἂν τοῦ τὸν Θεὸν ἀποκαλύψαι σοι δι' ἑαυτοῦ, καὶ μὴ διὰ μέσου τινός, τὰ ἀπόρρητα ἐκεῖνα μυστήρια; Ἡ προτέρα ἀναστροφή, φησίν· οὐ γὰρ ἄν, εἰ μὴ Θεὸς ἦν ὁ ἐκκαλύπτων, οὕτως ἀθρόαν ἔσχον μεταβολήν. Οἱ μὲν γὰρ ὑπὸ ἀνθρώπων διδασκόμενοι, ὅταν σφοδροὶ καὶ διακαεῖς ὦσιν ἐν τοῖς ἐναντίοις, χρόνου δέονται καὶ πολλῆς τῆς μηχανῆς πρὸς τὸ πεισθῆναι· ὁ δὲ οὕτως ἀθρόον μεταστάς, καὶ ἐν αὐτῇ τῇ τῆς μανίας ἀκμῇ καθαρῶς νήψας, εὔδηλον ὅτι θείας τυχὼν ὄψεως καὶ διδασκαλίας, ἀθρόον πρὸς τὴν καθαρὰν ἐπανῆλθε ὑγείαν.

Διὰ τοῦτο ἀναγκάζεται περὶ τῆς προτέρας αὐτοῦ διηγήσασθαι ἀναστροφῆς, καὶ μάρτυρας αὐτοὺς καλεῖ τῶν γενομένων. Ὅτι μὲν γὰρ κατηξίωσεν ὁ τοῦ Θεοῦ μονογενὴς Υἱὸς δι' ἑαυτοῦ με καλέσαι ἐκ τῶν οὐρανῶν, ὑμεῖς οὐκ ἴστε· πῶς γάρ, οἱ μὴ παρόντες; ὅτι δὲ διώκτης ἤμην σφοδρός, ἴστε. Καὶ γὰρ μέχρις ὑμῶν ἡ σφοδρότης ἡ ἐμὴ διεδόθη· καίτοι πολὺ τὸ διάστημα Παλαιστινῶν καὶ Γαλατῶν· ὥστε οὐκ ἂν τοσοῦτον διέβη ἡ φήμη, εἰ μὴ πολλὴ ἡ τῶν γινομένων ὑπερβολὴ ἦν, καὶ πᾶσιν ἀφόρητος. Διὸ καί φησιν· «Ἠκούσατε γὰρ τὴν ἐμὴν ἀναστροφήν, ὅτι καθ' ὑπερβολὴν ἐδίωκον τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθουν αὐτήν». Ὁρᾷς πῶς ἕκαστον μετὰ ἐπιτάσεως τίθησι, καὶ οὐκ αἰσχύνεται; Οὐ γὰρ ἁπλῶς ἐδίωκεν, ἀλλὰ μεθ' ὑπερβολῆς ἀπά-

---

45. Γαλ. 1. 11, 12.
46. Γαλ. 1, 13.

τὸ ἐδέχθην ἀπὸ ἀνθρώπους, ἀλλὰ δι' ἀποκαλύψεως Ἰησοῦ Χριστοῦ»[45].

Πρόσεξε πῶς μὲ κάθε τρόπον ὑποστηρίζει αὐτὸ θερμῶς, ὅτι ἔγινε μαθητὴς τοῦ Χριστοῦ, ὄχι μὲ τὴν μεσολάβησιν ἀνθρώπου, ἀλλ' ἀφοῦ ὁ ἴδιος αὐτοπροσώπως τὸν ἔκρινεν ἄξιον νὰ ἀποκαλύψῃ εἰς αὐτὸν ὅλην τὴν ἀλήθειαν. Καὶ ποία ἀπόδειξις ὑπάρχει δι' ὅσους ἀπιστοῦν, ὅτι ὁ Θεὸς σοῦ ἀπεκάλυψεν αὐτοπροσώπως, καὶ ὄχι διὰ μέσου κάποιου ἄλλου, ἐκεῖνα τὰ ἀπόρρητα μυστήρια; Ἡ προηγουμένη μεταστροφή, λέγει· διότι ἂν ὁ ἀποκαλύπτων δὲν ἦτο ὁ Θεός, δὲν θὰ ἐδεχόμην τόσον ἀκαριαίαν μεταβολήν. Διότι ἐκεῖνοι μὲν οἱ ὁποῖοι διδάσκονται ὑπὸ ἀνθρώπων, ὅταν εἶναι διακαεῖς καὶ φανατικοὶ εἰς τὰ ἀντίθετα, χρειάζονται χρόνον καὶ ἐπινοητικότητα πολλὴν διὰ νὰ πεισθοῦν· ἐκεῖνος ὅμως ὁ ὁποῖος μετέστη τόσον ἀκαριαίως καὶ ἀνένηψε καὶ εἰς αὐτὸ ἀκόμη τὸ ἀποκορύφωμα τῆς μανίας, εἶναι ὁλοφάνερον ὅτι ἐπειδὴ ἠξιώθη θεϊκῆς ὁράσεως καὶ διδασκαλίας, διὰ τοῦτο ἀμέσως ἐπανῆλθεν εἰς τὴν τελείαν ὑγείαν.

Διὰ τοῦτο ἀναγκάζεται νὰ διηγηθῇ τὴν προηγουμένην του μεταστροφὴν καὶ καλεῖ αὐτοὺς ὡς μάρτυρας τῶν ὅσων ἔγιναν. Διότι, διὰ τὸ ὅτι μὲν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ μὲ ἔκρινεν ἄξιον διὰ νὰ μὲ καλέσῃ ὁ ἴδιος αὐτοπροσώπως ἀπὸ τὸν οὐρανόν, σεῖς δὲν γνωρίζετε — διότι πῶς εἶναι δυνατόν, ἐφ' ὅσον δὲν εἴσθε παρόντες; Ἀλλὰ τὸ ὅτι ἤμουν φανατικὸς διώκτης τὸ γνωρίζετε. Διότι μέχρι καὶ ἐσᾶς διεδόθη ὁ φανατισμός μου, ἂν καὶ ἦτο μεγάλη ἡ ἀπόστασις μεταξὺ Παλαιστινίων καὶ Γαλατῶν· ὥστε δὲν θὰ ἔφθανε τόσον μακρὰν ἡ φήμη ἐὰν τὰ γινόμενα δὲν ἐγίνοντο μὲ τόσην πολλὴν καὶ ἀνυπόφορον εἰς ὅλους ὑπερβολήν. Διὰ τοῦτο καὶ λέγει· «Ἔχετε ἀκούσει, βεβαίως, τὴν ἄλλοτε διαγωγήν μου εἰς τὸν Ἰουδαϊσμόν, ὅτι δηλαδὴ ὑπερβολικῶς κατεδίωκον τὴν ἐκκλησίαν τοῦ Θεοῦ καὶ τὴν ἐπολέμουν»[46]. Βλέπεις πῶς τὸ κάθε ἕνα γράφει μὲ ἔμφασιν καὶ δὲν ἐντρέπεται; Ὄχι λοιπὸν ἁπλῶς ἐδίωκεν, ἀλλὰ καὶ μὲ κάθε ὑπερβολήν,

σης, καὶ οὐκ ἐδίωκε μόνον, ἀλλὰ καὶ ἐπόρθει, τουτέστι, σβέσαι ἐπεχείρει τὴν ἐκκλησίαν, καταστρέψαι καὶ καθελεῖν, ἀφανίσαι· τοῦτο γὰρ πορθοῦντος ἔργον.

«Καὶ προέκοπτον ἐν τῷ Ἰουδαϊσμῷ ὑπὲρ πολλοὺς συνηλικιώτας ἐν τῷ γένει μου, περισσοτέρως ζηλωτὴς ὑπάρχων τῶν Πατρικῶν μου παραδόσεων». Ἵνα γὰρ μὴ νομίσῃς, ὅτι θυμοῦ τὸ πρᾶγμα ἦν, δείκνυσιν ὅτι ζήλῳ τὸ πᾶν ἐποίει, εἰ καὶ μὴ κατ' ἐπίγνωσιν, οὐκ ἀπὸ κενοδοξίας οὐδὲ ἔχθραν ἐκδικῶν, ἀλλὰ ζηλωτὴς ὑπάρχων τῶν Πατρικῶν μου παραδόσεων». Ὃ δέ φησι, τοῦτό ἐστιν· Εἰ τὰ κατὰ τῆς Ἐκκλησίας οὐ δι' ἄνθρωπον ἔπραττον, ἀλλὰ διὰ ζήλου θεῖον, ἐσφαλμένον μέν, ζῆλον δὲ ὅμως· πῶς νῦν ὑπὲρ τῆς Ἐκκλησίας τρέχων καὶ τὴν ἀλήθειαν ἐπιγνούς, διὰ κενοδοξίαν ταῦτα πράττω; Εἰ γὰρ ἐν τῷ σφάλλεσθαι οὐκ ἐκράτει μου πάθος τοιοῦτον, ἀλλ' ὁ τοῦ Θεοῦ ζῆλος ἐπὶ τοῦτό με ἤγαγε, πολλῷ μᾶλλον, ὅτε τὴν ἀλήθειαν ἐπέγνων, πάσης ἀπηλλάχθαι τοιαύτης δίκαιος ἂν εἴην ὑπονοίας. Ὁμοῦ τε γὰρ μετέστην πρὸς τὰ τῆς Ἐκκλησίας δόγματα, καὶ πᾶσαν ἀπεδυσάμην πρόληψιν Ἰουδαϊκήν, πολλῷ πλείονα ζῆλον ἐνταῦτα ἐπιδειξάμενος· ὅπερ σημεῖόν ἐστι τοῦ μετὰ ἀληθείας μεταστῆναι, καὶ ζήλῳ κατεχόμενον θείῳ. Ἐπεὶ εἰ μὴ τοῦτο ἦν, τί ἦν ἕτερον, εἰπέ μοι, τὸ παρασκευάζον γενέσθαι τοσαύτην μεταβολήν, καὶ ὕβριν τιμῆς, καὶ κινδύνους ἀνέσεως, καὶ ταλαιπωρίαν ἀδείας ἀλλάξασθαι; Οὐκ ἔστιν οὐδέν, ἀλλ' ὁ τῆς ἀληθείας ἔρως μόνος.

11. Ὅτε δὲ ηὐδόκησεν ὁ Θεός, ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ, ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοί, ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι».

---

47. Γαλ. 1, 14.

καὶ ὄχι μόνον ἐδίωκεν, ἀλλὰ καὶ ἐπολέμει, δηλαδὴ ἐπεχείρει νὰ σβήσῃ τὴν ἐκκλησίαν, νὰ τὴν καταστρέψῃ καὶ νὰ τὴν κατακρημνίσῃ, νὰ τὴν ἀφανίσῃ· διότι αὐτὸ εἶναι ἔργον τοῦ πολεμοῦντος.

«Καὶ εἶχον μεγαλυτέρας προόδους εἰς τὸν Ἰουδαϊσμὸν ἀπὸ πολλοὺς συνομηλίκους συμπατριώτας μου, μὲ τὸν ὑπερβολικὸν ζῆλον ποὺ ἔδειχνα διὰ τὰς πατρικάς μου παραδόσεις»[47]. Διὰ νὰ μὴ νομίσῃς λοιπὸν ὅτι τὸ πρᾶγμα προήρχετο ἀπὸ θυμόν, δεικνύει ὅτι ἀπὸ ζῆλον τὰ ἔκαμνεν ὅλα, ἂν καὶ ὄχι κατ' ἐπίγνωσιν, οὔτε ἀπὸ κενοδοξίαν, οὔτε διὰ νὰ ἐκδικηθῇ κάποιαν ἔχθραν, ἀλλὰ «ἀπὸ ὑπερβολικὸν ζῆλον διὰ τὰς πατρικάς μου παραδόσεις». Ἐκεῖνο δὲ τὸ ὁποῖον ἐννοεῖ, εἶναι αὐτό· ἐὰν ὅσα ἔκανα ἐναντίον τῆς ἐκκλησίας, τὰ ἔκανα κινούμενος ὄχι ἀπὸ ἀνθρώπινα πάθη, ἀλλὰ ἀπὸ ζῆλον θεϊκὸν — ἐσφαλμένον μέν, ἀλλὰ πάντως ζῆλον —, πῶς τώρα ποὺ τρέχω ὑπὲρ τῆς ἐκκλησίας καὶ ἔχω γνωρίσει τὴν ἀλήθειαν εἶναι δυνατὸν νὰ ἐνεργῶ ἀπὸ κενοδοξίαν; Διότι ἐὰν ὅταν ἔσφαλον δὲν ἐπεκράτει εἰς ἐμὲ τέτοιον πάθος, ἀλλὰ ὁ ζῆλος τοῦ Θεοῦ μὲ ὡδήγησεν εἰς τοῦτο, πολὺ περισσότερον, ὅταν ἐγνώρισα τὴν ἀλήθειαν, δικαίως θὰ ἔπρεπε νὰ ἀπαλλαγῶ ἀπὸ κάθε τέτοιαν ὑπόνοιαν. Διότι συγχρόνως μετεστράφην πρὸς τὴν πίστιν τῆς ἐκκλησίας καὶ ἀπεδύθην κάθε Ἰουδαϊκὴν προκατάληψιν, καὶ ἐπέδειξα ἐδῶ πολὺ περισσότερον ζῆλον· πρᾶγμα τὸ ὁποῖον εἶναι σημεῖον ὅτι ἀληθῶς μετεστράφην, καὶ ὅτι κατέχομαι ἀπὸ θεῖον ζῆλον. Διότι, ἐὰν δὲν ἦτο αὐτό, τί ἄλλο, εἰπέ μου, θὰ προεκάλει τόσον μεγάλην μεταβολὴν ὥστε νὰ ἀλλάξω τὴν τιμὴν μὲ τὴν ἀτιμίαν, τὴν ἄνεσιν μὲ τοὺς κινδύνους καὶ τὴν ἀνάπαυσιν μὲ τὴν ταλαιπωρίαν; Τίποτε ἄλλο δὲν εἶναι, παρὰ μόνον ὁ ἔρως τῆς ἀληθείας.

11. «Ὅταν ὅμως ηὐδόκησεν ὁ Θεός, ὁ ὁποῖος μὲ ἐξεχώρισεν ἀπὸ τὴν κοιλίαν τῆς μητρός μου καὶ μὲ ἐκάλεσε διὰ τῆς χάριτός του, νὰ ἀποκαλύψῃ μέσα μου τὸν Υἱόν του, διὰ νὰ κηρύττω αὐτὸν εἰς τὰ ἔθνη, ἀμέσως δὲν συνεβουλεύ-

Ὅρα τί σπουδάζει ἐνταῦθα δεῖξαι, ὅτι καὶ τὸν χρόνον, ὃν ἐγκατελείφθη, διά τινα οἰκονομίαν ἀπόρρητον ἀφείθη. Εἰ γὰρ ἐκ κοιλίας μητρὸς ἀφώριστο γενέσθαι ἀπόστολος, καὶ κληθῆναι πρὸς τὴν διακονίαν ταύτην ἐκλήθη δὲ τότε καὶ ἅμα κληθεὶς ὑπήκουσε· δῆλον ὅτι ὁ Θεὸς δι' ἀπόρρητόν τινα αἰτίαν ἀνεβάλλετο τέως. Τίς οὖν αὕτη ἡ οἰκονομία; Τάχα προοίμιον ἀκοῦσαι κεχήνατε, τί δήποτε οὐ μετὰ τῶν δώδεκα αὐτὸν ἐκάλεσεν· ἀλλ' ἵνα μὴ τοῦ κατεπείγοντος ἀποστάς, μακρότερον ποιήσω τὸν λόγον, παρακαλῶ τὴν ὑμετέραν ἀγάπην μὴ πάντα παρ' ἐμοῦ μανθάνειν, ἀλλὰ καὶ ἐξ ἑαυτῶν ζητεῖν, καὶ τὸν Θεὸν παρακαλεῖν ἀποκαλύπτειν. Καὶ ἡμῖν δὲ εἴρηταί τις ὑπὲρ τούτων λόγος, ὅτε περὶ τῆς μεταθέσεως αὐτοῦ τῆς προσηγορίας πρὸς ὑμᾶς διαλεγόμεθα, καὶ τίνος ἕνεκεν Σαῦλον καλούμενον, Παῦλον ἐκάλεσεν· εἰ δὲ ἐπιλέλησθε, ἐντυχόντες ἐκείνῳ τῷ βιβλίῳ, πάντα εἴσεσθε ταῦτα. Τέως δὲ τῆς ἀκολουθίας ἐχώμεθα, καὶ σκοπῶμεν πῶς πάλιν δείκνυσιν οὐδὲν ἀνθρώπινον περὶ αὐτὸν γεγενημένον, ἀλλὰ πάντα τὸν Θεὸν τὰ κατ' αὐτὸν μετὰ πολλῆς οἰκονομοῦντα προνοίας.

«Καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ». Ὁ μὲν Θεός φησι διὰ τὴν ἀρετὴν αὐτοῦ κεκληκέναι αὐτόν· «Σκεῦος γὰρ ἐκλογῆς μοί ἐστι», πρὸς τὸν Ἀνανίαν ἔλεγε, «τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων», τουτέστιν, ἱκανὸς διακονῆσαι καὶ ἔργον ἐπιδεῖξαι μέγα· καὶ ταύτην τὴν αἰτίαν τῆς κλήσεως τίθησιν· αὐτὸς δὲ πανταχοῦ τῆς χάριτος εἶναί φησι τὸ πᾶν καὶ τῆς φιλανθρωπίας αὐτοῦ τῆς ἀφάτου, οὕτω λέγων· «Ἀλλ' ἠλεήθην», οὐχ ὅτι ἱκανὸς ἤμην, οὐδ' ὅτι ἐπιτήδειος ἀλλ', «ἵνα ἐν ἐμοὶ ἐνδείξηται τὴν πᾶσαν μακροθυμίαν πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν

48. Γαλ. 1. 15, 16.
49. Πράξ. 9, 15.

θην ἀνθρώπους»[48]. Πρόσεξε τί προσπαθεῖ νὰ δείξῃ ἐδῶ, ὅτι καὶ κατὰ τὸν χρόνον κατὰ τὸν ὁποῖον ἐγκατελείφθη, διὰ κάποιαν ἀπόρρητον οἰκονομίαν παρημελήθη. Διότι ἐὰν ἀπὸ τὴν κοιλίαν τῆς μητρός του προωρίσθη νὰ γίνῃ ἀπόστολος καὶ νὰ κληθῇ εἰς αὐτὴν τὴν διακονίαν, ἐκλήθη ὅμως τότε, καὶ μόλις ἐκλήθη ὑπήκουσεν, εἶναι φανερὸν ὅτι διὰ κάποιαν ἀπόρρητον αἰτίαν ἀνέβαλλεν ὁ Θεὸς μέχρι τότε. Ποία εἶναι λοιπὸν αὐτὴ ἡ οἰκονομία; Ἴσως ἔχοντες ἀκούσει τὸ προοίμιον ἔχετε ἀπορήσει διατί δὲν ἐκάλεσεν αὐτὸν μαζὶ μὲ τοὺς δώδεκα· ἀλλὰ διὰ νὰ μὴ κάνω μακρότερον τὸν λόγον, απομακρυνθεὶς ἀπὸ ἐκεῖνο τὸ ὁποῖον ἐπείγει, παρακαλῶ τὴν ἀγάπην σας νὰ μὴ μανθάνῃ τὰ πάντα ἀπὸ ἐμένα, ἀλλὰ καὶ μόνοι σας νὰ ζητῆτε, καὶ τὸν Θεὸν νὰ παρακαλῆτε νὰ σᾶς ἀποκαλύπτῃ. Καὶ εἰς ἐσᾶς δὲ ἔχει ἐκφωνηθῇ κάποιος λόγος δι' αὐτά, ὅταν ὡμιλούσαμεν διὰ τὴν ἀλλαγὴν τῆς ὀνομασίας αὐτοῦ καὶ διὰ ποῖον λόγον, ἐνῷ ὠνομάζετο Σαῦλος, τὸν ὠνόμασε Παῦλον· ἂν ὅμως ἔχετε λησμονήσει, ἀφοῦ ἀναγνώσετε ἐκεῖνο τὸ βιβλίον, θὰ τὰ γνωρίσετε ὅλα αὐτά. Ἐν τῷ μεταξὺ ὅμως ἂς ἔλθωμεν εἰς τὴν συνέχειαν, καὶ ἂς ἐξετάσωμεν πῶς δεικνύει πάλιν ὅτι τίποτε ἀνθρώπινον δὲν ἔγινε γύρω ἀπὸ αὐτόν, ἀλλὰ ὅλα ἔγιναν ἀπὸ τὸν Θεόν, ὁ ὁποῖος ἐπρονόει δι' αὐτὸν μὲ πολλὴν φροντίδα.

«Καὶ μὲ ἐκάλεσε διὰ τῆς χάριτός του». Ὁ μὲν Θεός, λέγει, ἐξ αἰτίας τῆς ἀρετῆς του τὸν ἐκάλεσε· διότι «εἶναι ὄργανον ἐκλογῆς μου» ἔλεγε πρὸς τὸν Ἀνανίαν, «διὰ νὰ φέρῃ τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων»[49], δηλαδὴ ἱκανὸς νὰ ὑπηρετήσῃ καὶ νὰ ἐπιδείξῃ μέγα ἔργον· καὶ αὐτὴν τὴν αἰτίαν τῆς κλήσεως ἐκθέτει· ὁ δὲ Παῦλος παντοῦ διακηρύττει ὅτι τὸ πᾶν εἶναι ἔργον τῆς χάριτος καὶ τῆς ἀρρήτου φιλανθρωπίας τοῦ Θεοῦ, λέγων ἔτσι· «ἀλλὰ ἠλεήθην», ὄχι διότι ἤμουν ἱκανός, οὔτε χρήσιμος, ἀλλὰ «διὰ νὰ δείξῃ ὁ Ἰησοῦς Χριστὸς τὴν ὅλην μακροθυμίαν του πρῶτον εἰς ἐμέ, καὶ νὰ χρησιμεύσω ὡς πρότυπον εἰς ἐκείνους οἱ ὁποῖοι μελλοντικῶς θὰ πιστεύσουν εἰς αὐτὸν διὰ νὰ ἀποκτήσουν

ἐπ' αὐτῷ εἰς ζωὴν αἰώνιον». Εἶδες ταπεινοφροσύνης ὑπερβολήν; Διὰ τοῦτο ἐγώ φησίν, ἠλεήθην, ἵνα μηδεὶς ἀπογνῷ, ὡς τοῦ πάντων ἀνθρώπων κακίστου φιλανθρωπίας ἀπολελαυκότος. Τοῦτο γὰρ δηλοῖ τῷ εἰπεῖν, «ἵνα ἐν ἐμοὶ ἐνδείξηται τὴν πᾶσαν μακροθυμίαν πρὸς ὑποτύπωσιν τῶν μελλόντων πιστεύειν ἐπ' αὐτῷ».

Ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐν ἐμοί». Ἀλλαχοῦ δέ φησιν ὁ Χριστός, «Οὐδεὶς γινώσκει τὸν Υἱόν, εἰ μὴ ὁ Πατήρ, καὶ οὐδεὶς γινώσκει τὸν Πατέρα, εἰ μὴ ὁ Υἱός, καὶ ᾧ ἂν βούληται ὁ Υἱὸς ἀποκαλύψαι». Εἶδες ὅτι καὶ ὁ Πατὴρ Υἱόν, καὶ ὁ Υἱὸς Πατέρα ἀποκαλύπτει; Οὕτω καὶ ἐπὶ τῆς δόξης, καὶ ὁ Υἱὸς δοξάζει Πατέρα, καὶ ὁ Πατὴρ Υἱόν· «Δόξασόν με», φησίν, «ἵνα δοξάσω σε»· καί, «Καθὼς σε ἐγὼ ἐδόξασα». Διὰ τί δὲ μὴ εἶπεν, ἀποκαλύψαι τὸν Υἱὸν αὐτοῦ ἐμοί, ἀλλ', «ἐν ἐμοί»; Δεικνὺς ὅτι οὐ διὰ ῥημάτων μόνον ἤκουσε τὰ περὶ τῆς πίστεως, ἀλλὰ καὶ πολλοῦ Πνεύματος ἐπληρώθη, τῆς ἀποκαλύψεως καταλαμπούσης αὐτοῦ τὴν ψυχήν, καὶ τὸν Χριστὸν εἶχεν ἐν ἑαυτῷ λαλοῦντα.

Ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν». Οὐ γὰρ τὸ πιστεῦσαι μόνον, ἀλλὰ καὶ τὸ χειροτονηθῆναι αὐτὸν παρὰ τοῦ Θεοῦ γέγονεν. Οὕτω γάρ μοι αὐτὸν ἀπεκάλυψεν, οὐχ ἵνα αὐτὸν ἴδω μόνον, ἀλλ' ἵνα καὶ εἰς ἄλλους ἐξενέγκω. Καὶ οὐκ εἶπεν ἄλλους ἁπλῶς, ἀλλ', «ἵνα εὐαγγελίζωμαι αὐτὸν ἐν τοῖς ἔθνεσιν», ἐντεῦθεν ἤδη προανακρουόμενος οὐ μικρὸν τῆς ἀπολογίας κεφάλαιον, ἀπὸ τοῦ τῶν μαθητῶν προσώπου. Οὐ γὰρ ὁμοίως Ἰουδαίοις καὶ τοῖς ἔθνεσι κηρύττειν ἀναγκαῖον ἦν. «Εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι». Τοὺς ἀποστόλους ἐνταῦθα αἰνίττεται, ἀπὸ τῆς φύσεως αὐτοὺς καλῶν. Εἰ δὲ καὶ περὶ πάντων ἀνθρώπων τοῦτό φησιν, οὐδὲ ἡμεῖς ἀντεροῦμεν.

---

50. Α' Τιμ. 1, 16.
51. Λουκᾶ 10, 22.
52. Ἰωάν. 17, 1.
53. Ἰωάν. 17, 4.

τὴν αἰώνιον ζωὴν»[50]. Εἶδες ὑπερβολὴν ταπεινοφροσύνης; Διὰ τοῦτο ἐλεήθην ἐγώ, λέγει, διὰ νὰ μὴ ἀπελπισθῇ κανείς, ἐφ' ὅσον ἐγὼ ὁ κάκιστος ὅλων τῶν ἀνθρώπων ἀπήλαυσα φιλανθρωπίας ἀπὸ τὸν Θεόν. Διότι αὐτὸ φανερώνει ὅταν λέγῃ «διὰ νὰ δείξῃ τὴν ὅλην μακροθυμίαν του πρῶτον εἰς ἐμέ, καὶ νὰ χρησιμεύσω ὡς πρότυπον εἰς ἐκείνους οἱ ὁποῖοι μελλοντικῶς θὰ πιστεύσουν εἰς αὐτόν».

«Νὰ ἀποκαλύψῃ μέσα μου τὸν Υἱόν του». Ἀλλοῦ δὲ λέγει ὁ Χριστός· «Οὐδεὶς γνωρίζει ποῖος εἶναι ὁ Υἱός, παρὰ ὁ Πατήρ, καὶ ποῖος εἶναι ὁ Πατήρ, παρὰ ὁ Υἱὸς καὶ ἐκεῖνος, εἰς τὸν ὁποῖον θέλει ὁ Υἱὸς νὰ τὸν ἀποκαλύψῃ»[51]. Εἶδες ὅτι καὶ ὁ Πατὴρ ἀποκαλύπτει τὸν Υἱὸν καὶ ὁ Υἱὸς τὸν Πατέρα; Ἔτσι καὶ ὡς πρὸς τὴν δόξαν καὶ ὁ Υἱὸς δοξάζει τὸν Πατέρα καὶ ὁ Πατὴρ τὸν Υἱόν· «δόξασε τὸν Υἱόν σου», λέγει, «διὰ νὰ σὲ δοξάσῃ καὶ ὁ Υἱός σου»[52]· καὶ «ἐγώ σὲ ἐδόξασα ἐπὶ τῆς γῆς»[53]. Διατί ὅμως δὲν εἶπεν, νὰ ἀποκαλύψῃ τὸν Υἱόν του εἰς ἐμέ, ἀλλὰ «μέσα μου»; Διὰ νὰ δείξῃ ὅτι τὰ τῆς πίστεως δὲν τὰ ἤκουσε μόνον διὰ λόγων, ἀλλ' ὅτι καὶ ἀπὸ πολλὴν χάριν τοῦ ἁγίου Πνεύματος ἔγινε πλήρης, καθὼς ἡ ἀποκάλυψις κατέλαμπε τὴν ψυχήν του καὶ εἶχε τὸν Χριστὸν ὁ ὁποῖος ὡμίλει μέσα του.

«Διὰ νὰ κηρύττω αὐτὸν εἰς τὰ ἔθνη». Διότι, ὄχι μόνον τὸ νὰ πιστεύσῃ, ἀλλὰ καὶ ἡ χειροτονία του ἀπὸ τὸν Θεὸν ἔγινε. Διότι μοῦ ἀπεκάλυψε τὸν ἑαυτόν του, ὄχι μόνον διὰ νὰ τὸν ἴδω, ἀλλὰ διὰ νὰ τὸν φανερώσω καὶ εἰς ἄλλους. Καὶ δὲν εἶπεν ἁπλῶς «ἄλλους», ἀλλὰ «διὰ νὰ κηρύττω αὐτὸν εἰς τὰ ἔθνη», προαναγγέλλων ἤδη ἀπὸ ἐδῶ κεφάλαιον ἀπολογίας ὄχι μικρόν, ἐνώπιον τῶν μαθητῶν. Διότι δὲν ἦτο ἀπαραίτητον νὰ κηρύττῃ παρομοίως εἰς τοὺς Ἰουδαίους καὶ εἰς τὰ ἔθνη. «Ἀμέσως δὲν συνεβουλεύθην ἀνθρώπους». Ἐδῶ ὑπαινίσσεται τοὺς ἀποστόλους, ὀνομάζων αὐτοὺς ἀπὸ τὴν ἀνθρωπίνην των φύσιν. Ἐὰν δὲ καὶ δι' ὅλους τοὺς ἀνθρώπους λέγῃ αὐτό, οὔτε ἡμεῖς θὰ ἀντείπωμεν.

«Οὐδὲ ἀνῆλθον εἰς Ἱεροσόλυμα πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους». Ταῦτα εἰ μέν τις αὐτὰ καθ' ἑαυτὰ ἐξετάσειε τὰ ῥήματα, δοκεῖ πολλῆς μεγαληγορίας γέμειν, καὶ πόρρω τοῦ φρονήματος εἶναι τοῦ ἀποστολικοῦ. Τὸ γὰρ ἑαυτῷ ψηφίζεσθαι, καὶ μηδένα λαμβάνειν κοινωνὸν τῆς γνώμης, ἀνοίας εἶναι δοκεῖ. «Εἶδον γάρ», φησίν, «ἄνθρωπον δόξαντα φρόνιμον εἶναι παρ' ἑαυτῷ, ἐλπίδα δὲ ἔχει μᾶλλον αὐτοῦ ὁ ἄφρων»· καί, «Οὐαὶ οἱ συνετοὶ παρ' ἑαυτοῖς, καὶ ἐνώπιον αὐτῶν ἐπιστήμονες»· καὶ αὐτὸς πάλιν, «Μὴ γίνεσθε φρόνιμοι παρ' ἑαυτοῖς». Οὐκ ἂν οὖν ὁ τοσαῦτα παρ' ἑτέρων ἀκούσας, καὶ αὐτὸς τὰ αὐτὰ παραινῶν ἑτέροις, τούτοις περιέπεσεν, οὐχ ὅτι Παῦλος, ἀλλ' οὐδὲ ὁ τυχὼν ἄνθρωπος. Ἀλλ', ὅπερ ἔφην, γυμνὴ μὲν αὕτη ἐξεταζομένη ἡ ῥῆσις καὶ ὑφορμεῖν καὶ προσίστασθαι δυναταί τισι τῶν ἀκροατῶν· ἂν δὲ τὴν αἰτίαν προσθῶμεν δι' ἣν ταῦτα ἐλέγετο, καὶ κροτήσουσι καὶ θαυμάσονται πάντες τὰ εἰρηκότα.

Τοῦτο τοίνυν ποιῶμεν. Οὐδὲ γὰρ δεῖ τὰ ῥήματα γυμνὰ ἐξετάζειν, ἐπεὶ πολλὰ ἕψεται τὰ ἀτοπήματα· οὐδὲ τὴν λέξιν καθ' ἑαυτὴν βασανίζειν, ἀλλὰ τῇ διανοίᾳ προσέχειν τοῦ γράφοντος. Καὶ γὰρ ἐν ταῖς ἡμετέραις διαλέξεσιν, ἂν μὴ τούτῳ ὦμεν κεχρημένοι τῷ τρόπῳ, καὶ τὴν γνώμην ἐξετάζωμεν τοῦ λέγοντος, πολλὰς ὑποστησόμεθα τὰς ἀπεχθείας, καὶ πάντα ἀνατραπήσεται. Καὶ τί δεῖ λέγειν ἐπὶ ῥημάτων, ὅπου καὶ ἐπὶ πραγμάτων ἂν μή τις τὸν κανόνα τοῦτον φυλάττῃ, πάντα ἄνω καὶ κάτω γενήσεται; Καὶ γὰρ καὶ ἰατροὶ καὶ τέμνουσι καὶ διακλῶσί τινα τῶν ὀστέων, καὶ λῃσταὶ ταῦτα ποιοῦσι πολλάκις. Πόσης οὖν ἀθλιότητος ἂν εἴη, ὅταν λῃστὴν καὶ

54. Γαλ. 1, 17.
55. Παροιμ. 26, 12.
56. Ἡσ. 5, 21.
57. Ρωμ. 12, 16.

«Οὔτε ἀνῆλθον εἰς τὰ Ἱεροσόλυμα εἰς ἐκείνους οἱ ὁποῖοι ἦσαν ἀπόστολοι πρὶν ἀπὸ ἐμέ»[54]. Αὐτοὺς μὲν τοὺς λόγους, ἐὰν τοὺς ἐξετάσῃ κανεὶς αὐτοὺς καθ' ἑαυτούς, φαίνονται ὅτι εἶναι πλήρεις ἀπὸ πολλὴν μεγαλοστομίαν καὶ ὅτι ἀπέχουν πολὺ ἀπὸ τὸ ἀποστολικὸν φρόνημα. Διότι τὸ νὰ ἀποφασίζῃ κανεὶς στηριζόμενος μόνον εἰς τὸν ἑαυτόν του καὶ νὰ μὴ συμβουλεύεται κανένα διὰ τὴν ἀπόφασίν του, φαίνεται ὅτι εἶναι σημεῖον ἀνοησίας. Διότι «εἶδον», λέγει, «ἄνθρωπον ὁ ὁποῖος φαντάζεται ἀφ' ἑαυτοῦ ὅτι εἶναι σοφός. Περισσοτέρα ἐλπὶς ὑπάρχει νὰ συνετισθῇ εἷς ἀνόητος, παρὰ αὐτὸς ὁ ἀλαζών»[55]· καὶ «ἀλλοίμονον εἰς ἐκείνους, οἱ ὁποῖοι εἶναι σοφοὶ εἰς τοὺς ἰδικούς των ὀφθαλμοὺς καὶ νουνεχεῖς κατὰ τὴν ἰδικήν των κρίσιν»[56]. Καὶ ὁ ἴδιος πάλιν· «νὰ μὴ εἶσθε ὑψηλόφρονες»[57]. Αὐτὸς λοιπὸν ὁ ὁποῖος τόσα ἤκουσεν ἀπὸ τοὺς ἄλλους, καὶ ὁ ἴδιος παραινεῖ τὰ αὐτὰ εἰς ἄλλους, δὲν θὰ περιέπιπτεν εἰς τέτοιο σφάλμα, ὄχι διότι ἦτο ὁ Παῦλος, ἀλλ' οὔτε ὁ ὁποιοσδήποτε ἄνθρωπος. Ἀλλά, ὅπως εἶπον, αὐτὴ καθ' ἑαυτὴν ἐξεταζομένη ἡ φράσις εἶναι δυνατὸν καὶ νὰ κάνῃ νὰ παραμονεύουν μὲ ἔχθραν καὶ νὰ ἐνοχλῇ μερικοὺς ἀπὸ τοὺς ἀκροατάς· ἂν ὅμως δείξωμεν τὴν αἰτίαν διὰ τὴν ὁποίαν ἐλέγοντο αὐτά, καὶ θὰ ἐπικροτήσουν καὶ θὰ θαυμάσουν ὅλοι ἐκεῖνον ὁ ὁποῖος τὰ εἶπεν.

Αὐτὸ λοιπὸν ἂς κάνωμεν. Διότι δὲν πρέπει νὰ ἐξετάζωμεν τοὺς λόγους καθ' ἑαυτούς, διότι τότε πολλὰ ἄτοπα θὰ ἀκολουθήσουν· οὔτε τὴν λέξιν νὰ βασανίζωμεν καθ' ἑαυτήν, ἀλλὰ νὰ προσέχωμεν εἰς τὸ πνεῦμα τοῦ γράφοντος. Διότι καὶ εἰς τὰς ἰδικάς μας ὁμιλίας, ἐὰν δὲν χρησιμοποιῶμεν αὐτὸν τὸν τρόπον, θὰ ὑποστῶμεν τὴν ἐχθρότητα πολλῶν, καὶ ὅλα θὰ κατακρημνισθοῦν. Καὶ τί χρειάζεται νὰ λέγωμεν διὰ τοὺς λόγους, ἐκεῖ ὅπου καὶ διὰ τὰ πράγματα, ἂν δὲν τηρῇ κανεὶς αὐτὸν τὸν κανόνα, ὅλα θὰ γίνουν ἄνω - κάτω; Διότι καὶ οἱ ἰατροὶ καὶ κόπτουν καὶ θραύουν ὡρισμένα ὀστᾶ, ἀλλὰ καὶ οἱ λησταὶ πολλὰς φορὰς κάνουν αὐτά. Πόσης ἀθλιότητος λοιπὸν θὰ ἦτο σημεῖον, ἂν δὲν ἠδυνάμεθα νὰ διακρίνω-

ἰατρὸν μὴ δυνηθῶμεν διελεῖν; Πάλιν ἀνδροφόνοι καὶ μάρτυρες τὰς αὐτὰς ὑπομένουσι βασάνους· ἀλλὰ πολὺ τὸ μέσον ἑκατέρων. Κἂν μὴ τοῦτον διατηρῶμεν τὸν κανόνα, οὐ δυνησόμεθα εἰδέναι ταῦτα, ἀλλὰ καὶ τὸν Ἠλίαν ἀνδροφόνον ἐροῦμεν, καὶ τὸν Σαμουὴλ καὶ τὸν Φινεές, τὸν δὲ Ἀβραὰμ καὶ παιδοκτόνον, εἰ τὰ πράγματα μέλλοιμεν ἐξετάζειν γυμνά, μὴ προστιθέντες αὐτοῖς τὴν τῶν ποιούντων γνώμην.

Ἐξετάσωμεν τοίνυν καὶ τοῦ Παύλου τὴν διάνοιαν, ἀφ' ἧς ταῦτα ἔγραψεν· ἴδωμεν αὐτοῦ τὸν σκοπόν, καὶ τίς ἦν διόλου περὶ τοὺς ἀποστόλους, καὶ τότε εἰσόμεθα ταῦτα ἐκ ποίας ἐλέγετο γνώμης. Οὐδὲ γὰρ ἐξευτελίζων ἐκείνους, οὔτε ἑαυτὸν ἐπαίρων, οὔτε ταῦτα εἴρηκεν, οὔτε τὰ πρότερα· πῶς γάρ, ὅπου καὶ ἑαυτὸν ἀνεθεμάτισεν; ἀλλὰ πανταχοῦ τοῦ εὐαγγελίου τὴν ἀσφάλειαν διατηρῶν. Ἐπειδὴ γὰρ ἔλεγον οἱ τὴν ἐκκλησίαν πορθοῦντες, ὅτι τοῖς ἀποστόλοις ἕπεσθαι δεῖ τοῖς μὴ κωλύουσι ταῦτα, οὐχὶ τῷ Παύλῳ τῷ κωλύοντι, ἐντεῦθεν δὲ κατὰ μικρὸν ἡ Ἰουδαϊκὴ πλάνη εἰσήγετο, ἀναγκάζεται στῆναι πρὸς ταῦτα γενναίως, οὐ τοὺς ἀποστόλους εἰπεῖν κακῶς βουλόμενος, ἀλλὰ τῶν οὐκ ὀρθῶς ἐπαιρόντων ἑαυτοὺς τὴν ἄνοιαν καταστεῖλαι βουλόμενος. Διὰ τοῦτό φησιν, «Οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι». Καὶ γὰρ ἦν ἀτοπίας ἐσχάτης τὸν παρὰ τοῦ Θεοῦ μαθόντα, ἀνθρώποις ἀνατίθεσθαι λοιπόν. Ὁ μὲν γὰρ παρ' ἀνθρώπου μανθάνων, εἰκότως ἀνθρώπους λαμβάνει κοινωνοὺς πάλιν· ὁ δὲ τῆς θείας ἐκείνης καὶ μακαρίας ἀξιωθεὶς φωνῆς, καὶ παρ' αὐτοῦ τοῦ τὸν θησαυρὸν ἔχοντος τῆς σοφίας πάντα διδαχθείς, τίνος ἕνεκεν λοιπὸν ἀνθρώποις ἀνετίθετο; Ὁ γὰρ τοιοῦτος οὐ μανθάνειν παρὰ ἀνθρώπων, ἀλλὰ διδάσκειν ἀνθρώπους δίκαιος ἂν εἴη.

μεν τὸν ληστὴν ἀπὸ τὸν ἰατρόν; Ἐπίσης οἱ δολοφόνοι καὶ οἱ μάρτυρες τὰ αὐτὰ βασανιστήρια ὑπομένουν· ἀλλὰ ὑπάρχει μεγάλη ἀπόστασις μεταξὺ τῶν δύο. Καὶ ἐὰν δὲν τηρῶμεν αὐτὸν τὸν κανόνα, δὲν θὰ δυνηθῶμεν νὰ γνωρίσωμεν αὐτά, ἀλλὰ καὶ τὸν Ἠλίαν θὰ ὀνομάσωμεν δολοφόνον, καὶ τὸν Σαμουὴλ καὶ τὸν Φινεές, τὸν δὲ Ἀβραὰμ καὶ παιδοκτόνον, ἐὰν πρόκειται νὰ ἐξετάζωμεν τὰ πράγματα γυμνά, χωρὶς νὰ λαμβάνωμεν ὑπ' ὄψιν εἰς αὐτὰ τὴν προαίρεσιν ἐκείνων οἱ ὁποῖοι τὰ πράττουν.

Ἂς ἐξετάσωμεν λοιπὸν καὶ τοῦ Παύλου τὴν σκέψιν, διὰ τὴν ὁποίαν ἔγραφεν αὐτά· ἂς ἴδωμεν τὸν σκοπόν του, καὶ ποῖος ἦτο γενικῶς διὰ τοὺς ἀποστόλους, καὶ τότε θὰ γνωρίσωμεν μὲ ποίαν προαίρεσιν ἐλέγοντο αὐτά. Διότι οὔτε ὑποτιμῶν ἐκείνους, οὔτε ἐξυψώνων τὸν ἑαυτόν του εἶπεν αὐτὰ ἢ τὰ προηγούμενα· διότι πῶς εἶναι δυνατόν, ἐφ' ὅσον καὶ τὸν ἑαυτόν του ἀνεθεμάτισεν; Ἀλλὰ τὰ εἶπεν αὐτά, διαφυλάττων παντοῦ τὴν ἀσφάλειαν τοῦ εὐαγγελίου. Διότι ἐπειδὴ ἔλεγον οἱ πολεμοῦντες ὅτι πρέπει νὰ ἀκολουθῇ τοὺς ἀποστόλους οἱ ὁποῖοι δὲν ἐμποδίζουν αὐτά, καὶ ὄχι τὸν Παῦλον ὁ ὁποῖος ἐμποδίζει, ἀπὸ ἐδῶ δὲ ὀλίγον κατ' ὀλίγον εἰσήγετο ἡ Ἰουδαϊκὴ πλάνη, ἀναγκάζεται νὰ ἀντισταθῇ γενναίως πρὸς αὐτά, ὄχι ἐπειδὴ θέλει νὰ εἴπῃ κακὸν διὰ τοὺς ἀποστόλους, ἀλλὰ θέλων νὰ καταστείλῃ τὴν ἀφροσύνην ἐκείνων οἱ ὁποῖοι ἐσφαλμένως ἐξυψώνουν τοὺς ἑαυτούς των. Διὰ τοῦτο γράφει· «Δὲν συνεβουλεύθην ἀνθρώπους». Διότι θὰ ἦτο ἡ μεγίστη ἀτοπία, αὐτὸς ὁ ὁποῖος ἐδιδάχθη ὑπὸ τοῦ Θεοῦ, νὰ συμβουλεύεται ἀνθρώπους. Διότι ὁ μὲν διδασκόμενος ὑπὸ ἀνθρώπων, δικαιολογημένως λαμβάνει ὡς κοινωνοὺς πάλιν ἀνθρώπους· ἀλλ' ἐκεῖνος ὁ ὁποῖος ἠξιώθη ἐκείνης τῆς θείας καὶ μακαρίας φωνῆς, καὶ διδαχθεὶς τὴν σοφίαν ἀπὸ αὐτὸν ὁ ὁποῖος ἔχει τὸν θησαυρόν, διὰ ποῖον λόγον νὰ συμβουλεύεται ἀνθρώπους; Διότι αὐτὸς θὰ ἦτο εὔλογον ὄχι νὰ μανθάνῃ ἀπὸ ἀνθρώπους, ἀλλὰ νὰ διδάσκῃ

Οὐ τοίνυν ἀπονοίας ἕνεκεν ταῦτα ἔλεγεν, ἀλλ' ὥστε δεῖξαι τοῦ οἰκείου κηρύγματος τὸ ἀξίωμα.

«Οὐδὲ ἀνῆλθον», φησί, «πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους». Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τοῦτο ἔλεγον, ὅτι πρὸ αὐτοῦ ἦσαν ἐκεῖνοι, πρὸ αὐτοῦ ἐκλήθησαν, οὐκ ἀνῆλθον πρὸς ἐκείνους, φησίν. Εἰ δὲ ἐχρῆν αὐτοῖς κοινώσασθαι, ὁ ἀποκαλύψας αὐτῷ τὸ κήρυγμα, καὶ τοῦτο ἂν αὐτῷ ἐκέλευσε. Τί οὖν, οὐκ ἀνῆλθεν ἐκεῖ; Καὶ μὴν ἀνῆλθε, καὶ οὐχ ἁπλῶς, ἀλλὰ μαθησόμενός τι παρ' αὐτῶν. Πότε; Ὅτε ἐν τῇ πόλει τῶν Ἀντιοχέων, τῇ τὸν πολὺν ζῆλον ἄνωθεν ἐπιδειξαμένῃ, Ἐκκλησία γέγονε περὶ αὐτοῦ τούτου τοῦ νῦν προκειμένου, καὶ ἐζήτουν πότερον χρὴ περιτέμνειν τοὺς ἐξ ἐθνῶν πιστεύοντας, ἢ μηδὲν τοιοῦτον αὐτοὺς ἀναγκάζειν ὑπομένειν, τότε ἀνῆλθεν αὐτὸς οὗτος ὁ Παῦλος καὶ Σίλας.

Πῶν οὖν φησιν, «οὐκ ἀνῆλθον, οὐδὲ ἀνεθέμην»; Ὅτι πρῶτον μὲν οὐκ αὐτὸς ἀνῆλθεν, ἀλλ' ἀπεστάλη παρ' ἑτέρων· δεύτερον δὲ οὐ μαθησόμενος παρεγένετο, ἀλλ' ἑτέρους πείθων. Αὐτὸς μὲν γὰρ ἐξ ἀρχῆς ταύτης εἴχετο τῆς γνώμης, ἣν καὶ οἱ ἀπόστολοι μετὰ ταῦτα ἐκύρωσαν, τὸ μὴ δεῖν περιτέμνεσθαι· ἐπειδὴ δὲ αὐτοῖς οὐκ ἐδόκει τέως ἀξιόπιστος εἶναι, ἀλλὰ τοῖς ἐν Ἰεροσολύμοις προσεῖχον, ἀνῆλθεν, οὐκ αὐτός τι εἰσόμενος πλέον, ἀλλὰ πείσων τοὺς ἀντιλέγοντας ὅτι καὶ οἱ ἐν Ἰεροσολύμοις τούτοις ψηφίζονται. Οὕτω καὶ ἐξ ἀρχῆς τὰ δέοντα συνεώρα, καὶ οὐδενὸς ἐδεῖτο διδασκάλου, ἀλλ' ἃ μετὰ πολλὴν διάκρισιν ἔμελλον οἱ ἀπόστολοι κυροῦν, ταῦτα αὐτὸς πρὸ τῆς διακρίσεως ἄνωθεν ἔσχεν ἀκίνητα παρ' ἑαυτῷ. Καὶ ταῦτα ὁ Λουκᾶς δηλῶν, ἔλεγεν, ὅτι πολὺν καὶ μακρὸν λόγον ὑπὲρ τούτων ἀπέτεινε πρὸς αὐτοὺς ὁ Παῦλος

ἀνθρώπους. Δὲν ἔλεγεν αὐτὰ λοιπὸν ἀπὸ ἀφροσύνην, ἀλλὰ διὰ νὰ δείξῃ τὸ ἀξίωμα τοῦ ἰδικοῦ του κηρύγματος.

«Οὔτε ἀνῆλθον», λέγει, «πρὸς ἐκείνους οἱ ὁποῖοι ἦσαν ἀπόστολοι πρὶν ἀπὸ ἐμέ». Διότι, ἐπειδὴ συνεχῶς αὐτὸ ἔλεγον, ὅτι ἐκεῖνοι ἦσαν πρὶν ἀπὸ αὐτόν, ὅτι ἐκλήθησαν πρὶν ἀπὸ αὐτόν, «δὲν ἀνῆλθον πρὸς ἐκείνους», λέγει. Διότι ἐὰν ἔπρεπε νὰ συναντήσῃ αὐτούς, ἐκεῖνος ὁ ὁποῖος τοῦ ἀπεκάλυψε τὸ κήρυγμα, θὰ ἔδιδεν ἐντολὴν εἰς αὐτὸν καὶ δι' αὐτό. Τί λοιπόν, δὲν ἀνῆλθεν ἐκεῖ; Βεβαίως καὶ ἀνῆλθε, καὶ ὄχι ἁπλῶς ἀνῆλθεν, ἀλλὰ καὶ διὰ νὰ μάθῃ κάτι ἀπὸ αὐτούς. Πότε; Ὅταν εἰς τὴν πόλιν τῶν Ἀντιοχέων, ἡ ὁποία ἐπέδειξε πολὺν ζῆλον, ἔγινε κατὰ θεῖον θέλημα σύναξις δι' αὐτὸ τὸ ἴδιον, διὰ τὸ ὁποῖον πρόκειται καὶ τώρα, καὶ συνεζήτουν, ποῖον ἀπὸ τὰ δύο πρέπει, νὰ περιτέμνωνται οἱ ἐξ ἐθνῶν προερχόμενοι πιστοί, ἢ νὰ μὴ τοὺς ἀναγκάζουν νὰ ὑφίστανται τίποτε τέτοιο, τότε ἀνῆλθεν αὐτὸς ὁ ἴδιος ὁ Παῦλος καὶ ὁ Σίλας.

Πῶς λοιπὸν λέγει, «δὲν ἀνῆλθον, οὔτε συνεβουλεύθην»; Διότι πρῶτον μὲν δὲν ἀνῆλθεν ἀπὸ μόνος του, ἀλλὰ ἐστάλη ἀπὸ ἄλλους· δεύτερον δὲ δὲν ἦλθε διὰ νὰ μάθῃ, ἀλλὰ διὰ νὰ πείσῃ ἄλλους. Διότι αὐτὸς μὲν ἀπὸ τὴν ἀρχὴν αὐτὴν τὴν γνώμην εἶχεν, τὴν ὁποίαν μετὰ ἀπὸ αὐτὰ ἐπεκύρωσαν καὶ οἱ ἀπόστολοι, ὅτι δηλαδὴ δὲν πρέπει νὰ περιτέμνωνται· ἐπειδὴ δὲ ἕως τότε δὲν ἐφαίνετο εἰς αὐτοὺς ὅτι εἶναι ἀξιόπιστος, ἀλλ' ἠκολούθουν τοὺς εἰς τὰ Ἱεροσόλυμα εὑρισκομένους, ἀνῆλθεν, ὄχι διὰ νὰ γνωρίσῃ αὐτὸς κάτι περισσότερον, ἀλλὰ διὰ νὰ πείσῃ τοὺς ἀντιλέγοντας, ὅτι καὶ οἱ εἰς τὰ Ἱεροσόλυμα εὑρισκόμενοι αὐτὰ προτιμοῦν. Ἔτσι καὶ ἀπὸ τὴν ἀρχὴν κατενόει τὰ πρέποντα καὶ κανένα διδάσκαλον δὲν ἐχρειάζετο, ἀλλ' αὐτὰ τὰ ὁποῖα μὲ πολλὴν διάκρισιν ἐπρόκειτο νὰ ἐπικυρώσουν οἱ ἀπόστολοι, αὐτὰ ὁ Παῦλος πρὶν ἀπὸ τὴν διάκρισιν εἶχεν ἄνωθεν μέσα του ἀκλόνητα. Καὶ γράφων δι' αὐτὰ ὁ Λουκᾶς ἔλεγεν, ὅτι ἀπηύθυνε μακρὸν καὶ διεξοδικὸν λόγον δι' αὐτὰ ὁ Παῦλος πρὸς αὐτοὺς καὶ πρὶν ἔλθῃ

καὶ πρὶν εἰς Ἱεροσόλυμα ἐλθεῖν. Ἐπειδὴ δὲ τοῖς ἀδελφοῖς ἔδοξε καὶ παρ' ἐκείνων μαθεῖν, ἀνῆλθεν, ὑπὲρ ἐκείνων, οὐχ ὑπὲρ ἑαυτοῦ. Εἰ δὲ λέγει, «οὐκ ἀνῆλθον», ἔστι κἀκεῖνο εἰπεῖν, ὅτι οὔτε ἐν προοιμίοις τοῦ κηρύγματος ἀνῆλθεν, οὔτε ἡνίκα ἀνῆλθεν, ἐπὶ τὸ μαθεῖν ἀνῆλθε. Καὶ γὰρ καὶ ταῦτα ἀμφότερα ἐπισημαίνεται, λέγων· «Εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι». Οὐκ εἶπεν ἁπλῶς, οὐ προσανεθέμην, ἀλλ', «εὐθέως». Εἰ δὲ μετὰ ταῦτα ἀνῆλθεν, οὐχ ὑπὲρ τοῦ τι προσλαβεῖν.

«Ἀλλὰ ἀπῆλθον εἰς Ἀραβίαν». Ὅρα ζέουσαν ψυχήν· τοὺς τόπους ἐσπούδαζε καταλαμβάνειν τοὺς οὐδέπω γεωργηθέντας, ἀλλ' ἀγριώτερον ἔτι διακειμένους. Εἰ γὰρ μετὰ τῶν ἀποστόλων ἀνέμενεν, οὐδὲν ἔχων μανθάνειν, τὸ κήρυγμα ἂν ἐνεποδίσθη· ἔδει γὰρ αὐτοὺς πανταχοῦ τὸν λόγον διαδοῦναι. Διὰ τοῦτο ὁ μακάριος οὗτος, ζέων τῷ πνεύματι, τῆς διδασκαλίας εὐθέως ἥπτετο ἀνθρώπων βαρβάρων καὶ ἀγρίων, βίον ἐναγώνιον αἱρούμενος, καὶ πολὺν ἔχοντα τὸν πόνον. Καὶ θέα μοι τὴν ταπεινοφροσύνην. Εἰπὼν γάρ, «Ἀπῆλθον εἰς Ἀραβίαν», ἐπήγαγε, «Καὶ πάλιν ὑπέστρεψα εἰς Δαμασκόν». Οὐ λέγει τὰ κατορθώματα αὐτοῦ, οὐδὲ τίνας κατήχησε καὶ πόσους, καίτοιγε ἅμα τῷ βαπτισθῆναι τοσοῦτον ἐπεδείξατο ζῆλον, ὡς συγχέειν Ἰουδαίους, καὶ εἰς τοσοῦτον ἤγαγε παροξυσμόν, ὡς ἐφεδρεύειν καὶ βούλεσθαι αὐτὸν ἀνελεῖν καὶ αὐτοὺς καὶ τοὺς Ἕλληνας· ὅπερ οὐκ ἂν ἐγένετο, εἰ μὴ πολλὴν ἐποίησε τοῖς πιστεύουσι τὴν προσθήκην. Ἐπειδὴ γὰρ ἡττῶντο τῇ διδασκαλίᾳ, λοιπὸν ἐπὶ φόνον ἐτρέποντο, ὅπερ τῆς τοῦ Παύλου νίκης σημεῖον καθαρὸν ἦν. Ἀλλ' οὐκ εἴασεν αὐτὸν ὁ Χριστὸς ἀποθανεῖν, τηρῶν αὐτὸν τῷ κηρύγματι.

Ἀλλ' ὅμως οὐδέν φησι τῶν κατορθωμάτων τούτων· οὕτως ἅπερ λέγει πάντα, οὐ φιλοτιμίας ἕνεκεν λέγει, οὐδὲ ὑπὲρ τοῦ νομισθῆναι τῶν ἀποστόλων μείζων, οὐδὲ δακνόμενος

---

58. Πράξ. 15, 2.

εἰς τὰ Ἱεροσόλυμα[58]. Ἐπειδὴ ὅμως εἰς τοὺς ἀδελφοὺς ἐφάνη καλὸν νὰ μάθουν καὶ ἀπὸ ἐκείνους, ἀνῆλθεν, ὄχι διὰ τὸν ἑαυτόν του, ἀλλὰ χάριν ἐκείνων. Ἐὰν δὲ λέγῃ «δὲν ἀνῆλθον», εἶναι διὰ νὰ εἴπῃ ὅτι οὔτε εἰς τὴν ἀρχὴν τοῦ κηρύγματος ἀνῆλθεν, οὔτε, ὅταν ἀνῆλθεν, ἀνῆλθε διὰ νὰ μάθῃ. Καὶ μάλιστα καὶ τὰ δύο αὐτὰ γνωστοποιεῖ, λέγων «ἀμέσως δὲν συνεβουλεύθην ἀνθρώπους». Δὲν εἶπεν ἁπλῶς δὲν συνεβουλεύθην, ἀλλὰ «ἀμέσως». Ἐὰν δὲ μετὰ ἀπὸ αὐτὰ ἀνῆλθε, δὲν τὸ ἔκανε διὰ νὰ προσλάβῃ κάτι.

«Ἀλλ' ἔφυγον εἰς τὴν Ἀραβίαν». Κοίταξε κοχλάζουσαν ψυχήν· προσεπάθει μὲ ζῆλον νὰ κυριεύσῃ τοὺς τόπους οἱ ὁποῖοι ἀκόμη δὲν εἶχον καλλιεργηθῆ, ἀλλὰ εὑρίσκοντο ἀκόμη εἰς ἀγριωτέραν κατάστασιν. Διότι ἐὰν ἀνέμενε μετὰ τῶν ἀποστόλων, ἐνῷ δὲν εἶχε τίποτε νὰ μάθῃ, θὰ ἠμποδίζετο τὸ κήρυγμα· ἀλλ' ἔπρεπεν αὐτοὶ νὰ διαδώσουν τὸν λόγον παντοῦ. Διὰ τοῦτο αὐτὸς ὁ μακάριος, κοχλάζων ἀπὸ τὴν χάριν τοῦ Πνεύματος, ἤρχιζεν ἀμέσως τὴν διδασκαλίαν ἀνθρώπων βαρβάρων καὶ ἀγρίων, ἐκλέγων βίον πλήρη ἀγωνίας καὶ πολλοῦ κόπου. Καὶ πρόσεξε τὴν ταπεινοφροσύνην. Διότι ἀφοῦ εἶπεν «ἔφυγον εἰς τὴν Ἀραβίαν», προσέθεσε «καὶ πάλιν ἐπέστρεψα εἰς τὴν Δαμασκόν». Δὲν λέγει τὰ κατορθώματά του, οὔτε ποίους ἐκατήχησε καὶ πόσους, ἂν καὶ βεβαίως ἀπὸ τότε ποὺ ἐβαπτίσθη τόσον ζῆλον ἔδειξεν, ὥστε νὰ ταράσσωνται οἱ Ἰουδαῖοι· καὶ τόσην ὀργὴν προεκάλεσεν εἰς αὐτούς, ὥστε νὰ τὸν παραμονεύουν καὶ νὰ θέλουν νὰ τὸν φονεύσουν καὶ αὐτοὶ καὶ οἱ Ἕλληνες· πρᾶγμα τὸ ὁποῖον δὲν θὰ συνέβαινεν, ἐὰν δὲν προσέθετε πολλοὺς πιστοὺς εἰς τοὺς ἤδη πιστεύοντας. Ἐπειδὴ λοιπὸν ἡττῶντο εἰς τὴν διδασκαλίαν, ὡδηγοῦντο εἰς φόνον, πρᾶγμα τὸ ὁποῖον ἦτο καθαρὸν σημεῖον τῆς νίκης τοῦ Παύλου. Ἀλλὰ δὲν ἄφησεν αὐτὸν ὁ Χριστὸς νὰ ἀποθάνῃ, φυλάττων αὐτὸν διὰ τὸ κήρυγμα.

Ἀλλ' ὅμως τίποτε δὲν λέγει ἀπὸ τὰ κατορθώματα αὐτά· ἔτσι, ὅσα λέγει πάντα, δὲν τὰ λέγει ἀπὸ φιλοδοξίαν, οὔτε διὰ νὰ νομισθῇ ὁ μεγαλύτερος τῶν ἀποστόλων, οὔτε ὀργιζό-

ἐπὶ τῷ ἐξευτελίζεσθαι, ἀλλὰ δεδοικὼς μή τι γένηται τῷ κηρύγματι βλάβος ἐντεῦθεν. Καὶ γὰρ ἔκτρωμα ἑαυτὸν καλεῖ, καὶ πρῶτον τῶν ἁμαρτωλῶν, καὶ ἔσχατον τῶν ἀποστόλων, καὶ τῆς προσηγορίας τῆς τοιαύτης ἀνάξιον· καὶ ταῦτα ἔλεγεν ὁ πλέον πάντων κοπιάσας, ὅπερ μάλιστά ἐστι ταπεινοφροσύνης. Ὁ μὲν γὰρ μηδὲν ἑαυτῷ συνειδὼς ἀγαθόν, ταπεινὰ δὲ περὶ ἑαυτοῦ λέγων, εὐγνώμων, οὐ ταπεινόφρων ἐστίν· ὁ δὲ μετὰ τοσούτους στεφάνους τοιαῦτα φθεγγόμενος, ἐκεῖνός ἐστιν ὁ μετριάζειν εἰδώς.

«Καὶ πάλιν ὑπέστρεψα», φησίν, «εἰς Δαμασκόν». Καίτοι πόσα ἐκεῖ εἰργάσθαι αὐτὸν εἰκὸς ἦν; Περὶ γὰρ τῆς πόλεώς φησι ταύτης, ὅτι πᾶσαν αὐτὴν ὁ ἐθνάρχης Ἀρέτα τοῦ βασιλέως ἐφύλαττε, τὸν μακάριον τοῦτον σαγηνεῦσαι βουλόμενος· ὅπερ σημεῖον μέγιστον ἦν τοῦ σφόδρα καὶ κατὰ κράτος ἐλαύνειν τοὺς Ἰουδαίους. Ἀλλ' οὐδὲν τούτων ἐνταῦθα λέγει, οὐδ' ἂν ἐκεῖ αὐτὰ τότε τέθεικεν, εἰ μὴ καὶ τότε τὸν καιρὸν εἶδεν ἐκεῖνον ἀπαιτοῦντα τὴν ἱστορίαν, ἀλλ' ἐσίγησεν ἄν· ὥσπερ οὖν καὶ ἐνταῦθα, ὅτι ἦλθε καὶ ἀπῆλθε λέγων, οὐκέτι προστίθησι τὰ ἐντεῦθεν γενόμενα.

13. «Ἔπειτα μετὰ τρία ἔτη ἀνῆλθον εἰς Ἱεροσόλυμα ἱστορῆσαι Πέτρον». Τί ταύτης ταπεινοφρονέστερον γένοιτ' ἂν τῆς ψυχῆς; Μετὰ τοσαῦτα καὶ τοιαῦτα τὰ κατορθώματα, μηδὲν Πέτρου δεόμενος, μηδὲ τῆς ἐκείνου φωνῆς, ἀλλ' ἰσότιμος ὢν αὐτῷ· πλέον γὰρ οὐδὲν ἐρῶ τέως· ὅμως ἀνέρχεται ὡς πρὸς μείζονα καὶ πρεσβύτερον· καὶ τῆς ἀποδημίας αὐτῷ τῆς ἐκεῖ γίνεται αἰτία ἡ ἱστορία Πέτρου μόνη. Ὁρᾷς πῶς τὴν προσήκουσαν αὐτοῖς ἀπονέμει τιμήν, καὶ οὐ μόνον ἀμείνω, ἀλλ' οὐδὲ ἴσον ἑαυτὸν ἐκείνων εἶναι νομίζει; Καὶ τοῦτο ἐκ τῆς ἀποδημίας ταύτης δῆλον. Καθάπερ γὰρ νῦν πολλοὶ

---

59. Β' Κορ. 11, 32.
60. Γαλ. 1, 18.

μενος διὰ τὸ ὅτι ὑποτιμᾶται, ἀλλὰ φοβούμενος μήπως ἀπὸ αὐτὸ προκληθῇ ζημία εἰς τὸ κήρυγμα. Καὶ μάλιστα ὀνομάζει ἔκτρωμα τὸν ἑαυτόν του, καὶ πρῶτον ἀπὸ τοὺς ἁμαρτωλοὺς καὶ τελευταῖον τῶν ἀποστόλων, καὶ ἀνάξιον τῆς προσηγορίας τοῦ ἀποστόλου· καὶ αὐτὰ ἔλεγεν αὐτὸς ὁ ὁποῖος ἐκοπίασε περισσότερον ἀπὸ ὅλους, πρᾶγμα τὸ ὁποῖον εἶναι σημεῖον μεγάλης ταπεινοφροσύνης. Διότι ὁ μὲν μὴ γνωρίζων κανὲν καλὸν εἰς τὸν ἑαυτόν του καὶ ὁμιλῶν ταπεινῶς διὰ τὸν ἑαυτόν του, δὲν εἶναι ταπεινόφρων, ἀλλὰ εὐγνώμων· αὐτὸς ὅμως ὁ ὁποῖος μετὰ ἀπὸ τόσους στεφάνους λέγει τέτοια, ἐκεῖνος εἶναι ὁ γνωρίζων νὰ μετριοφρονῇ.

«Καὶ πάλιν ἐπέστρεψα», λέγει, «εἰς τὴν Δαμασκόν». Καὶ ὅμως, πόσα θὰ πρέπει νὰ κατώρθωσεν αὐτὸς ἐκεῖ. Διότι διὰ τὴν πόλιν αὐτὴν λέγει ὅτι τὴν ἐφρούρει ὁ ἐθνάρχης τοῦ βασιλέως Ἀρέτα, ἐπειδὴ ἤθελε νὰ συλλάβῃ αὐτὸν τὸν μακάριον[59]· πρᾶγμα τὸ ὁποῖον ἦτο μεγίστη ἀπόδειξις τοῦ ὅτι ἐντόνως καὶ μὲ ὅλας των τὰς δυνάμεις τὸν κατεδίωκον οἱ Ἰουδαῖοι. Ἀλλὰ τίποτε ἐξ αὐτῶν δὲν λέγει ἐδῶ, οὔτε θὰ ἔγραφεν αὐτὰ ἐκεῖ τότε, ἂν καὶ τότε δὲν ἔβλεπεν ὅτι ἡ περίστασις ἀπῄτει τὴν διήγησιν, ἀλλὰ θὰ τὰ ἀπεσιώπα· ὅπως ἀκριβῶς λοιπὸν καὶ τώρα, ποὺ λέγει ὅτι ἦλθε καὶ ἀπῆλθε, καθόλου δὲν προβάλλει τὰ ὅσα ἔγιναν ἐδῶ.

13. «Ὕστερον, μετὰ ἀπὸ τρία ἔτη, ἀνῆλθον εἰς τὰ Ἱεροσόλυμα διὰ νὰ γνωρίσω τὸν Πέτρον»[60]. Τί θὰ ἠδύνατο νὰ εἶναι ταπεινοφρονέστερον αὐτῆς τῆς ψυχῆς; Μετὰ ἀπὸ τόσα καὶ τέτοια κατορθώματα, μὴ ἔχων ἀνάγκην εἰς τίποτε τὸν Πέτρον, οὔτε τὴν διδασκαλίαν του, ἀλλ' ἐνῷ ἦτο ἰσότιμος μὲ αὐτόν, διότι δὲν θὰ εἴπω τίποτε περισσότερον ἕως ἐδῶ, ἀνέρχεται παρ' ὅλ' αὐτὰ εἰς τὸν Πέτρον ὡς πρὸς μεγαλύτερον καὶ πρεσβύτερον· καὶ αἰτία τῆς ἐκεῖ ἀποδημίας του εἶναι μόνον ἡ γνωριμία τοῦ Πέτρου. Βλέπεις πῶς ἀποδίδει εἰς αὐτοὺς τὴν πρέπουσαν τιμήν, καὶ ὄχι μόνον καλύτερον, ἀλλ' οὔτε ἴσον μὲ ἐκείνους θεωρεῖ τὸν ἑαυτόν του; Καὶ αὐτὸ εἶναι φανερὸν ἀπὸ αὐτὴν τὴν ἀποδημίαν. Διότι ὅπως ἀ-

τῶν ἀδελφῶν τῶν ἡμετέρων πρὸς ἁγίους ἄνδρας ἀποδημοῦσιν, οὕτω καὶ Παῦλος πρὸς Πέτρον τότε διακείμενος ἀπήει· μᾶλλον δὲ καὶ πολλῷ ταπεινότερον. Οἱ μὲν γὰρ νῦν ὠφελείας ἕνεκεν ἀποδημοῦσιν· ὁ δὲ μακάριος τότε ἐκεῖνος, οὐχ ὡς μαθησόμενός τι παρ' αὐτοῦ, οὐδὲ ὡς διόρθωσίν τινα δεξόμενος, ἀλλὰ διὰ τοῦτο μόνον, ὥστε ἰδεῖν αὐτὸν καὶ τιμῆσαι τῇ παρουσίᾳ. «Ἱστορῆσαι γάρ», φησί, «Πέτρον».

Καὶ οὐκ εἶπεν, ἰδεῖν Πέτρον, ἀλ', «ἱστορῆσαι Πέτρον», ὅπερ οἱ τὰς μεγάλας πόλεις καὶ λαμπρὰς καταμανθάνοντες λέγουσιν. Οὕτω πολλῆς ἄξιον ἡγεῖτο σπουδῆς εἶναι καὶ τὸ μόνον ἰδεῖν τὸν ἄνδρα. Τοῦτο δὲ καὶ ἀπὸ τῶν Πράξεων δῆλον. Ὅτε γὰρ ἦλθεν εἰς Ἱεροσόλυμα, πολλοὺς τῶν ἐθνῶν ἐπιστρέψας, καὶ τοσαῦτα ἐργασάμενος, ὅσα τῶν ἑτέρων οὐδείς, τὴν Παμφυλίαν, τὴν Λυκαονίαν, τὸ Κιλίκων ἔθνος, πάντας τοὺς κατὰ τὸ μέρος ἐκεῖνο τῆς οἰκουμένης διορθωσάμενος καὶ τῷ Χριστῷ προσαγαγών, πρῶτον μὲν εἰσέρχεται πρὸς Ἰάκωβον μετὰ πολλῆς τῆς ταπεινοφροσύνης, ὡς πρὸς μείζονα καὶ τιμιώτερον. Ἔπειτα συμβουλεύοντος ἀνέχεται, καὶ συμβουλεύοντος ἐναντία τῶν νῦν. «Ὁρᾷς», γάρ, φησίν, «ἀδελφέ, πόσαι μυριάδες εἰσὶν Ἰουδαίων τῶν πεπιστευκότων; Ἀλλὰ ξύρησαι, καὶ ἁγνίσθητι». Καὶ ἐξυρήσατο, καὶ τὰ Ἰουδαϊκὰ πάντα ἐπετέλεσεν. Ἔνθα μὲν γὰρ οὐκ ἐβλάπτετο τὸ εὐαγγέλιον, πάντων ταπεινότερος ἦν· ἔνθα δὲ ἐκ τῆς ταπεινοφροσύνης ἑώρα τινὰς ἀδικουμένους, οὐκέτι ἐκέχρητο τούτῳ τῷ πλεονεκτήματι· τοῦτο γὰρ οὐκ ἦν λοιπὸν ταπεινοφρονεῖν, ἀλλὰ λυμαίνεσθαι καὶ διαφθείρειν τοὺς μαθητευομένους.

«Καὶ ἐπέμεινα πρὸς αὐτὸν ἡμέρας δεκαπέντε». Τὸ μὲν οὖν δι' αὐτὸν ἀποδημῆσαι, τιμῆς ἦν πολλῆς· τὸ δὲ καὶ ἐπιμεῖναι τοσαύτας ἡμέρας, φιλίας καὶ σφοδροτάτης ἀγάπης.

---

61. Πράξ. 21. 20, 24.
62. Γαλ. 1, 19.

κριβῶς πολλοὶ ἀπὸ τοὺς ἰδικούς μας ἀδελφοὺς ἀποδημοῦν πρὸς ἁγίους ἄνδρας, ἔτσι ᾐσθάνετο καὶ ὁ Παῦλος τότε, ὅταν ἀπῆλθεν εἰς τὸν Πέτρον· μᾶλλον δὲ καὶ πολὺ ταπεινότερον. Διότι οἱ μὲν σημερινοὶ ἀποδημοῦν διὰ νὰ ὠφεληθοῦν· ἐνῷ τότε ὁ μακάριος ἐκεῖνος, οὔτε διὰ νὰ μάθῃ κάτι ἀπὸ αὐτόν, οὔτε διὰ νὰ δεχθῇ κάποιαν διόρθωσιν, ἀλλὰ μόνον διὰ τοῦτο, διὰ νὰ ἰδῇ αὐτὸν καὶ νὰ τὸν τιμήσῃ μὲ τὴν παρουσίαν του. Διότι «διὰ νὰ γνωρίσω», λέγει, «τὸν Πέτρον».

Καὶ δὲν εἶπε, νὰ ἴδω τὸν Πέτρον, ἀλλὰ «νὰ γνωρίσω τὸν Πέτρον», ὅπως λέγουν ἐκεῖνοι οἱ ὁποῖοι γνωρίζουν τὰς μεγάλας καὶ λαμπρὰς πόλεις. Τόσον πολλοῦ κόπου ἐθεώρει ὅτι εἶναι ἄξιον καὶ τὸ νὰ ἴδῃ μόνον τὸν ἄνδρα. Τοῦτο δὲ εἶναι φανερὸν καὶ ἀπὸ τὰς Πράξεις. Διότι ὅταν ἦλθεν εἰς τὰ Ἱεροσόλυμα, ἀφοῦ μετέστρεψε πολλοὺς ἀπὸ τοὺς ἐθνικοὺς καὶ κατώρθωσε τόσα, ὅσα κανεὶς ἀπὸ τοὺς ἄλλους, τὴν Παμφυλίαν, τὴν Λυκαονίαν, τὴν Κιλικίαν, ὅλους ἀφοῦ διώρθωσεν εἰς τὴν περιοχὴν ἐκείνην τῆς οἰκουμένης καὶ ἀφοῦ ὡδήγησεν εἰς τὸν Χριστόν, πρῶτον μὲν ἔρχεται εἰς τὸν Ἰάκωβον μὲ πολλὴν ταπεινοφροσύνην, ὡς πρὸς μεγαλύτερον καὶ ἄξιον μεγαλυτέρας τιμῆς. Ὕστερον δέχεται νὰ τὸν συμβουλεύῃ, καὶ ἐνῷ συμβουλεύει ἀντίθετα τῶν τωρινῶν. Διότι λέγει· «βλέπεις, ἀδελφέ, ὅτι πολλαὶ χιλιάδες ἀπὸ τοὺς Ἰουδαίους ἔχουν πιστεύσει; Ἀλλὰ πλήρωσε τὰ ἔξοδα διὰ τὸ ξύρισμα τῆς κεφαλῆς αὐτῶν τῶν τεσσάρων ἀνδρῶν καὶ κάνε τὸ τυπικὸν τοῦ καθαρισμοῦ καὶ μὲ αὐτούς»[61]. Καὶ ἐξυρίσθη καὶ ὅλους τοὺς Ἰουδαϊκοὺς κανόνας ἐπετέλεσεν. Διότι ὅπου μὲν δὲν ἐβλάπτετο τὸ εὐαγγέλιον, ἦτο ταπεινότερος ὅλων· ὅταν δὲ ἀπὸ τὴν ταπεινοφροσύνην ἔβλεπε μερικοὺς νὰ ἀδικοῦνται, δὲν ἐχρησιμοποίει τοῦτο τὸ πλεονέκτημα· διότι τοῦτο δὲν θὰ ἦτο ταπεινοφροσύνη, ἀλλὰ θὰ ἔβλαπτε καὶ θὰ κατέστρεφε τοὺς μαθητάς.

«Καὶ ἔμεινα πλησίον του δεκαπέντε ἡμέρας»[62]. Τὸ νὰ ἀποδημήσῃ μὲν λοιπὸν ἦτο δι' αὐτὸν δεῖγμα μεγάλης ἐκτιμήσεως· ἀλλὰ τὸ καὶ νὰ παραμείνῃ τόσας ἡμέρας, ἦτο δεῖγμα

«Ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον, εἰ μὴ Ἰάκωβον τὸν ἀδελφὸν τοῦ Κυρίου». Ὅρα πῶς πρὸς τὸν Πέτρον μείζονα τὴν φιλίαν ἔχει· καὶ γὰρ δι' αὐτὸν ἀπεδήμησε, καὶ πρὸς αὐτὸν ἔμεινε. Ταῦτα δὲ καὶ λέγω συνεχῶς, καὶ ἀξιῶ φυλάττειν, ἵν' ὅταν ἀκούσητε, ἃ κατὰ Πέτρου δοκεῖ εἰρηκέναι, μηδεὶς ὑποπτεύσῃ τὸν ἀπόστολον. Διὰ γὰρ τοῦτο καὶ αὐτὸς τοῦτο προδιορθούμενος ταῦτά φησιν, ἵνα ὅταν λέγῃ, ὅτι ἀντέστην Πέτρῳ, μηδεὶς ἔχθρας καὶ φιλονεικίας ταῦτα εἶναι νομίσῃ τὰ ῥήματα. Καὶ γὰρ τιμᾷ τὸν ἄνδρα καὶ φιλεῖ μᾶλλον πάντων. Δι' οὐδένα γὰρ τῶν ἀποστόλων ἀνεληλυθέναι φησίν, ἀλλ' ἢ δι' αὐτὸν μόνον.

«Ἕτερον δὲ τῶν ἀποστόλων οὐκ εἶδον», φησίν, «εἰ μὴ Ἰάκωβον». Εἶδον, οὐκ ἐδιδάχθην. Ἀλλ' ὅρα καὶ τοῦτον μεθ' ὅσης τιμῆς ὠνόμασεν. Οὐ γὰρ εἶπεν ἁπλῶς, Ἰάκωβον, ἀλλὰ καὶ τὸ σεμνολόγημα προσέθηκεν· οὕτω βασκανίας ἁπάσης ἀπηλλαγμένος ἦν. Εἰ γὰρ σημῆναι ὃν ἔλεγεν ἤθελεν, ἐνῆν καὶ ἐξ ἑτέρου γνωρίσματος τοῦτο ποιῆσαι δῆλον, καὶ εἰπεῖν τὸν τοῦ Κλωπᾶ, ὅπερ καὶ ὁ εὐαγγελιστὴς ἔλεγεν. Ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλ' ἐπειδὴ τὰ τῶν ἀποστόλων σεμνολογήματα ἴδια εἶναι ἐνόμιζεν, ὡς ἑαυτὸν ἐπαίρων, οὕτω σεμνύνει κἀκεῖνον. Οὐ γὰρ ἐκάλεσεν αὐτὸν οὕτως, ὡς εἶπον, ἀλλὰ πῶς; «Τὸν ἀδελφὸν τοῦ Κυρίου». Καίτοιγε οὐδὲ κατὰ σάρκα ἀδελφὸς ἦν τοῦ Κυρίου, ἀλλ' οὕτως ἐνομίζετο· ἀλλ' ὅμως οὐδὲ οὕτως ἀπεστράφη τὸ ἀξίωμα θεῖναι τοῦ ἀνδρός. Καὶ πολλαχόθεν ἄλλοθεν δείκνυται, ὅτι διέκειτο πρὸς τοὺς ἀποστόλους πάντας οὕτω γνησίως, ὡς αὐτῷ πρέπον ἦν. «Ἃ δὲ γράφω ὑμῖν, ἰδοὺ ἐνώπιον τοῦ Θεοῦ, ὅτι οὐ ψεύδομαι». Εἶδες διὰ πάντων ὁμοίως ἐκλάμπουσαν τῆς ἁγίας ταύτης ψυχῆς τὴν ταπεινοφροσύνην; Καθάπερ γὰρ ἐν δικαστηρίῳ ἀγωνιζόμενος, καὶ

---

63. Γαλ. 1, 19.
64. Γαλ. 1, 20.

φιλίας καὶ σφοδροτάτης ἀγάπης. «Ἄλλον ἀπὸ τοὺς ἀποστόλους δὲν εἶδον, παρὰ τὸν Ἰάκωβον, τὸν ἀδελφὸν τοῦ Κυρίου»[63]. Πρόσεξε πῶς μεγαλυτέραν φιλίαν αἰσθάνεται διὰ τὸν Πέτρον· διότι δι' αὐτὸν ἀπεδήμησε καὶ εἰς αὐτὸν διέμεινε. Αὐτὰ δὲ λέγω συνεχῶς καὶ ζητῶ νὰ τὰ ἐνθυμῆσθε, ὥστε, ὅταν ἀκούσητε αὐτὰ τὰ ὁποῖα φαίνεται ὅτι ἔχει εἴπει ἐναντίον τοῦ Πέτρου, κανεὶς νὰ μὴ ὑποπτευθῇ τὸν ἀπόστολον. Διότι διὰ τοῦτο καὶ αὐτός, διὰ νὰ διορθώσῃ ἐκ τῶν προτέρων τοῦτο λέγει αὐτά, ὥστε, ὅταν λέγῃ ὅτι ἀντεστάθην εἰς τὸν Πέτρον, κανεὶς νὰ μὴ νομίσῃ ὅτι αὐτοὶ οἱ λόγοι προήρχοντο ἀπὸ ἔχθραν καὶ φιλονεικίαν. Διότι διὰ κανένα ἀπὸ τοὺς ἀποστόλους δὲν ἀνῆλθον, λέγει, παρὰ μόνον διὰ τοῦτον.

«Ἄλλον ἀπὸ τοὺς ἀποστόλους δὲν εἶδον», λέγει, «παρὰ τὸν Ἰάκωβον». Εἶδον, ὄχι ἐδιδάχθην. Ἀλλὰ πρόσεξε μὲ πόσην ἐκτίμησιν ὠνόμασε καὶ τὸν Ἰάκωβον. Δὲν εἶπεν ἁπλῶς «Ἰάκωβον», ἀλλὰ προσέθεσε καὶ τὸν ἐπαινετικὸν λόγον, τόσον ἦτο ἀπηλλαγμένος ἀπὸ κάθε φθόνον. Διότι ἐὰν ἤθελε νὰ δηλώσῃ αὐτὸν διὰ τὸν ὁποῖον ἔγραφεν, ἦτο δυνατὸν καὶ ἀπὸ ἄλλο γνώρισμα νὰ κάνῃ τοῦτο φανερόν, καὶ νὰ εἴπῃ τὸν υἱὸν τοῦ Κλωπᾶ, ὅπως γράφει καὶ ὁ εὐαγγελιστής. Δὲν εἶπεν ὅμως ἔτσι, ἀλλ' ἐπειδὴ τοὺς ἐπαίνους τῶν ἀποστόλων ᾐσθάνετο ὡς ἰδικούς του, ὡσὰν νὰ ἐξυψώνῃ τὸν ἑαυτόν του, ἔτσι ἐπαινεῖ ἐκεῖνον. Δὲν ὠνόμασε λοιπὸν αὐτὸν ἔτσι, ἀλλὰ πῶς; «Τὸν ἀδελφὸν τοῦ Κυρίου». Ἂν καὶ βεβαίως δὲν ἦτο κατὰ σάρκα ἀδελφὸς τοῦ Κυρίου, ἀλλ' ἔτσι ἐνομίζετο· ἀλλὰ δὲν ἀπέφυγεν οὔτε δι' αὐτὸν τὸν λόγον ν' ἀποδώσῃ τὸ ἀξίωμα εἰς τὸν ἄνδρα. Καὶ ἀπὸ πολλὰ ἄλλα δεικνύει, ὅτι πρὸς ὅλους τοὺς ἀποστόλους διέκειτο μὲ πολλὴν ἀγάπην, ὅπως ἦτο πρέπον εἰς αὐτόν. «Ὁμολογῶ ἐνώπιον τοῦ Θεοῦ δι' ὅσα σᾶς γράφω ὅτι δὲν ψεύδομαι»[64]. Εἶδες ὅτι ἀκτινοβολεῖ ἐξ ἴσου διὰ μέσου ὅλων ἡ ταπεινοφροσύνη αὐτῆς τῆς ἁγίας ψυχῆς; Διότι ὡσὰν νὰ ἠγωνίζετο εἰς δικαστήριον καὶ νὰ ἐπρό-

μέλλων εὐθύνας ὑπέχειν, οὕτως ἐσπούδακεν ἀπολογήσασθαι·

«Ἔπειτα ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας καὶ Κιλικίας»· μετὰ τὸ Πέτρον ἰδεῖν. Πάλιν ἔρχεται τοῦ λόγου καὶ τοῦ ἀγῶνος τοῦ προκειμένου, τῆς μὲν Ἰουδαίας οὐχ ἁπτόμενος, διά τε τὸ πρὸς τὰ ἔθνη ἀπεστάλθαι, καὶ διὰ τὸ μὴ ἂν ἑλέσθαι ἐπ' ἀλλότριον θεμέλιον οἰκοδομεῖν. Διόπερ οὐδὲ κατὰ ψιλὴν αὐτοὺς συντυχίαν εἶδε· καὶ τοῦτο ἐκ τῶν ἑξῆς δῆλον. «Ἤμην» γάρ, φησίν, «ἀγνοούμενος τῷ προσώπῳ ταῖς Ἐκκλησίαις τῆς Ἰουδαίας· μόνον δὲ ἀκούοντες ἦσαν, ὅτι ὁ διώκων ἡμᾶς ποτε, νῦν εὐαγγελίζεται τὴν πίστιν, ἥν ποτε ἐπόρθει». Τί ταύτης τῆς ψυχῆς μετριώτερον γένοιτ' ἄν; Ὅτε μὲν γὰρ τὰ φέροντα αὐτῷ κατηγορίαν διελέγετο, οἷον ὅτι ἐδίωκε τὴν Ἐκκλησίαν, καὶ ἐπόρθει αὐτήν, μετὰ πολλῆς αὐτὰ τέθεικε τῆς ὑπερβολῆς, ἐκπομπεύων αὐτοῦ τὸν βίον τὸν πρότερον· τὰ δὲ μέλλοντα αὐτὸν δεικνύναι λαμπρόν, ταῦτα παρατρέχει.

Καὶ δυνάμενος, εἴπερ ἐβούλετο, τὰ κατορθώματα αὐτοῦ πάντα εἰπεῖν, οὐδὲν αὐτῶν τίθησιν, ἀλλ' ἑνὶ ῥήματι πέλαγος παρελθὼν ἄφατον, καὶ εἰπὼν ὅτι «ἦλθον εἰς τὰ κλίματα τῆς Συρίας καὶ τῆς Κιλικίας», καὶ ὅτι «ἀκούοντες ἦσαν, ὅτι ὁ διώκων ἡμᾶς ποτε, νῦν εὐαγγελίζεται τὴν πίστιν, ἥν ποτε ἐπόρθει», οὐδὲν πλέον προσέθηκε. Τί δὲ αὐτῷ βούλεται τὸ λέγειν, ὅτι «ἀγνοούμενος ἤμην ταῖς ἐκκλησίαις τῆς Ἰουδαίας»; Ἵνα μάθῃς, ὅτι τοσοῦτον ἀπεῖχε τοῦ κηρῦξαι αὐτοῖς περιτομήν, ὅτι οὐδὲ ἀπὸ ὄψεως γνώριμος ἦν αὐτοῖς.

«Καὶ ἐδόξαζον ἐν ἐμοὶ τὸν Θεόν». Σκόπει καὶ ἐνταῦθα τὸν κανόνα αὐτοῦ τῆς ταπεινοφροσύνης, πῶς αὐτὸν διατηρεῖ μετὰ ἀκριβείας. Οὐ γὰρ εἶπεν, ὅτι ἐθαύμαζόν με, ἐπῄνουν με, ἐξεπλήττοντο, ἀλλὰ τὸ πᾶν τῆς χάριτος ἔδειξεν ὄν. «Τὸν γὰρ Θεὸν ἐδόξαζον», φησίν, «ἐν ἐμοί».

---

65. Γαλ. 1, 21.
66. Γαλ. 1, 22, 23.
67. Γαλ. 1, 24.

κειτο νὰ τοῦ ἀποδοθοῦν εὐθῦναι, ἔτσι προσεπάθει νὰ ἀπολογηθῇ.

«Ὕστερον ἦλθον εἰς τὰ μέρη τῆς Συρίας καὶ τῆς Κιλικίας»[65]· ἀφοῦ εἶδε τὸν Πέτρον. Πάλιν ἀρχίζει τὴν ἀπολογίαν καὶ τὸν ἀγῶνα διὰ τὸν ὁποῖον πρόκειται, μὲ τὴν μὲν Ἰουδαίαν μὴ ἀσχολούμενος, καὶ διὰ τὸ ὅτι εἰς τὰ ἔθνη εἶχεν ἀποσταλῆ, καὶ διὰ τὸ ὅτι δὲν ἤθελε νὰ οἰκοδομῇ ἐπάνω εἰς ξένον θεμέλιον. Διὰ τοῦτο δὲν συνήντησεν αὐτοὺς ἁπλῶς διὰ νὰ τοὺς ἴδῃ. «Προσωπικῶς μάλιστα», λέγει, «ἤμουν ἄγνωστος εἰς τὰς ἐκκλησίας τοῦ Χριστοῦ εἰς τὴν Ἰουδαίαν. Μόνον ἤκουον ὅτι ἐκεῖνος ὁ ὁποῖος ἄλλοτε μᾶς κατεδίωκε, τώρα κηρύττει τὴν πίστιν τὴν ὁποίαν ἄλλοτε ἐπεδίωκε νὰ ἐξαφανίσῃ»[66]. Τί δύναται νὰ εἶναι μετριοφρονέστερον αὐτῆς τῆς ψυχῆς; Διότι ὅταν μὲν ἔγραφε δι' ἐκεῖνα τὰ ὁποῖα τοῦ προσῆπτον κατηγορίαν, ὅπως ὅτι κατεδίωκε τὴν Ἐκκλησίαν καὶ ἐπολέμει αὐτήν, μὲ πολλὴν ὑπερβολὴν ἐξέθετεν αὐτά, δημοσιεύων πρὸς καταισχύνην τὸν προηγούμενον βίον του· ἐνῷ ἐκεῖνα τὰ ὁποῖα ἐπρόκειτο νὰ τὸν ἀναδείξουν λαμπρόν, τὰ παρατρέχει.

Καὶ ἐνῷ ἠδύνατο, ἂν ἴσως ἤθελε, νὰ εἴπῃ ὅλα του τὰ κατορθώματα, οὐδὲν ἐξ αὐτῶν ἐκθέτει, ἀλλὰ μὲ ἕνα λόγον ἀφοῦ παρῆλθε πέλαγος ἀπερίγραπτον καὶ εἶπεν «ἦλθον εἰς τὰ μέρη τῆς Συρίας καὶ τῆς Κιλικίας» καὶ ὅτι «ἤκουον μόνον ὅτι ἐκεῖνος ὁ ὁποῖος ἄλλοτε μᾶς κατεδίωκε, τώρα κηρύττει τὴν πίστιν τὴν ὁποίαν κάποτε ἐπεδίωκε νὰ ἀφανίσῃ», τίποτε περισσότερον δὲν προσέθεσε. Τί θέλει δὲ νὰ εἴπῃ γράφων ὅτι· «ἤμουν ἄγνωστος εἰς τὰς ἐκκλησίας τῆς Ἰουδαίας»; Διὰ νὰ μάθῃς ὅτι τόσον ἀπεῖχεν ἀπὸ τὸ νὰ κηρύξῃ εἰς αὐτοὺς νὰ περιτέμνωνται, ὥστε οὔτε ἐξ ὄψεως ἦτο γνωστὸς εἰς αὐτούς.

«Καὶ ἐδόξαζον ἐξ αἰτίας μου τὸν Θεόν»[67]. Πρόσεξε καὶ ἐδῶ πῶς τηρεῖ μὲ ἀκρίβειαν τὸν κανόνα τῆς ταπεινοφροσύνης του. Διότι δὲν εἶπεν ὅτι μὲ ἐθαύμαζον, μὲ ἐπῄνουν, ἐξεπλήττοντο, ἀλλ' ἔδειξεν ὅτι τὸ πᾶν ἦτο ἔργον τῆς χάριτος. Διότι λέγει «τὸν Θεὸν ἐδόξαζον ἐξ αἰτίας μου».

1. «Ἔπειτα δὲ διὰ δεκατεσσάρων ἐτῶν ἀνέβην εἰς Ἱεροσόλυμα μετὰ Βαρνάβα, συμπαραλαβὼν καὶ Τίτον· ἀνέβην δὲ κατὰ ἀποκάλυψιν». Τῆς μὲν πρώτης ἀναβάσεως τὴν αἰτίαν Πέτρον εἶναί φησι, καὶ τὸ ἱστορῆσαι ἐκεῖνον· τῆς δὲ δευτέρας, τὴν ἀποκάλυψιν τὴν τοῦ Πνεύματος. «Καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον, ὃ κηρύσσω ἐν τοῖς ἔθνεσι, κατ' ἰδίαν δὲ τοῖς δοκοῦσι, μή πως εἰς κενὸν τρέχω, ἢ ἔδραμον». Τί φής, ὦ Παῦλε; ὁ παρὰ τὴν ἀρχὴν μὴ ἑλόμενος ἀναθέσθαι, μηδὲ μετὰ ἔτη τρία, δεκατεσσάρων παρελθόντων ἐτῶν, τότε ἀνατίθῃ, μή πως εἰς κενὸν τρέχεις; Καὶ πόσῳ βέλτιον ἦν εὐθέως ἀρξάμενον τοῦτο ποιῆσαι, ἢ μετὰ ἔτη τοσαῦτα; Τί δὲ καὶ ἔτρεχες, εἰ μὴ πεπεισμένος ἦς, ὅτι οὐκ εἰς κενὸν ἔτρεχες; Τίς οὕτως ἀνόητος, ὡς ἔτη τοσαῦτα κηρύττειν, οὐκ εἰδὼς ὅτι κηρύττει καλῶς; Καὶ τὸ πολὺ τούτου πάλιν ἀπορώτερον, ὅτι κατὰ ἀποκάλυψίν φησιν ἀνεληλυθέναι.

Τοῦτο γὰρ ἀπορώτερον μέν, ὥσπερ ἔφθην εἰπών, τοῦ προτέρου, ἱκανὸν δὲ κἀκείνου τὴν λύσιν ἡμῖν παρασχεῖν. Εἰ μὲν γὰρ ἀφ' ἑαυτοῦ ἀνῆλθε, μάλιστα μὲν οὐδὲ τοῦτο ἂν ἔχοι λόγον· οὐ γὰρ ἦν τῆς μακαρίας ἐκείνης ψυχῆς εἰς τοσαύτην ἄνοιαν ἐκπεσεῖν· αὐτὸς γάρ ἐστιν ὁ λέγων, «Οὕτω τρέχω, ὡς οὐκ ἀδήλως, οὕτω πυκτεύω, ὡς οὐκ ἀέρα δέρω». Εἰ τοίνυν οὐκ ἀδήλως, πῶς λέγεις «μή πως εἰς κενὸν τρέχω ἢ ἔδραμον»; Ὅθεν δῆλον, ὅτι εἰ καὶ χωρὶς ἀποκαλύψεως ἀνῆλθεν, ἔπαθεν ἂν τὰ τῶν ἀνοήτων· πλὴν ἀλλ' οὐχ ὁμοίως ἄτοπον ἦν τὸ γινόμενον· ὅταν δὲ καὶ ἡ τοῦ Πνεύματος αὐτὸν ἕλκῃ χάρις,

---

1. Γαλ. 2, 1.
2. Γαλ. 2, 2.
3. Α΄ Κορ. 9, 26.

1. «Κατόπιν, μετὰ ἀπὸ δέκα τέσσαρα ἔτη, ἀνῆλθον πάλιν εἰς τὰ Ἱεροσόλυμα ἀφοῦ παρέλαβον μαζὶ καὶ τὸν Βαρνάβαν καὶ τὸν Τίτον· ἀνῆλθον δὲ κατόπιν ἀποκαλύψεως»[1]. Διὰ μὲν τὴν πρώτην ἐπίσκεψιν λέγει ὅτι αἰτία ἦτο ὁ Πέτρος καὶ τὸ νὰ γνωρίσῃ ἐκεῖνον· διὰ δὲ τὴν δευτέραν ἡ ἀποκάλυψις τοῦ ἁγίου Πνεύματος. «Καὶ ἀνέπτυξα εἰς αὐτοὺς τὸ εὐαγγέλιον, τὸ ὁποῖον κηρύττω εἰς τὰ ἔθνη, ἰδιαιτέρως δὲ εἰς τοὺς νομίζοντας ὡς ὀρθὴν τὴν περιτομήν, μήπως ματαίως τρέχω ἢ ἔτρεξα»[2]. Τί λέγεις, ὦ Παῦλε; Ὁ μὴ προτιμῶν νὰ συμβουλευθῇς ἐξ ἀρχῆς, οὔτε μετὰ ἀπὸ τρία ἔτη, ἀφοῦ παρῆλθον δέκα τέσσαρα ἔτη, τότε συμβουλεύεσαι, μήπως τρέχῃς ματαίως; Καὶ πόσον καλύτερον θὰ ἦτο νὰ κάνῃς αὐτὸ ἀμέσως μόλις ἤρχισες, παρὰ μετὰ ἀπὸ τόσα ἔτη; Διατί δὲ ἔτρεχες ἐὰν δὲν ἦσουν πεπεισμένος ὅτι δὲν ἔτρεχες ματαίως; Ποῖος εἶναι τόσον ἀνόητος ὥστε νὰ κηρύττῃ τόσα ἔτη, μὴ γνωρίζων ὅτι κηρύττει ὀρθῶς; Καί, τὸ πολὺ περισσότερον ἄξιον ἀπορίας εἶναι ὅτι κατόπιν ἀποκαλύψεως λέγει ὅτι ἀνῆλθε.

Διότι τοῦτο εἶναι ἄξιον μεγαλυτέρας ἀπορίας, ὅπως εἶπον, τοῦ προηγουμένου, ἱκανὸν ὅμως νὰ δώσῃ εἰς ἡμᾶς τὴν λύσιν καὶ ἐκείνου. Διότι ἐὰν μὲν ἀνήρχετο κατόπιν ἰδικῆς του ἀποφάσεως, οὔτε τοῦτο θὰ εἶχε κάποιον λόγον· διότι δὲν ἦτο δυνατὸν ἡ μακαρία ἐκείνη ψυχὴ νὰ ἐκπέσῃ εἰς τόσην ἀνοησίαν· διότι αὐτὸς ὁ ἴδιος εἶναι ὁ ὁποῖος λέγει· «ἐγὼ τρέχω ὄχι ἀσκόπως, πυγμαχῶν ὄχι ὡσὰν νὰ γρονθοκοπῶ τὸν ἀέρα»[3]. Ἐὰν λοιπὸν ὄχι ἀσκόπως, πῶς λέγεις «μήπως ματαίως τρέχω ἢ ἔτρεξα»; Εἶναι λοιπὸν φανερὸν ὅτι ἐὰν ἀνήρχετο χωρὶς ἀποκάλυψιν, θὰ ἐπάθαινε ὅ,τι καὶ οἱ ἀνόητοι· πλὴν ὅμως τὸ γινόμενον δὲν ἦτο ἔτσι ἄτοπον· ὅταν δὲ ἐπὶ πλέον ἕλκῃ αὐτὸν καὶ ἡ χάρις τοῦ Πνεύματος, ποῖος θὰ τολ-

τίς τολμήσει τι τοιοῦτον ὑποπτεῦσαι λοιπόν; Διὰ γὰρ τοῦτο προσέθηκε καὶ αὐτὸς τό, «κατὰ ἀποκάλυψιν», ἵνα μηδὲ πρὸ τῆς λύσεως τοῦ ζητήματος καταγνῷς αὐτοῦ τινα ἄγνοιαν, εἰδὼς ὅτι οὐκ ἀνθρώπινον ἦν τὸ γινόμενον, ἀλλὰ θεία τις οἰκονομία πολλὰ προορωμένη καὶ τῶν παρόντων καὶ τῶν μελλόντων.

Τί ποτ' οὖν ἐστι τὸ αἴτιον τῆς ἀποδημίας ταύτης; Ὥσπερ ὅτε πρότερον ἐξ Ἀντιοχείας εἰς Ἱεροσόλυμα ἀνῆλθεν, οὐ δι' ἑαυτὸν ἀνῆλθεν· αὐτὸς γὰρ ᾔδει σαφῶς, ὅτι χρὴ καθαρῶς ἕπεσθαι τοῖς τοῦ Χριστοῦ δόγμασιν· ἀλλὰ τοὺς μαχομένους συνάγειν βουλόμενος· οὕτω καὶ νῦν οὐκ αὐτὸς ἐδεῖτο μαθεῖν, ὅτι οὐκ εἰς κενὸν ἔτρεχεν, ἀλλ' ἵνα οἱ ἐγκαλοῦντες πληροφορηθῶσιν. Ἐπειδὴ γὰρ μείζονα περὶ Πέτρου καὶ Ἰωάννου δόξαν εἶχον, καὶ διαστασιάζειν αὐτοὺς ᾤοντο, διὰ τὸ τοῦτον μὲν ἄνευ περιτομῆς κηρύττειν, ἐκείνους δὲ ταύτην συγχωρεῖν, καὶ παράνομα πράττειν αὐτὸν ᾤοντο, καὶ εἰς κενὸν τρέχειν· «Ἀνῆλθον», φησί, «καὶ ἐκοινωσάμην αὐτοῖς τὸ εὐαγγέλιον», οὐχ ἵνα αὐτός τι μάθω, ὃ καὶ προϊὼν σαφέστερον λέγει, ἀλλ' ἵνα διδάξω τοὺς ταῦτα ὑποπτεύοντας, ὅτι οὐκ εἰς κενὸν τρέχω. Τὸ γὰρ Πνεῦμα τὴν τοιαύτην προορώμενον φιλονεικίαν, παρεσκεύασεν αὐτὸν ἀνελθεῖν καὶ κοινώσασθαι. Διὰ τοῦτό φησι, «κατὰ ἀποκάλυψιν ἀνέβην», καὶ Βαρνάβαν καὶ Τίτον ἔλαβε μάρτυρας ἐσομένους τοῦ κηρύγματος.

2. Καὶ ἀνεθέμην αὐτοῖς τὸ εὐαγγέλιον, ὃ κηρύττω ἐν τοῖς ἔθνεσι», τουτέστι, τὸ χωρὶς περιτομῆς· κατ' ἰδίαν δὲ τοῖς δοκοῦσι». Τί βούλεται, «κατ' ἰδίαν»; Καίτοιγε ὁ δόγματα κοινὰ διορθοῦν σπουδάζων, οὐ κατ' ἰδίαν, ἀλλὰ κοινῇ ταῦτα προτίθησιν. Ἀλλ' οὐχ ὁ Παῦλος οὕτως· οὐ γὰρ μαθεῖν τι καὶ διορθῶσαι ἐβούλετο, ἀλλὰ τῶν βουλομένων ἀ-

μήσῃ λοιπὸν νὰ σκεφθῇ κάτι τέτοιο; Διὰ τοῦτο βεβαίως καὶ αὐτὸς προσέθεσε τὸ «κατόπιν ἀποκαλύψεως», ὥστε νὰ μὴ τὸν κατηγορήσῃς διὰ κάποιαν ἄγνοιαν πρὶν δοθῇ λύσις εἰς τὸ ζήτημα, ἀφοῦ γνωρίσῃς ὅτι δὲν ἦτο ἀνθρώπινον τὸ γινόμενον, ἀλλὰ θεία οἰκονομία ἡ ὁποία πολλὰ προέβλεπεν καὶ διὰ τὰ παρόντα καὶ διὰ τὰ μέλλοντα.

Ποῖον νὰ εἶναι λοιπὸν τὸ αἴτιον αὐτῆς τῆς ἀποδημίας; Ὅπως ἀκριβῶς προηγουμένως ὅταν ἀνῆλθεν ἀπὸ τὴν Ἀντιόκειαν εἰς τὰ Ἱεροσόλυμα, δὲν ἀνῆλθε διὰ τὸν ἑαυτόν του — διότι αὐτὸς ἐγνώριζε σαφῶς ὅτι πρέπει καθαρῶς νὰ ἀκολουθῇ τὰ δόγματα τοῦ Χριστοῦ — ἀλλ᾽ ἐπειδὴ ἤθελε νὰ συνενώσῃ τοὺς ἀντιμαχομένους, ἔτσι καὶ τώρα, δὲν εἶχεν ἀνάγκην αὐτὸς νὰ μάθῃ ὅτι δὲν ἔτρεχε ματαίως, ἀλλὰ διὰ νὰ πληροφορηθοῦν οἱ κατηγοροῦντες. Διότι ἐπειδὴ εἶχον μεγαλυτέραν ἐκτίμησιν διὰ τὸν Πέτρον καὶ τὸν Ἰωάννην καὶ ἐνόμιζον ὅτι ὑπῆρχε διχόνοια μεταξύ των, διὰ τὸ ὅτι αὐτὸς μὲν κηρύττει νὰ μὴ γίνεται ἡ περιτομή, ἐνῷ ἐκεῖνοι ἐπιτρέπουν, καὶ ἐνόμιζον ὅτι αὐτὸς παρανόμως ἔπραττε καὶ ματαίως τρέχει, «ἀνῆλθον», λέγει «καὶ ἀνέπτυξα εἰς αὐτοὺς τὸ εὐαγγέλιον», ὄχι διὰ νὰ μάθω κάτι ὁ ἴδιος, τὸ ὁποῖον καὶ προχωρῶν λέγει σαφέστερον, ἀλλὰ διὰ νὰ διδάξω ὅσους ὑποπτεύονται αὐτά, ὅτι δὲν τρέχω ματαίως. Διότι τὸ ἅγιον Πνεῦμα, προβλέπον τὴν φιλονεικίαν αὐτήν, προητοίμασεν αὐτὸν νὰ ἀνέλθῃ καὶ νὰ ἀναπτύξῃ τὸ εὐαγγέλιον. Διὰ τοῦτο λέγει «κατόπιν ἀποκαλύψεως ἀνῆλθον», καὶ παρέλαβε τὸν Βαρνάβαν καὶ τὸν Τίτον διὰ νὰ εἶναι μάρτυρες τοῦ κηρύγματος.

2. «Καὶ ἀνέπτυξα εἰς αὐτοὺς τὸ εὐαγγέλιον τὸ ὁποῖον κηρύττω εἰς τὰ ἔθνη», δηλαδὴ τὸ χωρὶς τὴν περιτομήν· «ἰδιαιτέρως δὲ εἰς τοὺς νομίζοντας τὸ ἀντίθετον». Διατί θέλει «ἰδιαιτέρως»; Διότι βεβαίως, ὁ προσπαθῶν νὰ διορθώσῃ δόγματα τὰ ὁποῖα ἀφοροῦν ὅλους, ὄχι ἰδιαιτέρως, ἀλλὰ δημοσίως ἐκθέτει αὐτά. Ἀλλ᾽ ὁ Παῦλος δὲν ἔκανε ἔτσι· διότι δὲν ἤθελε νὰ μάθῃ κάτι καὶ νὰ διορθώσῃ, ἀλλὰ νὰ ἀναιρέσῃ

πατᾶν τὴν πρόφασιν ἀνελεῖν. Ἐπειδὴ γὰρ ἐν τοῖς Ἱεροσολύμοις πάντες ἐσκανδαλίζοντο, εἴ τις παραβαίη τὸν νόμον, εἴ τις κωλύσειε χρήσασθαι τῇ περιτομῇ· διὸ καὶ ἔλεγε, «Θεωρεῖς, ἀδελφέ, πόσαι μυριάδες εἰσὶ τῶν Ἰουδαίων τῶν πεπιστευκότων; καὶ οὗτοι πάντες εἰσὶ κατηχημένοι περὶ σοῦ, ὅτι ἀποστασίαν ἀπὸ τοῦ νόμου διδάσκεις»· ἐπεὶ οὖν ἐσκανδαλίζοντο, παρρησίᾳ μὲν παρελθεῖν καὶ τὸ κήρυγμα ἀποκαλύψαι τὸ ἑαυτοῦ οὐκ ἠνείχετο· κατ' ἰδίαν δὲ τοῖς δοκοῦσιν ἀνέθετο ἐπὶ Βαρνάβα καὶ Τίτου, ἵνα οὗτοι μάρτυρες ἀξιόπιστοι γένωνται πρὸς τοὺς ἐγκαλοῦντας, ὅτι οὐδὲ τοῖς ἀποστόλοις ἔδοξεν ἐναντίον εἶναι, ἀλλὰ βεβαιοῦσι τὸ κήρυγμα τὸ τοιοῦτον. Ὅταν δὲ λέγῃ, «τοῖς δοκοῦσιν», οὐκ ἀναιρῶν τὸ εἶναι αὐτοὺς μεγάλους τοῦτο λέγει· ἐπεὶ καὶ περὶ ἑαυτοῦ φησι, «Δοκῶ δὲ κἀγὼ πνεῦμα Θεοῦ ἔχειν»· ὅπερ ἐστὶ μετριάζοντος, οὐκ ἀναιροῦντος τὸ ἔχειν. Οὕτω καὶ ἐνταῦθα, «τοῖς δοκοῦσι», φησί, μετὰ τῆς ἑαυτοῦ καὶ τὴν κοινὴν ἁπάντων λέγων ψῆφον.

«Ἀλλ' οὐδὲ Τίτος ὁ σὺν ἐμοί, Ἕλλην ὤν, ἠναγκάσθη περιτμηθῆναι». Τί ἐστιν, «Ἕλλην ὤν»; Ἐξ Ἑλλήνων ἦν, φησί, καὶ ἀκρόβυστος. Οὐ μόνον γὰρ ἐγὼ οὕτως ἐκήρυττον, ἀλλὰ καὶ Τίτος οὕτως ἔπραττε, καὶ ἀκρόβυστον ὄντα οὐκ ἠνάγκασαν περιτμηθῆναι οἱ ἀπόστολοι. Ὅπερ ἀπόδειξις ἦν μεγίστη τοῦ μὴ καταγινώσκειν τῶν ὑπὸ τοῦ Παύλου λεγομένων ἢ πραττομένων. Καὶ τὸ πολλῷ τούτου μεῖζον, ὅτι οὐδὲ ἐπικειμένων τῶν ἐναντιουμένων, καὶ ταῦτα εἰδότων, ἠναγκάσθησαν οἱ ἀπόστολοι τοῦτο κελεῦσαι· ὅπερ οὖν καὶ αὐτὸ δηλῶν ἔλεγε, «Διὰ δὲ τοὺς παρεισάκτους ψευδαδέλφους».

Τίνες εἰσὶν οὗτοι οἱ ψευδάδελφοι; καὶ γὰρ οὐ μικρὸν ἐνταῦθα ζήτημα. Εἰ γὰρ οἱ ἀπόστολοι συνεχώρουν ἐνταῦθα

---

4. Πράξ. 21. 20, 21.
5. Α΄ Κορ. 7, 40.
6. Γαλ. 2, 3.
7. Γαλ. 2, 4.

τὴν πρόφασιν ἐκείνων οἱ ὁποῖοι ἤθελον νὰ ἐξαπατοῦν. Διότι, ἐπειδὴ εἰς τὰ Ἱεροσόλυμα ὅλοι ἐσκανδαλίζοντο, ἐὰν κάποιος παρέβαινε τὸν νόμον καὶ ἠμπόδιζε νὰ κάνουν τὴν περιτομήν, διὰ τοῦτο καὶ ἔλεγε· «Βλέπεις, ἀδελφέ, ὅτι πολλαὶ χιλιάδες ἀπὸ τοὺς Ἰουδαίους ἔχουν πιστεύσει καὶ ὅλοι εἶναι ζηλωταὶ τοῦ νόμου. Ἐπληροφορήθησαν ὅμως δι' ἐσὲ ὅτι διδάσκεις εἰς ὅλους τοὺς Ἰουδαίους οἱ ὁποῖοι ζοῦν μετὰ τῶν ἐθνικῶν, ἀποστασίαν ἀπὸ τὸν νόμον τοῦ Μωϋσέως»[4]. Ἐπειδὴ λοιπὸν ἐσκανδαλίζοντο, δὲν ἤθελε νὰ παρουσιασθῇ δημοσίως καὶ νὰ ἀποκαλύψῃ τὸ ἰδικόν του κήρυγμα· ἀλλ' ἰδιαιτέρως εἰς τοὺς «νομίζοντας» ἀνέπτυξε τὸ κήρυγμα, διὰ νὰ γίνουν αὐτοὶ ἀξιόπιστοι μάρτυρες πρὸς τοὺς κατηγοροῦντας, ὅτι οὔτε εἰς τοὺς ἀποστόλους ἐφάνη ὅτι εἶναι ἀντίθετον, ἀλλ' ἐπικυροῦν αὐτὸ τὸ κήρυγμα. Ὅταν δὲ λέγῃ «εἰς τοὺς νομίζοντας», δὲν τὸ λέγει διὰ νὰ ἀναιρέσῃ τὸ ὅτι αὐτοὶ εἶναι μεγάλοι· διότι καὶ διὰ τὸν ἑαυτόν του λέγει· «νομίζω δὲ ὅτι καὶ ἐγὼ ἔχω Πνεῦμα Θεοῦ»[5]· πρᾶγμα τὸ ὁποῖον εἶναι σημεῖον μετριόφρονος καὶ ὄχι ἀνθρώπου ὁ ὁποῖος ἀναιρεῖ τὸ ὅτι ὑπάρχει. Ἔτσι καὶ ἐδῶ λέγει «εἰς τοὺς νομίζοντας», λέγων μαζὶ μὲ τὴν ἰδικήν του καὶ τὴν γνώμην ὅλων.

«Ἀλλ' οὔτε καὶ ὁ Τίτος ὁ ὁποῖος ἦτο μαζί μου ἠναγκάσθη νὰ περιτμηθῇ, ἂν καὶ ἦτο ἐθνικός»[6]. Τί σημαίνει «παρ' ὅ,τι ἦτο ἐθνικός»; Ἐξ ἐθνικῶν ἦτο, λέγει, καὶ ἀπερίτμητος. Διότι δὲν ἐκήρυττον ἔτσι μόνον ἐγώ, ἀλλὰ καὶ ὁ Τίτος ἔτσι ἔπραττε, καὶ ἐνῷ ἦτο ἀπερίτμητος, δὲν τὸν ἠνάγκασαν οἱ ἀπόστολοι νὰ περιτμηθῇ. Πρᾶγμα τὸ ὁποῖον ἦτο μεγίστη ἀπόδειξις τοῦ ὅτι δὲν ἀπεδοκίμαζον ὅσα ἔλεγεν ἢ ἔπραττεν ὁ Παῦλος. Καὶ τὸ πολὺ μεγαλύτερον αὐτοῦ, ὅτι οὔτε ἐνῷ ἦσαν πλησίον οἱ ἐναντιούμενοι, καὶ ἐνῷ ἐγνώριζον αὐτά, ἠναγκάσθησαν οἱ ἀπόστολοι νὰ προστάξουν αὐτό· πρᾶγμα τὸ ὁποῖον δηλῶν καὶ αὐτό, ἔλεγεν· «ἕνεκα τῶν παρεισάκτων ψευδαδέλφων»[7].

Ποῖοι εἶναι αὐτοὶ οἱ ψευδάδελφοι; Διότι δὲν εἶναι μικρὸν ἐδῶ τὸ ζήτημα. Διότι ἐὰν οἱ ἀπόστολοι ἐπέτρεπον ἐδῶ

περιτέμνεσθαι, διὰ τί νῦν ψευδαδέλφους καλεῖς τοὺς κατὰ τὴν τῶν ἀποστόλων γνώμην καὶ αὐτοὺς κελεύοντας τοῦτο ποιεῖν; Ὅτι πρῶτον μὲν οὐκ ἔστι ταὐτόν, κελεύειν γίνεσθαι, καὶ γινόμενον συγχωρεῖν. Ὁ μὲν γὰρ προστάττων, μετὰ σπουδῆς, ὡς ἀναγκαῖον καὶ προηγούμενον, ποιεῖ· ὁ δὲ αὐτὸς μὲν μὴ κελεύων, τὸν δὲ βουλόμενον μὴ κωλύων, οὐχ ὡς δέον γενέσθαι συγχωρεῖ, ἀλλ' οἰκονομίαν τινὰ πληρῶν. Οἷόν τι λέγω· Κορινθίοις ἔγραφεν ὁ Παῦλος, «Καὶ πάλιν ἐπὶ τὸ αὐτὸ συνέρχεσθε», γυναιξὶ καὶ ἀνδράσι διαλεγόμενος.

Εἶτα ἵνα μὴ νομίσῃς, ὅτι νομοθετῶν αὐτοῖς τοῦτο ἔλεγεν, ἐπήγαγε· «Τοῦτο δὲ λέγω κατὰ συγγνώμην, οὐ κατ' ἐπιταγήν». Οὐ γὰρ τῆς αὐτοῦ αὐθεντίας κρίσις ἦν προηγουμένη, ἀλλὰ τῆς ἐκείνων ἀκρασίας συγγνώμη. Διό φησι· «Διὰ τὴν ἀκρασίαν ὑμῶν». Εἰ γὰρ τὴν Παύλου γνώμην θέλεις μαθεῖν, ἄκουσον τί φησι· «Θέλω πάντας ἀνθρώπους εἶναι, ὡς καὶ ἐμαυτόν, ἐν ἐγκρατείᾳ». Οὕτω καὶ ἐνταῦθα, οἱ μὲν ἀπόστολοι οὐχ ὡς νόμον ἐκδικοῦντες, συνεχώρουν, ἀλλὰ τῇ ἀσθενείᾳ τῇ Ἰουδαϊκῇ συγκαταβαίνοντες. Εἰ γὰρ νόμον ἐξεδίκουν, οὐκ ἂν Ἰουδαίοις μὲν οὕτως, ἔθνεσι δὲ ἑτέρως ἐκήρυξαν. Καὶ γὰρ εἰ ὑπὸ τῶν ἀπίστων τὸ πρᾶγμα γενέσθαι ἀναγκαῖον ἦν, καὶ ὑπὸ πάντων εὔδηλον ὅτι τῶν πιστῶν. Εἰ δὲ τοῖς ἔθνεσιν ἐνομοθέτουν μὴ παρενοχλεῖν τούτων ἕνεκεν, ἔδειξαν ὅτι καὶ Ἰουδαίοις συγκαταβαίνοντες ἐπέτρεπον. Οἱ δὲ ψευδάδελφοι οὐχ οὕτως, ἀλλ' ὥστε τῆς χάριτος αὐτοὺς ἐκβαλεῖν, καὶ πάλιν ὑπὸ τὸν τῆς δουλείας ζυγὸν ἀγαγεῖν.

Πρώτη μὲν οὖν αὕτη ἡ διαφορά, πολὺ τὸ μέσον ἔχουσα. Δευτέρα δέ, ὅτι οἱ μὲν ἀπόστολοι ἐν Ἰουδαίᾳ τοῦτο ἐποίουν, ἔνθα καὶ ὁ νόμος ἐκράτει, οἱ δὲ ψευδάδελφοι πανταχοῦ· καὶ γὰρ Γαλατῶν ἥψαντο πάντων. Ὅθεν δῆλον ὅτι οὐχὶ οἰκοδομῆς ἕνεκεν τὸ πρᾶγμα ἐγίνετο, ἀλλὰ καταστροφῆς ὁ-

---

8. Α' Κορ. 7. 5-7.

νὰ περιτέμνωνται, διατί τώρα ὀνομάζεις ψευδεδέλφους αὐτοὺς οἱ ὁποῖοι συμφώνως μὲ τὴν γνώμην τῶν ἀποστόλων προστάσσουν καὶ αὐτοὶ νὰ πράττουν; Διότι πρῶτον μὲν δὲν εἶναι τὸ ἴδιο τὸ νὰ προστάσσῃς νὰ γίνεται καὶ τὸ νὰ ἀνέχεσαι κάτι τὸ ὁποῖον γίνεται. Διότι ὁ μὲν προστάσσων μετὰ ζήλου, τὸ κάνει αὐτὸ ὡς ἀναγκαστικὸν καὶ νομοθετούμενον· αὐτὸς ὅμως ποὺ δὲν προστάσσει, ἀλλὰ δὲν ἐμποδίζει καὶ τὸν θέλοντα, ἐπιτρέπει αὐτὸ ὄχι ὡς πρέον, ἀλλ' ἐκπληρῶν κάποιαν οἰκονομίαν. Τί θέλω νὰ εἴπω· ἔγραφεν εἰς τοὺς Κορινθίους ὁ Παῦλος, ὁμιλῶν εἰς γυναῖκας καὶ ἄνδρας· «Καὶ πάλιν νὰ συνέρχεσθε εἰς τὰς συζυγικὰς σχέσεις σας»[8].

Ὕστερον, διὰ νὰ μὴ νομίσῃς ὅτι αὐτὸ τὸ ἔλεγεν ὡς νόμον, προσέθεσε· «Αὐτὸ δὲ τὸ λέγω κατὰ συγκατάβασιν, ὄχι ὡς διαταγήν»[8]. Διότι δὲν ἦτο νομοθέτημα τῆς ἰδικῆς του κρίσεως, ἀλλὰ συγκατάβασις εἰς τὴν ἀδυναμίαν ἐκείνων. Διὰ τοῦτο λέγει· «Ἐξ αἰτίας τῆς ἀδυναμίας σας». Διότι, ἐὰν θέλῃς νὰ μάθῃς τὴν γνώμην τοῦ Παύλου, ἄκουσε τί λέγει· «Θὰ ἤθελον ὅλοι οἱ ἄνθρωποι νὰ εἶναι ὅπως εἶμαι ἐγώ, εἰς ἐγκράτειαν»[8]. Ἔτσι καὶ ἐδῶ οἱ ἀπόστολοι, ὄχι ὡς νὰ ἐπέβαλλον νόμον ἐπέτρεπον, ἀλλ' ἀπὸ συγκατάβασιν εἰς τὴν ἰουδαϊκὴν ἀδυναμίαν. Διότι ἐὰν ἐπέβαλλον νόμον, δὲν θὰ εἶχον κηρύξει εἰς τοὺς μὲν Ἰουδαίους ἔτσι, εἰς δὲ τὰ ἔθνη ἄλλως. Διότι ἐὰν ἦτο ἀναγκαῖον αὐτὸ ὑπὸ τῶν ἀπίστων, εἶναι φανερὸν ὅτι θὰ ἦτο ἀναγκαῖον νὰ γίνῃ καὶ ὑπὸ ὅλων τῶν πιστῶν. Ἐφ' ὅσον δὲ εἰς τὰ ἔθνη ἔθετον νόμον νὰ μὴ παρενοχλοῦν ἐξ αἰτίας αὐτῶν, ἔδειξαν ὅτι καὶ εἰς τοὺς Ἰουδαίους ἀπὸ συγκατάβασιν ἐπέτρεπον. Οἱ δὲ ψευδάδελφοι ὄχι ἔτσι, ἀλλὰ διὰ νὰ ἐκβάλουν αὐτοὺς ἀπὸ τὴν χάριν καὶ νὰ τοὺς ὁδηγήσουν πάλιν ὑπὸ τὸν ζυγὸν τῆς δουλείας.

Πρώτη μὲν λοιπὸν εἶναι αὐτὴ ἡ διαφορά, ἡ ὁποία εἶναι πολὺ μεγάλη. Δευτέρα δέ, ὅτι οἱ μὲν ἀπόστολοι ἔκαμνον αὐτὸ εἰς τὴν Ἰουδαίαν, ὅπου καὶ ὁ νόμος ἐπεκράτει, ἐνῷ οἱ ψευδάδελφοι παντοῦ· διότι καὶ ὅλους τοὺς Γαλάτας εἶχον προσβάλει. Ἀπὸ τὸ ὁποῖον εἶναι φανερὸν ὅτι αὐτὸ ἐγίνετο

λοκλήρου· καὶ ἑτέρως μὲν παρὰ τῶν ἀποστόλων συνεχωρεῖτο, ἑτέρως δὲ παρὰ τῶν ψευδαδέλφων ἐσπουδάζετο. «Οἵτινες παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν, ἣν ἔχομεν ἐν Χριστῷ Ἰησοῦ». Ὁρᾷς πῶς καὶ τῇ τῶν κατασκόπων προσηγορίᾳ τὸν πόλεμον ἐδήλωσεν ἐκείνων; Οἱ γὰρ κατάσκοποι δι' οὐδὲν εἰσέρχονται, ἀλλ' ἵνα καταμαθόντες τὰ τῶν ἐναντίων, πρὸς τὸ πορθῆσαι καὶ καθελεῖν πολλὴν ἑαυτοῖς παρασκευάσωσι τὴν εὐκολίαν· καθάπερ καὶ οὗτοι τότε ἐποίουν, ὑπὸ τὴν δουλείαν αὐτοὺς τὴν παλαιὰν εἰσαγαγεῖν βουλόμενοι.

Ὥστε κἀντεῦθεν δῆλον, ὅτι οὐχ ἡ αὐτὴ προαίρεσις τῶν ἀποστόλων καὶ τούτων, ἀλλὰ καὶ σφόδρα ἐναντία. Ἐκεῖνοι μὲν γὰρ συνεχώρουν, ἵνα κατὰ μικρὸν ἐξαγάγωσι τῆς δουλείας· οὗτοι δὲ κατεσκεύαζον, ἵνα μειζόνως ὑποβάλωσι τῇ δουλείᾳ. Διὸ παρετήρουν περισκοποῦντες ἀκριβῶς, καὶ περιεργαζόμενοι τίνες ἀκρόβυστοι· καθὼς καὶ Παῦλος τοῦτο δηλῶν ἔλεγε, «παρεισῆλθον κατασκοπῆσαι τὴν ἐλευθερίαν ἡμῶν»· οὐ τῷ τῶν κατασκόπων ὀνόματι μόνον, ἀλλὰ καὶ τῷ τρόπῳ τῆς λαθραίας εἰσόδου καὶ παρεισδύσεως τὴν ἐπιβουλὴν αὐτῶν ἐνδεικνύμενος.

3. «Οἷς οὐδὲ πρὸς ὥραν εἴξαμεν τῇ ὑποταγῇ». Ὅρα λέξεως εὐγένειαν καὶ ἔμφασιν. Οὐ γὰρ εἶπε, τῷ λόγῳ, ἀλλά, «τῇ ὑποταγῇ». Οὐ γὰρ ἵνα τι διδάξωσι χρήσιμον, ταῦτα ἐποίουν, ἀλλ' ἵνα ὑποτάξωσι καὶ δουλώσωνται. Διὰ τοῦτο τοῖς μὲν ἀποστόλοις εἴξαμεν, τούτοις δὲ οὐκέτι. «Ἵνα ἡ ἀλήθεια τοῦ εὐαγγελίου διαμείνῃ πρὸς ὑμᾶς». Ἵν', ὅπερ ἔφθημεν, φησίν, εἰπόντες, τοῦτο διὰ τῶν ἔργων βεβαιώσωμεν, ὅτι «Τὰ ἀρχαῖα παρῆλθε, καὶ γέγονε καινὰ τὰ πάντα», καὶ ὅτι

9. Γαλ. 2, 4.
10. Γαλ. 2, 5.
11. Β' Κορ. 5, 17.

ὄχι πρὸς οἰκοδομήν, ἀλλ' ἀπετέλει ὁλοσχερῆ καταστροφήν· καὶ ἀλλιῶς μὲν ἐπετρέπετο ἀπὸ τοὺς ἀποστόλους, ἀλλιῶς δὲ ἐμελετᾶτο ἀπὸ τοὺς ψευδαδέλφους, «οἱ ὁποῖοι παρεισέφρυσαν ὡσὰν κατάσκοποι διὰ νὰ ἐπιβουλευθοῦν τὴν ἐλευθερίαν μας, τὴν ὁποίαν ἔχομεν ὡς πιστοὶ τοῦ 'Ιησοῦ Χριστοῦ»[9]. Βλέπεις πῶς καὶ μὲ τὴν προσηγορίαν τῶν κατασκόπων κατέστησε φανερὸν τὸν πόλεμον ἐκείνων; Διότι οἱ κατάσκοποι διὰ τίποτε ἄλλο δὲν εἰσέρχονται, παρὰ διὰ νὰ διευκολύνουν πολὺ τὴν ἐκπόρθησιν καὶ τὴν ἅλωσιν διὰ τὸν ἑαυτόν των, ἀφοῦ προηγουμένως λάβουν πληροφορίας διὰ τὰ τῶν ἀντιπάλων· ὅπως ἔκαμνον καὶ αὐτοὶ τότε, θέλοντες νὰ ὁδηγήσουν αὐτοὺς ὑπὸ τὴν παλαιὰν δουλείαν.

Ὥστε καὶ ἀπὸ ἐδῶ εἶναι φανερὸν ὅτι δὲν ἦτο ἰδία ἡ προαίρεσις τῶν ἀποστόλων καὶ αὐτῶν, ἀλλὰ τελείως ἀντίθετος. Οἱ μὲν ἀπόστολοι ἐπέτρεπον τὴν περιτομήν, ὥστε ὀλίγον κατ' ὀλίγον νὰ ἐλευθερώσουν αὐτοὺς ἀπὸ τὴν δουλείαν· ἐνῷ οἱ ἀπατεῶνες διέτασσον τὴν περιτομήν, ὥστε νὰ θέσουν αὐτοὺς περισσότερον ὑπὸ τὴν δουλείαν. Διὰ τοῦτο παρετήρουν περιεργαζόμενοι καὶ ἐξετάζοντες μὲ ἀκρίβειαν ποῖοι ἦσαν ἀπερίτμητοι· ὅπως καὶ ὁ Παῦλος δηλῶν αὐτὸ ἔλεγε· «παρεισέφρυσαν διὰ νὰ ἐπιβουλευθοῦν τὴν ἐλευθερίαν μας»· καταδεικνύων τὴν ἐπιβουλὴν αὐτῶν ὄχι μόνον μὲ τὸ ὄνομα τῶν κατασκόπων, ἀλλὰ καὶ μὲ τὸν τρόπον τῆς λαθραίας εἰσόδου καὶ παρεισφρύσεως.

3. «Εἰς τοὺς ὁποίους οὐδὲ πρὸς στιγμὴν ἐδέχθημεν νὰ ὑποταγῶμεν»[10]. Πρόσεχε εὐγένειαν καὶ ἔμφασιν λέξεως· διότι δὲν εἶπε ὅτι δὲν ἐδέχθημεν τὴν διδασκαλίαν, ἀλλὰ «νὰ ὑποταγῶμεν». Διότι ἔκαμνον αὐτά, ὄχι διὰ νὰ διδάξουν κάτι χρήσιμον, ἀλλὰ διὰ νὰ ὑποτάξουν καὶ νὰ ὑποδουλώσουν. Διὰ τοῦτο εἰς μὲν τοὺς ἀποστόλους ἐδέχθημεν, εἰς αὐτοὺς ὅμως καθόλου. Διὰ νὰ παραμείνῃ εἰς ἐσᾶς ἡ ἀλήθεια τοῦ εὐαγγελίου»[10]. Ὥστε, ὅπως ἀνεφέραμεν, λέγει, νὰ βεβαιώσωμεν αὐτὸ ἐμπράκτως, ὅτι «τὰ ἀρχαῖα ἔχουν παρέλθει, ἔχουν γίνει ὅλα καινουργῆ»[11], καὶ ὅτι «ἐὰν εἶναι κανεὶς ἑνωμένος

«Εἴ τις ἐν Χριστῷ, καινὴ κτίσις», καὶ ὅτι «Τοὺς περιτεμνομένους Χριστὸς οὐδὲν ὠφελήσει». Ταύτην τὴν ἀλήθειαν βεβαιοῦντες, οὐδὲ πρὸς ὥραν εἴξαμεν.

Εἶτα ἐπειδὴ εὐθέως ἀντέπιπτεν αὐτῷ τὰ παρὰ τῶν ἀποστόλων, καὶ εἰκὸς ἦν τινας λέγειν· πῶς οὖν ταῦτα ἐκεῖνοι προστάττουσιν; ὅρα πῶς λύει σοφῶς τὴν ἀντίθεσιν. Οὐ γὰρ λέγει τὴν οὖσαν αἰτίαν, οἷον ὅτι συγκαταβάσεως ἕνεκεν καὶ οἰκονομίας τοῦτο ἐποίουν οἱ ἀπόστολοι· ἢ γὰρ ἂν ἐβλάβησαν οἱ ἀκούοντες. Δεῖ γὰρ τῆς οἰκονομίας ἀγνοεῖν τὴν αἰτίαν τοὺς μέλλοντάς τι καρποῦσθαι παρ' αὐτῆς χρήσιμον· εἰ γὰρ φανείη τῶν γινομένων ἡ πρόφασις, τὸ πᾶν οἰχήσεται. Διὰ τοῦτο τὸν μὲν ἐργαζόμενον αὐτήν, εἰδέναι χρὴ τὴν αἰτίαν τῶν γινομένων· τοὺς δὲ μέλλοντάς τι κερδαίνειν παρ' αὐτῆς, ἀγνοεῖν.

Καὶ ἵνα σαφέστερον ὃ λέγω ποιήσω, ἐπ' αὐτῆς ταύτης τῆς ὑποθέσεως χρήσομαι τῷ ὑποδείγματι. Οὗτος αὐτὸς ὁ μακάριος Παῦλος ὁ περιτομὴν ἀναιρῶν, μέλλων ποτὲ τὸν Τιμόθεον πέμπειν Ἰουδαίοις διδάσκαλον, περιτεμὼν αὐτὸν πρότερον, οὕτως ἔπεμψεν. Ἐποίησε δὲ τοῦτο, ἵνα εὐπαράδεκτος γένηται τοῖς ἀκροαταῖς, καὶ εἰσῆλθε μετὰ τῆς περιτομῆς, ἵνα καταλύσῃ τὴν περιτομήν. Ἀλλὰ τὴν αἰτίαν αὐτὸς μὲν ἠπίστατο καὶ Τιμόθεος, τοῖς δὲ μαθηταῖς οὐκ εἶπεν. Εἰ γὰρ ἔγνωσαν, ὅτι διὰ τοῦτο περιέτεμεν, ἵνα λύσῃ τὴν περιτομήν, οὐδ' ἂν τὴν ἀρχὴν ἤκουσαν αὐτοῦ δημηγοροῦντος, καὶ τὸ πᾶν ἂν διερρύη κέρδος· νῦν δὲ ἡ ἄγνοια τὰ μέγιστα αὐτοὺς ὠφέλησε. Νομίζοντες γὰρ αὐτὸν ὡς νομοφύλακα τοῦτο ποιεῖν, καὶ εὐμενῶς ἐδέξαντο καὶ προσηνῶς καὶ αὐτὸν καὶ τὴν ἐκείνου διδασκαλίαν· δεξάμενοι δὲ κατὰ μικρὸν καὶ παι-

---

12. Γαλ. 5, 2.

μὲ τὸν Χριστόν, αὐτὸς εἶναι καινουργὲς δημιούργημα»[11], καὶ ὅτι «ἐὰν περιτέμνησθε, ὁ Χριστὸς δὲν πρόκειται νὰ σᾶς ὠφελήσῃ εἰς τίποτε»[12]. Αὐτὴν τὴν ἀλήθειαν βεβαιοῦντες, οὔτε πρὸς στιγμὴν ἐδέχθημεν νὰ ὑποταγῶμεν.

Ὕστερον, ἐπειδὴ ἀμέσως συνεκρούοντο μὲ αὐτὸν τὰ ὅσα ἔλεγον οἱ ἀπόστολοι καὶ ἦτο εὔλογον μερικοὶ νὰ λέγουν· πῶς λοιπὸν ἐκεῖνοι προστάσσουν αὐτά; Κοίταξε πῶς λύει μὲ σοφίαν τὴν ἀντίθεσιν. Διότι δὲν λέγει τὴν ὑπάρχουσαν αἰτίαν, ὅτι δηλαδὴ ἀπὸ συγκατάβασιν καὶ οἰκονομίαν ἔκαμνον αὐτὸ οἱ ἀπόστολοι· ἐπειδὴ θὰ ἐβλάπτοντο αὐτοὶ οἱ ὁποῖοι θὰ τὸ ἤκουον. Διότι πρέπει νὰ ἀγνοοῦν τὴν αἰτίαν τῆς οἰκονομίας αὐτοὶ οἱ ὁποῖοι πρόκειται νὰ καρπωθοῦν κάτι χρήσιμον ἀπὸ αὐτήν· διότι ἐὰν φανερωθῇ ἡ αἰτία τῶν ὅσων γίνονται, χάνεται τὸ πᾶν. Διὰ τοῦτο, αὐτὸς ὁ ὁποῖος τὴν ἐφαρμόζει, πρέπει νὰ γνωρίζῃ τὴν αἰτίαν τῶν ὅσων γίνονται· ἐνῷ αὐτοὶ οἱ ὁποῖοι πρόκειται νὰ κερδίσουν ἀπὸ αὐτήν, νὰ ἀγνοοῦν.

Καὶ διὰ νὰ κάνω σαφέστερον αὐτὸ τὸ ὁποῖον λέγω, θὰ ἐφαρμόσω τὸ παράδειγμα ἐπάνω εἰς αὐτὴν ταύτην τὴν ὑπόθεσιν. Αὐτὸς ὁ ἴδιος ὁ μακάριος Παῦλος, ὁ ὁποῖος κατήργει τὴν περιτομήν, ὅταν ἐπρόκειτο κάποτε νὰ στείλῃ τὸν Τιμόθεον ὡς διδάσκαλον εἰς τοὺς Ἰουδαίους, τὸν ἔστειλεν ἀφοῦ προηγουμένως τὸν ὑπεχρέωσε νὰ περιτμηθῇ. Τὸ ἔκανε δὲ αὐτό, διὰ νὰ γίνῃ εὐπρόσδεκτος εἰς τοὺς ἀκροατὰς καὶ ἐπῆγε μὲ τὴν περιτομήν, διὰ νὰ καταργήσῃ τὴν περιτομήν. Ἀλλὰ τὴν αἰτίαν ἐγνώριζεν αὐτὸς καὶ ὁ Τιμόθεος, ἐνῷ εἰς τοὺς μαθητὰς δὲν τὴν ἐφανέρωσε. Διότι ἐὰν ἐγνώριζον ὅτι διὰ τοῦτο τὸν ἠνάγκασε νὰ περιτμηθῇ, διὰ νὰ λύσῃ δηλαδὴ τὴν περιτομήν, οὔτε τὴν ἀρχὴν τοῦ κηρύγματός του δὲν θὰ ἤκουον ὅταν αὐτὸς θὰ ὡμίλει, καὶ ὅλο τὸ κέρδος θὰ ἐχάνετο· τώρα ὅμως ἡ ἄγνοια ὠφέλησεν αὐτοὺς πάρα πολύ. Διότι νομίζοντες αὐτὸν ὡς τηρητὴν τοῦ νόμου, τὸν ἐδέχθησαν μὲ εὔνοιαν καὶ προσήνειαν καὶ αὐτὸν καὶ τὴν διδασκαλίαν του· ἀφοῦ δὲ τὴν ἐδέχθησαν δι' ὀλίγον καὶ κατόπιν ὡδηγήθησαν

δευθέντες, ἀπέστησαν τῶν παλαιῶν· ὅπερ οὐκ ἂν ἐγένετο, εἰ παρὰ τὴν ἀρχὴν τὴν αἰτίαν ᾔδεσαν. Μαθόντες γὰρ ἂν αὐτὸν ἀπεστράφησαν, ἀποστραφέντες δὲ οὐκ ἂν ἤκουσαν, μὴ ἀκούσαντες δὲ ἔμειναν ἂν ἐπὶ τῆς πλάνης τῆς προτέρας· ὅπερ ἵνα μὴ γένηται, οὐκ ἐξεκάλυψε τὴν αἰτίαν.

Διὰ τοῦτο καὶ ἐνταῦθα οὐ λέγει τῆς οἰκονομίας τὴν πρόφασιν, ἀλλ' ἑτέρως μεθοδεύει τὸν λόγον, οὕτω λέγων· «Ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι· ὁποῖοί ποτε ἦσαν, οὐδέν μοι διαφέρει· πρόσωπον ἀνθρώπου ὁ Θεὸς οὐ λαμβάνει». Ἐνταῦθα οὐ μόνον οὐκ ἀπολογεῖται ὑπὲρ τῶν ἀποστόλων, ἀλλὰ καὶ σφόδρα βαρεῖ τοὺς ἁγίους, ἵνα ὠφελήσῃ τοὺς ἀσθενοῦντας. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἰ καὶ ἐπιτρέπουσιν ἐκεῖνοι περιτέμνεσθαι, τὸν λόγον αὐτοὶ τῷ Θεῷ δώσουσιν. Οὐ γάρ, ἐπειδὴ μεγάλοι εἰσὶ καὶ ἔξαρχοι, ὁ Θεὸς πρόσωπον αὐτῶν λήψεται. Ἀλλ' οὕτω μὲν σαφῶς οὐκ εἶπε, πεφεισμένως δέ· οὐ γὰρ εἶπεν, εἰ δὲ ἐκεῖνοι θολοῦσι τὸ κήρυγμα, καὶ παρὰ τὰ προστεταγμένα κηρύττουσι, δώσουσι τὴν ἐσχάτην δίκην, καὶ τιμωρίαν ὑποστήσονται. Τούτων μὲν οὐδὲν εἶπε, σεμνοτέρως δὲ αὐτῶν δοκεῖ καθάπτεσθαι, οὕτω λέγων· «Ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι, ὁποῖοί ποτε ἦσαν». Καὶ οὐκ εἶπεν, ὁποῖοί ποτέ εἰσιν, ἀλλ', ἦσαν, δεικνὺς ὅτι καὶ αὐτοὶ λοιπὸν ἦσαν παυσάμενοι τοῦ οὕτω κηρύσσειν, ἅτε τοῦ κηρύγματος πανταχοῦ διαλάμψαντος. Τὸ δέ, «ὁποῖοί ποτε ἦσαν», εἰ οὕτω, φησίν, ἐκήρυττον, αὐτοὶ τὸν λόγον δώσουσιν. Οὐ γὰρ ἀνθρώποις, ἀλλὰ Θεῷ μέλλουσιν ἀπολογεῖσθαι. Ταῦτα δὲ ἔλεγεν, οὐχ ὡς ἀμφιβάλλων, οὐδ' ὡς ἀγνοοῦν τὰ ἐκείνων, ἀλλ', ὅπερ ἔφθην εἰπών, οὕτω συμφέρειν νομίζων μεθοδεῦσαι τὸν λόγον.

Εἶτα ἵνα μὴ δόξῃ ὡς τὴν ἐναντίαν ἔχων τάξιν κατηγορεῖν αὐτῶν, καὶ ἀπὸ τούτου κατασκευάσῃ μάχης ὑπόνοιαν, ἐπήγαγεν εὐθέως τὴν διόρθωσιν, εἰπών, ὅτι «Ἐμοὶ οἱ δο-

---

18. Γαλ. 2, 6.

εἰς τὴν ἀλήθειαν, ἀπεμακρύνθησαν ἀπὸ τὰ παλαιά· πρᾶγμα τὸ ὁποῖον δὲν θὰ ἐγίνετο, ἐὰν ἐγνώριζον τὴν αἰτίαν ἀπὸ τὴν ἀρχήν. Διότι ἐὰν τὸν ἀντελαμβάνοντο θὰ τὸν ἀπεστρέφοντο, ἀφοῦ τὸν ἀποστρέφοντο δέ, δὲν θὰ τὸν ἤκουον, καὶ ἀφοῦ δὲν θὰ τὸν ἤκουον, θὰ παρέμενον εἰς τὴν προηγουμένην των πλάνην· πρᾶγμα τὸ ὁποῖον, διὰ νὰ μὴ γίνῃ, δὲν ἀπεκάλυψε τὴν αἰτίαν.

Διὰ τοῦτο καὶ ἐδῶ δὲν λέγει τὴν πρόφασιν τῆς οἰκονομίας, ἀλλὰ μὲ ἄλλον τρόπον μεθοδεύει τὸν λόγον, λέγων ἔτσι· «Ἀπὸ δὲ τοὺς θεωρουμένους μεγάλους, ὅποιοι καὶ ἂν ἦσαν, ὁ Θεὸς δὲν λαμβάνει ὑπ' ὄψιν τὸ πρόσωπον τοῦ ἀνθρώπου»[18]. Ἐδῶ, ὄχι μόνον δὲν ἀπολογεῖται ὑπὲρ τῶν ἀποστόλων, ἀλλὰ καὶ ἐντόνως πλήττει τοὺς ἁγίους, διὰ νὰ ὠφελήσῃ τοὺς ἀσθενοῦντας. Ἐκεῖνο δὲ τὸ ὁποῖον λέγει εἶναι αὐτό· ἂν καὶ ἐπιτρέπουν ἐκεῖνοι τὴν περιτομήν, αὐτοὶ θὰ ἀπολογηθοῦν εἰς τὸν Θεόν. Διότι ὁ Θεὸς δὲν θὰ προσωποληπτήσῃ ὑπὲρ αὐτῶν ἐπειδὴ εἶναι μεγάλοι καὶ ἀπεσταλμένοι. Δὲν εἶπεν ὅμως ἔτσι σαφῶς, ἀλλὰ μὲ οἰκονομίαν· διότι δὲν εἶπεν, ἐὰν ἐκεῖνοι συγχέουν τὸ κήρυγμα καὶ κηρύττουν παρὰ τὰ προστεταγμένα θὰ κριθοῦν αὐστηρότατα καὶ θὰ τιμωρηθοῦν. Ἀπὸ ὅλα αὐτὰ μὲν δὲν εἶπε τίποτε, ἀλλὰ μετριοπαθέστερον φαίνεται ὅτι τοὺς κατηγορεῖ, λέγων ἔτσι· «Ἀπὸ δὲ τοὺς θεωρουμένους μεγάλους, ὅποιοι καὶ ἂν ἦσαν». Καὶ δὲν εἶπεν, ὅποιοι καὶ ἂν εἶναι, ἀλλά, ἦσαν, δεικνύων ὅτι καὶ αὐτοὶ ἀκόμη εἶχον παύσει νὰ κηρύττουν ἔτσι, ἐπειδὴ τὸ κήρυγμα εἶχε διαλάμψει παντοῦ. Τὸ δὲ «ὅποιοι καὶ ἂν ἦσαν», ἐὰν ἔτσι ἐκήρυττον, λέγει, αὐτοὶ θὰ ἀπολογηθοῦν. Αὐτὰ δὲ ἔλεγε, ὄχι ὡς ἀμφιβάλλων, οὔτε ὡς ἀγνοῶν τὰ τῶν ἄλλων ἀποστόλων, ἀλλ' ὅπως εἶπον, ἐπειδὴ ἔτσι ἔκρινεν ὅτι συνέφερε νὰ μεθοδεύσῃ τὸν λόγον.

Ὕστερον, διὰ νὰ μὴ φανῇ ὅτι ἀπὸ ἀντίθετον παράταξιν κατηγορεῖ αὐτοὺς καὶ δημιουργήσῃ ἀπὸ αὐτὸ ὑπόνοιαν προστριβῆς, προσέθεσεν ἀμέσως τὴν διόρθωσιν, ἀφοῦ εἶπεν· «Εἰς ἐμὲ λοιπὸν οἱ θεωρούμενοι μεγάλοι τίποτε δὲν προσέθεσαν».

κοῦντες οὐδὲν προσανέθεντο». Τί δὲ τοῦτό ἐστιν; Ἃ μὲν ὑμεῖς λέγετε, φησίν, οὐκ οἶδα· ἐκεῖνο μέντοι οἶδα σαφῶς, ὅτι ἐμοὶ οὐκ ἠναντιώθησαν, ἀλλὰ καὶ συνέπνευσαν καὶ συνεφώνησαν· τὸ γάρ, «δεξιὰς ἔδωκαν», τοῦτό ἐστι δηλοῦντος. Ἀλλὰ τέως οὐ λέγει τοῦτο, ἀλλ' ὅτι οὐκ ἐδίδαξαν, οὐ διώρθωσαν, οὐ πλέον τι προσέθηκαν ὧν ᾔδειν. «Ἐμοὶ γὰρ οἱ δοκοῦντες», φησίν, «οὐδὲν προσανέθεντο»· τουτέστι, μαθόντες τὰ ἐμά, οὐδὲν προσέθηκαν, οὐδὲν διώρθωσαν, καὶ ταῦτα εἰδότες, ὅτι διὰ τοῦτο παρεγενόμην, ὥστε αὐτοῖς κοινώσασθαι, καὶ κατ' ἀποκάλυψιν Πνεύματος παρεγενόμην, ὥστε αὐτοῖς κοινώσασθαι, καὶ Τίτον ἀκρόβυστον εἶχον μεθ' ἑαυτοῦ, οὔτε ἐμοί τι πλέον εἶπον ὧν ᾔδειν, οὔτε ἐκεῖνον περιέτεμον. «Ἀλλὰ τοὐναντίον». Τί ἐστι, «τοὐναντίον»; Τινὲς μέν φασι τοῦτο λέγειν, ὅτι οὐ μόνον αὐτὸν οὐκ ἐδίδαξαν, ἀλλὰ καὶ ἐδιδάχθησαν παρ' αὐτοῦ· ἐγὼ δὲ οὐκ ἂν εἴποιμι τοῦτο. Τί γὰρ ἔμελλον παρ' αὐτοῦ μανθάνειν πλέον; καὶ γὰρ ἕκαστος αὐτῶν ἀπηρτισμένος ἦν. Οὐ τοίνυν τοῦτο βούλεται εἰπεῖν, «τοὐναντίον» λέγων, ἀλλ' ὅτι οὐ μόνον οὐκ ἐπετίμησαν, ἀλλὰ καὶ τοσοῦτον ἀπέσχον τοῦ μέμψασθαι ὅτι καὶ ἐπήνεσαν· τὸ γὰρ ἐναντίον τοῦ μέμψασθαι τὸ ἐπαινέσαι.

Εἶτα ἐπειδὴ εἰκὸς ἦν ἀντειπεῖν τινας, εἰ ἐπήνεσαν, πῶς οὖν τὴν περιτομὴν οὐκ ἀνεῖλον; εἰ γὰρ ἐπήνεσαν, ἐχρῆν ἀνελεῖν· εἰπεῖν μὲν ὅτι ἀνεῖλον, λίαν ἀναίσχυντον εἶναι ἐνόμιζε, καὶ πρὸς τὰ ὡμολογημένα φανερὰν μάχην εἰσάγειν· πάλιν ὁμολογοῦντα τὴν τῆς περιτομῆς συγχώρησιν, εἰς ἑτέραν ἀντίθεσιν ἐμπεσεῖν ἀνάγκην οὖσαν ἑώρα. Εἰ γὰρ ἐπήνεσαν τὸ κήρυγμα τὸ σόν, φησί, καὶ αὐτοὶ πάλιν ἐπέτρεπον περιτομήν, ἑαυτοῖς ἐμάχοντο. Τίς οὖν ἡ τούτου λύσις; Ἦν εἰπεῖν, ὅτι συγκαταβάσεως Ἰουδαϊκῆς ἕνεκεν ταῦτα ἐποίουν·

---

14. Γαλ. 2, 7.

Τί δὲ εἶναι τοῦτο; Αὐτὰ μέν, τὰ ὁποῖα λέγετε σεῖς, δὲν γνωρίζω· ἐκεῖνο ὅμως γνωρίζω σαφῶς, ὅτι εἰς ἐμὲ δὲν ἠναντιώθησαν, ἀλλ' ἐπὶ πλέον καὶ σύμπνοιαν ἔδειξαν καὶ συνεφώνησαν· διότι τὸ «ἔδωσαν εἰς ἐμὲ τὴν δεξιάν των χεῖρα», αὐτὸ σημαίνει. Δὲν λέγει ὅμως ἀκόμη αὐτό, ἀλλ' ὅτι δὲν ἐδίδαξαν, οὔτε ἐδιόρθωσαν, οὔτε προσέθεσαν τίποτε ἀπὸ ὅσα ἐγνώριζον. Διότι «εἰς ἐμὲ οἱ θεωρούμενοι μεγάλοι», λέγει, «τίποτε δὲν προσέθεσαν» δηλαδή, ἀφοῦ ἔμαθον τὰ ἰδικά μου, τίποτε δὲν προσέθεσαν, τίποτε δὲν διώρθωσαν, καὶ ἐνῷ ἀνεγνώρισαν αὐτά, ὅτι διὰ τοῦτο ἦλθον, ὥστε εἰς αὐτοὺς νὰ ἀναπτύξω τὸ κήρυγμα, καὶ ὅτι ἦλθον κατόπιν ἀποκαλύψεως τοῦ ἁγίου Πνεύματος, ὥστε νὰ ἐκθέσω εἰς αὐτοὺς τὸ εὐαγγέλιον, καὶ ὅτι εἶχον μαζί μου τὸν Τίτον ἀπερίτμητον, οὔτε εἰς ἐμὲ εἶπον κάτι περισσότερον ἐξ ὅσων ἐγνώριζον, οὔτε τὸν Τίτον ὑπεχρέωσαν νὰ περιτμηθῇ. «Ἀλλ' ἀντιθέτως»[14]. Τί σημαίνει τὸ «ἀντιθέτως»; Ὡρισμένοι μὲν λέγουν ὅτι λέγει αὐτό, διότι ὄχι μόνον δὲν ἐδίδαξαν αὐτόν, ἀλλὰ καὶ ἐδιδάχθησαν ἀπὸ αὐτόν· ἐγὼ ὅμως δὲν θὰ ἔλεγον αὐτό. Διότι τί περισ-
6 σότερον ἐπρόκειτο νὰ μάθουν ἀπὸ αὐτόν; Διότι ὁ καθεὶς ἐξ αὐτῶν ἦτο κατηρτισμένος. Δὲν θέλει νὰ εἴπῃ αὐτὸ λοιπὸν λέγων «ἀντιθέτως», ἀλλ' ὅτι, ὄχι μόνον δὲν ἐπετίμησαν, ἀλλὰ καὶ τόσον ἀπεῖχον ἀπὸ τοῦ νὰ τὸν μεμφθοῦν, ὥστε καὶ τὸν ἐπήνεσαν· διότι τὸ ἀντίθετον τῆς μομφῆς εἶναι ὁ ἔπαινος.

Ὕστερον, ἐπειδὴ ἦτο εὔλογον νὰ ἀντείπουν ὡρισμένοι, ἐὰν ἐπήνεσαν, πῶς λοιπὸν δὲν κατήργησαν τὴν περιτομήν; Διότι ἐὰν εἶχον ἐπαινέσει, ἔπρεπε νὰ τὴν καταργήσουν· τὸ νὰ εἴπῃ μὲν ὅτι κατήργησαν ἐθεώρει ὅτι εἶναι πολὺ ἀναίσχυντον, καὶ ὅτι ἔρχεται εἰς φανερὰν ἀντίθεσιν πρὸς τὰ λεχθέντα· μὲ τὸ νὰ ὁμολογήσῃ πάλιν ὅτι ἀνέχονται τὴν περιτομήν, ἔβλεπεν ὅτι θὰ ἔπιπτεν ἀναγκαστικῶς εἰς ἄλλην ἀντίθεσιν. Διότι ἐὰν ἐπήνεσαν τὸ ἰδικόν σου κήρυγμα, θὰ ἔλεγον, ἐνῷ οἱ ἴδιοι πάλιν ἐπέτρεπον τὴν περιτομήν, ἀντέφασκον πρὸς ἑαυτούς. Ποία λοιπὸν ἡ λύσις; Ἔπρεπε νὰ εἴπῃ ὅτι λόγῳ συγκαταβάσεως πρὸς τοὺς Ἰουδαίους ἔκα-

ἀλλὰ τοῦτο εἰπών, ὅλον τῆς οἰκονομίας τὸ θεμέλιον διεσάλευσεν ἄν. Διὰ τοῦτο τοῦτο μὲν οὐ λέγει ἀφίησι δὲ αὐτὸ ἐν ἀπορίᾳ καὶ μετέωρον εἰπών· «Ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι, οὐδέν μοι διαφέρει». Ὡς ἂν εἰ ἔλεγεν, οὐ κατηγορῶ, οὐδὲ διαβάλλω τοὺς ἁγίους ἐκείνους· ἴσασιν αὐτοὶ τί ἔπραττον· καὶ γὰρ τῷ Θεῷ μέλλουσιν ἀποδιδόναι λόγον· τὸ δὲ σπουδαζόμενον ἐμοὶ δεῖξαι, ὅτι τὰ ἐμὰ οὐ καθεῖλον, οὐδὲ διώρθωσαν, οὐδὲ προσέθηκαν ὡς ἐνδεῶς ἔχουσιν αὐτοῖς, ἀλλὰ καὶ ἐπήνεσαν καὶ συνήνεσαν· καὶ τούτων μάρτυρας ἔχω καὶ Τίτον καὶ Βαρνάβαν.

4. Διόπερ ἐπάγει λέγων· «Ἰδόντες ὅτι πεπίστευμαι τὸ εὐαγγέλιον τῆς ἀκροβυστίας, καθὼς Πέτρος τῆς περιτομῆς, δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ, κοινωνίας»· περιτομὴν καὶ ἀκροβυστίαν οὐ τὰ πράγματα λέγων αὐτά, ἀλλὰ τὰ ἀπὸ τούτων γνωριζόμενα ἔθνη. Ἐπήγαγε γοῦν· «Ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε καὶ ἐμοὶ εἰς τὰ ἔθνη». Ὥσπερ οὖν τὴν ἀκροβυστίαν τὰ ἔθνη καλεῖ, οὕτω καὶ περιτομὴν Ἰουδαίους. Καὶ δείκνυσιν ὁμότιμον αὐτοῖς ὄντα λοιπόν, καὶ οὐ τοῖς ἄλλοις ἑαυτόν, ἀλλὰ τῷ κορυφαίῳ συγκρίνει, δεικνὺς ὅτι τῆς αὐτῆς ἕκαστος ἀπέλαυσεν ἀξίας..

Ἐπειδὴ γὰρ τὴν περὶ τῆς ὁμονοίας αὐτῶν κατεσκεύασεν ἀπόδειξιν, θαρρῶν λοιπὸν μετὰ παρρησίας διαλέγεται, καὶ οὐκέτι ἵσταται μέχρι τῶν ἀποστόλων μόνον, ἀλλ' ἐπὶ τὸν Χριστὸν ἀνάγει τὸν λόγον, καὶ τὴν ὑπ' ἐκείνου χάριν δοθεῖσαν αὐτῷ· καὶ μάρτυρας τούτων τοὺς ἀποστόλους καλεῖ, καί φησιν, ὅτι «Γνόντες τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσάν

---

15. Γαλ. 2, 8.

μνον αὐτά· ἀλλ' ἐὰν ἔλεγεν αὐτό, θὰ ἐκλόνιζεν ὁλόκληρον τὸ θεμέλιον τῆς οἰκονομίας. Διὰ τοῦτο δὲν λέγει μὲν αὐτό, ἀλλὰ τὸ ἀφήνει ἄλυτον καὶ μετέωρον, λέγων· «ἀπὸ δὲ τοὺς θεωρουμένους ὡς μεγάλους, τί ἦσαν κάποτε δὲν μὲ ἐνδιαφέρει». Ὡσὰν νὰ ἔλεγεν, δὲν κατηγορῶ, οὔτε διαβάλλω τοὺς ἁγίους ἐκείνους· γνωρίζουν αὐτοὶ τί ἔπραττον· διότι εἰς τὸν Θεὸν πρόκειται νὰ δώσουν λόγον· αὐτὸ δὲ τὸ ὁποῖον ἐνδιαφέρει ἐμένα νὰ δείξω, εἶναι ὅτι οὔτε κατήργησαν, οὔτε διώρθωσαν, οὔτε προσέθεσαν τίποτε εἰς τὰ ἰδικά μου, ὡσὰν νὰ ἦσαν ἐλλιπῆ, ἀλλὰ καὶ ἐπῄνεσαν καὶ συνῄνεσαν πρὸς αὐτά· καὶ ἔχω μάρτυρας δι' αὐτὰ καὶ τὸν Τίτον καὶ τὸν Βαρνάβαν.

4. Διὰ τοῦτο προσθέτει λέγων· «Ὅταν εἶδον ὅτι εἰς ἐμὲ εἶχεν ἐμπιστευθῆ ὁ Κύριος τὸ εὐαγγέλιον διὰ τοὺς ἀπεριτμήτους, ὅπως εἰς τὸν Πέτρον διὰ τοὺς περιτετμημένους, ἔδωσαν εἰς ἐμὲ καὶ εἰς τὸν Βαρνάβαν τὴν δεξιάν των χεῖρα εἰς σημεῖον ἐπικοινωνίας»· ὀνομάζων περιτομὴν καὶ ἀπεριτμησίαν ὄχι τὰ πράγματα καθ' ἑαυτά, ἀλλὰ τὰ ἔθνη τὰ ὁποῖα γνωρίζονται ἐξ αὐτῶν. Προσέθεσε λοιπόν· «διότι ἐκεῖνος ὁ ὁποῖος ἐνήργησεν εἰς τὸν Πέτρον, ὥστε νὰ γίνῃ ἀπόστολος τῶν περιτετμημένων, ἐνήργησεν καὶ εἰς ἐμὲ διὰ νὰ γίνω ἀπόστολος εἰς τὰ ἔθνη»[15]. Ὅπως ἀκριβῶς λοιπὸν ἀπὸ τὴν ἀπεριτμησίαν ὀνομάζει τὰ ἔθνη, ἔτσι καὶ ἀπὸ τὴν περιτομὴν τοὺς Ἰουδαίους. Καὶ δεικνύει λοιπὸν ὅτι εἶναι ὁμότιμος πρὸς αὐτούς, καὶ συγκρίνει τὸν ἑαυτόν του ὄχι μὲ τοὺς ἄλλους, ἀλλὰ μὲ τὸν κορυφαῖον, δεικνύων ὅτι ὁ καθεὶς ἔλαβε τὴν αὐτὴν ἀξίαν.

Ἀφοῦ λοιπὸν ὠλοκλήρωσε τὴν ἀπόδειξιν διὰ τὴν μεταξύ των ὁμόνοιαν, ὁμιλεῖ πλέον μὲ θάρρος καὶ παρρησίαν, καὶ δὲν σταματᾷ εἰς τοὺς ἀποστόλους μόνον, ἀλλὰ ἀνάγει τὸν λόγον εἰς τὸν ἴδιον τὸν Χριστὸν καὶ τὴν χάριν ἡ ὁποία ἐδόθη ἀπὸ ἐκεῖνον εἰς αὐτόν· καὶ μάρτυρας αὐτῶν καλεῖ τοὺς ἀποστόλους, καὶ λέγει ὅτι· «καὶ ὅταν ἀνεγνώρισαν τὴν χάριν ἡ ὁποία εἶχε δοθῆ εἰς ἐμέ, ὁ Πέτρος, ὁ Ἰάκωβος καὶ

μοι, Ἰάκωβος καὶ Κηφᾶς καὶ Ἰωάννης». Καὶ οὐκ εἶπεν, ὅτι ἀκούσαντες, ἀλλά, «γνόντες», τουτέστι, καταμαθόντες δι' αὐτῶν τῶν πραγμάτων. «Δεξιὰς ἔδωκαν ἐμοὶ καὶ Βαρνάβᾳ κοινωνίας». Εἶδες πῶς κατὰ μικρὸν ἔδειξε καὶ τῷ Χριστῷ τοῦτο δοκοῦν καὶ τοῖς ἀποστόλοις; Οὐδὲ γὰρ ἂν ἐδόθη, οὐδὲ ἐνήργησεν ἡ χάρις, εἰ μὴ δοκοῦν αὐτῷ τὸ τοιοῦτον κήρυγμα ἦν· Καὶ ὅπου μὲν συγκρῖναι ἑαυτὸν ἔδει, Πέτρου μέμνηται μόνου· ὅπου δὲ μαρτυρίαν καλέσαι, τῶν τριῶν ὁμοῦ, καὶ μετ' ἐγκωμίου, «Κηφᾶς», λέγων, «καὶ Ἰάκωβος καὶ Ἰωάννης, οἱ δοκοῦντες στῦλοι εἶναι». Πάλιν οὐ τὸ εἶναι ἀναιρῶν, τοὺς δοκοῦντάς φησιν, ἀλλὰ καὶ τὴν τῶν ἄλλων παραλαμβάνων γνώμην, καὶ λέγων, ὅτι οἱ μεγάλοι καὶ ἐξαίρετοι, καὶ οὓς πάντες πανταχοῦ περιφέρουσιν, οὗτοί μοι μάρτυρές εἰσι τῶν λεγομένων, ὅτι καὶ τῷ Χριστῷ ταῦτα δοκεῖ, καὶ διὰ τῶν πραγμάτων ταῦτα ἔμαθον, καὶ δι' αὐτῆς τῆς πείρας ἐπιστώθησαν. Διὸ καὶ δεξιὰς ἔδωκαν ἐμοί, καὶ οὐκ ἐμοὶ μόνον, ἀλλὰ καὶ τῷ Βαρνάβᾳ.

«Ἵνα ἡμεῖς μὲν εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν». Ὢ συνέσεως ὑπερβολή, καὶ συμφωνίας ἀπόδειξις ἀναντίρρητος· δείκνυσι γὰρ καὶ τὰ ἐκείνων αὐτοῦ, καὶ τὰ αὐτοῦ ἐκείνων. Ταῦτα γὰρ ἑκατέροις ἐδόκει, καὶ ἐκείνους Ἰουδαίοις κηρύττειν οὕτω, καὶ τοῦτον τοῖς ἔθνεσι· διὸ καὶ ἐπήγαγεν, «Ἵνα ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν». Ὁρᾷς πῶς περιτομὴν καὶ ἐνταῦθα οὐχὶ τὸ πρᾶγμα καλεῖ, ἀλλὰ τοὺς Ἰουδαίους; Ὅταν μὲν γὰρ αὐτὸ τὸ πρᾶγμα λέγῃ καὶ ἀντιδιαστέλλῃ αὐτήν, τὴν ἀκροβυστίαν τίθησιν, ὡς ὅταν λέγῃ, «Περιτομὴ μὲν γὰρ ὠφελεῖ, ἐὰν νόμον πράσσῃς· ἐὰν δὲ παραβάτης νόμου ᾖς, ἡ περιτομή σου ἀκρο-

16. Γαλ. 2, 9.

ὁ Ἰωάννης»[16]. Καὶ δὲν εἶπεν ὅταν ἤκουσαν, ἀλλ' «ὅταν ἀνεγνώρισαν», δηλαδὴ ὅταν ἐγνώρισαν μὲ βεβαιότητα ἀπὸ τὰ ἴδια τὰ πράγματα. «Ἔδωσαν εἰς ἐμὲ καὶ τὸν Βαρνάβαν τὸ δεξί των χέρι εἰς σημεῖον ἐπικοινωνίας». Εἶδες πῶς, μὲ ὀλίγας λέξεις ἔδειξεν ὅτι αὐτὸ ἦτο τὸ θέλημα καὶ τοῦ Χριστοῦ καὶ τῶν ἀποστόλων; Διότι δὲν θὰ ἐδίδετο, οὔτε θὰ ἐνήργει ἡ χάρις, ἐὰν δὲν ἦτο ἐπιθυμητὸν αὐτὸ τὸ κήρυγμα εἰς τὸν Χριστόν. Καὶ ὅπου μὲν ἔπρεπε νὰ ἀντιπαραβάλλῃ τὸν ἑαυτόν του, μνημονεύει μόνον τὸν Πέτρον· ὅπου δὲ ἔπρεπε νὰ παρουσιάσῃ καὶ μαρτυρίαν, καὶ τοὺς τρεῖς μαζί, καὶ ἐγκωμιάζει αὐτοὺς λέγων· «Ὁ Ἰάκωβος καὶ ὁ Κηφᾶς καὶ ὁ Ἰωάννης, οἱ ὁποῖοι θεωροῦνται στῦλοι». Καὶ ἐδῶ πάλιν, λέγων «τοὺς θεωρουμένους ὡς μεγάλους», δὲν ἀναιρεῖ ὅτι πράγματι εἶναι, ἀλλὰ παραλαμβάνει καὶ τὴν γνώμην τῶν ἄλλων καὶ λέγει ὅτι, αὐτοὶ οἱ μεγάλοι καὶ ἐξαίρετοι, τοὺς ὁποίους ὅλοι ἀναγνωρίζουν καὶ φημίζουν, αὐτοὶ εἶναι δι' ἐμὲ μάρτυρες ὅτι ὅσα λέγω, καὶ εἰς τὸν Χριστὸν ἀρέσουν, καὶ εἰς τὴν πρᾶξιν ἔμαθον αὐτά, καὶ ἐξ αὐτῆς τῆς πείρας ἐβεβαιώθησαν. Διὰ τοῦτο καὶ ἔδωσαν εἰς ἐμὲ τὰς δεξιάς των χεῖρας, καὶ ὄχι μόνον εἰς ἐμέ, ἀλλὰ καὶ εἰς τὸν Βαρνάβαν.

«Καὶ συνεφώνησαν νὰ εἴμεθα ἐμεῖς ἀπόστολοι εἰς τὸν ἐθνικὸν κόσμον, αὐτοὶ δὲ εἰς τὸν περιτετμημένον». Ὢ, πόσον ὑπερβολικὴ σύνεσις καὶ ἀναντίρρητος ἀπόδειξις συμφωνίας! Διότι δεικνύει καὶ τὰ ἐκείνων ἰδικά του, καὶ τὰ ἰδικά του ἐκείνων. Διότι αὐτὰ ἦσαν ὀρθὰ καὶ δι' αὐτὸν καὶ δι' ἐκείνους, δηλαδὴ καὶ ἐκεῖνοι νὰ κηρύττουν ἔτσι εἰς τοὺς Ἰουδαίους, καὶ αὐτὸς εἰς τοὺς ἐθνικούς· διὰ τοῦτο καὶ προσέθεσε «νὰ εἴμεθα ἐμεῖς ἀπόστολοι εἰς τὸν ἐθνικὸν κόσμον, αὐτοὶ δὲ εἰς τοὺς περιτετμημένους». Βλέπεις πῶς καὶ ἐδῶ ὀνομάζει περιτομὴν ὄχι τὸ πρᾶγμα καθ' ἑαυτό, ἀλλὰ τοὺς Ἰουδαίους; Διότι ὅταν μὲν ἐννοῇ τὸ πρᾶγμα καθ' ἑαυτὸ καὶ ἀντιδιαστέλλῃ αὐτήν, παραθέτει καὶ τὴν ἀκροβυστίαν, ὅπως ὅταν λέγῃ· «Ἡ περιτομὴ ὠφελεῖ, ἐὰν ἐφαρμόζῃς τὸν νόμον, ἐὰν ὅμως παραβαίνῃς τὸν νόμον, ἡ περιτομή σου εἶναι ὡσὰν

βυστία γέγονε»· καὶ πάλιν, «Οὔτε περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία»· ὅταν δὲ Ἰουδαίους οὕτω καλῇ, καὶ μὴ τὸ πρᾶγμα, ἀλλὰ τὸν λαὸν δηλῶσαι βούληται, οὐ τὴν ἀκροβυστίαν, ἀλλὰ τὰ ἔθνη ἀντιτίθησιν. Ἀντιδιαστέλλονται μὲν γὰρ ἔθνεσιν Ἰουδαῖοι, περιτομῇ δὲ ἀκροβυστία· ὡς ὅταν λέγῃ καὶ ἀνωτέρω, «Ὁ γὰρ ἐνεργήσας Πέτρῳ εἰς ἀποστολὴν τῆς περιτομῆς, ἐνήργησε κἀμοὶ εἰς τὰ ἔθνη»· καὶ ἐνταῦθα πάλιν, ὅτι «ἡμεῖς εἰς τὰ ἔθνη, αὐτοὶ δὲ εἰς τὴν περιτομήν», οὐ τὸ πρᾶγμα αὐτό φησιν, ἀλλὰ τὸν τῶν Ἰουδαίων λαὸν οὕτω καλεῖ, ἀντιδιαστέλλων αὐτὸν τοῖς ἔθνεσι.

«Μόνον τῶν πτωχῶν ἵνα μνημονεύωμεν, ὃ καὶ ἐσπούδασα αὐτὸ τοῦτο ποιῆσαι». Τί ποτε τοῦτό ἐστιν ὅ φησιν; Ἐν μὲν τῷ κηρύγματι, φησί, διειλόμεθα τὴν οἰκουμένην, κἀγὼ μὲν τοὺς ἐξ ἐθνῶν, ἐκεῖνοι δὲ τοὺς Ἰουδαίους ἔλαβον κατὰ τὸ τῷ Θεῷ δοκοῦν· εἰς δὲ τὴν τῶν πτωχῶν ἐπιμέλειαν τῶν παρὰ Ἰουδαίοις, ἐγὼ τὰ παρ' ἐμαυτοῦ συνεισήνεγκα ἐκείνοις. Εἰ δὲ πόλεμος ἦν καὶ μάχη, οὐκ ἂν τοῦτο κατεδέξαντο ἐκεῖνοι. Τίνες δέ εἰσιν οὗτοι οἱ πτωχοί; Πολλοὶ τῶν Ἰουδαίων πιστεύσαντες ἐν Παλαιστίνῃ τὰ ὄντα ἀφῃρέθησαν ἅπαντα, καὶ πανταχόθεν ἠλαύνοντο. Καὶ τοῦτο δηλοῖ μὲν ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ, λέγων· «Καὶ γὰρ τὴν ἁρπαγὴν τῶν ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε»· δηλοῖ δὲ Θεσσαλονικεῦσι γράφων, καὶ ἀνακηρύττων τὴν ἀνδρείαν ἐκείνων· «Ὑμεῖς γάρ», φησί, «μιμηταὶ ἐγένεσθε τῶν ἐκκλησιῶν τοῦ Θεοῦ τῶν οὐσῶν ἐν τῇ Ἰουδαίᾳ, ὅτι καὶ ὑμεῖς τὰ αὐτὰ ἐπάθετε ὑπὸ τῶν ἰδίων συμφυλετῶν, καθάπερ κἀκεῖνοι ἀπὸ τῶν Ἰουδαίων». Καὶ διὰ πάντων δείκνυσιν, ὅτι οὐχ οὕτως οἱ ἐξ Ἑλλήνων πιστεύσαντες ὑπὸ τῶν μενόντων

---

17. Ρωμ. 2, 25.
18. Γαλ. 5, 6.
19. Γαλ. 2, 10.
20. Ἑβρ. 10, 34.
21. Α' Θεσσ. 2, 14.

νὰ μὴ εἶχε γίνει»[17]· καὶ πάλιν· «οὔτε ἡ περιτομὴ ἔχει καμμίαν ἰσχύν, οὔτε ἡ ἀκροβυστία»[18]· ὅταν ὅμως ὀνομάζῃ ἐξ αὐτῆς τοὺς Ἰουδαίους, καὶ ὄχι αὐτὸ καθ' ἑαυτὸ τὸ πρᾶγμα, ἀλλὰ τὸν λαὸν θέλει νὰ δηλώσῃ, ἀντιθέτει ὄχι τὴν ἀκροβυστίαν, ἀλλὰ τὰ ἔθνη. Διότι ἀντιδιαστέλλονται εἰς μὲν τὰ ἔθνη οἱ Ἰουδαῖοι, εἰς δὲ τὴν περιτομὴν ἡ ἀκροβυστία· ὅπως ὅταν λέγῃ καὶ ἀνωτέρω. «Διότι ἐκεῖνος ὁ ὁποῖος ἐνήργησεν εἰς τὸν Πέτρον νὰ γίνῃ ἀπόστολος τῶν περιτετμημένων, ἐνήργησε καὶ εἰς ἐμὲ διὰ νὰ γίνω ἀπόστολος εἰς τὰ ἔθνη»· καὶ ἐδῶ πάλιν λέγει ὅτι «ἐμεῖς ἀπόστολοι εἰς τὸν ἐθνικὸν κόσμον, αὐτοὶ δὲ εἰς τοὺς περιτετμημένους», ὀνομάζων ἔτσι ὄχι αὐτὸ καθ' ἑαυτὸ τὸ πρᾶγμα, ἀλλὰ τὸν λαὸν τῶν Ἰουδαίων, ἀντιδιαστέλλων αὐτὸν πρὸς τὰ ἔθνη.

«Ἐζήτησαν μόνον νὰ ἐνθυμούμεθα τοὺς πτωχούς, καὶ αὐτὸ ἐφρόντισα νὰ τὸ κάνω»[19]. Τί εἶναι αὐτὸ τὸ ὁποῖον λέγει; Εἰς μὲν τὸ κήρυγμα, λέγει, διεμοιράσθημεν τὴν οἰκουμένην, καὶ ἐγὼ μὲν τοὺς ἐθνικούς, ἐκεῖνοι δὲ τοὺς Ἰουδαίους ἔλαβον συμφώνως πρὸς τὸ θέλημα τοῦ Θεοῦ· εἰς τὴν φροντίδα ὅμως διὰ τοὺς πτωχοὺς τοὺς ὑπάρχοντας μεταξὺ τῶν Ἰουδαίων, ἐγὼ συνεισέφερα ὅσα συνεκέντρωσα εἰς ἐκείνους. Ἐὰν ὅμως ἐπεκράτει μεταξύ των πόλεμος καὶ διαμάχη, δὲν θὰ τὸ ἐδέχοντο αὐτὸ εὐχαρίστως ἐκεῖνοι. Ποῖοι δὲ ἦσαν οἱ πτωχοί; Πολλοὶ ἀπὸ τοὺς Ἰουδαίους οἱ ὁποῖοι ἐπίστευσαν ἦσαν εἰς τὴν Παλαιστίνην, καὶ τὰ ὑπάρχοντα αὐτῶν ἀφῃρέθησαν ὅλα καὶ ἀπὸ παντοῦ ἐδιώκοντο. Καὶ ὁμιλεῖ διὰ τοῦτο εἰς μὲν τὴν πρὸς Ἑβραίους ἐπιστολήν, λέγων· «Καὶ τὴν διαρπαγὴν τῶν ὑπαρχόντων σας ἐδέχθητε μὲ χαράν»[20]· λέγει δὲ γράφων καὶ εἰς τοὺς Θεσσαλονικεῖς καὶ διακηρύττων τὴν ἀνδρείαν ἐκείνων· «Σεῖς, ἀδελφοί, ἠκολουθήσατε τὸ παράδειγμα τῶν ἐκκλησιῶν τοῦ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ, αἱ ὁποῖαι εἶναι εἰς τὴν Ἰουδαίαν, διότι ἐπάθετε καὶ σεῖς τὰ ἴδια ἀπὸ τοὺς ὁμοεθνεῖς σας ὅπως καὶ ἐκεῖνοι ἀπὸ τοὺς Ἰουδαίους»[21]. Καὶ μὲ κάθε τρόπον δεικνύει ὅτι δὲν ἐπολεμοῦντο τόσον οἱ ἐθνικοὶ οἱ ὁποῖοι ἐπίστευον ἀπὸ ὅσους

Ἑλλήνων ἐπιμελοῦντο, ὡς οἱ ἀπὸ Ἰουδαίων πιστεύσαντες ὑπὸ τῶν ὁμοφύλων ἠλαύνοντο· τραχύτερον γὰρ τοῦτο πάντων τὸ ἔθνος. Διὰ ταῦτα πολλὴν ποιεῖται σπουδήν, ὥστε πάσης αὐτοὺς ἀπολαύειν ἐπιμελείας, καὶ Ρωμαίοις ἐπιστέλλων καὶ Κορινθίοις. Καὶ οὐ μόνον συνάγει χρήματα, ἀλλὰ καὶ αὐτὸς αὐτὰ δοκιμάζει, καὶ λέγει· «Νυνὶ δὲ πορεύομαι εἰς Ἰερουσαλὴμ διακονῶν τοῖς ἁγίοις». Καὶ γὰρ ἀναγκαίας ἠπόρουν τροφῆς.

Τοῦτο οὖν καὶ ἐνταῦθα δηλῶν ἔλεγεν, ὅτι ἐν τούτῳ μοι βοηθεῖν αὐτοῖς ἔδοξε, καὶ κατεδεξάμην, καὶ οὐκ ἐνέλιπον. Καὶ διὰ τούτων δείξας τὴν πρὸς αὐτοὺς ὁμόνοιαν καὶ συμφωνίαν, ἀναγκάζεται λοιπὸν καὶ τῆς πρὸς Πέτρον αὐτῷ γενομένης ἐν Ἀντιοχείᾳ διαλέξεως μνησθῆναι, καί φησιν· «Ὅτε δὲ ἦλθε Πέτρος εἰς Ἀντιόχειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν. Πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου, μετὰ τῶν ἐθνῶν συνήσθιεν· ὅτε δὲ ἦλθον, ὑπέστελλε καὶ ἀφώριζεν ἑαυτόν, φοβούμενος τοὺς ἐκ περιτομῆς».

5. Πολλοὶ τῶν ἁπλῶς ἀναγινωσκόντων τουτὶ τὸ χωρίον τῆς ἐπιστολῆς, νομίζουσι τοῦ Πέτρου τὸν Παῦλον κατηγορεῖν ὑπόκρισιν· ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστιν, ἄπαγε· πολλὴν γὰρ εὑρήσομεν καὶ τοῦ Πέτρου καὶ τοῦ Παύλου τὴν σύνεσιν ἐγκεκρυμμένην ἐνταῦθα πρὸς τὴν τῶν ἀκουόντων ὠφέλειαν. Πρότερον δὲ ἀναγκαῖον περὶ τῆς τοῦ Πέτρου παρρησίας εἰπεῖν, καὶ πῶς ἀεὶ πάντων αὐτὸς προεπήδα τῶν μαθητῶν. Καὶ γὰρ τὴν προσηγορίαν ἐντεῦθεν ἔλαβε διὰ τὸ κλινὲς καὶ ἀπερίτρεπτον τῆς πίστεως· καὶ ὅτε κοινῇ πάντες ἠρωτῶντο, τῶν ἄλλων προπηδήσας, φησί· «Σὺ εἶ ὁ Χριστὸς ὁ Υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος»· ὅτε καὶ τὰς κλεῖς τῶν οὐρανῶν ἐνεπιστεύθη· καὶ ἐν τῷ ὄρει μόνος φαίνεται φθεγγόμενος· καὶ ὅτε περὶ

---

22. Ρωμ. 15, 25.
23. Γαλ. 2. 11, 12.
24. Ματθ. 16, 16.

παρέμενον ἐθνικοί, ὅσον ἐδιώκοντο οἱ Ἰουδαῖοι οἱ ὁποῖοι ἐπίστευσαν, ἀπὸ τοὺς ὁμοεθνεῖς των· διότι αὐτὸ τὸ ἔθνος ἦτο σκληρότερον ἀπὸ ὅλα. Διὰ τοῦτο πολλὴν προσπάθειαν καταβάλλει δι' αὐτούς, ὥστε ν' ἀπολαύσουν κάθε φροντίδα, γράφων πρὸς τοῦτο καὶ εἰς τοὺς Ρωμαίους καὶ εἰς τοὺς Κορινθίους. Καὶ ὄχι μόνον συγκεντρώνει χρήματα, ἀλλὰ καὶ τὰ μεταφέρει αὐτὸς ὁ ἴδιος καὶ λέγει· «Τώρα ὅμως πηγαίνω εἰς τὴν Ἰερουσαλὴμ ἐκτελῶν ὑπηρεσίαν πρὸς τοὺς ἐκεῖ ἁγίους»[22]. Διότι ἐστεροῦντο καὶ τὴν ἀναγκαίαν ἀκόμη τροφήν.

Αὐτὸ λοιπὸν δηλῶν καὶ ἐδῶ ἔλεγεν, ὅτι ἐφάνη καλὸν εἰς αὐτοὺς νὰ βοηθῶ εἰς αὐτό, καὶ ἐδέχθην μὲ εὐχαρίστησιν καὶ δὲν παρέλειψα νὰ τὸ κάνω. Καὶ ἀφοῦ ἔδειξε δι' ὅλων αὐτῶν τὴν μετ' αὐτῶν ὁμόνοιαν καὶ συμφωνίαν, ἀναγκάζεται λοιπὸν νὰ μνημονεύσῃ καὶ τὴν συνομιλίαν του μὲ τὸν Πέτρον, ἡ ὁποία ἔγινε εἰς τὴν Ἀντιόχειαν καὶ λέγει· «Ὅταν ὅμως ἦλθεν ὁ Πέτρος εἰς τὴν Ἀντιόχειαν, τότε κατὰ πρόσωπον ἠναντιώθην εἰς αὐτόν, ἐπειδὴ ἦτο ἄξιος κατακρίσεως. Διότι πρὶν ἔλθουν μερικοὶ ἀπὸ τὸν Ἰάκωβον, ἔτρωγε μαζὶ μὲ ἐθνικούς, ὅταν ὅμως ἦλθον ἀπεσύρθη καὶ ἀπεχωρίζετο, διότι ἐφοβεῖτο ἐκείνους οἱ ὁποῖοι προήρχοντο ἀπὸ τὴν περιτομήν»[23].

5. Πολλοὶ ἀπὸ ὅσους ἀναγινώσκουν ἐπιπολαίως αὐτὸ τὸ χωρίον τῆς ἐπιστολῆς, νομίζουν ὅτι ὁ Παῦλος κατηγορεῖ τὸν Πέτρον δι' ὑποκρισίαν· πολλὴν σύνεσιν μάλιστα καὶ τοῦ Πέτρου καὶ τοῦ Παύλου θὰ εὕρωμεν κρυμμένην ἐδῶ μέσα, πρὸς ὠφέλειαν τῶν ἀκροατῶν. Πρῶτον δὲ εἶναι ἀναγκαῖον νὰ εἴπωμεν διὰ τὴν παρρησίαν τοῦ Πέτρου, καὶ πῶς πάντοτε προηγεῖτο αὐτὸς ὅλων τῶν μαθητῶν. Διότι ἀπὸ ἐδῶ ἔλαβε καὶ τὴν προσωνυμίαν, διὰ τὸ ἄκαμπτον καὶ ἀμετάβλητον τῆς πίστεως· καὶ ὅλοι μαζὶ ἠρωτῶντο, ἀφοῦ ἔσπευσε ν' ἀπαντήσῃ πρῶτος ἀπὸ τοὺς ἄλλους, λέγει· «Σὺ εἶσαι ὁ Χριστός, ὁ Υἱὸς τοῦ ζῶντος Θεοῦ»[24], ὁπότε καὶ τοῦ ἐνεπιστεύθη τὰς κλεῖδας τῶν οὐρανῶν· καὶ εἰς τὸ ὄρος μόνον αὐτὸς φαίνεται νὰ ὁμιλῇ· καὶ ὅταν ὡμίλει ὁ Χριστὸς διὰ τὸν σταυρόν,

σταυροῦ διελέγετο, τῶν ἄλλων σιγώντων, αὐτός φησιν, «Ἵλεώς σοι». Ταῦτα δὲ τὰ ῥήματα εἰ καὶ μὴ διεσκεμμένης γνώμης ἦν, ἀλλ' ὅμως ζεούσης ἀγάπης. Καὶ πανταχοῦ δὲ τῶν ἄλλων ὁρῶμεν αὐτὸν θερμότερον ὄντα, καὶ προαλλόμενον ἐν τοῖς κινδύνοις. Καὶ ὅτε ὤφθη ἐν τῷ αἰγιαλῷ, τῶν ἄλλων τὸ πλοῖον ἑλκόντων, αὐτὸς οὐκ ἠνέσχετο τῷ πλοίῳ παραγενέσθαι. Καὶ μετὰ τὴν ἀνάστασιν δὲ φονώντων Ἰουδαίων καὶ μαινομένων, καὶ ζητούντων αὐτοὺς διασπάσαι, πρῶτος παρελθὼν ἐτόλμησε ῥῆξαι φωνὴν καὶ εἰπεῖν, ὅτι ὁ σταυρωθεὶς ἀνελήφθη, καὶ ἐν τοῖς οὐρανοῖς ἐστιν. Οὐκ ἔστι δὲ ἴσον κεκλεισμένην ἀνοῖξαι θύραν καὶ ἀρχὴν δοῦναι πράγματι, καὶ μετὰ ταῦτα παρρησιάσασθαι.

Ὁ τοίνυν τὴν ἑαυτοῦ ψυχὴν ἐκδοὺς δήμῳ τοσούτῳ, πῶς ἂν ὑπεκρίθη ποτέ; ὁ μαστιχθεὶς καὶ δεθείς, καὶ μηδὲν τῆς παρρησίας ἑλόμενος καθυφεῖναι, καὶ ταῦτα ἐν ἀρχῇ τοῦ κηρύγματος, ἐν μέσῃ τῇ μητροπόλει, ἔνθα τοσοῦτος κίνδυνος ἦν, πῶς ἂν μετὰ τοσοῦτον χρόνον ἐν Ἀντιοχείᾳ, ἔνθα οὔτε κίνδυνος ἦν, καὶ πολὺ λαμπρότερος αὐτὸς ἐγεγόνει, τὴν ἀπὸ τῶν πραγμάτων μαρτυρίαν ἔχων, τοὺς ἐξ Ἰουδαίων πιστεύσαντας ἔδεισεν ἄν; Ὁ γὰρ αὐτοὺς Ἰουδαίους μὴ φοβηθεὶς καὶ ἐν ἀρχῇ καὶ ἐν τῇ μητροπόλει, πῶς ἂν μετὰ χρόνον τοσοῦτον ἐν ἀλλοτρίᾳ ὤν, τοὺς ἐξ ἐκείνων μεταστάντας ἐφοβήθη;

Οὐ τοίνυν κατὰ Πέτρου ταῦτα λέγων φησὶν ὁ Παῦλος, ἀλλ' ἀπὸ τῆς γνώμης ἧς εἶπεν, «Ἀπὸ δὲ τῶν δοκούντων εἶναί τι· ὁποῖοί ποτε ἦσαν, οὐδέν μοι διαφέρει», ἀπὸ τῆς αὐτῆς καὶ ταῦτα φθέγγεται. Ἀλλ' ἵνα μὴ ἐπὶ πλέον διαπορῶμεν ὑπὲρ τούτων, ἀναγκαῖον τῶν λεγομένων ἀναπτύξαι τὴν αἰτίαν. Οἱ γὰρ ἀπόστολοι, καθὼς ἔφθην εἰπών, ἐν Ἱεροσολύμοις μὲν συνεχώρουν περιτέμνεσθαι· οὐ γὰρ ἦν ἀθρόως ἀ-

---

25. Ματθ. 16, 22.

ἐνῷ οἱ ἄλλοι ἐσιώπων, αὐτὸς λέγει· «Ὁ Θεὸς νὰ σὲ εὐσπλαχνισθῇ, Κύριε»[25]. Αὐτοὶ οἱ λόγοι δέ, ἂν καὶ δὲν ἦσαν καλῶς ἠλεγμένης σκέψεως, ἦσαν ὅμως λόγοι θερμῆς ἀγάπης. Καὶ παντοῦ βλέπομεν αὐτὸν νὰ εἶναι θερμότερος τῶν ἄλλων καὶ εἰς τοὺς κινδύνους νὰ θέτῃ ἐμπρὸς τὸν ἑαυτόν του. Καὶ ὅταν ὁ Χριστὸς ἐνεφανίσθη εἰς τὸν αἰγιαλόν, ἐνῷ οἱ ἄλλοι ἔσυρον εἰς τὴν ξηρὰν τὸ πλοῖον, αὐτὸς δὲν ἠνείχετο νὰ βοηθῇ εἰς τὸ πλοῖον. Καὶ μετὰ τὴν ἀνάστασιν, ἐνῷ ἐμαίνοντο καὶ ἐφόνευον οἱ Ἰουδαῖοι καὶ ἤθελον νὰ τοὺς ἀφανίσουν, ἀφοῦ ἐνεφανίσθη πρῶτος, ἐτόλμησε νὰ φωνάξῃ καὶ νὰ εἴπῃ, ὅτι ὁ σταυρωθεὶς ἀνελήφθη καὶ εὑρίσκεται εἰς τοὺς οὐρανούς. Δὲν εἶναι δὲ τὸ ἴδιον τὸ νὰ ἀνοίξῃ κανεὶς κλειστὴν θύραν καὶ νὰ δώσῃ ἀρχὴν εἰς ἓν πρᾶγμα, καὶ τὸ νὰ ἔχῃ κανεὶς παρρησίαν μετὰ ἀπὸ αὐτά.

Αὐτὸς λοιπὸν ὁ ὁποῖος παρέδωσε τὴν ζωήν του εἰς τόσον πλῆθος, πῶς θὰ ἦτο δυνατὸν νὰ ὑποκριθῇ ποτέ; Αὐτὸς ὁ ὁποῖος ὑπέστη μαστιγώσεις καὶ δεσμὰ καὶ δὲν ἐδέχθη οὔτε πρὸς στιγμὴν νὰ ἐγκαταλείψῃ τὴν μετὰ θάρρους ὁμολογίαν καὶ τὴν κήρυξιν τοῦ εὐαγγελίου, καὶ ὅλα αὐτὰ εἰς τὴν ἀρχὴν τοῦ κηρύγματος, μέσα εἰς τὴν μητρόπολιν τῶν ἀπίστων, ὅπου ὑπῆρχε τόσος κίνδυνος, πῶς μετὰ ἀπὸ τόσον χρόνον εἰς τὴν Ἀντιόχειαν, ὅπου οὔτε κίνδυνος ὑπῆρχε, καὶ ὁ ἴδιος πολὺ ἐνδοξότερος εἶχε γίνει, πῶς ἐνῷ ηὑρίσκετο μεταξὺ ἀνθρώπων ἀπίστων, μετὰ ἀπὸ τόσον χρόνον θὰ ἐφοβεῖτο τοὺς ἀνθρώπους οἱ ὁποῖοι μετέστησαν ἀπὸ τὴν ἀπιστίαν εἰς τὴν πίστιν;

Δὲν λέγει λοιπὸν ὁ Παῦλος αὐτὰ ἐναντίον τοῦ Πέτρου, ἀλλὰ μὲ τὴν διάθεσιν μὲ τὴν ὁποίαν εἶπεν «ἀπὸ τοὺς θεωρουμένους ὡς μεγάλους· ὁποιοι καὶ ἂν ἦσαν δὲν μὲ ἐνδιαφέρει», μὲ τὴν ἰδίαν τώρα λέγει καὶ αὐτά. Ἀλλὰ διὰ νὰ μὴ ἀπορῶμεν περισσότερον δι' αὐτά, εἶναι ἀνάγκη νὰ ἀναπτύξωμεν τὴν αἰτίαν τῶν λεγομένων. Διότι οἱ ἀπόστολοι, ὅπως εἶπον, εἰς μὲν τὰ Ἱεροσόλυμα ἐπέτρεπον τὴν περιτομήν, ἀφοῦ δὲν ἦτο δυνατὸν νὰ τοὺς ἀποσπάσουν ἀμέσως ἀπὸ τὸν

ποσπάσαι τοῦ νόμου· ἐν Ἀντιοχείᾳ δὲ ἐλθόντες, οὐδὲν τοιοῦτον παρετήρουν λοιπόν, ἀλλὰ μετὰ τῶν ἐξ ἐθνῶν πιστευόντων ἀδιαφόρως ἔζων, ὃ δὴ καὶ Πέτρος ἐποίει τότε. Ἐπειδὴ δὲ ἦλθον ἀπὸ Ἱεροσολύμων οἱ ἰδόντες αὐτὸν ἐκεῖ οὕτω κηρύττοντα, οὐκέτι ἐποίει τοῦτο, φοβούμενος πλῆξαι ἐκείνους, ἀλλὰ μετέθετο, δύο ταῦτα οἰκονομῶν, καὶ τὸ μὴ σκανδαλίσαι τοὺς ἐξ Ἰουδαίων, καὶ τὸ παρασχεῖν τῷ Παύλῳ εὔλογον τῆς ἐπιτιμήσεως πρόφασιν. Εἰ γὰρ αὐτὸς ὁ ἐν τοῖς Ἱεροσολύμοις κηρύξας μετὰ περιτομῆς, μετέθετο ἐν Ἀντιοχείᾳ, ἔδοξεν ἂν τοῖς ἐξ Ἰουδαίων διὰ τὸν τοῦ Παύλου φόβον τοῦτο ποιεῖν, καὶ κατέγνωσαν ἂν αὐτοῦ πολλὴν τὴν εὐκολίαν οἱ μαθηταί· οὐ μικρὸν δὲ τοῦτο σκάνδαλον ἔμελλε γίνεσθαι. Τῷ μέντοι Παύλῳ πάντα σαφῶς εἰδότι μεταστάς, οὐκ ἂν τοιαύτην παρέσχεν ὑπόνοιαν· καὶ γὰρ ᾔδει τὴν γνώμην μεθ' ἧς ἐγίνετο ταῦτα. Διὸ καὶ Παῦλος ἐπιπλήττει, καὶ Πέτρος ἀνέχεται, ἵνα ἐγκαλουμένου τοῦ διδασκάλου καὶ σιγῶντος, εὐκολώτερον οἱ μαθηταὶ μεταθῶνται. Εἰ μὲν γάρ, μηδενὸς γενομένου τοιούτου, παρῄνεσεν ὁ Παῦλος, οὐδὲν ἂν εἰργάσατο μέγα· νῦν δὲ ἀφορμὴν λαβὼν ἐπιτιμήσεως σφοδροτέρας, πλείονα τοῖς μαθηταῖς Πέτρου τὸν φόβον ἐνέθηκε. Καὶ γὰρ εἰ μὲν ἀκούων ταῦτα Πέτρος ἀντέλεγε, καλῶς ἄν τις ἐμέμψατο, ὡς τῆς οἰκονομίας ἀνατρεπομένης· νυνὶ δέ, ἐκείνου μὲν ἐπιτιμῶντος, τούτου δὲ σιγῶντος, πολὺς τοῖς ἐξ Ἰουδαίων φόβος ἐγίνετο· διὸ καὶ σφοδρῶς κέχρηται τῷ Πέτρῳ.

6. Καὶ σκόπει μεθ' ὅσης ἀκριβείας κέχρηται τῷ λόγῳ, διδοὺς τοῖς συνετοῖς ἰδεῖν, ὅτι οὐ μάχης ἦν τὰ ῥήματα, ἀλλ' οἰκονομίας. «Ὅτε γὰρ ἦλθε Πέτρος», φησίν, «εἰς Ἀντιό-

νόμον· ὅταν ὅμως ἦλθον εἰς τὴν 'Αντιόχειαν, τίποτε τέτοιο λοιπὸν δὲν ἐτήρουν, ἀλλ' ἔζων μετὰ τῶν ἐθνικῶν πιστῶν χωρὶς διαφορὰν πρὸς αὐτούς, πρᾶγμα τὸ ὁποῖον ἔκαμνε τότε καὶ ὁ Πέτρος. Ὅταν ὅμως ἦλθον ἀπὸ τὰ 'Ιεροσόλυμα αὐτοὶ οἱ ὁποῖοι τὸν εἶδον νὰ κηρύττῃ ἔτσι ἐκεῖ, δὲν ἔπραττεν αὐτό, διότι ἐφοβεῖτο μήπως πληγώσῃ ἐκείνους, ἀλλ' ἀνεκάλει οἰκονομῶν ἔτσι δύο πράγματα, καὶ τὸ νὰ μὴ σκανδαλίσῃ τοὺς ἐξ 'Ιουδαίων πιστούς, καὶ τὸ νὰ δώσῃ εἰς τὸν Παῦλον εὔλογον πρόφασιν διὰ τὴν ἐπιτίμησιν. Διότι ἐὰν αὐτὸς ὁ ὁποῖος ἐκήρυξεν εἰς τὰ 'Ιεροσόλυμα τὴν περιτομήν, ἤλλασσε γνώμην εἰς τὴν 'Αντιόχειαν, θὰ ἐφαίνετο εἰς τοὺς ἐξ 'Ιουδαίων πιστοὺς ὅτι κάνει αὐτὸ φοβούμενος τὸν Παῦλον, καὶ θὰ τὸν κατέκρινον οἱ μαθηταί του ὅτι εἶναι πολὺ ἀσταθής· δὲν ἦτο δὲ μικρὸν τὸ σκάνδαλον τὸ ὁποῖον ἐπρόκειτο νὰ προέλθῃ ἐξ αὐτοῦ. Μεταβάλλων γνώμην ὅμως φαινομενικῶς ἔναντι τοῦ Παύλου, ὁ ὁποῖος ἐγνώριζε σαφῶς τὰ πάντα, δὲν θὰ ἔδιδε τέτοιαν ὑπόνοιαν· διότι ἐγνώριζε τὴν διάθεσιν μὲ τὴν ὁποίαν ἐγίνοντο αὐτά. Διὰ τοῦτο καὶ ὁ Παῦλος ἐπιπλήττει, καὶ ὁ Πέτρος ἀνέχεται, ὥστε, καθὼς κατηγορεῖται ὁ διδάσκαλος καὶ σιωπᾷ, νὰ μετατεθοῦν εὐκολώτερον οἱ μαθηταὶ πρὸς τὸ ὀρθόν. Διότι, ἐὰν μέν, χωρὶς νὰ συμβαίνῃ τίποτε ἀπὸ αὐτά, ἀπηύθυνε πρὸς αὐτοὺς παραίνεσιν ὁ Παῦλος, δὲν θὰ ἐπετύγχανε τίποτε σπουδαῖον· τώρα ὅμως, ἀφοῦ ἔλαβεν ἀφορμὴν ἐντονωτέρας ἐπιτιμήσεως, ἐνέσπειρε μεγαλύτερον φόβον εἰς τοὺς μαθητὰς τοῦ Πέτρου. Διότι, ἐὰν μὲν ὁ Πέτρος, ἀκούων αὐτά, ἀντέλεγε, δικαίως θὰ ἐκατηγόρει κανεὶς ὅτι ἀνατρέπεται ἡ θεία οἰκονομία· τώρα ὅμως, ποὺ ὁ μὲν Παῦλος ἐπιτιμᾷ, ὁ δὲ Πέτρος σιωπᾷ, ἐφοβήθησαν πολὺ οἱ ἐξ 'Ιουδαίων πιστοί· διὰ τοῦτο καὶ ὁμιλεῖ ἐντόνως πρὸς τὸν Πέτρον.

6. Καὶ πρόσεξε μὲ πόσην ἀκρίβειαν χρησιμοποιεῖ τὸν λόγον, δίδων εἰς τοὺς συνετοὺς τὴν δυνατότητα νὰ ἀντιληφθοῦν, ὅτι οἱ λόγοι δὲν ἦσαν ἀποτέλεσμα συγκρούσεως, ἀλλὰ οἰκονομίας. Διότι «ὅταν ἦλθεν ὁ Πέτρος», λέγει, «εἰς

χειαν, κατὰ πρόσωπον αὐτῷ ἀντέστην, ὅτι κατεγνωσμένος ἦν». Οὐκ εἶπεν, ὑπ' ἐμοῦ, ἀλλ' ὑπὸ τῶν ἄλλων. Εἰ δὲ αὐτὸς κατεγίνωσκεν, οὐκ ἂν παρῃτήσατο καὶ τοῦτο εἰπεῖν. Καὶ τό, «κατὰ πρόσωπον δὲ ἀντέστην», σχῆμα ἦν. Εἰ γὰρ ὄντως ἐμάχοντο, οὐκ ἂν ἐπὶ τῶν μαθητῶν ἀλλήλοις ἐπετίμησαν· σφόδρα γὰρ ἂν αὐτοὺς ἐσκανδάλισαν· νυνὶ δὲ λυσιτελοῦσα ἦν ἡ ἐν τῷ φανερῷ μάχη. Καὶ ὥσπερ ὁ Παῦλος εἶξεν αὐτοῖς ἐν Ἱεροσολύμοις, οὕτω καὶ αὐτοὶ ἐν Ἀντιοχείᾳ. Τίς οὖν ἡ κατάγνωσις; «Πρὸ τοῦ γὰρ ἐλθεῖν τινας ἀπὸ Ἰακώβου»· αὐτὸς γὰρ ἦν ὁ διδάσκαλος ἐν Ἱεροσολύμοις· «μετὰ τῶν ἐθνῶν συνήσθιεν· ὅτε δὲ ἦλθον, ὑπέστελλε καὶ ἀφώριζεν ἑαυτόν, φοβούμενος τοὺς ἐκ περιτομῆς»· οὐ τοῦτο φοβούμενος μὴ κινδυνεύσῃ· ὁ γὰρ ἐν ἀρχῇ μὴ φοβηθείς, πολλῷ μᾶλλον τότε· ἀλλ' ἵνα μὴ ἀποστῶσιν. Ἐπεὶ καὶ αὐτὸς λέγει Γαλάταις, «Φοβοῦμαι ὑμᾶς, μή πως εἰκῇ κεκοπίακα»· καὶ πάλιν, «Φοβοῦμαι, μή πως ὡς ὁ ὄφις Εὔαν ἐξηπάτησεν, οὕτω φθαρῇ τὰ νοήματα ὑμῶν». Ὁ μὲν γὰρ τοῦ θανάτου φόβος οὐδὲν ἦν αὐτοῖς, ὁ δὲ τῆς ἀπωλείας τῶν μαθητῶν σφόδρα αὐτῶν κατέσειε τὴν ψυχήν.

«Ὥστε καὶ Βαρνάβας συναπήχθη αὐτῶν τῇ ὑποκρίσει». Μὴ θαυμάσῃς, εἰ τὸ πρᾶγμα ὑπόκρισιν καλεῖ· οὐ γὰρ βούλεται, ὅπερ ἔφθην εἰπών, ἐκκαλύψαι τὴν γνώμην, ἵνα ἐκεῖνοι κατορθωθῶσιν. Ἐπειδὴ γὰρ σφοδρῶς ἀντείχοντο τοῦ νόμου, διὰ τοῦτο καὶ ὑπόκρισιν καλεῖ τὸ γινόμενον, καὶ σφόδρα ἐπιπλήττει, ὥστε πρόρριζον αὐτῶν ἀνελεῖν τὴν πρόληψιν. Καὶ ἀκούων ταῦτα Πέτρος συνυποκρίνεται, ὡς ἁμαρτάνων, ἵνα ἐν τῇ πρὸς αὐτὸν ἐπιτιμήσει διορθωθῶσιν. Εἰ μὲν γὰρ τοῖς

---

26. Γαλ. 4, 11.
27. Β' Κορ. 11, 3.
28. Γαλ. 2, 13.

τὴν Ἀντιόχειαν, κατὰ πρόσωπον ἠναντιώθην εἰς αὐτόν, διότι ἦτο ἄξιος κατακρίσεως». Δὲν εἶπεν ἀξιοκατάκριτος ἀπὸ ἐμέ, ἀλλ' ἀπὸ τοὺς ἄλλους. Διότι ἂν αὐτὸς κατέκρινε, δὲν θὰ ἀπέφευγε νὰ τὸ εἴπῃ καὶ αὐτό. Καὶ τὸ «κατὰ πρόσωπον ἠναντιώθην», καὶ αὐτὸ ἦτο φαινομενικόν. Διότι ἐὰν πράγματι συνεκρούοντο, δὲν θὰ ἐπετίμων ὁ εἷς τὸν ἄλλον ἐνώπιον τῶν μαθητῶν· διότι πολὺ θὰ τοὺς ἐσκανδάλιζον· ἐνῷ τώρα ἦτο ὠφέλιμος ἡ σύγκρουσις ἐνώπιον αὐτῶν. Καὶ ὅπως ἀκριβῶς ὁ Παῦλος ὑπήκουσεν εἰς αὐτοὺς εἰς τὰ Ἱεροσόλυμα, ἔτσι καὶ αὐτοὶ εἰς τὴν Ἀντιόχειαν. Ποία λοιπὸν ἡ κατάκρισις; «Διότι πρὶν ἔλθουν μερικοὶ ἀπὸ τὸν Ἰάκωβον», ἐπειδὴ αὐτὸς ἦτο ὁ διδάσκαλος εἰς τὰ Ἱεροσόλυμα, «ἔτρωγε μαζὶ μὲ τοὺς ἐθνικούς· ὅταν ὅμως ἦλθον, ἀπεσύρθη καὶ ἀπεχωρίζετο, διότι ἐφοβεῖτο ἐκείνους οἱ ὁποῖοι προήρχοντο ἀπὸ τὴν περιτομήν»· ὄχι φοβούμενος μήπως κινδυνεύσῃ, διότι αὐτὸς ὁ ὁποῖος εἰς τὴν ἀρχὴν δὲν ἐφοβήθη, πολὺ περισσότερον τότε, ἀλλὰ διὰ νὰ μὴ ἀπομακρυνθοῦν ἀπὸ τὴν πίστιν. Ἐπειδὴ καὶ ὁ Παῦλος λέγει εἰς τοὺς Γαλάτας· «Φοβοῦμαι μήπως ματαίως ἐκοπίασα δι' ἐσᾶς»[26]· καὶ πάλιν· «Ἀλλὰ φοβοῦμαι μήπως, ὅπως ὁ ὄφις ἐξηπάτησε τὴν Εὔαν μὲ τὴν πανουργίαν, ἔτσι φθαροῦν αἱ σκέψεις σας καὶ ἀπομακρυνθοῦν ἀπὸ τὴν εἰλικρινῆ ἀφοσίωσιν εἰς τὸν Χριστόν»[27]. Διότι ὁ μὲν φόβος τοῦ θανάτου δὲν ἦτο τίποτε δι' αὐτούς, ἐνῷ ὁ φόβος τῆς ἀπωλείας τῶν μαθητῶν συνετάρασσε πάρα πολὺ τὴν ψυχήν των.

«Ὥστε καὶ ὁ Βαρνάβας συμπαρεσύρθη εἰς τὴν ὑποκρισίαν των»[28]. Μὴ ἀπορήσῃς διὰ τὸ ὅτι καλεῖ ὑποκρισίαν τὸ πρᾶγμα· διότι δὲν θέλει ν' ἀποκαλύψῃ τὴν γνώμην, διὰ νὰ διορθωθοῦν ἐκεῖνοι. Ἐπειδὴ δηλαδὴ ἦσαν πάρα πολὺ προσκολλημένοι εἰς τὸν νόμον, διὰ τοῦτο καὶ ὀνομάζει ὑποκρισίαν τὸ γεγονὸς καὶ ἐπιπλήττει ἐντόνως, ὥστε νὰ καταστρέψῃ ἐκ βάθρων τὴν πρόληψίν των. Καὶ ἀκούων αὐτὰ ὁ Πέτρος, ὑποκρίνεται ὅτι εἶναι μαζὶ μὲ αὐτούς, ὡσὰν ν' ἁμαρτάνῃ, διὰ νὰ διορθωθοῦν ἀπὸ τὴν πρὸς αὐτὸν ἐπίπληξιν. Διότι,

ἐξ Ἰουδαίων ὁ Παῦλος ἐπέπληξεν, ἠγανάκτησαν ἂν καὶ διέπτυσαν· οὐ γὰρ πολλὴν περὶ αὐτοῦ δόξαν εἶχον· νυνὶ δὲ τὸν διδάσκαλον ὁρῶντες ἐπιτιμώμενον καὶ σιγῶντα, οὔτε καταφρονῆσαι, οὔτε ἀντειπεῖν τοῖς λεγομένοις εἶχον.

«Ἀλλ' ὅτε εἶδον, ὅτι οὐκ ὀρθοποδοῦσι πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου». Μηδὲ αὕτη ὑμᾶς θορυβείτω ἡ λέξις· οὐ γὰρ Πέτρου καταγινώσκων ταῦτα λέγει, ἀλλ' οὕτω χαρακτηρίζει τὴν λέξιν, ὡς συμφέρον ἦν ἀκοῦσαι τοὺς διὰ τῆς ἐπιτιμήσεως Πέτρου μέλλοντας βελτίους γίνεσθαι. «Εἶπον τῷ Πέτρῳ ἔμπροσθεν πάντων». Εἶδες πῶς τοὺς ἄλλους διορθοῦται; Διὰ γὰρ τοῦτο ἔμπροσθεν, ἵνα καὶ ἀκούσαντες φοβηθῶσι. Τί εἶπες, εἰπέ. «Εἰ σύ, Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς, καὶ οὐκ Ἰουδαϊκῶς, τί τὰ ἔθνη ἀναγκάζεις Ἰουδαΐζειν;». Καίτοι οὐ τὰ ἔθνη αὐτῷ συνεπήχθη, ἀλλ' Ἰουδαῖοι· τί οὖν ἐγκαλεῖς ὃ μὴ γέγονε; τί δὲ μὴ τρέπεις τὸν λόγον ἐπὶ τοὺς ὑποκρινομένους τοὺς ἐξ Ἰουδαίων, ἀλλ' ἐπὶ τὰ ἔθνη; διὰ τί δὲ καὶ Πέτρῳ μόνον ἐγκαλεῖς, εἰ καὶ οἱ λοιποὶ αὐτῷ συνυπεκρίθησαν; Ἴδωμεν δὲ καὶ τί ἐγκαλεῖ.

«Εἰ σύ, Ἰουδαῖος ὑπάρχων, ἐθνικῶς ζῇς, καὶ οὐκ Ἰουδαϊκῶς, τί τὰ ἔθνη ἀναγκάζεις Ἰουδαΐζειν;». Καί μὴν αὐτὸς ὑπεστέλλετο μόνος· τί οὖν ἐστιν ὃ κατασκευάσαι βούλεται; Ἀνύποπτον ποιῆσαι τὴν ἐπιτίμησιν. Εἰ μὲν γὰρ εἶπε, κακῶς ποιεῖς τὸν νόμον τηρῶν, ἐπετίμησαν ἂν οἱ ἐξ Ἰουδαίων αὐτῷ, ὡς θρασυνομένῳ κατὰ τοῦ διδασκάλου· νυνὶ δὲ ὑπὲρ τῶν οἰκείων ἐγκαλῶν αὐτῷ μαθητῶν, τῶν ἐξ ἐθνῶν λέγω, εὐπαράδεκτον ποιεῖ ταύτῃ τὸν λόγον· καὶ οὐ ταύτῃ μόνον, ἀλλὰ καὶ τῷ πάντων ἀποστήσας τὴν ἐπιτίμησιν, τῷ ἀποστόλῳ περιστῆσαι πᾶσαν αὐτήν. «Εἰ γὰρ σύ», φησίν, «Ἰουδαῖος ὤν, ἐθνικῶς ζῇς, καὶ οὐκ Ἰουδαϊκῶς»· μονονου-

29. Γαλ. 2, 14.

ἐὰν μὲν ὁ Παῦλος ἐπέπληττεν τοὺς ἐξ Ἰουδαίων πιστούς, θὰ ὠργίζοντο καὶ θὰ τὸν ἀπεστρέφοντο· διότι δὲν εἶχον αὐτὸν εἰς ὑπόληψιν· τώρα ὅμως, βλέποντες τὸν διδάσκαλον, ἐνῷ ἐπιπλήττεται νὰ σιωπᾷ, δὲν ἠδύναντο οὔτε νὰ περιφρονήσουν, οὔτε νὰ ἀντείπουν εἰς τὰ λεγόμενα.

«Ἀλλ' ὅταν εἶδον ὅτι δὲν βαδίζουν τὸν ὀρθὸν δρόμον συμφώνως πρὸς τὴν ἀλήθειαν τοῦ εὐαγγελίου»[29]. Ἂς μὴ σᾶς θορυβήσῃ καθόλου αὐτὴ ἡ λέξις· διότι δὲν λέγει αὐτὰ κατηγορῶν τὸν Πέτρον, ἀλλὰ χαρακτηρίζει ἔτσι τὴν λέξιν, ἐπειδὴ ἦτο συμφέρον νὰ ἀκούσουν αὐτὴν ἐκεῖνοι οἱ ὁποῖοι, ἐξ αἰτίας τῆς ἐπιπλήξεως τοῦ Πέτρου, ἐπρόκειτο νὰ γίνουν καλύτεροι. «Εἶπον εἰς τὸν Πέτρον ἐνώπιον ὅλων». Εἶδες πῶς διορθώνει τοὺς ἄλλους; Διότι διὰ τοῦτο τὸ εἶπεν ἔμπροσθεν, διὰ νὰ φοβηθοῦν ἀφοῦ ἀκούσουν. Τί εἶπες, εἰπέ· «Ἐὰν ἐσύ, ὁ ὁποῖος εἶσαι Ἰουδαῖος, ζῇς κατὰ τρόπον ἐθνικὸν καὶ ὄχι Ἰουδαϊκόν, πῶς ἀναγκάζεις τοὺς ἐθνικοὺς νὰ Ἰουδαΐζουν;». Ἂν καὶ δὲν παρεξετράπησαν μαζί του τὰ ἔθνη, ἀλλ' οἱ Ἰουδαῖοι· τί λοιπὸν κατηγορεῖς αὐτὸ τὸ ὁποῖον δὲν ἔγινε; Διατί δὲ δὲν στρέφεις τὸν λόγον κατὰ τῶν ἐξ Ἰουδαίων ὑποκρινομένων, ἀλλὰ κατὰ τῶν ἐθνικῶν; Καὶ διατί κατηγορεῖς μόνον τὸν Πέτρον, ἐφ' ὅσον καὶ οἱ ὑπόλοιποι ὑπεκρίθησαν μαζί του; Ἂς ἴδωμεν δὲ καὶ διὰ ποῖον πρᾶγμα κατηγορεῖ.

«Ἐὰν ἐσύ, ὁ ὁποῖος εἶσαι Ἰουδαῖος, ζῇς κατὰ τρόπον ἐθνικὸν καὶ ὄχι Ἰουδαϊκόν, διατί ἀναγκάζεις τοὺς ἐθνικοὺς νὰ ζοῦν κατὰ τρόπον Ἰουδαϊκόν;». Διότι αὐτὸς μόνον ὑπεχώρει· τί εἶναι λοιπὸν αὐτὸ τὸ ὁποῖον θέλει νὰ κάνῃ; Ν' ἀπαλλάξῃ τὴν ἐπίπληξιν ἀπὸ κάθε ὑποψίαν. Διότι ἐὰν ἔλεγε, κακῶς κάνεις μὲ τὸ νὰ τηρῇς τὸν νόμον, θὰ ἐπέπληττον αὐτὸν οἱ ἐξ Ἰουδαίων πιστοί, ἐπειδὴ ἀπεθρασύνετο εἰς τὸν διδάσκαλον· τώρα ὅμως κατηγορῶν αὐτὸν ὑπὲρ τῶν ἰδικῶν του μαθητῶν, ἐννοῶ τοὺς ἐξ ἐθνῶν, κάνει μὲ αὐτὸν τὸν τρόπον εὐπαράδεκτον τὸν λόγον· καὶ ὄχι μόνον μὲ αὐτὸν τὸν τρόπον, ἀλλὰ καὶ μὲ τὸ ν' ἀπευθύνῃ τὴν ἐπίπληξιν μόνον εἰς τὸν Πέτρον, καὶ ὄχι καὶ εἰς τοὺς ἄλλους. «Διότι ἐὰν ἐσύ», λέγει, «ἐνῷ εἶσαι Ἰουδαῖος, ζῇς κατὰ τρόπον ἐθνικὸν

χὶ διαῤῥήδην λέγων, ὅτι μιμήσασθε τὸν διδάσκαλον· ἰδοὺ γὰρ καὶ αὐτὸς Ἰουδαῖος ὤν, ἐθνικῶς ζῇ.

Ἀλλ' οὕτω μὲν οὐ λέγει· οὐ γὰρ ἂν ἐδέξαντο τὴν παραίνεσιν· προσχήματι δὲ ἐπιτιμήσεως τῆς ὑπὲρ τῶν ἐθνῶν ἐκκαλύπτει τοῦ Πέτρου τὴν γνώμην. Πάλιν εἰ εἶπε, διὰ τί τοὺς ἐξ Ἰουδαίων ἀναγκάζεις Ἰουδαΐζειν, σφοδρότερος ὁ λόγος ἂν ἐγένετο· νυνὶ δὲ οὐχ ὡς τῶν Ἰουδαίων μαθητῶν ἀντεχόμενος, ἀλλὰ τῶν ἐξ ἐθνῶν, οὕτω διορθοῦται ἐκείνους. Καὶ γὰρ αἱ ἐπιπλήξεις, ὅταν μὴ σφόδρα φορτικαὶ ὦσι, τότε μάλιστα δύνανται εὐπαράδεκτοι γενέσθαι. Οὐδὲ γὰρ τῶν ἐξ ἐθνῶν τις ἠδύνατο ἐγκαλέσαι τῷ Παύλῳ, ὑπὲρ τῶν Ἰουδαίων ποιουμένῳ τὸν λόγον. Τοῦτο ὅλον κατώρθωσε σιγήσας καὶ καταδεξάμενος ὑποκρίσεως δόξαν ὁ Πέτρος, ἵνα ἀληθοῦς ὑποκρίσεως ἀπαλλάξῃ τοὺς Ἰουδαίους.

7. Τὸ μὲν οὖν πρῶτον, εἰς τὸ Πέτρου πρόσωπον περιέστησε τὸν λόγον εἰπών, «Εἰ σὺ Ἰουδαῖος ὑπάρχων»· προϊὼν δὲ κοινοποιεῖ τὸ λεγόμενον, καὶ ἑαυτὸν προσπαραλαβών, καὶ οὕτω λέγων· «Ἡμεῖς φύσει Ἰουδαῖοι, καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί». Καὶ τὰ μὲν λεγόμενα παραίνεσις ἦν, σχῆμα δὲ ἐπιπλήξεως αὐτῇ περίκειται διὰ τοὺς ἐξ Ἰουδαίων. Ποιεῖ δὲ τοῦτο καὶ ἀλλαχοῦ· δοκῶν γὰρ ἕτερον λέγειν, ἄλλο κατασκευάζει· ὡς ὅταν Ρωμαίους ἐπιστέλλων λέγῃ· «Νυνὶ δὲ πορεύομαι εἰς Ἱεροσόλυμα διακονῶν τοῖς ἁγίοις». Οὐ γὰρ τοῦτο ἐβούλετο εἰπεῖν, καὶ διδάξαι αὐτοὺς ἁπλῶς, τίνος ἕνεκεν εἰς Ἱεροσόλυμα ἐπορεύετο, ἀλλ' εἰς ζῆλον ἀγαγεῖν ἐλεημοσύνης. Εἰ μὲν γὰρ τὴν αἰτίαν ἤθελεν εἰπεῖν, ἤρκει τοῦτο εἰπεῖν, ὅτι πορεύομαι διακονῶν τοῖς ἁγίοις· νυνὶ δὲ ὅρα πόσα συνάπτει.

---

30. Γαλ. 2, 15.
31. Ρωμ. 15, 25.

καὶ ὄχι Ἰουδαϊκόν»· ὡσὰν νὰ ἔλεγεν, νὰ μιμηθῆτε τὸν διδάσκαλον, ἀφοῦ καὶ αὐτός, ἐνῷ εἶναι Ἰουδαῖος, ζῇ κατὰ τρόπον ἐθνικόν.

Δὲν λέγει ὅμως ἔτσι, διότι δὲν θὰ ἐδέχοντο τὴν παραίνεσιν· ἀλλὰ μὲ τὸ πρόσχημα ὅτι ἐπιτιμᾷ ὑπὲρ τῶν ἐθνικῶν, ἀποκαλύπτει τὴν γνώμην τοῦ Πέτρου. Καὶ πάλιν, ἐὰν ἔλεγε, διατί ἀναγκάζεις τοὺς ἐξ Ἰουδαίων νὰ Ἰουδαΐζουν, θὰ ἐγίνετο ὁ λόγος περισσότερον ἀπαράδεκτος· τώρα ὅμως, λαμβάνων ἀφορμήν, ὄχι ἀπὸ τοὺς ἐξ Ἰουδαίων, ἀλλ' ἀπὸ τοὺς ἐθνικούς, διορθώνει μὲ αὐτὸν τὸν τρόπον καὶ ἐκείνους. Διότι αἱ ἐπιπλήξεις, ὅταν δὲν εἶναι πολὺ φορτικαί, τότε περισσότερον δύνανται νὰ γίνουν εὐπαράδεκτοι. Διότι κανεὶς ἀπὸ τοὺς ἐθνικοὺς δὲν ἠδύνατο νὰ κατηγορήσῃ τὸν Παῦλον ὅτι ὁμιλεῖ ὑπὲρ τῶν Ἰουδαίων. Αὐτὸ κατώρθωσεν ὁ Πέτρος μὲ τὸ νὰ σιωπήσῃ καὶ νὰ καταδεχθῇ νὰ φανῇ ὅτι ὑποκρίνεται, διὰ ν' ἀπαλλάξῃ τοὺς Ἰουδαίους ἀπὸ τὴν ἀληθινὴν ὑποκρισίαν.

7. Καὶ εἰς μὲν τὴν ἀρχὴν λοιπόν, εἰς τὸ πρόσωπον τοῦ Πέτρου ἀπηύθυνε τὴν κατηγορίαν, ὅταν εἶπεν· «Ἐὰν ἐσύ, ἐνῷ εἶσαι Ἰουδαῖος»· προχωρῶν ὅμως, ὁμιλεῖ γενικῶς δι' ὅλους, ἀφοῦ συμπεριέλαβε καὶ τὸν ἑαυτόν του, καὶ λέγει ἔτσι· «Ἐμεῖς εἴμεθα ἐκ γενετῆς Ἰουδαῖοι καὶ ὄχι ἁμαρτωλοὶ ἐθνικοί»[30]. Καὶ τὰ μὲν λεγόμενα ἦσαν παραίνεσις, εἶναι ὅμως περιβεβλημένη μὲ σχῆμα ἐπιπλήξεως διὰ τοὺς ἐξ Ἰουδαίων πιστούς. Κάνει δὲ τὸ ἴδιον καὶ ἀλλοῦ· διότι, ἐνῷ φαίνεται ὅτι ἄλλο λέγει, ἄλλο κάνει· ὅπως ὅταν γράφων ἐπιστολὴν εἰς τοὺς Ρωμαίους, λέγῃ· «Τώρα ὅμως πηγαίνω εἰς τὴν Ἰερουσαλήμ, ἐκτελῶν ὑπηρεσίαν πρὸς τοὺς ἐκεῖ ἁγίους»[31]. Διότι δὲν ἤθελεν νὰ εἴπῃ αὐτὸ καὶ νὰ πληροφορήσῃ ἁπλῶς αὐτοὺς ἐξ αἰτίας τίνος ἐπήγαινεν εἰς τὰ Ἰεροσόλυμα, ἀλλὰ νὰ τοὺς ὁδηγήσῃ εἰς ζῆλον διὰ τὴν ἐλεημοσύνην. Διότι ἐὰν ἤθελε νὰ εἴπῃ εἰς αὐτοὺς τὴν αἰτίαν, θὰ ἦτο ἀρκετὸν νὰ εἴπῃ αὐτό, ὅτι πηγαίνω ἐκτελῶν ὑπηρεσίαν εἰς τοὺς ἐκεῖ ἁγίους· τώρα ὅμως πρόσεξε πόσα συνάπτει πρὸς αὐτά.

«*Εὐδόκησαν γὰρ Μακεδονία καὶ Ἀχαΐα κοινωνίαν τινὰ ποιήσασθαι εἰς τοὺς πτωχοὺς τῶν ἁγίων τῶν ἐν Ἱερουσαλήμ. Εὐδόκησαν γάρ, καὶ ὀφειλέται αὐτῶν εἰσι*». *Καὶ πάλιν*, «*Εἰ γὰρ τοῖς Πνευματικοῖς αὐτῶν ἐκοινώνησαν τὰ ἔθνη, ὀφείλουσι καὶ ἐν τοῖς σαρκικοῖς λειτουργῆσαι αὐτοῖς*». *Ὅρα τοίνυν καὶ ἐνταῦθα πῶς τὰ τῶν Ἰουδαίων καταστέλλει φρονήματα, ἄλλο δι' ἄλλου κατασκευάζων. Καὶ μετ' ἐξουσίας κέχρηται τῷ λόγῳ*, «*Ἡμεῖς φύσει Ἰουδαῖοι*», *λέγων*, «*καὶ οὐκ ἐξ ἐθνῶν ἁμαρτωλοί*». *Τί δέ ἐστι*, «*φύσει Ἰουδαῖοι*»; *Οὐ προσήλυτοι, ἀλλ' ἐκ πρώτης ἡλικίας ἐντραφέντες τῷ νόμῳ, τὴν σύντροφον ἀφέντες πολιτείαν, κατεφύγομεν εἰς πίστιν τὴν εἰς Χριστόν.*

«*Εἰδότες ὅτι οὐ δικαιωθήσεται ἄνθρωπος ἐξ ἔργων νόμου, εἰ μὴ διὰ πίστεως Ἰησοῦ Χριστοῦ, καὶ ἡμεῖς εἰς Χριστὸν ἐπιστεύσαμεν*». *Ὅρα καὶ ἐνταῦθα πῶς μετὰ ἀσφαλείας πάντα φθέγγεται. Οὐ γὰρ ὡς πονηρὸν ἀλλ' ὡς ἀσθενῆ, φησίν, αὐτὸν εἰάσαμεν. Εἰ τοίνυν οὐ παρέχει δικαιοσύνην ὁ νόμος, περιττὸν τὸ τῆς περιτομῆς. Ἀλλὰ νῦν μὲν οὕτω· προϊὼν δὲ δείκνυσιν, ὅτι οὐ μόνον περιττόν, ἀλλὰ καὶ ἐπικίνδυνον· ὅπερ καὶ μάλιστα παρατηρητέον, πῶς παρὰ μὲν τὴν ἀρχήν φησιν*, «*Οὐ δικαιοῦται ἄνθρωπος ἐξ ἔργων νόμου*», *προβαίνων δὲ καὶ φορτικώτερον φθέγγεται*. «*Εἰ δὲ ζητοῦντες δικαιωθῆναι ἐν Χριστῷ, εὑρέθημεν καὶ αὐτοὶ ἁμαρτωλοί, ἄρα Χριστὸς ἁμαρτίας διάκονος*». *Εἰ γὰρ οὐκ ἰσχύει, φησίν, ἡ εἰς αὐτὸν πίστις δικαιῶσαι, ἀλλ' ἀνάγκη τοῦ νόμου πάλιν ἔχεσθαι, οἱ τὸν νόμον ἀφέντες διὰ τὸν Χριστόν, καὶ οὐ δικαιούμενοι ἐκ τῆς ἀφέσεως, ἀλλὰ κατακρινόμενοι, τῆς κατακρίσεως εὑρήσομεν αὐτὸν αἴτιον γενόμενον δι' ὃν τὸν νόμον ἀφέντες, πρὸς τὴν πίστιν ηὐτομολήσαμεν.*

Εἶδες εἰς ὅσην ἀνάγκην περιέστησεν ἀτοπίας τὸν λόγον,

---

32. Ρωμ. 15. 26, 27.
33. Γαλ. 2, 16.
34. Γαλ. 2, 17.

«Διότι ἡ Μακεδονία καὶ ἡ Ἀχαΐα ἀπεφάσισαν νὰ κάνουν κάποιαν συνεισφορὰν διὰ τοὺς πτωχοὺς τῶν ἁγίων τῆς Ἰερουσαλήμ. Ἀπεφάσισαν αὐτὸ καὶ μάλιστα εἶναι χρεῶσται εἰς αὐτούς»[32]. Καὶ πάλιν· «Διότι ἐὰν τὰ ἔθνη ἔχουν συμμερισθῆ τὰ πνευματικά των ἀγαθά, ὀφείλουν νὰ τοὺς συνδράμουν καὶ εἰς τὰ ὑλικὰ ἀγαθά»[32]. Πρόσεξε λοιπὸν καὶ ἐδῶ πῶς ταπεινώνει τὴν ἀλαζονείαν τῶν Ἰουδαίων καὶ κάμνει ἄλλο διὰ μέσου ἄλλου. Καὶ χρησιμοποιεῖ τὸν λόγον μὲ ἐξουσίαν, λέγων «ἐμεῖς εἴμεθα ἐκ γενετῆς Ἰουδαῖοι καὶ ὄχι ἁμαρτωλοὶ ἐθνικοί». Τί σημαίνει δὲ «ἐκ γενετῆς Ἰουδαῖοι»; Ὄχι προσήλυτοι, ἀλλ' ἀπὸ τὴν παιδικὴν ἡλικίαν τραφέντες ἀπὸ τὸν νόμον, ἀφοῦ ἐγκατελείψαμεν τὸν συνήθη τρόπον ζωῆς, κατεφύγομεν εἰς τὴν πίστιν ἡ ὁποία ὁδηγεῖ εἰς τὸν Χριστόν.

«Ἐπειδὴ ἐγνωρίσαμεν ὅτι ὁ ἄνθρωπος δὲν δικαιώνεται ἀπὸ τὰ ἔργα τοῦ νόμου, ἀλλὰ διὰ τῆς πίστεως εἰς τὸν Ἰησοῦν Χριστόν, ἐπιστέψαμεν καὶ ἐμεῖς εἰς τὸν Χριστὸν Ἰησοῦν»[33]. Πρόσεξε καὶ ἐδῶ πῶς μὲ ἀσφάλειαν λέγει τὰ πάντα. Διότι ὄχι ὡς κακόν, ἀλλ' ὡς ἀσθενῆ, λέγει, ἐγκατελείψαμεν αὐτόν. Ἐὰν λοιπὸν ὁ νόμος δὲν παρέχῃ δικαίωσιν, εἶναι περιττὴ ἡ περιτομή. Ἀλλ' ἐδῶ μὲν ἔτσι· προχωρῶν ὅμως δεικνύει ὅτι, ὄχι μόνον εἶναι περιττή, ἀλλὰ καὶ ἐπικίνδυνος· τὸ ὁποῖον εἶναι καὶ περισσότερον ἀξιοπαρατήρητον, πῶς εἰς τὴν ἀρχὴν μὲν λέγει «δὲν δικαιοῦται ὁ ἄνθρωπος ἀπὸ τὰ ἔργα τοῦ νόμου», προχωρῶν δὲ ὁμιλεῖ καὶ βαρύτερον· «Ἀλλ' ἐὰν ἐμεῖς οἱ ὁποῖοι ἐζητήσαμεν νὰ δικαιωθῶμεν διὰ τοῦ Χριστοῦ, εὑρέθημεν καὶ ἐμεῖς ἁμαρτωλοί, ἄρα ὁ Χριστὸς ὑπηρετεῖ τὴν ἁμαρτίαν»[34]. Διότι ἐὰν δὲν ἔχῃ δύναμιν, λέγει, ἡ εἰς Χριστὸν πίστις νὰ δικαιώσῃ, ἀλλ' ὑφίσταται πάλιν ἡ ἀναγκαιότης τοῦ νόμου, ἐκεῖνοι οἱ ὁποῖοι ἐγκατέλειψαν τὸν νόμον διὰ τὸν Χριστὸν καὶ δὲν δικαιοῦνται ἀπὸ τὴν ἄφεσιν, ἀλλὰ κατακρίνονται, θὰ εὕρωμεν νὰ γίνηται αἴτιος τῆς κατακρίσεως αὐτός, διὰ τὸν ὁποῖον, ἐγκαταλείψαντες τὸν νόμον, κατεφύγομεν εἰς τὴν πίστιν.

Εἶδες εἰς πόσον ἀναγκαστικὴν ἀτοπίαν ὡδήγησε τὸν λό-

καὶ πῶς ἰσχυρῶς ἠγωνίσατο; Εἰ γὰρ οὐ δεῖ τὸν νόμον ἀφεῖναι, φησίν, ἀφήκαμεν δὲ διὰ τὸν Χριστόν, μέλλομεν κρίνεσθαι. Τί οὖν Πέτρῳ ταῦτα λέγεις καὶ παραινεῖς, τῷ πάντων ἀκριβέστερον ταῦτα εἰδότι; Οὐκ αὐτῷ ἔδειξεν ὁ Θεός, ὅτι οὐ δεῖ κρίνειν ἄνθρωπον ἀκρόβυστον ἐν περιτομῇ; οὐχὶ Ἰουδαίοις διαλεγόμενος περὶ τούτων, γενναίως ἀπὸ τῆς ὄψεως ταύτης ἀντέστη; οὐχὶ δόγματα τετρανωμένα περὶ τούτων ἐξ Ἱεροσολύμων πάλιν ἔπεμπεν;

Οὐ τοίνυν Πέτρον διορθούμενος ταῦτα λέγει· ἀλλ' ἐδόκει μὲν πρὸς ἐκεῖνον ὁ λόγος ἀποτείνεσθαι, τοὺς δὲ μαθητὰς ἤλεγχε. Ταῦτα δὲ οὐ πρὸς Γαλάτας, ἀλλὰ καὶ πρὸς τοὺς τὰ αὐτὰ νοσοῦντας ἐκείνοις. Εἰ γὰρ καὶ μὴ περιτέμνονται πολλοὶ νῦν, νηστεύουσι δέ, καὶ τὸ Σάββατον τηροῦσι, μετ' ἐκείνων ταῦτα πράττουσιν, ἐξωθοῦντες ἑαυτοὺς τῆς χάριτος. Εἰ γὰρ τοὺς περιτομῇ μόνον κεχρημένους ὁ Χριστὸς οὐδὲν ὠφελεῖ, ὅταν καὶ νηστεία καὶ Σάββατον προσγένηται, καὶ ἀντὶ μιᾶς δύο τηρῶνται ἐντολαί, ὅρα τὸν κίνδυνον καὶ ἀπὸ τοῦ χρόνου γενόμενον χαλεπώτερον. Ἐκεῖνοι μὲν γὰρ ἐν ἀρχῇ ταῦτα ἐποίουν, ἔτι τῆς πόλεως οὔσης, καὶ τοῦ ναοῦ, καὶ τῶν ἄλλων ἁπάντων· οὗτοι δὲ καὶ τὴν τιμωρίαν ὁρῶντες, ἣν ἔδοσαν Ἰουδαῖοι, καὶ τὸν τῆς πόλεως ἀφανισμόν, καὶ πλείονα παρατηροῦντες, ποίαν ἔχοιεν ἂν ἀπολογίαν, τότε τὸν νόμον φυλάττοντες, ὅτε αὐτοὶ οἱ Ἰουδαῖοι ὄντες, καὶ σφόδρα βουλόμενοι, οὐ δύνανται ταῦτα διατηρεῖν; Τὸν Χριστὸν ἐνεδύσω, μέλος ἐγένου τοῦ δεσπότου, εἰς τὴν ἄνω πόλιν ἐνεγράφης, καὶ ἔτι περὶ τὸν νόμον ἕρπεις; καὶ πῶς ἔνι σε τῆς βασιλείας ἐπιτυχεῖν;

Ἄκουσον τοῦ Παύλου λέγοντος, ὅτι τὸ εὐαγγέλιον ἀνατρέπεται διὰ τῆς παρατηρήσεως τοῦ νόμου. Καί, εἰ βούλει,

γον καὶ πῶς ἠγωνίσθη μὲ δύναμιν; Διότι, ἐὰν δὲν πρέπει νὰ ἐγκαταλείψωμεν τὸν νόμον, λέγει, τὸν ἐγκατελείψαμεν ὅμως διὰ τὸν Χριστόν, πρόκειται νὰ κριθῶμεν. Διατί λοιπὸν παραινεῖς καὶ λέγεις αὐτὰ εἰς τὸν Πέτρον, ὁ ὁποῖος γνωρίζει αὐτὰ ἀκριβέστερον ἀπὸ ὅλους; Δὲν ἐφανέρωσεν εἰς αὐτὸν ὁ Θεὸς ὅτι δὲν πρέπει νὰ κρίνῃ ἄνθρωπον ἀπερίτμητον διὰ τὴν περιτομήν; Μήπως, ὅταν ὡμίλει εἰς τοὺς Ἰουδαίους δι' αὐτὰ δὲν ἀντιπαρετάχθη γενναιοψύχως ἀπὸ αὐτὴν τὴν ἄποψιν; Μήπως πάλιν δὲν ἀπέστελλεν ἀπὸ τὰ Ἱεροσόλυμα σαφῆ διδασκαλίαν δι' αὐτά;

Δὲν λέγει λοιπὸν αὐτὰ διὰ νὰ διορθώσῃ τὸν Πέτρον· ἀλλὰ φαίνεται μὲν ὅτι ὁ λόγος ἀπευθύνεται εἰς ἐκεῖνον, ἐνῷ ἐλέγχει τοὺς μαθητάς. Αὐτὰ δὲ ὄχι πρὸς τοὺς Γαλάτας, ἀλλὰ καὶ πρὸς ἐκείνους οἱ ὁποῖοι πάσχουν ἀπὸ τὴν ἰδίαν νόσον. Διότι, ἂν καὶ δὲν περιτέμνονται πολλοὶ τώρα, νηστεύουν ὅμως καὶ τηροῦν τὴν ἀργίαν τοῦ Σαββάτου, πράττουν αὐτὰ μαζὶ μὲ ἐκείνους, ἀποχωρίζοντες τοὺς ἑαυτούς των ἀπὸ τὴν χάριν. Διότι, ἐὰν αὐτοὺς οἱ ὁποῖοι χρησιμοποιοῦν μόνον τὴν περιτομὴν ὁ Χριστὸς δὲν τοὺς ὠφελῇ εἰς τίποτε, ὅταν προστίθεται καὶ ἡ νηστεία καὶ τὸ Σάββατον, καὶ ὄχι μόνον μία, ἀλλὰ δύο ἐντολαὶ τηροῦνται, πρόσεξε πῶς ὁ κίνδυνος καὶ μὲ τὴν πρόοδον τοῦ χρόνου ἔγινε φοβερώτερος. Διότι ἐκεῖνοι μὲν εἰς τὴν ἀρχὴν αὐτὰ ἔκαμνον, ἐνῷ ὑπῆρχεν ἀκόμη ἡ πόλις καὶ ὁ ναὸς καὶ ὅλα τὰ ἄλλα· αὐτοὶ δέ, βλέποντες καὶ τὴν τιμωρίαν εἰς τὴν ὁποίαν παρεδόθησαν οἱ Ἰουδαῖοι, καὶ τὴν καταστροφὴν τῆς πόλεως καὶ περισσότερα βλέποντες ποίαν ἀπολογίαν θὰ ἔχουν διὰ τὸ ὅτι τηροῦν τὸν νόμον τότε, ὅταν αὐτοί, ἐνῷ ἦσαν Ἰουδαῖοι καὶ παρ' ὅ,τι ἤθελον πάρα πολύ, δὲν δύνανται νὰ τηροῦν αὐτά; Τὸν Χριστὸν ἐνεδύθης, μέλος τοῦ δεσπότου ἔγινες, εἰς τὴν ἄνω πόλιν ἀνεγράφης, καὶ ἀκόμη εἰς τὸν νόμον ἕρπεις; Καὶ πῶς εἶναι δυνατὸν νὰ ἐπιτύχῃς τὴν βασιλείαν;

Ἄκουσε τὸν Παῦλον ὁ ὁποῖος λέγει ὅτι τὸ εὐαγγέλιον ἀνατρέπεται ἀπὸ τὴν τήρησιν τοῦ νόμου. Καί, ἐὰν θέλῃς,

καὶ τὸν τρόπον μάθε, καὶ φρῖξον, καὶ φύγε τὸ βάραθρον. Διὰ τί γὰρ τηρεῖς τὸ Σάββατον, καὶ νηστεύεις μετ' ἐκείνων; Ὡς δεδοικὼς δηλονότι τὸν νόμον, καὶ τὸ ἀφεῖναι τὰ γράμματα ἐκεῖνα· οὐκ ἂν δὲ ἐφοβήθης ἀφεῖναι τὸν νόμον, εἰ μὴ τῆς πίστεως κατέγνως ὡς ἀσθενοῦς καὶ οὐκ ἰσχυούσης καθ' ἑαυτὴν σῶσαι. Εἰ γὰρ τὸ μὴ τηρῆσαι τὸ Σάββατον φοβῇ, εὔδηλον ὅτι δέδοικας τὸν νόμον ὡς ἔτι κύριον ὄντα. Εἰ δὲ χρεία νόμου πάλιν, οὐ μέρους, οὐδὲ μιᾶς ἐντολῆς, ἀλλὰ παντὸς δηλονότι χρεία τοῦ νόμου· εἰ δὲ παντὸς χρεία, ἐξεβλήθη κατὰ μικρὸν ἡ διὰ τῆς πίστεως δικαιοσύνη. Εἰ γὰρ Σάββατα τηρεῖς, διὰ τί μὴ καὶ περιτέμνῃ; εἰ δὲ περιτέμνῃ, διὰ τί μὴ καὶ θύεις; Εἰ γὰρ φυλάττειν χρή, ὅλον τὸν νόμον χρὴ φυλάττειν· εἰ δὲ ὅλον οὐ χρή, οὐδὲ μέρος. Εἰ δὲ ὑπὲρ τοῦ μέρους φρίττεις, μὴ παραβάσεως κριθῇς, ὅλως καὶ ὑπὲρ παντὸς ἀνάγκη φοβεῖσθαι· εἰ δὲ ὅλος παραβαινόμενος οὐ κολάζει, δῆλον ὅτι οὐδὲ μέρος· εἰ δὲ μέρος, πολλῷ μᾶλλον ὅλος· εἰ δὲ ὅλον ἀνάγκη φυλάξαι, ἀνάγκη παρακοῦσαι τοῦ Χριστοῦ, ἢ ἀκούοντας τοῦ Χριστοῦ παραβάτας γενέσθαι τοῦ νόμου. Εἰ γὰρ δεῖ φυλάττειν αὐτόν, οἱ μὴ φυλάττοντες αὐτόν, παραβάται, καὶ τῆς παραβάσεως ταύτης εὑρεθήσεται αἴτιος ἡμῖν ὁ Χριστός· αὐτὸς γὰρ τὸν νόμον ἔλυσε τὸν περὶ αὐτῶν, καὶ λύειν ἐκέλευσεν.

8. *Ὁρᾷς τί κατασκευάζουσιν οἱ Ἰουδαΐζοντες; τὸν Χριστὸν τὸν τῆς δικαιοσύνης ἡμῖν αἴτιον, τοῦτον καὶ ἁμαρτίας ἀποφαίνουσιν αἴτιον, καθὼς καὶ Παῦλός φησιν· «Ἄρα Χριστὸς ἁμαρτίας διάκονος». Εἶτα εἰς ἄτοπον τὸν λόγον ἀπαγαγών, οὐδὲ ἐδεήθη λοιπὸν κατασκευῆς πρὸς τὴν ἀνατροπήν,*

μάθε καὶ τὸν τρόπον καὶ φρίξον καὶ ἀπόφυγε τὸ βάραθρον. Διότι, διατί τηρεῖς τὸ Σάββατον καὶ νηστεύεις μαζὶ μὲ ἐκείνους; Εἶναι φανερὸν ὅτι ἐπειδὴ φοβεῖσαι τὸν νόμον καὶ τὸ νὰ ἐγκαταλείψῃς ἐκείνας τὰς ἐντολάς· δὲν θὰ ἐφοβεῖσο ὅμως νὰ ἐγκαταλείψῃς τὸν νόμον, ἐὰν δὲν ἐθεώρεις τὴν πίστιν ὡς ἀσθενῆ καὶ μὴ ἱκανὴν νὰ σώσῃ μόνη της. Διότι ἐὰν φοβῆσαι τὴν μὴ τήρησιν τοῦ Σαββάτου, εἶναι ὁλοφάνερον ὅτι φοβεῖσαι τὸν νόμον ὡσὰν νὰ ἐπικρατῇ ἀκόμη. Ἐὰν δὲ ὑπάρχῃ ἀνάγκη τοῦ νόμου πάλιν, ὄχι ἑνὸς μέρους, οὔτε μιᾶς ἐντολῆς, ἀλλ' ὁλοκλήρου βεβαίως τοῦ νόμου ὑπάρχει ἀνάγκη· ἐὰν ὅμως ὁλόκληρος ὁ νόμος εἶναι ἀναγκαῖος, ἐξεβλήθη βαθμιαίως ἡ διὰ τῆς πίστεως δικαίωσις. Διότι, ἐὰν τηρῇς τὰ Σάββατα, διατί ὄχι καὶ τὴν περιτομήν; Ἐὰν δὲ περιτέμνησαι, διατί καὶ νὰ μὴ θυσιάζῃς; Διότι ἐὰν πρέπει νὰ φυλάττῃ κανείς, ὁλόκληρον τὸν νόμον πρέπει νὰ φυλάττῃ· ἐὰν δὲ δὲν πρέπει ὁλόκληρον, οὔτε μέρος τοῦ νόμου πρέπει. Ἐὰν δὲ φρίττῃς διὰ τὴν τήρησιν ἑνὸς μέρους, μήπως κριθῇς διὰ παράβασιν, πρέπει νὰ φοβῆσαι καὶ διὰ τὴν τήρησιν ὁλοκλήρου· ἐὰν δὲ ἡ παράβασις ὁλοκλήρου τοῦ νόμου δὲν κολάζει, εἶναι φανερὸν ὅτι οὔτε ἡ παράβασις ἑνὸς μέρους· ἂν δὲ ἡ παράβασις ἑνὸς μέρους κολάζει, πολὺ περισσότερον ἡ παράβασις ὁλοκλήρου. Ἂν ὅμως εἶναι ἀνάγκη νὰ τηρηθῇ ὁλόκληρος, πρέπει νὰ παρακούσωμεν τὸν Χριστὸν ἤ, ὑπακούοντες εἰς τὸν Χριστόν, νὰ γίνωμεν παραβάται τοῦ νόμου. Διότι ἐὰν πρέπει νὰ τηρῶμεν αὐτόν, ὅσοι δὲν τὸν τηροῦν, εἶναι παραβάται, καὶ αἴτιος αὐτῆς τῆς παραβάσεως θὰ εὑρεθῇ δι' ἡμᾶς ὁ Χριστός· διότι αὐτὸς κατέλυσε τὸν νόμον τὸν δοθέντα δι' αὐτοὺς καὶ προσέταξε νὰ τὸν καταλύουν.

8. Βλέπεις τί ἀποδεικνύουν οἱ Ἰουδαΐζοντες; Τὸν Χριστόν, τὸν αἴτιον τῆς ἰδικῆς μας δικαιώσεως, αὐτὸν ἐμφανίζουν ὡς αἴτιον καὶ ἁμαρτίας ἀκόμη, ὅπως καὶ ὁ Παῦλος λέγει· «Ἄρα ὁ Χριστὸς ὑπηρετεῖ τὴν ἁμαρτίαν». Ὕστερον, ἀφοῦ ἀπέδειξε τὸν λόγον ὡς ἄτοπον, δὲν ἐχρειάσθη πλέον ἀπό-

ἀλλ' ἠρκέσθη τῇ ἀπαγορεύσει μόνον εἰπών, «Μὴ γένοιτο». Πρὸς γὰρ τὰ λίαν ἀναίσχυντα καὶ ἀναιδῆ οὐδὲ κατασκευαστικῶν δεῖ λόγων, ἀλλ' ἀρκεῖ καὶ ἀπαγορεῦσαι μόνον. «Εἰ γὰρ ἃ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ, παραβάτην ἐμαυτὸν συνίστημι». Ὅρα τοῦ Παύλου σύνεσιν. Ἐκεῖνοι δεῖξαι ἐβούλοντο, ὅτι ὁ μὴ τηρῶν τὸν νόμον, παραβάτης· οὗτος εἰς τοὐναντίον περιέτρεψε τὸν λόγον, δεικνὺς ὅτι ὁ τηρῶν τὸν νόμον, παραβάτης, οὐ τῆς πίστεως, ἀλλὰ καὶ αὐτοῦ τοῦ νόμου· «Ἃ γὰρ κατέλυσα, ταῦτα πάλιν οἰκοδομῶ», τὸν νόμον φησίν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· πέπαυται ὁ νόμος, καὶ τοῦτο ὡμολογήσαμεν, δι' ὧν ἀφέντες αὐτόν, κατεφύγομεν ἐπὶ τὴν ἐκ πίστεως σωτηρίαν. Ἂν τοίνυν φιλονεικήσωμεν στῆσαι αὐτόν, αὐτῷ τούτῳ παραβάται γινόμεθα, τὰ παρὰ τοῦ Θεοῦ λυθέντα φιλονεικοῦντες τηρεῖν.

Εἶτα καὶ πῶς κατελύθη, δείκνυσιν. «Ἐγὼ γὰρ διὰ νόμου νόμῳ ἀπέθανον». Διπλῆν ἔχει τοῦτο τὴν θεωρίαν. Ἢ γὰρ νόμου τοῦ τῆς χάριτός φησιν· οἶδε γὰρ καὶ τοῦτον νόμον καλεῖν, ὡς ὅταν λέγῃ· «Ὁ δὲ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με»· ἢ τὸν νόμον ἐνταῦθα τὸν παλαιὸν λέγει, δεικνὺς ὅτι δι' αὐτοῦ τοῦ νόμου τῷ νόμῳ ἀπέθανε· τουτέστιν, αὐτός με ὁ νόμος ἐνήγαγεν εἰς τὸ μηκέτι προσέχειν αὐτῷ. Εἰ τοίνυν μέλλοιμι αὐτῷ προσέχειν, καὶ αὐτὸν παραβαίνω. Πῶς καὶ τίνι τρόπῳ; Μωϋσῆς φησι, «Προφήτην ὑμῖν ἀναστήσει Κύριος ὁ Θεὸς ἐκ τῶν ἀδελφῶν ὑμῶν, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε»· περὶ τοῦ Χριστοῦ λέγων. Ὥστε οἱ μὴ τούτῳ πειθόμενοι, παραβαίνουσι τὸν νόμον.

Καὶ ἑτέρως δὲ πάλιν τοῦτο νοητέον ἡμῖν, τό, «διὰ νόμου

---

35. Γαλ. 2, 18.
36. Γαλ. 2, 19.
37. Ρωμ. 8, 2.
38. Δευτερον. 18, 15.

δειξιν διὰ νὰ τοὺς ἀνατρέψῃ, ἀλλ' ἠρκέσθη μόνον εἰς τὴν ἀπαγόρευσιν λέγων· «Μὴ γένοιτο!». Διότι διὰ τὰ ἀναίσχυντα καὶ ἀναιδῆ, οὔτε ἀποδεικτικῶν λόγων ὑπάρχει ἀνάγκη, ἀλλ' ἀρκεῖ καὶ ν' ἀπαγορεύσῃ μόνον. «Ἐὰν ὅμως οἰκοδομῶ πάλιν ἐκεῖνα τὰ ὁποῖα ἐκρήμνισα, ἀποδεικνύω τὸν ἑαυτόν μου παραβάτην»[35]. Κοίταξε σύνεσις ποὺ διακρίνει τὸν Παῦλον. Ἐκεῖνοι ἤθελον νὰ δείξουν ὅτι ὅποιος δὲν τηρεῖ τὸν νόμον εἶναι παραβάτης· αὐτὸς εἰς τὸ ἀντίθετον ἔστρεψε τὸν λόγον, δεικνύων ὅτι παραβάτης εἶναι αὐτὸς ὁ ὁποῖος τηρεῖ τὸν νόμον. Διότι μὲ τοὺς λόγους «οἰκοδομῶ αὐτὰ ποὺ κατήργησα», ἐννοεῖ τὸν νόμον. Αὐτὸ δὲ τὸ ὁποῖον λέγει, εἶναι τὸ ἑξῆς· ὁ νόμος ἔπαυσε νὰ ἰσχύῃ, καὶ αὐτὸ ὡμολογήσαμεν διὰ τοῦ ὅτι, ἐγκαταλείψαντες αὐτόν, κατεφύγομεν εἰς τὴν ἐκ τῆς πίστεως σωτηρίαν. Ἂν λοιπὸν ἐπιδιώξωμεν ν' ἀναστήσωμεν αὐτόν, εἰς αὐτὸν τοῦτον γινόμεθα παραβάται, ἀγωνιζόμενοι νὰ τηρῶμεν αὐτὰ τὰ ὁποῖα ὁ Θεὸς κατέλυσεν.

Ὕστερον δεικνύει καὶ πῶς κατελύθη· «Διότι ἐγὼ διὰ τοῦ νόμου ἀπέθανον ὡς πρὸς τὸν νόμον»[36]. Αὐτὸ ἔχει διπλῆν ἐκδοχήν. Δηλαδὴ ἢ τὴν χάριν λέγει νόμον — διότι γνωρίζει καὶ τὴν χάριν νὰ ὀνομάζῃ νόμον, ὅπως ὅταν λέγῃ «Διότι ἐν Χριστῷ Ἰησοῦ, ὁ νόμος τοῦ Πνεύματος ποὺ δίνει ζωήν, μὲ ἠλευθέρωσεν ἀπὸ τὸν νόμον τῆς ἁμαρτίας καὶ τοῦ θανάτου»[37] — ἢ ἐννοεῖ τὸν παλαιὸν νόμον, δεικνύων ὅτι δι' αὐτοῦ τοῦ ἰδίου τοῦ νόμου ἀπέθανε διὰ τὸν νόμον· δηλαδὴ αὐτὸς ὁ ἴδιος ὁ νόμος μὲ ὡδήγησεν εἰς τὸ νὰ μὴ εἶμαι προσηλωμένος εἰς αὐτόν. Ἐὰν λοιπὸν φροντίζω νὰ προσηλοῦμαι εἰς αὐτόν, καὶ τὸν ἴδιον τὸν νόμον παραβαίνω. Πῶς καὶ μὲ ποῖον τρόπον; Ὁ Μωϋσῆς, ὁμιλῶν διὰ τὸν Χριστόν, λέγει· «Προφήτην θ' ἀναστήσῃ διὰ σὲ ἐκ τοῦ μέσου σου, Κύριος ὁ Θεός σου, ἕνα ἐκ τῶν συμπατριωτῶν σου ὡς ἐμέ, εἰς τὸν ὁποῖον θὰ ὑπακούσῃς»[38]. Ὥστε αὐτοὶ οἱ ὁποῖοι δὲν πείθονται εἰς αὐτόν, παραβαίνουν τὸν νόμον.

Καὶ μὲ ἄλλον τρόπον πρέπει νὰ νοήσωμεν τὸ «διὰ τοῦ

νόμῳ ἀπέθανον». Ὁ γὰρ νόμος πάντα κελεύει ποιεῖν τὰ ἐγγεγραμμένα, καὶ τὸν μὴ ποιοῦντα κολάζει. Οὐκοῦν ἅπαντες αὐτῷ τετελευτήκαμεν· οὐδεὶς γὰρ αὐτὸν ἐπλήρωσε. Καὶ ὅρα πῶς καὶ ἐνταῦθα μεμετρημένως ποιεῖται τὴν πρὸς αὐτὸν μάχην· οὐ γὰρ εἶπεν, ὁ νόμος μοι ἀπέθανεν, ἀλλ', «ἐγὼ τῷ νόμῳ ἀπέθανον». Ὃ δὲ λέγει, τοῦτό ἐστιν· ὥσπερ τὸν νεκρὸν καὶ τεθνεῶτα οὐκ ἔστιν ὑπακούειν ταῖς ἐντολαῖς τοῦ νόμου, οὕτως οὐδὲ ἐμὲ τὸν ἐκ τῆς ἀρᾶς τῆς ἐκείνου τελευτήσαντα· τῷ γὰρ λόγῳ τῷ ἐκείνου ἀπέθανον. Μὴ τοίνυν ἐπιταττέτω τῷ τεθνεῶτι, ὃν καὶ αὐτὸς ἀνεῖλε, καὶ θάνατον οὐ τὸν σωματικὸν μόνον, ἀλλὰ καὶ τὸν ψυχικόν, δι' οὗ καὶ τὸν σωματικὸν ἐπήγαγεν. Ὅτι γὰρ τοῦτο λέγει, διὰ τῶν ἑξῆς ἐδήλωσεν. «Ἵνα γὰρ Θεῷ ζήσω», φησί, «Χριστῷ συνεσταύρωμαι». Ἐπειδὴ γὰρ εἶπεν, «ἀπέθανον», ἵνα μή τις λέγῃ, πῶς οὖν ζῇς; ἐπήγαγε καὶ τὴν αἰτίαν τῆς ζωῆς, καὶ ἔδειξεν, ὅτι ὁ μὲν νόμος ζῶντα ἀπέκτεινεν, ὁ δὲ Χριστὸς νεκρὸν λαβών, διὰ θανάτου ἐζωοποίησε· καὶ διπλοῦν τὸ θαῦμα δείκνυσιν, ὅτι καὶ τὸν νεκρὸν ἐζωογόνησε, καὶ διὰ θανάτου τὴν ζωὴν ἐχαρίσατο. Ζωὴν δὲ λέγει νῦν τὴν ἀθάνατον· τοῦτο γάρ ἐστιν, «ἵνα Θεῷ ζήσω».

«Χριστῷ συνεσταύρωμαι». Καὶ πῶς ὁ ζῶν καὶ ἐμπνέων συνεσταυρώθη, φησίν; Ὅτι μὲν γὰρ ὁ Χριστὸς ἐσταυρώθη, δῆλον· σὺ δὲ πῶς ἐσταύρωσαι καὶ ζῇς; Ὅρα πῶς καὶ αὐτὸ ἑρμηνεύει, λέγων· «Ζῶ δὲ οὐκέτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός». Τῷ μὲν γὰρ εἰπεῖν, «Χριστῷ συνεσταύρωμαι», τὸ βάπτισμα ᾐνίξατο· τῷ δὲ εἰπεῖν «ζῶ δὲ οὐκέτι ἐγώ», τὴν μετὰ ταῦτα πολιτείαν, δι' ἧς νεκροῦται ἡμῶν τὰ μέλη. Τί δέ ἐστι, «ζῇ δὲ ἐν ἐμοὶ Χριστός»; Οὐδὲν γίνεται, φησίν, ὑπ' ἐμοῦ, ὧν ὁ Χριστὸς οὐ βούλεται. Ὥσπερ γὰρ θάνατον λέγει οὐ

---

89. Γαλ. 2, 20.

νόμου ἀπέθανον ὡς πρὸς τὸν νόμον». Ὁ νόμος δηλαδὴ διατάσσει ὅλα ὅσα ἔχουν γραφῆ νὰ τηρῶνται, καὶ κολάζει ἐκεῖνον ὁ ὁποῖος δὲν τὰ τηρεῖ. Ἐπομένως ὅλοι κατὰ τὸν νόμον ἔχομεν ἀποθάνει· διότι κανεὶς δὲν τὸν ἐτήρησε πλήρως. Καὶ πρόσεξε πῶς καὶ ἐδῶ μὲ μετριοπάθειαν διεξάγει τὸν πόλεμον πρὸς τὸν νόμον· δὲν εἶπε δηλαδὴ ὁ νόμος ἀπέθανε δι' ἐμέ, ἀλλ' «ἐγὼ ἀπέθανον ὡς πρὸς τὸν νόμον». Αὐτὸ δὲ τὸ ὁποῖον ἐννοεῖ, εἶναι τὸ ἑξῆς· ὅπως ὁ νεκρὸς καὶ ἀποθανὼν δὲν εἶναι δυνατὸν νὰ ὑπακούῃ εἰς τὰς ἐντολὰς τοῦ νόμου, ἔτσι οὔτε ἐγὼ ὁ ὁποῖος ἀπέθανον ὡς πρὸς τὴν κατάραν ἐκείνου· διότι διὰ τὸν λόγον ἐκείνου ἀπέθανον. Ἂς μὴ προστάσσῃ λοιπὸν τὸν ἀποθανόντα, τὸν ὁποῖον καὶ αὐτὸς ἐφόνευσε, καὶ μὲ θάνατον ὄχι μόνον τὸν σωματικόν, ἀλλὰ καὶ τὸν ψυχικόν, διὰ τοῦ ὁποίου ἐπέφερε καὶ τὸν σωματικόν. Τὸ ὅτι δὲ αὐτὸ ἐννοεῖ, ἔκανε φανερὸν διὰ τῶν ἑξῆς· «Διὰ νὰ ζήσω ὡς πρὸς τὸν Θεόν», λέγει, «ἔχω σταυρωθῆ μαζὶ μὲ τὸν Χριστόν»[19]. Διότι, ἐπειδὴ εἶπε «ἀπέθανον», διὰ νὰ μὴ εἴπῃ κανείς, πῶς λοιπὸν ζῇς; προσέθεσε καὶ τὴν αἰτίαν τῆς ζωῆς, καὶ ἔδειξεν ὅτι ὁ μὲν νόμος, καὶ τὸν ζῶντα ἐφόνευσεν, ὁ δὲ Χριστός, ἐνῷ παρέλαβε νεκρόν, μὲ τὸν θάνατόν του ἐχάρισεν εἰς αὐτὸν τὴν ζωήν. Ζωὴν δὲ λέγει ἐδῶ τὴν ἀθάνατον· διότι αὐτὸ σημαίνει «διὰ νὰ ζήσω ὡς πρὸς τὸν Θεόν».

«Ἔχω σταυρωθῆ μαζὶ μὲ τὸν Χριστόν». Καὶ πῶς ὁ ζῶν καὶ ἀναπνέων λέγει ὅτι συνεσταυρώθη; Διότι τὸ ὅτι ὁ Χριστὸς μὲν ἐσταυρώθη, εἶναι γνωστόν· σὺ ὅμως πῶς ἐσταυρώθης καὶ ζῇς; Πρόσεξε πῶς ἐξηγεῖ καὶ αὐτό, λέγων· «Δὲν ζῶ δὲ πλέον ἐγώ, ἀλλὰ μέσα μου ζῇ ὁ Χριστός». Διότι μὲ τὸ νὰ εἴπῃ· «ἐσταυρώθην μαζὶ μὲ τὸν Χριστόν», ὑπῃνίχθη τὸ βάπτισμα· ἐνῷ μὲ τὸ νὰ εἴπῃ· «Δὲν ζῶ δὲ πλέον ἐγώ», τὴν μετὰ ἀπὸ αὐτὰ ζωήν, διὰ τῆς ὁποίας νεκροῦνται τὰ ἰδικά μας μέλη. Τί σημαίνει δὲ «ἀλλὰ ζῇ μέσα μου ὁ Χριστός»; Τίποτε δὲν γίνεται ἀπὸ ἐμέ, θέλει νὰ εἴπῃ, ἀπὸ ἐκεῖνα τὰ ὁποῖα δὲν θέλει ὁ Χριστός. Ὅπως δηλαδὴ θάνατον λέγει

τοῦτον τὸν κοινόν, ἀλλὰ τὸν ἐκ τῶν ἁμαρτιῶν, οὕτω καὶ ζωήν, τὴν ἐκείνων ἀπαλλαγήν. Θεῷ γὰρ οὐκ ἔστιν ἄλλως ζῆν, ἀλλ' ἢ νεκρωθέντα τῇ ἁμαρτίᾳ.

Ὥσπερ οὖν ὁ Χριστὸς τὸν σωματικὸν ὑπέστη θάνατον, οὕτως ἐγὼ τὸν κατὰ τῆς ἁμαρτίας. «Νεκρώσατε γὰρ τὰ μέλη ὑμῶν τὰ ἐπὶ τῆς γῆς, ἅτινά ἐστι πορνεία, ἀκαθαρσία, μοιχεία»· καὶ πάλιν, «Ὁ παλαιὸς ἡμῶν ἄνθρωπος ἐσταυρώθη»· ὅπερ ἐν τῷ λουτρῷ γέγονε. Μετὰ δὲ ταῦτα ἐὰν μένῃς νεκρὸς τῇ ἁμαρτίᾳ, ζῇς τῷ Θεῷ· ἂν δὲ πάλιν αὐτὴν ἀναστήσῃς, ἐλυμήνω τὴν τοιαύτην ζωήν. Ἀλλ' οὐχ ὁ Παῦλος τοιοῦτος, ἀλλ' ἔμενε δι' ὅλου νεκρός. Εἰ τοίνυν ζῶ τῷ Θεῷ, φησίν, ἑτέραν παρὰ τὴν ἐν τῷ νόμῳ ζωήν, καὶ νεκρὸς ἐγενόμην τῷ νόμῳ, οὐδὲν τοῦ νόμου φυλάττειν δύναμαι.

9. Καὶ ὅρα τὴν ἀκρίβειαν τῆς πολιτείας, καὶ θαύμασον μεθ' ὑπερβολῆς τὴν μακαρίαν ἐκείνην ψυχήν. Οὐ γὰρ εἶπε, ζῶ ἐγώ, ἀλλά, «ζῇ ἐν ἐμοὶ Χριστός». Τίς ταύτην τολμήσει ῥῆξαι τὴν φωνήν; Ἐπειδὴ γὰρ εὐήνιον ἑαυτὸν τῷ Χριστῷ κατεσκεύασε, καὶ ἅπαντα ἐξέβαλε τὰ βιωτικά, καὶ πρὸς τὸ θέλημα τὸ ἐκείνου πάντα ἔπραττεν, οὐκ εἶπε, ζῶ τῷ Χριστῷ, ἀλλ' ὃ πολλῷ πλέον ἦν, «ζῇ δὲ ἐν ἐμοὶ Χριστός». Ὥσπερ γὰρ ἡ ἁμαρτία ὅταν κρατήσῃ, αὕτη ἐστὶν ἡ ζῶσα, πρὸς ἃ βούλεται τὴν ψυχὴν ἄγουσα· οὕτως ἂν ἐκείνης νεκρωθείσης τὰ τῷ Χριστῷ δοκοῦντα γίνηται, οὐδὲ ἀνθρωπίνη λοιπόν ἐστιν ἡ τοιαύτη ζωή, αὐτοῦ ζῶντος ἐν ἡμῖν, τουτέστιν, ἐνεργοῦντος, κρατοῦντος. Ἐπειδὴ δὲ ἔλεγε, «συνεσταύρωμαι», καί, «οὐκέτι ζῶ», ἀλλ' ἀπέθανον, καὶ ἐδόκει πολλοῖς ἀπίθανον λέγειν, ἐπήγαγεν· «Ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει

40. Κολοσ. 3, 5.
41. Ρωμ. 6, 6.

ὄχι τὸν φυσικόν, ἀλλὰ τὸν προερχόμενον ἀπὸ τὰς ἁμαρτίας, ἔτσι καὶ ζωήν, τὴν ἀπαλλαγὴν ἀπὸ αὐτάς. Διότι δὲν εἶναι δυνατὸν νὰ ζῇ κανεὶς ὡς πρὸς τὸν Θεὸν ἄλλως, παρὰ μόνον ἀφοῦ νεκρωθῇ ὡς πρὸς τὴν ἁμαρτίαν.

Ὅπως ἀκριβῶς λοιπὸν ὁ Χριστὸς ὑπέστη τὸν σωματικὸν θάνατον, ἔτσι ἐγὼ τὸν ὡς πρὸς τὴν ἁμαρτίαν, «Νεκρώσατε λοιπὸν ὅ,τι γήϊνον εἶναι μέσα εἰς ἑσᾶς, δηλαδὴ τὴν πορνείαν, τὴν ἀκαθαρσίαν, τὴν μοιχείαν»[40]. Καὶ πάλιν· «ὁ παλαιὸς ἑαυτός μας ἐσταυρώθη μὲ τὸν Χριστόν»[41]· πρᾶγμα τὸ ὁποῖον ἔγινε εἰς τὸ βάπτισμα. Μετὰ δὲ ἀπὸ αὐτά, ἐὰν παραμένῃς νεκρὸς ὡς πρὸς τὴν ἁμαρτίαν, ζῇς ὡς πρὸς τὸν Θεόν· ἂν δὲ πάλιν ἀναστήσῃς αὐτήν, τότε κατέστρεψες αὐτὴν καὶ τὴν ζωήν. Ὁ Παῦλος ὅμως δὲν ἦτο τέτοιος, ἀλλὰ παρέμενε τελείως νεκρός. Ἐὰν λοιπὸν ζῶ ὡς πρὸς τὸν Θεόν, λέγει, ζωὴν διαφορετικὴν ἀπὸ τὴν εὑρισκομένην ὑπὸ τὸν νόμον, καὶ ἔχω γίνει νεκρὸς διὰ τὸν νόμον, δὲν δύναμαι νὰ τηρῶ τὸν νόμον.

9. Πρόσεξε τὴν ἐντέλειαν τοῦ βίου καὶ θαύμασε τὴν μακαρίαν ἐκείνην ψυχήν. Διότι δὲν εἶπε, ζῶ ἐγώ, ἀλλὰ «ζῇ μέσα εἰς ἐμὲ ὁ Χριστός». Ποῖος θὰ τολμήσῃ νὰ ἐκστομίσῃ αὐτὸν τὸν λόγον; Διότι ἐπειδὴ κατέστησε τὸν ἑαυτόν του εὐπειθῆ εἰς τὸν Χριστὸν καὶ ἀπέβαλεν ὅλα τὰ βιωτικὰ καὶ ἔπραττε πάντοτε συμφώνως πρὸς τὸ θέλημα ἐκείνου, δὲν εἶπε, ζῶ ὡς πρὸς τὸν Χριστόν, ἀλλά, πρᾶγμα τὸ ὁποῖον ἦτο πολὺ περισσότερον, «ζῇ μέσα εἰς ἐμὲ ὁ Χριστός». Διότι, ὅπως ἀκριβῶς ἡ ἁμαρτία, ὅταν ἐπικρατήσῃ, αὐτὴ εἶναι ἐκείνη ἡ ὁποία ζῇ, κατευθύνουσα τὴν ψυχὴν εἰς ἐκεῖνα τὰ ὁποῖα θέλει, ἔτσι καί, ὅταν ἐκείνη νεκρωθῇ, γίνονται αὐτὰ τὰ ὁποῖα θέλει ὁ Χριστός, καὶ δὲν εἶναι πλέον ἀνθρωπίνη αὐτὴ ἡ ζωή, ὅταν αὐτὸς ὁ ἴδιος ζῇ μέσα εἰς ἐμᾶς, δηλαδὴ ἐνεργῇ, ἐπικρατῇ. Ἐπειδὴ δὲ ἔλεγεν, «ἔχω συσταυρωθῆ» καὶ «δὲν ζῶ πλέον ἐγώ», ἀλλ' ἀπέθανον, καὶ ἐφαίνετο εἰς πολλοὺς ὅτι λέγει κάτι ἀπίθανον, προσέθεσε· «Τὴν ζωὴν δὲ τὴν ὁποίαν ζῶ τώρα εἰς τὸ σῶμα, τὴν ζῶ μὲ πίστιν εἰς τὸν

ζῶ τῇ τοῦ Υἱοῦ τοῦ Θεοῦ». Τὰ μὲν εἰρημένα μοι, φησί, περὶ τῆς νοερᾶς ζωῆς· εἰ δέ τις ἐξετάζοι καὶ ταύτην τὴν αἰσθητήν, καὶ αὕτη διὰ τὴν εἰς Χριστόν μοι πίστιν γέγονεν. Ὅσον γὰρ εἰς τὴν παλαιὰν πολιτείαν καὶ τὸν νόμον, ἐσχάτης κολάσεως ἄξιος ἤμην, καὶ πάλαι ἂν ἀπωλώλειν· «Πάντες γὰρ ἥμαρτον, καὶ ὑστεροῦνται τῆς δόξης τοῦ Θεοῦ»· καὶ ὑπὸ τὴν ἀπόφασιν ἡμᾶς κειμένους· καὶ γὰρ οἱ πάντες ἀπέθανον, εἰ καὶ μὴ τῇ πείρᾳ, ἀλλὰ τῇ ἀποφάσει· καὶ τὴν πληγὴν ἐκδεχομένους, ἐπειδὴ καὶ ὁ νόμος κατηγόρησε, καὶ ὁ Θεὸς ἀπεφήνατο, ἐλθὼν ὁ Χριστὸς καὶ εἰς θάνατον ἑαυτὸν ἐκδούς, πάντας ἡμᾶς ἐξήρπασε τοῦ θανάτου.

Ὥστε «ὃ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ»· τουτέστι, διὰ τὴν εἰς αὐτὸν πίστιν ζῶ· Ἐπεὶ εἰ μὴ τοῦτο ἦν, οὐδὲν ἐκώλυσε πάντας ἀφανισθῆναι· ὃ καὶ ἐπὶ τοῦ κατακλυσμοῦ γέγονεν· ἀλλ' ἡ τοῦ Χριστοῦ παρουσία στήσασα τοῦ Θεοῦ τὴν ὀργήν, διὰ τῆς πίστεως ζῆν ἡμᾶς ἐποίησεν. Ὅτι γὰρ τοῦτό φησιν, ἄκουσον τῶν ἑξῆς. Εἰπὼν γάρ, ὅτι «Ὃ δὲ νῦν ζῶ ἐν σαρκί, ἐν πίστει ζῶ», ἐπήγαγε· «Τῇ τοῦ Υἱοῦ τοῦ Θεοῦ τοῦ ἀγαπήσαντός με, καὶ δόντος ἑαυτὸν ὑπὲρ ἐμοῦ». Τί ποιεῖς, ὦ Παῦλε, τὰ κοινὰ σφετεριζόμενος, καὶ τὰ ὑπὲρ τῆς οἰκουμένης γενόμενα ἰδιοποιῶν; οὐ γὰρ εἶπε, τοῦ ἀγαπήσαντος ἡμᾶς, ἀλλά, «τοῦ ἀγαπήσαντός με». Καὶ μὴν ὁ εὐαγγελιστής φησιν, «Οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον»· καὶ σὺ δὲ αὐτὸς λέγεις, «Ὅς γε τοῦ ἰδίου Υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ἔδωκεν αὐτόν», οὐχ ὑπὲρ σοῦ, ἀλλ', «ὑπὲρ πάντων»· καὶ πάλιν, «Ἵνα περιποιήσηται ἑαυτῷ λαὸν περιούσιον».

Τί οὖν ἐστιν ἐνταῦθα ὃ λέγει; Ἐννοήσας τὴν ἀπόγνωσιν τῆς ἀνθρωπίνης φύσεως, καὶ τὴν ἄφατον τοῦ Χριστοῦ κηδε-

---

42. Ἰωάν. 3, 16.
43. Ρωμ. 8, 32.
44. Τίτ. 2, 14.

Υἱὸν τοῦ Θεοῦ». Αὐτὰ μὲν τὰ ὁποῖα εἶπον, λέγει, τὰ εἶπον διὰ τὴν νοερὰν ζωήν· ἐὰν δὲ κάποιος ἤθελε νὰ ἐξετάζῃ καὶ αὐτὴν τὴν αἰσθητὴν ζωήν, καὶ αὐτὴν τὴν ζῶ μὲ πίστιν εἰς τὸν Υἱὸν τοῦ Θεοῦ. Διότι ὅσον ἔζων μὲ τὸν παλαιὸν τρόπον ζωῆς καὶ τὸν νόμον, ἤμουν ἄξιος ἐσχάτης κολάσεως, καὶ θὰ εἶχον καταστραφῆ· διότι «ὅλοι ἡμάρτησαν καὶ στεροῦνται τῆς θείας δόξης» καὶ ὅλοι εὑρισκόμεθα ὑπὸ τὴν καταδικαστικὴν ἀπόφασιν· καὶ διότι οἱ πάντες ἀπέθανον, ἂν καὶ ὄχι ἐμπειρικῶς, ἀλλ' ὡς πρὸς τὴν ἀπόφασιν· καὶ ἐπειδὴ ἐδέχθημεν τὴν πληγήν, διότι καὶ ὁ νόμος κατηγόρησε καὶ ὁ Θεὸς ἀπεφάσισεν, ἀφοῦ ἦλθεν ὁ Χριστὸς καὶ παρέδωσε τὸν ἑαυτόν του εἰς τὸν θάνατον, ἐξήρπασεν ὅλους ἐμᾶς ἀπὸ τὸν θάνατον.

Ὥστε «τὴν ζωὴν τὴν ὁποίαν τώρα ζῶ εἰς τὸ σῶμα, τὴν ζῶ μὲ πίστιν εἰς τὸν Θεόν· δηλαδὴ ζῶ διὰ τὴν πίστιν εἰς αὐτόν. Ἐπειδή, ἐὰν δὲν ὑπῆρχεν αὐτό, τίποτε δὲν θὰ ἠμπόδιζε νὰ καταστραφῶμεν ὅλοι· πρᾶγμα τὸ ὁποῖον ἔγινε καὶ μὲ τὸν κατακλυσμόν· ἀλλ' ἡ παρουσία τοῦ Χριστοῦ, ἀφοῦ κατέπαυσε τὴν ὀργὴν τοῦ Θεοῦ, κατέστησε δυνατὸν νὰ ζῶμεν διὰ τῆς πίστεως. Διὰ τὸ ὅτι δὲ αὐτὸ ἐννοεῖ, μάθε ἀπὸ τὰ ἑξῆς. Ἀφοῦ εἶπε δηλαδὴ ὅτι «τὴν ζωὴν δὲ τὴν ὁποίαν ζῶ τώρα εἰς τὸ σῶμα, τὴν ζῶ μὲ πίστιν εἰς τὸν Υἱὸν τοῦ Θεοῦ», προσέθεσεν· «ὁ ὁποῖος μὲ ἠγάπησε καὶ παρέδωσε τὸν ἑαυτόν του πρὸς χάριν μου». Τί κάνεις, Παῦλε, σφετεριζόμενος αὐτὰ τὰ ὁποῖα ἀνήκουν εἰς ὅλους καὶ οἰκειοποιούμενος αὐτὰ τὰ ὁποῖα ἔγιναν δι' ὅλους; Διότι δὲν εἶπεν, ὁ ὁποῖος μᾶς ἠγάπησεν, ἀλλ' «ὁ ὁποῖος μὲ ἠγάπησε». Ἀλλ' ὅμως ὁ εὐαγγελιστὴς λέγει· «τόσον πολὺ ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον»[42], καὶ σὺ ὁ ἴδιος λέγεις· «Ἐκεῖνος ὁ ὁποῖος δὲν ἐφείσθη τὸν ἰδικόν του Υἱόν, ἀλλὰ τὸν παρέδωσεν εἰς θάνατον», ὄχι πρὸς χάριν σοῦ, ἀλλὰ «πρὸς χάριν ὅλων»[43]· καὶ πάλιν· «διὰ νὰ καθαρίσῃ διὰ τὸν ἑαυτόν του ἕνα λαὸν ἐκλεκτόν»[44].

Τί εἶναι λοιπὸν αὐτὸ τὸ ὁποῖον λέγει ἐδῶ; Ὁμιλεῖ ἔτσι, ἐπειδὴ κατεννόησε τὴν ἀπελπιστικὴν κατάστασιν τῆς

μονίαν, καὶ τίνων ἀπήλλαξε, καὶ τίνα ἐχαρίσατο, καὶ πυρωθεὶς ὑπὸ τοῦ περὶ αὐτὸν πόθου, οὕτω φθέγγεται· ἐπεὶ καὶ οἱ προφῆται τὸν κοινὸν Θεὸν ἰδιοποιοῦνται πολλάκις, οὕτω λέγοντες, «Ὁ Θεὸς ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω»· καὶ χωρὶς δὲ τούτων δεικνύς, ὅτι ἕκαστος ἡμῶν τοσαύτην δίκαιος ὀφείλειν τῷ Χριστῷ χάριν, ὅσην ἂν εἰ καὶ δι' αὐτὸν μόνον ἦλθεν. Οὐ γὰρ ἂν παρῃτήσατο καὶ ὑπὲρ ἑνὸς τοσαύτην οἰκονομίαν ἐπιδείξασθαι· οὕτως ἕκαστον ἄνθρωπον τοσούτῳ μέτρῳ ἀγάπης φιλεῖ, ὅσῳ τὴν οἰκουμένην ἅπασαν. Ἡ μὲν οὖν θυσία ὑπὲρ πάσης προσενήνεκτο τῆς φύσεως καὶ ἱκανὴ πάντας ἦν ἀπολῦσαι· οἱ δὲ τῇ εὐεργεσίᾳ χρησάμενοι, οἱ πιστεύοντές εἰσι μόνοι. Ἀλλ' ὅμως οὐκ ἀπέστησεν αὐτὸν τῆς τοιαύτης οἰκονομίας τὸ μὴ πάντας προσελθεῖν· ἀλλ' ὥσπερ τὸ ἄριστον τὸ ἐν τῷ εὐαγγελίῳ πᾶσι μὲν ηὐπρέπιστο, ἐπειδὴ δὲ οὐκ ἠθέλησαν ἐλθεῖν οἱ κληθέντες, οὐ συνεῖλε τὰ προκείμενα, ἀλλ' ἑτέρους ἐκάλεσεν· οὕτω καὶ ἐνταῦθα πεποίηκε. Καὶ γὰρ καὶ τὸ πρόβατον τὸ τῶν ἐνενηκονταεννέα ἀποσπασθέν, ἓν ἦν, ἀλλ' ὅμως οὐδὲ αὐτοῦ κατεφρόνησε.

Τοῦτο δὲ αὐτὸ οὕτω πως καὶ περὶ Ἰουδαίων διαλεγόμενος ὁ Παῦλος αἰνίττεται, λέγων· «Τί γάρ, εἰ ἠπίστησάν τινες; μὴ ἡ ἀπιστία αὐτῶν τὴν πίστιν τοῦ Θεοῦ καταργήσει; Μὴ γένοιτο. Γενέσθω δὲ ὁ Θεὸς ἀληθής, πᾶς δὲ ἄνθρωπος ψεύστης». Εἶτα αὐτὸς μὲν οὕτω σε ἠγάπησεν, ὡς καὶ ἑαυτὸν παραδοῦναι, καὶ οὐκ ἔχοντα σωτηρίας ἐλπίδα εἰς τοσαύτην καὶ τοιαύτην ζωὴν ἀγαγεῖν· σὺ δὲ μετὰ τοσαῦτα ἀγαθὰ πρὸς τὰ παλαιὰ παλινδρομεῖς; Ἐπειδὴ τοίνυν τὰ ἀπὸ τῶν λογισμῶν ἐνέθηκεν ἀκριβῶς, λοιπὸν ἐν ἀποφάσει σφοδρῶς ἀνακηρύττει, λέγων· «Οὐκ ἀθετῶ τὴν χάριν τοῦ Θεοῦ».

---

45. Ψαλμ. 62, 1.
46. Ρωμ. 3. 3, 4.
47. Γαλ. 2, 21.

ἀνθρωπίνης φύσεως, καὶ τὴν ἀπερίγραπτον κηδεμονίαν τοῦ Χριστοῦ, καὶ ἀπὸ ποῖα δεινὰ ἀπήλλαξε, καὶ ποῖα ἐχάρισε, καὶ ἐφλογίσθη ἀπὸ τὸν πόθον δι' αὐτόν· διότι καὶ οἱ προφῆται οἰκειοποιοῦνται πολλὰς φορὰς τὸν Θεόν, λέγοντες· «Κύριέ μου καὶ Θεέ μου, πρὸς σὲ λίαν πρωῒ προσεύχομαι»[45]. Καὶ διὰ νὰ δείξῃ, ἐκτὸς ἀπὸ αὐτά, ὅτι ὁ καθεὶς ἀπὸ ἐμᾶς ἐὰν εἶναι δίκαιος, τόσην χάριν πρέπει νὰ ὀφείλῃ εἰς τὸν Χριστόν, ὅσην θὰ ὤφειλεν ἐὰν εἶχεν ἔλθει μόνον δι' αὐτόν. Διότι δὲν θὰ ἠρνεῖτο νὰ δείξῃ τόσην οἰκονομίαν καὶ δι' ἕνα μόνον ἄνθρωπον· διότι εἰς τόσον μεγάλον βαθμὸν ἀγαπᾷ τὸν κάθε ἄνθρωπον, ὅσον ὁλόκληρον τὴν οἰκουμένην. Ἡ μὲν θυσία λοιπὸν προσεφέρθη ὑπὲρ ὁλοκλήρου τοῦ κόσμου καὶ ἦτο ἀρκετὴ νὰ ἐλευθερώσῃ ὅλους. Ἐκεῖνοι ὅμως οἱ ὁποῖοι δέχονται τὴν εὐεργεσίαν εἶναι μόνον οἱ πιστεύοντες. Ἀλλὰ τὸ ὅτι δὲν προσῆλθον ὅλοι, δὲν ἀπεμάκρυνεν αὐτὸν ἀπὸ αὐτὴν τὴν οἰκονομίαν· ἀλλ' ὅπως τὸ δεῖπνον τῆς εὐαγγελικῆς παραβολῆς, ἡτοιμάσθη μὲν δι' ὅλους, ἐπειδὴ ὅμως δὲν ἠθέλησαν νὰ ἔλθουν αὐτοὶ οἱ ὁποῖοι ἐκλήθησαν, δὲν ἀπέσυρε τὰ ὅσα ἡτοιμάσθησαν, ἀλλ' ἐκάλεσεν ἄλλους, ἔτσι ἔκανε καὶ ἐδῶ. Διότι καὶ τὸ πρόβατον τὸ ὁποῖον ἀπεχωρίσθη ἀπὸ τὰ ἐννενήκοντα ἐννέα, ἓν ἦτο, ἀλλ' οὔτε αὐτὸ κατεφρόνησεν.

Αὐτὸ τὸ ἴδιο δὲ κάπως ἔτσι ὑπηνίσσετο ὁμιλῶν διὰ τοὺς Ἰουδαίους ὁ Παῦλος λέγων· «Διότι, τί σημασίαν ἔχει ἂν μερικοὶ ἔγιναν ἄπιστοι; Μήπως ἡ ἀπιστία των δύναται νὰ καταργήσῃ τὴν ἀξιοπιστίαν τοῦ Θεοῦ; Ὄχι βεβαίως. Ἂς ἀναγνωρισθῇ ὅτι ὁ Θεὸς εἶναι ἀληθής, καὶ κάθε ἄνθρωπος ψεύτης»[46]. Ὕστερον, αὐτὸς μὲν τόσον σὲ ἠγάπησε, ὥστε καὶ τὸν ἑαυτόν του νὰ παραδώσῃ, καὶ ἐνῷ δὲν εἶχες ἐλπίδα σωτηρίας σὲ ὡδήγησεν εἰς τόσην καὶ τέτοιαν ζωήν, καὶ σύ, μετὰ ἀπὸ τόσα ἀγαθὰ ἐπιστρέφεις πρὸς τὰ παλαιά; Ἐπειδὴ λοιπὸν τὰ ἀπὸ τοὺς συλλογισμοὺς συμπεράσματα ἔθεσε μέσα των μὲ ἀκρίβειαν, διακηρύσσει σφοδρῶς λέγων· «Δὲν καταργῶ τὴν χάριν τοῦ Θεοῦ»[47]. Ἂς ἀκούουν αὐτοὶ οἱ ὁποῖοι

Ἀκουέτωσαν οἱ ἔτι καὶ νῦν Ἰουδαΐζοντες, καὶ τῷ νόμῳ προσέχοντες· καὶ γὰρ πρὸς ἐκείνους ταῦτα λέγεται.

«Εἰ γὰρ διὰ νόμου δικαιοσύνη, ἄρα Χριστὸς δωρεὰν ἀπέθανε». Τί ταύτης τῆς ἁμαρτίας χαλεπώτερον; τί τῶν ῥημάτων τούτων ἐντρεπτικώτερον; Εἰ γὰρ ἀπέθανεν ὁ Χριστός, εὔδηλον ὅτι διὰ τὸ μὴ ἰσχύειν τὸν νόμον ἡμᾶς δικαιοῦν· εἰ δὲ ὁ νόμος δικαιοῖ, περιττὸς ὁ τοῦ Χριστοῦ θάνατος. Καὶ πῶς ἂν ἔχοι λόγον, πρᾶγμα τοσοῦτον, τοσαύτης γέμον φρίκης, καὶ λογισμὸν ἀνθρώπινον ὑπερβαῖνον, καὶ μυστήριον οὕτως ἀπόρρητον, ὃ προφῆται μὲν ὤδινον, πατριάρχαι δὲ προὔλεγον, ἄγγελοι δὲ ἐξεπλήττοντο βλέποντες, κεφάλαιον δὲ τῆς τοῦ Θεοῦ κηδεμονίας παρὰ πᾶσιν ὡμολόγηται ὄν, τοῦτο εἰκῇ καὶ μάτην γεγενῆσθαι λέγειν; Ἐννοήσας τοίνυν τὴν ὑπερβολὴν τῆς ἀτοπίας, εἰ τοσοῦτον πρᾶγμα καὶ τηλικοῦτον περιττῶς λέγοιεν γεγενῆσθαι· τοῦτο γὰρ ἀφ' ὧν ἐποίουν συνίστατο· καὶ ὕβρει κατ' αὐτῶν κέχρηται, λέγων οὕτως.

καὶ τώρα ἀκόμη Ἰουδαΐζουν καὶ προσκολλῶνται εἰς τὸν νόμον· διότι καὶ πρὸς αὐτοὺς ἀπευθύνονται αὐτά.

«Διότι ἐὰν διὰ τοῦ νόμου δίδεται δικαίωσις, τότε ματαίως ἀπέθανεν ὁ Χριστός». Τί ὑπάρχει φοβερώτερον ἀπὸ αὐτὴν τὴν ἁμαρτίαν; Τί προκαλεῖ ἐντροπὴν περισσότερον ἀπὸ αὐτοὺς τοὺς λόγους; Διότι, ἐὰν ἀπέθανεν ὁ Χριστός, εἶναι φανερὸν ὅτι ἀπέθανε διότι ὁ νόμος δὲν εἶχε τὴν δύναμιν νὰ μᾶς δικαιώσῃ ἐὰν ὅμως ὁ νόμος παρέχῃ δικαίωσιν, τότε εἶναι περιττὸς ὁ θάνατος τοῦ Χριστοῦ. Καὶ πῶς θὰ ἦτο λογικόν, πρᾶγμα τόσον μεγάλο, τὸ ὁποῖον εἶναι πλῆρες τόσης φρίκης, καὶ ὑπερβαίνει τὸν ἀνθρώπινον νοῦν, καὶ μυστήριον τόσον ἀπόρρητον, τὸ ὁποῖον οἱ μὲν προφῆται ἐγέννων μὲ πόνους, οἱ δὲ πατριάρχαι προέλεγον καὶ οἱ ἄγγελοι βλέποντες ἐξεπλήττοντο, καὶ ὁμολογεῖται ἀπὸ ὅλους ὅτι εἶναι κεφάλαιον τῆς πατρικῆς φροντίδος τοῦ Θεοῦ, αὐτὸ νὰ λέγουν ὅτι ἔγινεν ἀσκόπως καὶ ματαίως; ἐννοήσας λοιπὸν τὴν ὑπερβολικὴν ἀτοπίαν, ἐὰν τόσον μεγάλο καὶ τέτοιο πρᾶγμα ἐπετρέπετο νὰ λέγουν ὅτι ἔγινε ματαίως — διότι αὐτὸ ἐξήγετο ὡς συμπέρασμα ἀπὸ ὅσα ἔπραττον — χρησιμοποιεῖ καὶ ὕβριν ἐναντίον των μὲ τοὺς ἑπομένους λόγους.

ΚΕΦΑΛΑΙΟΝ Γ′ 1 - 29

1. «Ὦ ἀνόητοι Γαλάται, τίς ὑμᾶς ἐβάσκανεν, οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐν ὑμῖν ἐσταυρωμένος;».

Ἐνταῦθα λοιπὸν ἐφ' ἕτερον μεταβαίνει κεφάλαιον. Ἐν μὲν γὰρ τοῖς προτέροις ἔδειξεν, ὅτι οὐκ ἀνθρώπων ἦν ἀπόστολος, οὐδὲ δι' ἀνθρώπων, οὐδὲ ἐδεήθη τῆς τῶν ἀποστόλων διδασκαλίας· ἐνταῦθα δὲ λοιπὸν ἀξιόπιστον καταστήσας ἑαυτὸν διδάσκαλον, μετὰ πλείονος τῆς αὐθεντίας διαλέγεται, πίστεως καὶ νόμου σύγκρισιν ποιούμενος. Ἀρχόμενος μὲν οὖν φησι, «Θαυμάζω ὅτι οὕτω ταχέως μετατίθεσθε»· ἐνταῦθα δέ, «Ὦ ἀνόητοι Γαλάται». Τότε μὲν γὰρ ὤδινε τὴν ἀγανάκτησιν· ἐπειδὴ δὲ ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀπελογήσατο, εἰς μέσον αὐτὴν ἀπορρήξας, ἐξήνεγκε μετὰ τὴν ἀπόδειξιν. Εἰ δὲ ἀνοήτους καλεῖ, μὴ θαυμάσῃς· οὐ γὰρ παραβαίνων τοῦ Χριστοῦ τὸν νόμον τὸν λέγοντα μὴ λέγειν μωρὸν τὸν ἀδελφὸν αὐτοῦ, ἀλλὰ καὶ σφόδρα αὐτὸν τηρῶν, τοῦτο ποιεῖ. Οὐ γὰρ ἁπλῶς εἴρηται, ὁ καλῶν τὸν ἀδελφὸν αὐτοῦ μωρόν, ἀλλ', ὁ εἰκῇ καλῶν. Τίνες δὲ τούτων δικαιότερον ἂν ἔτυχον ταύτης τῆς προσηγορίας, οἱ μετὰ τοσαῦτα καὶ τηλικαῦτα, ὡς οὐδενὸς γενομένου, τῶν προτέρων ἐχόμενοι; Εἰ δὲ διὰ τοῦτο ὑβριστὴν καλεῖς τὸν Παῦλον, καὶ διὰ τὴν Σάπφειραν καὶ τὸν Ἀνανίαν ἀνδροφόνον τὸν Πέτρον. Εἰ δὲ ἐκεῖνα μανίας εἰπεῖν, πολλῷ μᾶλλον ταῦτα.

Σὺ δέ μοι σκόπει, πῶς οὐκ ἀπὸ προοιμίων ταύτῃ κέχρηται τῇ σφοδρότητι, ἀλλὰ μετὰ τοὺς ἐλέγχους καὶ τὰς ἀ-

1. Γαλ. 3, 1.

1. «Ὦ, ἀνόητοι Γαλάται, ποῖος σᾶς ἐβάσκανε, ὥστε νὰ μὴ πείθεσθε εἰς τὴν ἀλήθειαν, σεῖς ἐμπρὸς εἰς τὰ μάτια τῶν ὁποίων ἐζωγραφήθη ὁ Ἰησοῦς Χριστὸς ἐσταυρωμένος;»[1].

Ἀπὸ ἐδῶ λοιπὸν μεταβαίνει εἰς ἄλλο κεφάλαιον. Εἰς μὲν τὰ προηγούμενα λοιπὸν ἔδειξεν ὅτι ἀπόστολος δὲν ἦτο ἀπὸ ἀνθρώπους, οὔτε δι' ἀνθρώπων, οὔτε ἐχρειάσθη τὴν διδασκαλίαν τῶν ἀποστόλων· ἀπὸ αὐτὸ λοιπόν, ἀφοῦ κατέστησε τὸν ἑαυτόν του ἀξιόπιστον διδάσκαλον, ὁμιλεῖ μὲ περισσοτέραν αὐθεντίαν, κάμνων σύγκρισιν πίστεως καὶ νόμου. Ἀρχίζων μὲν λοιπόν, λέγει· «Ἐκπλήττομαι διότι τόσον γρήγορα μετατίθεσθε»· ἐδῶ δέ· «Ὦ, ἀνόητοι Γαλάται». Διότι τότε μὲν ἐγέννα μὲ πόνον τὴν ἀγανάκτησιν· ὅταν ὅμως ἀπελογήθη διὰ τὰ τοῦ ἑαυτοῦ του καὶ ἐξέσχισεν αὐτὴν εἰς τὴν μέσην, ἐξέφερε μετὰ τὴν ἀπόδειξιν. Διὰ τὸ ὅτι δὲ τοὺς ὀνομάζει ἀνοήτους μὴ ἀπορήσῃς· διότι κάνει τοῦτο, ὄχι παραβαίνων τὸν νόμον τοῦ Χριστοῦ, ὁ ὁποῖος παραγγέλλει νὰ μὴ λέγῃ μωρὸν τὸν ἀδελφόν του, ἀλλὰ καὶ μὲ αὐστηρότητα τηρῶν αὐτόν. Διότι δὲν ἐλέχθη γενικῶς δι' ἐκεῖνον ὁ ὁποῖος ὀνομάζει τὸν ἀδελφόν του μωρόν, ἀλλὰ δι' ἐκεῖνον ὁ ὁποῖος ἀδίκως τὸν ὀνομάζει ἔτσι. Ποῖοι δὲ θὰ ἐτύγχανον αὐτοῦ τοῦ χαρακτηρισμοῦ δικαιότερον ἀπὸ αὐτούς, οἱ ὁποῖοι μετὰ ἀπὸ τόσα καὶ τέτοια πράγματα, ὡσὰν νὰ μὴ ἔγινε τίποτε, ἐξακολουθοῦν νὰ εἶναι ἀφοσιωμένοι εἰς τὰ παλαιά; Ἐὰν δὲ διὰ τοῦτο ὀνομάζῃς ὑβριστὴν τὸν Παῦλον, θὰ ὀνομάσῃς φονέα καὶ τὸν Πέτρον διὰ τὴν Σαπφείραν καὶ τὸν Ἀνανίαν. Ἐὰν δὲ τὸ νὰ εἴπῃς αὐτὸ δι' ἐκεῖνα εἶναι ἀποτέλεσμα μανίας, πολὺ περισσότερον δι' αὐτά.

Σὺ δὲ πρόσεξε πῶς ἀποφεύγει νὰ χρησιμοποιήσῃ αὐτὴν τὴν σφοδρότητα ἀπὸ τὸ προοίμιον, ἀλλὰ μετὰ ἀπὸ τοὺς

ποδείξεις, ὅτε λοιπὸν οὐ παρ' ἐκείνου, ἀλλὰ παρ' αὐτῶν τῶν ἐλέγχων τὴν ἐπιτίμησιν ἐδέχοντο. Ὅτε γὰρ ἔδειξε τὴν πίστιν ἐξουθενωμένους, καὶ τὸν θάνατον τοῦ Χριστοῦ περιττὸν ἀποφαίνοντας, τότε ἐπάγει τὴν ἐπιτίμησιν, καὶ οὐδὲ τότε κατ' ἀξίαν· καὶ γὰρ πολλῷ χαλεπωτέρων ἦσαν ἄξιοι ῥημάτων. Θέα δέ μοι πῶς εὐθέως καὶ καθυφίησι πλήξας. Οὐ γὰρ εἶπε, τίς ὑμᾶς ἠπάτησε; τίς ὑμῖν ἀπεχρήσατο; τίς ὑμᾶς παρελογίσατο; ἀλλά, «Τίς ὑμᾶς ἐβάσκανεν;» οὐκ ἄμοιρον ἐγκωμίων τὴν ἐπίπληξιν θείς. Τοῦτο γὰρ δεικνύντος ἐστίν, ὅτι φθόνου ἔπραττον ἄξια πρότερον, καὶ δαίμονος ἐπήρεια τὸ γενόμενον ἦν, σφοδρὸν κατὰ τῆς εὐημερίας αὐτῶν πνεύσαντος. Ὅταν δὲ φθόνον ἀκούσῃς ἐνταῦθα, καὶ ἐν τῷ εὐαγγελίῳ ὀφθαλμὸν πονηρὸν τὸ αὐτὸ δηλοῦντα, μὴ τοῦτο νομίσῃς, ὅτι ἡ τῶν ὀφθαλμῶν βολὴ τοὺς ὁρῶντας βλάπτειν πέφυκεν· ὀφθαλμὸς γὰρ οὐκ ἂν εἴη πονηρός, αὐτὸ τὸ μέλος· ἀλλ' ἐνταῦθα ὁ Χριστὸς οὕτω τὸν φθόνον λέγει. Ὀφθαλμῶν μὲν γὰρ τὸ ἁπλῶς ὁρᾶν μόνον, τὸ δὲ πονηρῶς ὁρᾶν τῆς ἔνδον διεστραμμένης γίνεται γνώμης·

Ἐπειδὴ γὰρ διὰ τῆς αἰσθήσεως ταύτης εἰς τὴν ψυχὴν ἡμῶν εἰσρεῖ τῶν δρωμένων ἡ θεωρία, καὶ ὡς ἐπὶ πολὺ ἐν πλούτῳ μάλιστα ὁ φθόνος τίκτεται, ὁ δὲ πλοῦτος ἀπὸ ὀφθαλμῶν ὁρᾶται, καὶ αἱ δυναστεῖαι καὶ αἱ δορυφορίαι· διὰ τοῦτο πονηρὸν ὀφθαλμὸν ἐκάλεσεν, οὐ τὸν ὁρῶντα, ἀλλὰ τὸν μετὰ βασκανίας ὁρῶντα ἀπὸ τῆς κατὰ ψυχὴν πονηρίας. Εἰπὼν δέ, «Τίς ὑμᾶς ἐβάσκανε;», δείκνυσιν ὅτι οὐχ ὡς κηδεμόνες, οὐδὲ ὡς τὸ λεῖπον ἀναπληροῦντες, ἀλλὰ καὶ τὸ ὂν ἀκρωτηριάζοντες, τοῦτο ποιοῦσι. Φθόνου γάρ ἐστιν, οὐ τὸ λεῖπον προσθεῖναι, ἀλλὰ καὶ τῶν πεπληρωμένων ὑφελέσθαι τι, καὶ λυμήνασθαι τῷ παντί. Ταῦτα δὲ λέγει, οὐχ ὡς τοῦ

ἐλέγχους καὶ τὰς ἀποδείξεις, ὁπότε λοιπόν, ὄχι ἀπὸ τὸν ἴδιον, ἀλλ' ἀπὸ αὐτοὺς τοὺς ἐλέγχους ἐδέχοντο τὴν ἐπιτίμησιν. Διότι ὅταν ἔδειξεν ὅτι ἀποδιώκουν τὴν πίστιν καὶ παρουσιάζουν ὡς περιττὸν τὸν θάνατον τοῦ Χριστοῦ, τότε ἐπιφέρει τὴν ἐπιτίμησιν, καὶ οὔτε τότε τόσον ὅσον ἀξίζουν· διότι ἦσαν ἄξιοι πολὺ σκληροτέρων λόγων. Πρόσεξε δὲ ἀκόμη πῶς, ἀφοῦ ἐπέπληξε, μετριάζει ἀμέσως. Διότι δὲν εἶπε, ποῖος σᾶς ἐξηπάτησε; Ποῖος σᾶς παρέσυρε; ἀλλά· «ποῖος σᾶς ἐβάσκανε;», ἐπιπλήττων ὄχι χωρὶς ἐπαίνους. Διότι μὲ αὐτὸ δεικνύει ὅτι πρὶν ἀπὸ αὐτὰ ἔπραττον ἔργα ἄξια φθόνου καὶ ὅτι αὐτὸ τὸ ὁποῖον ἔγινε εἶναι ἐπήρεια δαίμονος, ὁ ὁποῖος ἐπῆλθε μὲ σφοδρότητα κατὰ τῆς εὐημερίας των. Ὅταν δὲ ἀκούσῃς φθόνον ἐδῶ, καὶ εἰς τὸ εὐαγγέλιον πονηρὸν ὀφθαλμὸν ὁ ὁποῖος δηλοῖ τὸ ἴδιον, μὴ νομίσῃς ὅτι τὸ βλέμμα τῶν ὀφθαλμῶν βλάπτει ἐκ φύσεως αὐτὸν ποὺ βλέπει· διότι ὀφθαλμὸς πονηρὸς δὲν εἶναι τὸ μέλος αὐτὸ καθ' ἑαυτό· ἀλλ' ἔτσι λέγει τὸν φθόνον ὁ Χριστὸς ἐδῶ. Διότι τὸ μὲν φυσικὸν τῶν ὀφθαλμῶν εἶναι μόνον τὸ νὰ βλέπουν ἁπλῶς, ἐνῷ τὸ νὰ βλέπῃ κανεὶς μὲ πονηρίαν, αὐτὸ γίνεται ἀπὸ τὴν ἔσωθεν διεστραμμένην προαίρεσιν.

Διότι, ἐπειδὴ δι' αὐτῆς τῆς αἰσθήσεως εἰσέρχεται εἰς τὴν ψυχήν μας ἡ ὄψις τῶν βλεπομένων, καὶ συνήθως ἀπὸ τὸν πλοῦτον γεννᾶται ὁ φθόνος περισσότερον, ὁ δὲ πλοῦτος καὶ τὰ λαμπρὰ ἀξιώματα καὶ οἱ ὑπηρέται βλέπονται ἀπὸ τοὺς ὀφθαλμούς, διὰ τοῦτο ὠνόμασε πονηρὸν ὀφθαλμόν, ὄχι τὸν βλέποντα, ἀλλ' αὐτὸν ὁ ὁποῖος μὲ φθόνον καὶ βασκανίαν βλέπει ἀπὸ τὴν πονηρίαν τῆς ψυχῆς. Λέγων δὲ «ποῖος σᾶς ἐβάσκανε;» δεικνύει ὅτι κάνουν αὐτὸ ὄχι ὡς φροντίζοντες, οὔτε ὡς ἀναπληροῦντες ὅ,τι ἐλλείπει, ἀλλ' ὡς καταστρέφοντες καὶ τὸ ὑπάρχον. Διότι ἴδιον τοῦ φθόνου εἶναι ὄχι νὰ προσθέτῃ εἰς τὸ ἐλλεῖπον, ἀλλὰ καὶ ἀπὸ τὰ συμπληρωμένα ν' ἀφαιρῇ καὶ ν' ἀφανίζῃ τὸ πᾶν. Αὐτὰ δὲ τὰ λέγει, ὄχι ἐπειδὴ ὁ φθόνος καθ' ἑαυτός ἔχει δύναμιν, ἀλλὰ

φθόνου καθ' ἑαυτὸν ἰσχὺν ἔχοντος, ἀλλ' ὡς τῶν ταῦτα διδασκόντων διὰ βασκανίαν ἐπὶ τοῦτο ἐλθόντων.

«Οἷς κατ' ὀφθαλμοὺς Ἰησοῦς Χριστὸς προεγράφη ἐν ὑμῖν ἐσταυρωμένος». Καὶ μὴν οὐκ ἐν τῇ Γαλατῶν χώρᾳ, ἀλλ' ἐν Ἱεροσολύμοις ἐσταυρώθη· πῶς οὖν φησιν, «ἐν ὑμῖν»; Τῆς πίστεως δεικνὺς τὴν ἰσχύν, καὶ τὰ πόρρωθεν δυναμένης ὁρᾶν. Καὶ οὐκ εἶπεν, ἐσταυρώθη, ἀλλά, «προεγράφη ἐσταυρωμένος», δηλῶν ὅτι τοῖς τῆς πίστεως ὀφθαλμοῖς ἀκριβέστερον ἐθεώρησαν τῶν παρόντων ἐνίων καὶ τὰ γινόμενα θεωμένων. Ἐκείνων μὲν γὰρ πολλοὶ θεασάμενοι, οὐδὲν ἀπώναντο· οὗτοι δὲ ὀφθαλμοφανῶς μὲν οὐκ εἶδον, διὰ δὲ τῆς πίστεως ἀκριβέστερον εἶδον. Ταῦτα δὲ λέγει ὁμοῦ καὶ καθαπτόμενος αὐτῶν, καὶ ἐπαινῶν· ἐπαινῶν μέν, ὅτι μετὰ τοσαύτης ἐδέξαντο πληροφορίας τὸ γεγενημένον· καθαπτόμενος δέ, ὅτι ὃν εἶδον ὑπὲρ αὐτῶν γυμνωθέντα, ἀνεσκολοπισμένον, προσηλωμένον, ἐμπτυόμενον, κωμῳδούμενον, ποτιζόμενον ὄξος, κατηγορούμενον ὑπὸ λῃστῶν, λόγχῃ νυττόμενον· ταῦτα γὰρ πάντα ἐδήλωσε διὰ τοῦ εἰπεῖν, «προεγράφη ἐν ὑμῖν ἐσταυρωμένος»· τοῦτον ἀφέντες, ἐπὶ τὸν νόμον ἔδραμον, οὐδὲν αἰδεσθέντες τῶν παθημάτων ἐκείνων. Σὺ δέ μοι σκόπει, πῶς πανταχοῦ τὸν οὐρανόν, τὴν γῆν, τὴν θάλασσαν, τὰ ἄλλα πάντα ἀφείς, τὴν δύναμιν ἐκήρυττε τοῦ Χριστοῦ, τὸν σταυρὸν περιφέρων. Τοῦτο γὰρ μάλιστα κεφάλαιον τῆς ὑπὲρ ἡμῶν κηδεμονίας ἦν.

2. «Τοῦτο μόνον θέλω μαθεῖν ἀφ' ὑμῶν· ἐξ ἔργων νόμου τὸ Πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πίστεως;». Ἐπειδὴ γὰρ τοῖς μακροῖς οὐ παρακολουθεῖτε λόγοις, φησίν, οὐδὲ τῆς οἰκονομίας τὸ μέγεθος κατοπτεῦσαι βούλεσθε, διὰ συντόμου λόγου καὶ ταχίστης ἀποδείξεως ὑμᾶς πεῖσαι βούλομαι, τὴν ἐσχάτην ὑμῶν ὁρῶν ἀγνωμοσύνην. Ἀνωτέρω μὲν γὰρ ἐκ τῶν πρὸς τὸν Πέ-

2. Γαλ. 3, 2.

διότι ἐκεῖνοι οἱ ὁποῖοι διδάσκουν αὐτά, κατήντησαν εἰς αὐτὸ ἐξ αἰτίας βασκανίας.

«Ἐμπρὸς εἰς τοὺς ὀφθαλμοὺς τῶν ὁποίων ἐζωγραφήθη ὁ Ἰησοῦς Χριστὸς ἐσταυρωμένος». Καὶ ὅμως, ὄχι εἰς τὴν χώραν τῶν Γαλατῶν, ἀλλ' εἰς τὰ Ἱεροσόλυμα ἐσταυρώθη· πῶς λοιπὸν λέγει «εἰς ἐσᾶς»; Διὰ νὰ δείξῃ τὴν δύναμιν τῆς πίστεως, ἡ ὁποία δύναται νὰ βλέπῃ καὶ τὰ μακρυνά. Καὶ δὲν εἶπεν ἐσταυρώθη, ἀλλ' «ἐζωγραφήθη ἐσταυρωμένος», δηλῶν ὅτι διὰ τῶν ὀφθαλμῶν τῆς πίστεως εἶδον καὶ μὲ περισσοτέραν ἀκρίβειαν ἀπὸ μερικοὺς ἀπὸ τοὺς παρόντας οἱ ὁποῖοι εἶδον τὰ τῆς σταυρώσεως. Διότι ἀπὸ ἐκείνους μὲν πολλοί, ἀφοῦ εἶδον, εἰς τίποτε δὲν ὠφελήθησαν· αὐτοὶ ὅμως, μὲ τοὺς ὀφθαλμούς των μὲν δὲν εἶδον, ἀλλὰ διὰ τῆς πίστεως εἶδον μὲ περισσοτέραν ἀκρίβειαν. Αὐτὰ δὲ λέγει ταὐτοχρόνως καὶ κατηγορῶν καὶ ἐπαινῶν αὐτούς· ἐπαινῶν μέν, διὰ τὸ ὅτι μὲ τόσην πληρότητα ἐγνώρισαν τὸ γεγονός· κατηγορῶν δέ, διὰ τὸ ὅτι αὐτὸν τὸν ὁποῖον εἶδον νὰ ἔχῃ γυμνωθῇ, κτυπηθῇ, σταυρωθῇ, ἐμπτυσθῇ, διασυρθῇ, νὰ ἔχῃ ποτισθῇ μὲ ὄξος, νὰ κατηγορῆται ἀπὸ λῃστάς, νὰ κεντᾶται ἀπὸ λόγχην — διότι ὅλ' αὐτὰ ἔδειξε μὲ τὸ νὰ εἴπῃ «ἐζωγραφήθη ἐνώπιόν σας ἐσταυρωμένος» — αὐτόν, ἀφοῦ ἐγκατέλειψαν, ἔτρεξαν εἰς τὸν νόμον, χωρὶς νὰ ἐντραποῦν κανένα ἀπὸ ἐκεῖνα τὰ πάθη. Πρόσεξε δὲ πῶς, ἀφοῦ ἄφησε τὸν οὐρανόν, τὴν γῆν, τὴν θάλασσαν καὶ ὅλα τ' ἄλλα, ἐκήρυττε τὴν δύναμιν τοῦ Χριστοῦ, παρουσιάζων τὴν δύναμιν τοῦ σταυροῦ. Διότι τοῦτο ἦτο τὸ κατ' ἐξοχὴν δεῖγμα τῆς ὑπὲρ ἡμῶν φροντίδος τοῦ Θεοῦ.

2. «Τοῦτο μόνον θέλω νὰ μάθω ἀπὸ σᾶς· διὰ τῶν ἔργων τοῦ νόμου ἐλάβετε τὸ ἅγιον Πνεῦμα ἢ διὰ τῆς πίστεως εἰς ὅσα ἠκούσατε;»[2]. Διότι, ἐπειδὴ δὲν παρακολουθεῖτε τοὺς μακροὺς λόγους, λέγει, οὔτε θέλετε νὰ ἰδῆτε τὸ μέγεθος τῆς οἰκονομίας, θέλω νὰ σᾶς πείσω μὲ σύντομον λόγον καὶ ἄμεσον ἀπόδειξιν, ἐπειδὴ βλέπω τὴν μεγίστην ἀγνωμοσύνην σας. Διότι ἀνωτέρω μὲν ἔπειθεν αὐτοὺς ἀπὸ τὰ ὅσα ἐλέχθη-

τρον αὐτῷ λεχθέντων ἔπειθεν, ἐνταῦθα δὲ λοιπὸν πρὸς αὐτοὺς ἀποδύεται, οὐκ ἐκ τῶν ἀλλαχοῦ συμβάντων, ἀλλ' ἐκ τῶν ἐν αὐτοῖς γινομένων κατασκευάζων ἅπαντα, καὶ οὐκέτι μόνον ἀπὸ τῶν κοινῇ δεδομένων, ἀλλὰ καὶ ἐκ τῶν αὐτοῖς ἰδίᾳ δεδωρημένων πείθων καὶ ποιούμενος τὴν ἀπόδειξιν. Διό φησι, «Τοῦτο μόνον θέλω μαθεῖν ἀφ' ὑμῶν· ἐξ ἔργων νόμου τὸ Πνεῦμα ἐλάβετε, ἢ ἐξ ἀκοῆς πίστεως;». Ἐλάβετε Πνεῦμα ἅγιον, φησίν, εἰργάσασθε δυνάμεις πολλάς, ἐπετελέσατε σημεῖα, νεκροὺς ἐγείροντες, λεπροὺς καθαίροντες, προφητεύοντες, γλώσσαις λαλοῦντες· Ταύτην οὖν τὴν τοσαύτην ἰσχὺν ὑμῖν ἔδωκεν ὁ νόμος; Καὶ μὴν οὐδὲν πρότερον ἐποιεῖτε τοιοῦτον. Ἀλλ' ἡ πίστις;

Πῶς οὖν οὐκ ἐσχάτης μανίας τοσαῦτα παρὰ τῆς πίστεως εὐεργετηθέντας, ταύτην μὲν ἀφεῖναι, πρὸς δὲ τὸν οὐδὲν τοιοῦτον παρασχόντα νόμον αὐτομολῆσαι πάλιν; «Οὕτως ἀνόητοί ἐστε; ἐναρξάμενοι Πνεύματι, νῦν σαρκὶ ἐπιτελεῖσθε;». Πάλιν εὐκαίρως τὴν ὕβριν ἐπήγαγε. Δέον γάρ, φησί, προσθήκην ποιῆσαι τοῦ χρόνου προϊόντος, οὐ μόνον οὐκ ἐπεδιώκατε, ἀλλὰ καὶ εἰς τοὐπίσω κατηνέχθητε πάλιν. Οὐ γὰρ ἀπὸ τῶν μικρῶν ἀρχόμενοι, προϊόντες ἐπὶ τὰ μείζονα ἀναβαίνουσιν· ὑμεῖς δὲ ἀπὸ μεγάλων ἀρξάμενοι, πρὸς τὰ ἐναντία κατηνέχθητε. Εἰ γὰρ καὶ ἀπὸ σαρκικῶν ἤρξασθε, ἔδει εἰς τὰ πνευματικὰ προκόψαι· νῦν δὲ ἀπὸ πνευματικῶν ἀρξάμενοι, εἰς τὰ σαρκικὰ κατελύσατε. Τὸ μὲν γὰρ σημεῖα ποιεῖν, πνευματικόν· τὸ δὲ περιτέμνεσθαι, σαρκικόν. Ὑμεῖς δὲ μετὰ τὰ σημεῖα ἐπὶ τὴν περιτομὴν ἤλθετε, μετὰ τὸ δράξασθαι τῆς ἀληθείας ἐπὶ τοὺς τύπους κατεπέσατε, μετὰ τὸ κατοπτεῦσαι τὸν ἥλιον τὸν λύχνον ἐπιζητεῖτε, μετὰ τὴν στερεὰν τροφὴν ἐπὶ τὸ γάλα τρέχετε.

3. Γαλ. 3, 3.

σαν ἀπὸ αὐτὸν εἰς τὸν Πέτρον, ἐνῷ ἐδῶ προετοιμάζεται νὰ πείσῃ αὐτούς, ἀποδεικνύων τὰ πάντα, ὄχι ἀπὸ ὅσα συνέβησαν ἀλλοῦ, ἀλλ' ἀπὸ ὅσα ἔγιναν εἰς αὐτούς, καὶ πείθων καὶ θεμελιώνων τὴν ἀπόδειξιν, ὄχι μόνον ἀπὸ τὰ δοθέντα εἰς ὅλους, ἀλλὰ καὶ ἀπὸ ὅσα ἐδωρήθησαν ἰδιαιτέρως εἰς αὐτούς. Διὰ τοῦτο λέγει· «Τοῦτο μόνον θέλω νὰ μάθω ἀπὸ σᾶς· διὰ τῶν ἔργων τοῦ νόμου ἐλάβετε τὸ ἅγιον Πνεῦμα ἢ διὰ τῆς πίστεως εἰς ὅσα ἠκούσατε;». Ἐλάβετε Πνεῦμα ἅγιον, λέγει, ἠξιώθητε πολλὰς δυνάμεις, ἐπετελέσατε θαύματα, ἀνιστῶντες νεκρούς, καθαρίζοντες λεπρούς, προφητεύοντες, λαλοῦντες γλώσσας. Αὐτὴν λοιπὸν τὴν τόσον μεγάλην δύναμιν ὁ νόμος τὴν ἔδωσεν εἰς ἐσᾶς; Ἀλλ' ὅμως τίποτε τέτοιο δὲν ἐκάμνατε προηγουμένως. Ἀλλ' ἡ πίστις σᾶς τὰ ἐχάρισε.

Πῶς λοιπὸν δὲν εἶναι ἀποτέλεσμα ἐσχάτης μανίας, ἀφοῦ εὐηργετήθητε τόσον πολὺ ἀπὸ τὴν πίστιν, αὐτὴν μὲν νὰ ἐγκαταλείψητε, νὰ δραπετεύσητε δὲ πάλιν πρὸς τὸν νόμον, ὁ ὁποῖος τίποτε τέτοιο δὲν σᾶς ἔδωσε; «Τόσον ἀνόητοι εἶσθε; Ἀφοῦ ἠρχίσατε μὲ τὴν χάριν τοῦ ἁγίου Πνεύματος, καταλήγετε τώρα εἰς τὴν τήρησιν τοῦ νόμου, ποὺ ἔχει νὰ κάνῃ μὲ τὴν σάρκα καὶ ὄχι τὴν ἀναγέννησιν τῆς καρδίας;»[3]. Πάλιν μὲ τὴν εὐκαιρίαν προσέθεσε τὴν κατηγορίαν. Διότι, λέγει, ἐνῷ ἔπρεπε μὲ τὴν πάροδον τοῦ χρόνου νὰ προοδεύσητε, ὄχι μόνον δὲν εἴχατε ἐπίδοσιν, ἀλλὰ καὶ εἰς τὰ ὀπίσω κατηντήσατε πάλιν. Διότι ἐκεῖνοι οἱ ὁποῖοι ἀρχίζουν ἀπὸ τὰ μικρά, προχωροῦντες, ἀναβαίνουν εἰς τὰ μεγάλα· σεῖς δέ, ἐνῷ ἠρχίσατε ἀπὸ τὰ μεγάλα, κατηντήσατε εἰς τὰ ἀντίθετα. Διότι ἂν καὶ ἠρχίσατε ἀπὸ τὰ σαρκικά, ἔπρεπε νὰ προκόψητε εἰς τὰ πνευματικά· τώρα ὅμως, ἐνῷ ἠρχίσατε ἀπὸ πνευματικά, κατελήξατε εἰς τὰ σαρκικά. Διότι τὸ νὰ κάμνῃ μὲν κανεὶς θαύματα, εἶναι πνευματικόν· τὸ νὰ περιτέμνεται ὅμως, σαρκικόν. Σεῖς δὲ μετὰ τὰ θαύματα ἤλθατε εἰς τὴν περιτομήν, ἀφοῦ ἐγνωρίσατε τὴν ἀλήθειαν, ἐξεπέσατε εἰς τοὺς τύπους, ἀφοῦ εἴδατε τὸν ἥλιον, ζητεῖτε τὸν λύχνον,

Καὶ οὐκ εἶπε, σαρκὶ τελεῖτε, ἀλλά, «σαρκὶ ἐπιτελεῖσθε», δεικνὺς ὅτι δίκην θρεμμάτων ἀλόγων λαβόντες αὐτοὺς ἐκεῖνοι κατέκοπτον, τούτων ἑαυτοὺς ἐκδιδόντων εἰς τὸ πάσχειν ἅπερ ἐβούλοντο ἐκεῖνοι· ὥσπερ ἂν εἴ τις ἀπὸ στρατηγῶν καὶ ἀριστέων μετὰ μυρία τρόπαια καὶ νίκας εἰς τὴν τῶν λιποτακτῶν δοὺς ἑαυτὸν ἀτιμίαν, καταστίζειν παρέχει τοῖς βουλομένοις τὸ σῶμα.

«Τοσαῦτα ἐπάθετε εἰκῇ; εἴγε καὶ εἰκῇ». Τοῦτο τοῦ προτέρου πολὺ πληκτικώτερον. Οὐ γὰρ οὕτως ἠδύνατο ἡ τῶν σημείων ἀνάμνησις, ὡς ἡ τῶν ἀγώνων ἐπίδειξις καὶ ἡ τῶν παθῶν ὑπομονὴ τῶν διὰ τὸν Χριστόν. Πάντα γὰρ ἐκεῖνα, φησίν, ἅπερ ὑπεμείνατε, ζημιῶσαι ὑμᾶς οὗτοι βούλονται, καὶ τὸν στέφανον ὑμῶν ἁρπάσαι. Εἶτα ἵνα μὴ κατασείσῃ αὐτῶν τὴν ψυχήν, καὶ ἐκλύσῃ τὰ νεῦρα, οὐκ ἔμεινεν ἕως τῆς ἀποφάσεως, ἀλλ' ἐπήγαγεν, «εἴγε καὶ εἰκῇ». Εἰ γὰρ βουληθείητε, φησίν, ἀνανῆψαι· καὶ ἀνακτήσασθαι ἑαυτούς, οὐκ εἰκῇ. Ποῦ νῦν εἰσιν οἱ τὴν μετάνοιαν ἐκκόπτοντες; Ἰδοὺ γὰρ οὗτοι καὶ Πνεῦμα ἔλαβον, καὶ σημεῖα εἰργάσαντο, καὶ ὁμολογηταὶ ἐγένοντο, μυρίους διὰ τὸν Χριστὸν ὑπομείναντες κινδύνους καὶ διωγμούς, καὶ μετὰ τοσαῦτα κατορθώματα τῆς χάριτος ἐξέπεσον. Ἀλλ' ὅμως, φησίν, ἐὰν βούλησθε, δύνασθε ἑαυτοὺς ἀνακτήσασθαι.

«Ὁ οὖν ἐπιχορηγῶν ὑμῖν τὸ Πνεῦμα, καὶ ἐνεργῶν δυνάμεις ἐν ὑμῖν, ἐξ ἔργων νόμου ἢ ἐξ ἀκοῆς πίστεως;». Τοσαύτης, φησίν, ἠξιώθητε δωρεᾶς, καὶ θαύματα ἐπετελέσατε

---

4. Γαλ. 3, 4.
5. Γαλ. 3, 5.

μετὰ τὴν στερεὰν τροφὴν τρέχετε εἰς τὸ γάλα. Καὶ δὲν εἶπεν, εἰς τὴν σάρκα παραμένετε, ἀλλά, εἰς τὴν σάρκα καταλήγετε, δεικνύων ὅτι ἀφοῦ τοὺς παρέλαβον ἐκεῖνοι, τοὺς κατεκούραζον ὡσὰν ἄλογα ζῶα, ἀφοῦ οἱ ἴδιοι παρέδωσαν τοὺς ἑαυτούς των εἰς τὸ νὰ παθαίνουν ὅσα ἤθελον ἐκεῖνοι· ὅπως ἀκριβῶς ἐὰν κάποιος ἀπὸ τοὺς στρατηγοὺς καὶ ἀριστεῖς, μετὰ ἀπὸ χιλιάδας τρόπαια καὶ νίκας, παραδίδων τὸν ἑαυτόν του εἰς τὴν ἀτιμίαν τῶν λιποτακτῶν, δίδῃ τὸ δικαίωμα εἰς τοὺς θέλοντας νὰ καταστιγματίζουν τὸ σῶμα του.

«Τόσας εὐεργεσίας ποὺ ἐλάβατε μὲ τὰ χαρίσματα τοῦ ἁγίου Πνεύματος, τὰς εὐηργετήθητε ἀνωφελῶς καὶ εἰς μάτην; Καὶ εἴθε νὰ ἦσαν μόνον εἰς μάτην, ὄχι δὲ καὶ πρὸς ζημίαν καὶ πνευματικὴν κατάκρισίν σας»[4]. Αὐτὸ ἀπὸ τὸ προηγούμενον εἶναι κτύπημα πολὺ βαρύτερον. Διότι δὲν εἶχε τόσην δύναμιν ἡ ἀνάμνησις τῶν θαυμάτων, ὅσον ἡ ἐπίδειξις τῶν ἀγώνων καὶ τῶν παθημάτων διὰ τὸν Χριστόν. Διότι ὅλα ἐκεῖνα, λέγει, ὅσα ὑπεμείνατε, θέλουν νὰ τὰ μετατρέψουν εἰς ζημίαν σας αὐτοί, καὶ νὰ ἁρπάσουν ἀπὸ ἐσᾶς τὸν στέφανον τῆς νίκης. Ὕστερον, διὰ νὰ μὴ ταράξῃ τὴν ψυχήν των καὶ ἐκλύσῃ τὰ νεῦρα των, δὲν ἔμεινεν εἰς τὴν ἄρνησιν, ἀλλὰ προσέθεσε· «Καὶ εἴθε νὰ ἦσαν μόνον εἰς μάτην». Διότι, ἐὰν θελήσητε, λέγει, ν' ἀναζητήσητε νὰ ἐπανακτήσητε τοὺς ἑαυτούς σας, δὲν θ' ἀποβοῦν μάταια. Ποῦ εἶναι τώρα αὐτοὶ οἱ ὁποῖοι ἀρνοῦνται καὶ ἀπορρίπτουν τὴν μετάνοιαν; Ἰδοὺ λοιπόν, αὐτοὶ καὶ ἅγιον Πνεῦμα ἔλαβον, καὶ θαύματα ἐπετέλεσαν, καὶ ὁμολογηταὶ ἔγιναν, ἀφοῦ ὑπέμειναν χιλιάδας κινδύνους καὶ διωγμοὺς διὰ τὸν Χριστόν, καὶ μετὰ ἀπὸ τόσα κατορθώματα ἐξέπεσαν τῆς χάριτος. Ἀλλ' ὅμως, λέγει, ἐὰν θέλετε, δύνασθε νὰ ἐπανακτήσητε τοὺς ἑαυτούς σας.

«Ἐκεῖνος λοιπόν, ὁ ὁποῖος σᾶς δίνει τὸ Πνεῦμα καὶ κάνει θαύματα μεταξύ σας, τὸ κάνει ἐπειδὴ τηρεῖτε τὸν νόμον ἢ ἐπειδὴ ἐπεστρέψατε εἰς ὅ,τι ἠκούσατε;»[5]. Εἴχετε ἀξιωθῆ τόσον μεγάλης δωρεᾶς, καὶ ἔχετε ἐπιτελέσει τόσα θαύματα

τοσαῦτα, ὅτι νόμον ἐφυλάξατε, ἢ ὅτι πίστιν ἐτηρήσατε; Δῆλον ὅτι διὰ τὴν πίστιν. Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τοῦτο ἔστρεφον καὶ περιέφερον ἐκεῖνοι λέγοντες, ὅτι οὐκ ἔχει ἡ πίστις ἰσχύν, τοῦ νόμου μὴ προσκειμένου, δείκνυσι τὸ ἐναντίον, ὅτι τῶν ἐντολῶν προστεθεισῶν οὐδὲν ἡ πίστις ὠφελήσει λοιπόν· ἡ γὰρ πίστις τότε ἰσχύει, ὅταν μὴ προστεθῇ τὰ ἀπὸ τοῦ νόμου. «Ὅσοι γὰρ ἐν νόμῳ δικαιοῦσθε», φησί, «τῆς χάριτος ἐξεπέσετε». Ἀλλὰ τοῦτο μὲν προϊὼν φησιν, ὅτε καὶ μείζονι κέχρηται παρρησίᾳ, ἀπὸ τῶν ἤδη κατεσκευασμένων τὴν ἀφορμὴν λαμβάνων· τέως δὲ ἀπὸ τῶν παρελθόντων αὐτὸ κατασκευάζει. Ὅτε γάρ, φησίν, οὐ προσείχετε τῷ νόμῳ, ἀλλὰ τῇ πίστει, τότε τὸ Πνεῦμα ἐλάβετε, καὶ τὰ σημεῖα ἐπετελέσατε.

3. Εἶτα ἐπειδὴ περὶ νόμου ὁ λόγος ἦν, καὶ ἕτερον κινεῖ τόπον ἀγωνιστικώτατον, τὸν Ἀβραὰμ εἰς μέσον ἄγων, καὶ σφόδρα εὐκαίρως, καὶ μετὰ πολλῆς τῆς περιουσίας, οὕτω λέγων· «Καθὼς Ἀβραὰμ ἐπίστευσε τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην». Δηλοῖ μὲν γάρ, φησί, τῆς πίστεως τὴν δύναμιν καὶ τὰ ὑφ' ὑμῶν γενόμενα θαύματα· εἰ δὲ βούλεσθε, καὶ ἐκ παλαιῶν ὑμᾶς πειράσομαι πεῖσαι διηγημάτων. Ἐπειδὴ γὰρ πολὺς τοῦ πατριάρχου λόγος ἦν παρ' αὐτοῖς, ἄγει καὶ αὐτὸν εἰς μέσον, καὶ δείκνυσι καὶ αὐτὸν οὕτω δικαιωθέντα. Εἰ δὲ ὁ πρὸ τῆς χάριτος ἀπὸ πίστεως ἐδικαιώθη, καίτοιγε καὶ ἐν ἔργοις κομῶν, πολλῷ μᾶλλον ἡμεῖς. Τί γὰρ ἐκεῖνος ἐβλάβη μὴ γενόμενος ὑπὸ νόμον; Οὐδέν, ἀλλ' ἤρκεσεν ἡ πίστις εἰς δικαιοσύνην αὐτῷ.

Οὐ γὰρ ἦν νόμος τότε, φησίν. Οὐδὲν γὰρ νῦν ἐστι νόμος, ὥσπερ οὐδὲ τότε. Διὰ γὰρ τοῦτο ἀνελὼν τοῦ νόμου τὴν χρείαν, τότε τὸν πρὸ τοῦ νόμου δικαιωθέντα εἰσήγαγεν, ἵνα μὴ ταύτην δέξηται τὴν ἀντίθεσιν. Ὥσπερ γὰρ τότε οὐδέπω δο-

6. Γαλ. 5, 4
7. Γαλ. 3, 6.

ἐπειδὴ ἐφυλάξατε τὸν νόμον ἢ ἐπειδὴ ἐτηρήσατε τὴν πίστιν; Εἶναι φανερὸν ὅτι διὰ τὴν πίστιν. Διότι ἐπειδὴ ἐπάνω καὶ κάτω διέδιδον καὶ περιέφερον αὐτὸ ἐκεῖνοι, λέγοντες ὅτι δὲν ἔχει ἰσχὺν ἡ πίστις ἐὰν δὲν εὑρίσκεται πλησίον της ὁ νόμος, ἀποδεικνύει τὸ ἀντίθετον, ὅτι ἐὰν προστεθοῦν αἱ ἐντολαί, οὔτε ἡ πίστις πλέον θὰ ὠφελήσῃ· διότι ἡ πίστις τότε ἔχει ἰσχύν, ὅταν δὲν προστεθοῦν τὰ τοῦ νόμου. Διότι «ὅσοι θέλετε νὰ δικαιωθῆτε διὰ τοῦ νόμου», λέγει, «ἔχετε ἐκπέσει ἀπὸ τὴν χάριν»[6]. Ἀλλ' αὐτὸ μὲν προχωρῶν λέγει, ὅταν ὁμιλῇ καὶ μὲ μεγαλυτέραν παρρησίαν, λαμβάνων τὴν ἀφορμὴν ἀπὸ τὰ ἤδη ἀποδειχθέντα· ἕως ἐδῶ δέ, ἀποδεικνύει αὐτὸ ἀπὸ τὰ παρελθόντα. Διότι ὅταν, λέγει, δὲν ἤσασθε προσηλωμένοι εἰς τὸν νόμον, ἀλλ' εἰς τὴν πίστιν, τότε ἐλάβετε τὸ ἅγιον Πνεῦμα καὶ ἐπετελέσατε τὰ θαύματα.

3. Ὕστερον, ἐπειδὴ ὁ λόγος ἐγίνετο διὰ τὸν νόμον, προβάλλει καὶ ἄλλο ἐπιχείρημα ἀγωνιστικώτατον καὶ μὲ πολὺ μεγάλην δύναμιν, παρουσιάζων τὸν Ἀβραάμ, καὶ εἰς πολὺ κατάλληλον στιγμήν, λέγων ἔτσι· «Ὅπως ὁ Ἀβραὰμ ἐπίστεψεν εἰς τὸν Θεὸν καὶ αὐτὸ τοῦ κατελογίσθη πρὸς δικαίωσιν»[7]. Διότι φανερώνουν μέν, λέγει, τὴν δύναμιν τῆς πίστεως καὶ τὰ θαύματα τὰ ὁποῖα ἔγιναν ἀπὸ ἐσᾶς· ἐὰν ὅμως θέλετε, θὰ ἐπιχειρήσω νὰ σᾶς πείσω καὶ ἀπὸ διηγήσεις τῆς παλαιᾶς Διαθήκης. Διότι ἐπειδὴ ἐγίνετο πολὺς λόγος ἀπὸ αὐτοὺς διὰ τὸν πατριάρχην, παρουσιάζει καὶ αὐτόν; καὶ δεικνύει ὅτι καὶ αὐτὸς ἔτσι ἐδικαιώθη. Ἐὰν δὲ αὐτὸς ὁ ὁποῖος ἔζησε πρὸ τῆς ἐλεύσεως τῆς χάριτος, ἂν καὶ βεβαίως ἐφρόντιζε καὶ δι' ἔργα, πολὺ περισσότερον ἐμεῖς. Διότι εἰς τί ἐβλάβη ἐκεῖνος διὰ τὸ ὅτι δὲν ἐτέθη ὑπὸ τὸν νόμον; Εἰς τίποτε. Ἀλλ' ἤρκεσεν ἡ πίστις διὰ νὰ τὸν δικαιώσῃ.

Τότε ὅμως δὲν ὑπῆρχε νόμος, λέγουν. Ἀλλ' οὔτε τώρα ὑπάρχει νόμος, ὅπως οὔτε τότε. Διότι, ἀφοῦ ἀνῄρεσε τὴν ἀναγκαιότητα τοῦ νόμου, διὰ τοῦτο ἀνέφερεν αὐτὸν ὁ ὁποῖος ἐδικαιώθη πρὶν ἀπὸ τὸν νόμον, διὰ νὰ μὴ δεχθῇ αὐτὴν τὴν ἀντίρρησιν. Ὅπως ἀκριβῶς λοιπὸν τότε δὲν εἶχεν ἀκόμη

θεὶς ἦν, οὕτω καὶ νῦν δοθεὶς πέπαυται. Εἶτα ἐπειδὴ μέγα ἐφρόνουν ἐπὶ τῷ Ἀβραὰμ γεγενῆσθαι, καὶ ἐδεδοίκεισαν, μὴ τὸν νόμον ἀφέντες, ἀλλοτριωθῶσι τῆς ἐκείνου συγγενείας· καὶ τοῦτο πάλιν εἰς τὸ ἐναντίον περιτρέπει, καὶ λύει τὸν φόβον ὁ Παῦλος, δεικνὺς ὅτι τὴν πρὸς ἐκεῖνον ἀγχιστείαν μάλιστα ἡ πίστις ἐργάζεται. Καὶ τοῦτο σαφέστερον μὲν ἐν τῇ πρὸς Ρωμαίους κατεσκεύασεν, οὐχ ἧττον δὲ αὐτὸ καὶ ἐνταῦθα ἐργάζεται, λέγων οὕτω· «Γινώσκετε ἄρα, ὅτι οἱ ἐκ πίστεως, οὗτοι υἱοί εἰσιν Ἀβραάμ». Εἶτα καὶ αὐτὸ τοῦτο ἀπὸ μαρτυρίας συνίστησι παλαιᾶς.

«Προϊδοῦσα γάρ», φησίν, «ἡ Γραφή, ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ Θεός, προευηγγελίσατο τῷ Ἀβραάμ, ὅτι ἐν σοὶ εὐλογηθήσονται πάντα τὰ ἔθνη». Εἰ τοίνυν οὐχ οἱ τὴν φυσικὴν ἔχοντες πρὸς αὐτὸν συγγένειαν, οὗτοί εἰσιν υἱοί, ἀλλ' οἱ τὴν πίστιν ἐκείνου μιμησάμενοι· τοῦτο γάρ ἐστιν, «ἐν σοὶ τὰ ἔθνη»· δῆλον ὅτι εἰς ταύτην εἰσάγεται τὴν συγγένειαν. Διὰ δὲ τούτων καὶ ἕτερον δείκνυται μέγα· Ἐπειδὴ γὰρ αὐτοὺς ἐθορύβει τὸ τὸν νόμον ἀρχαιότερον εἶναι, τὴν δὲ πίστιν μετὰ τὸν νόμον, καὶ ταύτην αὐτῶν ἀναιρεῖ τὴν ὑποψίαν, δεικνὺς ὅτι τοῦ νόμου πρεσβυτέρα ἡ πίστις, καὶ τοῦτο δῆλον ἀπὸ τοῦ Ἀβραάμ· πρὶν ἢ γὰρ φανῆναι τὸν νόμον, ἐκεῖνος ἐδικαιώθη. Δείκνυσι δὲ ὅτι καὶ τὰ νῦν γενόμενα, κατὰ προφητείαν ἐγένετο.

«Προϊδοῦσα γάρ», φησίν, «ἡ Γραφή, ὅτι ἐκ πίστεως δικαιοῖ τὰ ἔθνη ὁ Θεός», οὐκ ἐκ τοῦ νόμου, «προευηγγελίσατο τῷ Ἀβραάμ». Τί δὲ τοῦτό ἐστιν; Αὐτὸς ὁ τὸν νόμον διδούς, φησί, καὶ πρὶν ἢ τὸν νόμον τοῦτον δοῦναι, τοῦτο ἦν δρί-

---

8. Γαλ. 3, 7.
9. Γαλ. 3, 8.

δοθῇ, ἔτσι καὶ τώρα, ἀφοῦ ἐδόθη, ἔπαυσε. Ὕστερον, ἐπειδὴ ἦσαν ὑπερήφανοι διὰ τὸ ὅτι κατήγοντο ἀπὸ τὸν Ἀβραάμ, καὶ ἐφοβήθησαν μήπως, ἀφοῦ ἐγκαταλείψουν τὸν νόμον, ἀποξενωθοῦν ἀπὸ τὴν συγγένειαν ἐκείνου, στρέφει καὶ αὐτὸ πάλιν εἰς τὸ ἀντίθετον καὶ διαλύει τὸν φόβον ὁ Παῦλος, δεικνύων ὅτι τὴν συγγένειαν πρὸς ἐκεῖνον μᾶλλον ἡ πίστις ἀπεργάζεται. Καὶ αὐτὸ μὲν σαφέστερον ἀπέδειξεν εἰς τὴν πρὸς Ρωμαίους, ὄχι ὀλιγώτερον ὅμως καὶ τώρα κάνει αὐτό, λέγων ἔτσι· «Βλέπετε λοιπόν, ὅτι ὅσοι εἶναι ἄνθρωποι πίστεως, αὐτοὶ εἶναι παιδιὰ τοῦ Ἀβραάμ»[8]. Ὕστερον καὶ αὐτὸ θεμελιώνει λαμβάνων μαρτυρίαν ἀπὸ τὴν παλαιὰν Διαθήκην.

Διότι, «Ἐπειδὴ προεῖδε», λέγει, «ἡ Γραφή, ὅτι ὁ Θεὸς ἐπὶ τῇ βάσει τῆς πίστεως δικαιώνει τοὺς ἐθνικούς, προανήγγειλεν εἰς τὸν Ἀβραὰμ τὸ χαρμόσυνον ἄγγελμα· Διὰ σοῦ θὰ εὐλογηθοῦν ὅλα τὰ ἔθνη»[9]. Ἐὰν λοιπὸν εἶναι υἱοὶ τοῦ Ἀβραάμ, ὄχι οἱ ἔχοντες πρὸς αὐτὸν φυσικὴν συγγένειαν, ἀλλ' οἱ μιμούμενοι τὴν πίστιν ἐκείνου — διότι αὐτὸ σημαίνει τὸ «διὰ σοῦ θὰ εὐλογηθοῦν τὰ ἔθνη» — εἶναι φανερὸν ὅτι εἰς αὐτὴν τὴν συγγένειαν εἰσάγει. Δι' αὐτῶν δὲ τῶν ἐπιχειρημάτων ἀποδεικνύει καὶ ἄλλο μεγάλο. Ἐπειδὴ δηλαδὴ ἐθορύβει αὐτοὺς τὸ ὅτι ὁ νόμος εἶναι ἀρχαιότερος, ἡ δὲ πίστις μετὰ τὸν νόμον, ἀναιρεῖ καὶ αὐτὴν τὴν ὑποψίαν των, δεικνύων ὅτι ἡ πίστις εἶναι ἀρχαιοτέρα ἀπὸ τὸν νόμον, καὶ τοῦτο εἶναι φανερὸν ἀπὸ τὸν Ἀβραάμ· διότι ἐκεῖνος ἐδικαιώθη πρὶν ἐμφανισθῇ ὁ νόμος. Ἀποδεικνύει δὲ ὅτι καὶ αὐτὰ τὰ ὁποῖα γίνονται τώρα, ἔγιναν συμφώνως πρὸς προφητείαν.

Διότι «ἐπειδὴ προεῖδε», λέγει, «ἡ Γραφή, ὅτι ὁ Θεὸς ἐπὶ τῇ βάσει τῆς πίστεως δικαιώνει τοὺς ἐθνικούς», ὄχι ἀπὸ τὸν νόμον «Προανήγγειλεν εἰς τὸν Ἀβραὰμ τὸ χαρμόσυνον ἄγγελμα». Τί εἶναι δὲ αὐτό; Αὐτὸς ὁ ἴδιος ὁ ὁποῖος ἔδωσε τὸν νόμον, λέγει, καὶ πρὶν ἀκόμη δώσῃ αὐτὸν τὸν νόμον, αὐτὸ εἶχεν ὁρίσει, ἀπὸ τὴν πίστιν δηλαδὴ νὰ δικαιωθοῦν οἱ

σας, ἐκ πίστεως δικαιωθῆναι τὰ ἔθνη. Καὶ οὐκ εἶπεν, ἀπεκάλυψεν, ἀλλ' «εὐηγγελίσατο», ἵνα μάθῃς, ὅτι καὶ ὁ πατριάρχης τούτῳ τῷ τρόπῳ τῆς δικαιοσύνης ἔχαιρε, καὶ σφόδρα ἐπόθει τοῦτο ἐκβῆναι. Ἐπειδὴ δὲ εἶχε φόβος καὶ αὐτοὺς ἕτερος· γέγραπτο γάρ, «Ἐπικατάρατος πᾶς, ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου, τοῦ ποιῆσαι αὐτά»· καὶ τοῦτο διαλύει τὸ δέος, σοφῶς καὶ συνετῶς πάλιν εἰς τὸ ἐναντίον αὐτὸ περιτρέπων, καὶ δεικνὺς ὅτι οὐ μόνον οὐκ εἰσὶν ἐπικατάρατοι οἱ τὸν νόμον ἀφέντες, ἀλλὰ καὶ εὐλογημένοι· οἱ δὲ κατέχοντες, οὐ μόνον οὐκ εὐλογημένοι, ἀλλὰ καὶ ἐπικατάρατοι.

Ἐκεῖνοι μὲν γὰρ ἔλεγον, ὅτι ὁ μὴ τηρῶν τὸν νόμον ἐπικατάρατος· οὗτος δὲ δείκνυσιν, ὅτι ὁ τηρῶν ἐπικατάρατος, ὁ δὲ μὴ τηρῶν εὐλογημένος. Ἐκεῖνοι πάλιν ἔλεγον, ὅτι ὁ τῇ πίστει μόνῃ προσέχων, ἐπικατάρατος· οὗτος δὲ δείκνυσιν, ὅτι ὁ τῇ πίστει προσέχων μόνῃ, εὐλογημένος. Πῶς οὖν ταῦτα πάντα δείκνυσιν; οὐ γὰρ τὸ τυχὸν ἐπηγγειλάμεθα· διὸ χρὴ καὶ μετὰ ἀκριβείας προσέχειν τοῖς ἑξῆς. Ἔδειξε μὲν γὰρ καὶ ἔμπροσθεν τοῦτο εἰπών, ὅτι ἡ Γραφὴ εἶπε τῷ πατριάρχῃ, ὅτι ἐν σοὶ εὐλογηθήσονται πάντα τὰ ἔθνη· Τότε δὲ νόμος οὐκ ἦν, ἀλλὰ πίστις. Διὸ καὶ συλλογιζόμενος ἐπήγαγεν· «Ὥστε οἱ ἐκ πίστεως εὐλογοῦνται σὺν τῷ πιστῷ Ἀβραάμ».

4. Ἵνα δὲ μὴ τοῦτο εἰς ἀντίθεσιν λάβωσι, καὶ εἴπωσιν, εἰκότως ἀπὸ πίστεως ἐδικαιώθη· οὔπω γὰρ ἦν νόμος· σὺ δέ μοι δεῖξον μετὰ τὴν τοῦ νόμου θέσιν τὴν πίστιν δικαιοῦσαν· ἐπὶ τοῦτο ἔρχεται, καὶ πλέον ὧν ζητοῦσιν ἀποδείκνυσιν, οὐχὶ δικαιοῦσαν μόνον τὴν πίστιν, ἀλλὰ καὶ τὸν νόμον ἐπικαταράτους τοὺς χρωμένους αὐτῷ ποιοῦντα. Καὶ ἵνα ταῦτα μάθῃς, αὐτῶν ἄκουσον τῶν ἀποστολικῶν ῥημάτων. Ἵνα δὲ ταῦτά

10. Δευτ. 27, 26.
11. Γαλ. 3, 9.

ἐθνικοί. Καὶ δὲν εἶπεν, ἀπεκάλυψεν, ἀλλὰ «προανήγγειλε», διὰ νὰ καταλάβῃς ὅτι καὶ ὁ πατριάρχης εἰς αὐτὸν τὸν τρόπον τῆς δικαιώσεως ἔχαιρε, καὶ ἐπόθει πάρα πολὺ νὰ γίνῃ αὐτό. Ἐπειδὴ ὅμως συνεῖχεν αὐτοὺς καὶ ἄλλος φόβος, διότι ἔχει γραφῇ· «κατηραμένος θὰ εἶναι ὅποιος δὲν τηρεῖ τὰ ὑπὸ τοῦ παρόντος νόμου προβλεπόμενα»[10], διαλύει καὶ αὐτὸν τὸν φόβον, ὁδηγῶν αὐτὸν μὲ σοφίαν κα σύνεσιν εἰς τὸ ἀντίθετον, καὶ δεικνύων ὅτι, ὄχι μόνον δὲν εἶναι ἐπικατάρατοι οἱ ἐγκαταλείψαντες τὸν νόμον, ἀλλὰ καὶ εὐλογημένοι· ἐνῷ ἐκεῖνοι οἱ ὁποῖοι τὸν τηροῦν, ὄχι μόνον δὲν εἶναι εὐλογημένοι, ἀλλ' εἶναι καὶ κατηραμένοι.

Διότι, ἐκεῖνοι μὲν ἔλεγον, ὅτι ὅποιος δὲν τηρεῖ τὸν νόμον εἶναι κατηραμένος· αὐτὸς ὅμως ἀποδεικνύει, ὅτι ὅποιος τὸν τηρεῖ εἶναι ἐπικατάρατος, ἐνῷ ὅποιος δὲν τὸν τηρεῖ εὐλογημένος. Ἐκεῖνοι ἐπίσης ἔλεγον, ὅτι ὁ προσηλούμενος μόνον εἰς τὴν πίστιν, εἶναι ἐπικατάρατος· αὐτὸς δὲ ἀποδεικνύει, ὅτι ὁ προσηλούμενος μόνον εἰς τὴν πίστιν εἶναι εὐλογημένος. Πῶς λοιπὸν ἀποδεικνύει ὅλ' αὐτά; Διότι δὲν ὑπεσχέθημεν κάτι τυχαῖον· διὰ τοῦτο πρέπει καὶ μὲ ἀκρίβειαν νὰ προσέξωμεν εἰς τὰ ἑξῆς. Ἀπέδειξε μὲν βεβαίως καὶ εἰς τὴν ἀρχὴν αὐτόν, λέγων ὅτι ἡ Γραφὴ εἶπε εἰς τὸν πατριάρχην ὅτι διὰ σοῦ θὰ εὐλογηθοῦν ὅλα τὰ ἔθνη. Τότε ὅμως δὲν ὑπῆρχε νόμος, ἀλλὰ πίστις. Διὰ τοῦτο καὶ συνεχίζων τὸν συλλογισμόν, συνεπέρανε· «Ὥστε, ἐκεῖνοι οἱ ὁποῖοι εἶναι ἄνθρωποι πίστεως εὐλογοῦνται μαζὶ μὲ τὸν πιστὸν Ἀβραάμ»[11].

4. Διὰ νὰ μὴ λάβουν ὅμως τοῦτο ὡς ἀφορμὴν δι' ἀντίρρησιν καὶ εἴπουν· εὐλόγως ἐδικαιώθη ἀπὸ τὴν πίστιν, διότι δὲν ὑπῆρχεν ἀκόμη ὁ νόμος· σὺ δὲ ἀπόδειξε εἰς ἐμᾶς ὅτι ἡ πίστις δικαιώνει μετὰ τὴν παράδοσιν τοῦ νόμου, ἔρχεται εἰς αὐτό, καὶ ἀποδεικνύει περισσότερα ἀπὸ ὅσα ζητοῦν, δηλαδὴ ὄχι μόνον ὅτι ἡ πίστις δικαιώνει, ἀλλ' ὅτι καὶ ἐπικατάρατους καθιστᾷ ὁ νόμος ὅσους τὸν χρησιμοποιοῦν. Καὶ διὰ νὰ μάθῃς αὐτά, ἄκουσε τοὺς ἰδίους τοὺς ἀποστολικοὺς λό-

ἐστιν; «Ὅσοι γὰρ ἐξ ἔργων νόμου εἰσίν, ὑπὸ κατάραν εἰσίν». Ἀλλὰ τοῦτο ἀπόφασις, οὐδέπω τὴν ἀπόδειξιν ἔχουσα. Τίς οὖν ἡ ἀπόδειξις; Ἐξ αὐτοῦ τοῦ νόμου. «Ἐπικατάρατος γὰρ πᾶς, ὃς οὐκ ἐμμένει ἐν πᾶσι τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου, τοῦ ποιῆσαι αὐτά».

«Ὅτι δὲ ἐν νόμῳ οὐδεὶς δικαιοῦται, παντί που δῆλον». Πάντες γὰρ ἥμαρτον, καὶ ὑπὸ κατάραν εἰσίν. Ἀλλ' οὕτω μὲν οὐ λέγει, ἵνα μὴ δόξῃ αὐτὸς ἀποφαίνεσθαι, πάλιν δὲ ἀπὸ μαρτυρίας αὐτὸ συνίστησιν ἀμφότερα ἐχούσης ἐν βραχεῖ, καὶ ὅτι νόμον οὐδεὶς ἐπλήρωσε· διὸ καὶ ἐπικατάρατοι ἦσαν· καὶ ὅτι ἡ πίστις δικαιοῖ. Τίς οὖν ἡ μαρτυρία; Ἀπὸ τοῦ προφήτου Ἀμβακοὺμ οὕτω λέγοντος· «Ὁ δὲ δίκαιος ἐκ πίστεως ζήσεται». Τοῦτο γὰρ οὐ τὴν ἐκ πίστεως δείκνυσι δικαιοσύνην μόνον, ἀλλ' ὅτι καὶ διὰ νόμου σωθῆναι οὐκ ἔνι. Ἐπειδὴ γὰρ νόμον, φησίν, οὐδεὶς ἐτήρησεν, ἀλλὰ πάντες ἦσαν ὑπὸ τὴν ἀρὰν διὰ τὴν παράβασιν, ἐπενοήθη ῥᾳδία τις ὁδός, ἡ ἀπὸ τῆς πίστεως· ὅπερ καὶ σημεῖον μέγιστόν ἐστι τοῦ μηδένα δυνηθῆναι δικαιωθῆναι ἐκ τοῦ νόμου. Οὐ γὰρ εἶπεν ὁ προφήτης, 'ὁ δὲ δίκαιος ἐκ νόμου ζήσεται', ἀλλ', «ἐκ πίστεως». «Ὁ δὲ νόμος οὐκ ἔστιν ἐκ πίστεως, ἀλλ' ὁ ποιήσας αὐτὰ ζήσεται ἐν αὐτοῖς». Οὐ γὰρ πίστιν ἐπιζητεῖ μόνον ὁ νόμος, φησίν, ἀλλὰ καὶ ἔργα· ἡ δὲ χάρις ἀπὸ πίστεως σώζει καὶ δικαιοῖ.

Εἶδες πῶς ἔδειξεν, ὅτι οἱ τῷ νόμῳ προσέχοντες, διὰ τὸ ἀδύνατον εἶναι πληρωθῆναι, ὑπὸ κατάραν ἐγένοντο; Πῶς δὲ καὶ ἡ πίστις ταύτην ἔχει τὴν ἰσχὺν τὴν τοῦ δικαιοῦν; Ταῦτα γὰρ ἔμπροσθεν ἐπηγγείλατο, καὶ μετὰ πολλῆς αὐτὰ παρέστησε τῆς ἰσχύος. Ἐπειδὴ γὰρ ἠσθένει πρὸς δικαιοσύ-

---

12. Γαλ. 3, 10.
13. Γαλ. 3, 11.
14. Γαλ. 3, 12.

γους. Ποῖοι δὲ εἶναι αὐτοί; «Ὅσοι στηρίζονται εἰς τὰ ἔργα τοῦ νόμου, αὐτοὶ εἶναι ὑπὸ κατάραν»[12]. Ἀλλ' αὐτὸ εἶναι ἄρνησις, ἡ ὁποία καθόλου δὲν περιέχει τὴν ἀπόδειξιν. Ποία λοιπὸν ἡ ἀπόδειξις; Ἀπὸ αὐτὸν τὸν ἴδιον τὸν νόμον. Διότι «κατηραμένος θὰ εἶναι ὅποιος δὲν τηρεῖ τὰ ὑπὸ τοῦ παρόντος νόμου προβλεπόμενα».

«Ὅτι δὲ διὰ τοῦ νόμου κανεὶς δὲν δικαιώνεται ἀπὸ τὸν Θεόν, εἶναι φανερὸν ἀπὸ παντοῦ»[13]. Διότι ὅλοι ἡμάρτησαν καὶ εὑρίσκοντο ὑπὸ κατάραν. Δὲν λέγει ὅμως ἔτσι, διὰ νὰ μὴ φανῇ ὅτι αὐτὸς ἀποφαίνεται, ἀλλὰ πάλιν εἰς μαρτυρίαν θεμελιώνει αὐτό, ἡ ὁποία περιέχει καὶ τὰ δύο ἐν συντομίᾳ, δηλαδὴ καὶ ὅτι οὐδεὶς ἐτήρησε τὸν νόμον καθ' ὁλοκληρίαν, διὰ τοῦτο ἦσαν ἐπικατάρατοι, καὶ ὅτι ἡ πίστις δικαιώνει. Ποία λοιπὸν ἡ μαρτυρία; Ἀπὸ τὸν προφήτην Ἀββακούμ, ὁ ὁποῖος λέγει· «Ἐκεῖνος ὁ ὁποῖος δικαιώνεται διὰ τῆς πίστεως θὰ ζήσῃ»[14]. Αὐτὸ λοιπὸν δὲν δείχνει ὅτι δικαιώνεται κανεὶς μόνον διὰ τῆς πίστεως, ἀλλ' ὅτι καὶ δὲν εἶναι δυνατὸν νὰ σωθῇ κανεὶς διὰ τοῦ νόμου. Διότι, λέγει, ἐπειδὴ κανεὶς δὲν ἐτήρησε τὸν νόμον, ἀλλ' ὅλοι ἦσαν ὑπὸ τὴν ἐξουσίαν τῆς κατάρας ἐξ αἰτίας τῆς παραβάσεως, ἐπενοήθη κάποια εὔκολος ὁδός, ἡ δικαίωσις διὰ τῆς πίστεως, πρᾶγμα ποὺ ἀποτελεῖ μεγίστην ἀπόδειξιν ὅτι κανεὶς δὲν ἠμποροῦσε νὰ δικαιωθῇ διὰ τοῦ νόμου. Διότι δὲν εἶπεν ὁ προφήτης, 'ὁ δὲ δίκαιος θὰ ζήσῃ διὰ τοῦ νόμου', ἀλλ' «ἐκ πίστεως». «Ὁ νόμος ὅμως δὲν στηρίζεται εἰς τὴν πίστιν, ἀλλὰ λέγει· Ἐκεῖνος ὁ ὁποῖος θὰ ἐκτελέσῃ αὐτά, θὰ ζήσῃ διὰ τῆς ἐκτελέσεως αὐτῶν»[14]· Διότι ὁ νόμος δὲν ζητεῖ μόνον πίστιν, λέγει, ἀλλὰ καὶ ἔργα· ἐνῷ ἡ χάρις σώζει καὶ δικαιώνει ἀπὸ τὴν πίστιν.

Εἶδες πῶς ἀπέδειξεν ὅτι οἱ προσηλούμενοι εἰς τὸν νόμον, ἐξ αἰτίας τοῦ ὅτι εἶναι ἀδύνατον νὰ τηρηθῇ ὁλοκληρωτικῶς, ἐτέθησαν ὑπὸ κατάραν; Πῶς ὅμως ἡ πίστις ἔχει αὐτὴν τὴν δύναμιν, δηλαδὴ τοῦ νὰ δικαιώνῃ; Ἀλλ' αὐτὰ ὑπεσχέθη εἰς τὴν ἀρχήν, καὶ μὲ πολλὴν δύναμιν παρέστησεν αὐτά. Ἐπειδὴ λοιπὸν δὲν ἠδύνατο ὁ νόμος νὰ ὁδηγήσῃ τὸν

νην ὁ νόμος τὸν ἄνδρα ἀγαγεῖν, εὑρέθη φάρμακον οὐ μικρὸν ἡ πίστις, τὸ ἀδύνατον τοῦ νόμου ποιοῦσα δυνατὸν δι' αὐτῆς. Εἰ τοίνυν καὶ ἡ Γραφὴ λέγει, ὅτι ὁ δίκαιος ἐκ πίστεως ζήσεται, ἀπογινώσκουσα τὴν διὰ τοῦ νόμου σωτηρίαν, καὶ ὁ Ἀβραὰμ ἐκ πίστεως ἐδικαιώθη, δῆλον ὅτι τῆς πίστεως πολλὴ ἡ ἰσχύς. Ἀλλ' ὅτι μὲν ὁ μὴ ἐμμένων τῷ νόμῳ ἐπικατάρατος, καὶ ὅτι ὁ τῇ πίστει προσέχων δίκαιος, δῆλον· ὅτι δὲ οὐχ ἕστηκεν ἔτι ἐκείνη ἡ κατάρα, πόθεν ἔχεις ἀποδεῖξαι ἡμῖν, φησίν; Ὁ μὲν γὰρ Ἀβραὰμ πρὸ τοῦ νόμου ἦν· ἡμεῖς δὲ ἅπαξ ὑπὸ τὸν ζυγὸν γενόμενοι τῆς δουλείας, ὑπευθύνους ἑαυτοὺς κατεστήσαμεν τῇ κατάρᾳ.

Τίς οὖν ὁ τὴν κατάραν λύσας ἐκείνην; Πρὸς τοῦτο ὅρα πῶς ἀπαντᾷ ταχέως. Ἱκανὰ μὲν γὰρ καὶ τὰ εἰρημένα· ὁ γὰρ δικαιωθεὶς ἅπαξ, καὶ ἀποθανὼν τῷ νόμῳ, καὶ ζωῆς ἐπιλαβόμενος ξένης, πῶς ἂν ὑπεύθυνος εἴη τῇ ἀρᾷ; Πλὴν ἀλλ' οὐκ ἀρκεῖται τούτοις, ἀλλὰ καὶ ἑτέρως ἀγωνίζεται, γράφων· «Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα· γέγραπται γάρ, ἐπικατάρατος πᾶς ὁ κρεμάμενος ἐπὶ ξύλου». Καὶ μὴν ἑτέρᾳ κατάρᾳ ὁ λαὸς ὑπεύθυνος ἦν τῇ λεγούσῃ, «Ἐπικατάρατος πᾶς, ὃς οὐκ ἐμμένει ἐν τοῖς γεγραμμένοις ἐν τῷ βιβλίῳ τοῦ νόμου». Καὶ τί τοῦτο; Ὁ μὲν γὰρ λαὸς ὑπεύθυνος ἦν· οὐ γὰρ ἀνέμεινεν, οὐδὲ ἦν τις ὁ πεπληρωκὼς τὸν νόμον ἅπαντα· ὁ δὲ Χριστὸς ἑτέραν κατάραν ταύτης ἠλλάξατο τὴν λέγουσαν, «Ἐπικατάρατος ὁ κρεμάμενος ἐπὶ ξύλου».

Ἐπεὶ οὖν καὶ ὁ κρεμάμενος ἐπικατάρατος, καὶ ὁ τὸν νόμον παραβαίνων ἐπικατάρατος, μέλλοντα δὲ ἐκείνην λύειν τὴν κατάραν ὑπεύθυνον οὐκ ἔδει γενέσθαι αὐτῇ, ἔδει δὲ δέ-

---

15. Γαλ. 3, 13.
16. Δευτερ. 27, 26.

ἄνθρωπον, εὑρέθη ὡς φάρμακον ὄχι μικρὸν ἡ πίστις, ἡ ὁποία, ὅ,τι εἶναι ἀδύνατον διὰ τὸν νόμον, καθιστᾷ δυνατὸν δι' αὐτῆς. Ἐὰν λοιπὸν καὶ ἡ Γραφὴ λέγῃ, ὅτι ἐκεῖνος ὁ ὁποῖος δικαιώνεται θὰ ζήσῃ διὰ τῆς πίστεως, μὴ ἐλπίζουσα εἰς τὴν ὑπὸ τοῦ νόμου σωτηρίαν, καὶ ὁ Ἀβραὰμ ἐδικαιώθη ἀπὸ τὴν πίστιν, εἶναι φανερὸν ὅτι ἡ δύναμις τῆς πίστεως εἶναι μεγάλη. Ἀλλὰ τὸ ὅτι μὲν ὁ ἐπιμένων εἰς τὸν νόμον εἶναι ἐπικατάρατος, καὶ ὅτι ὁ προσηλούμενος εἰς τὴν πίστιν δεδικαιωμένος, εἶναι φανερόν· διὰ τὸ ὅτι ὅμως δὲν ἰσχύει ἐκείνη ἡ κατάρα, ἀπὸ ποῦ δύνασαι, λέγει, νὰ τὸ ἀποδείξῃς εἰς ἐμᾶς; Ὁ μὲν Ἀβραάμ, λοιπόν, ἔζησε πρὶν ἀπὸ τὸν νόμον· ἐμεῖς ὅμως ἅπαξ καὶ ἐτέθημεν ὑπὸ τὸν ζυγὸν τῆς δουλείας, κατέστημεν ὑπεύθυνοι τῆς κατάρας.

Ποῖος εἶναι λοιπὸν αὐτὸς ὁ ὁποῖος κατέλυσεν ἐκείνην τὴν κατάραν; Πρόσεξε πῶς ἀπαντᾷ ἀμέσως εἰς τοῦτο. Εἶναι ἀρκετὰ βεβαίως πρὸς ἀπάντησιν καὶ τὰ ὅσα ἤδη ἐλέχθησαν· διότι ὅποιος ἅπαξ ἐδικαιώθη, καὶ ἀπέθανεν ὡς πρὸς τὸν νόμον, καὶ ἔλαβε ξένην ζωήν, πῶς θὰ ἦτο ὑπεύθυνος τῆς κατάρας; Ἀλλ' ὅμως δὲν ἀρκεῖται εἰς αὐτά, ἀλλὰ καὶ μὲ ἄλλον τρόπον προσπαθεῖ ν' ἀπαντήσῃ, γράφων· «ὁ Χριστὸς μᾶς ἐξηγόρασεν ἀπὸ τὴν κατάραν τοῦ νόμου, ἀφοῦ ἔγινε πρὸς χάριν μας κατάρα· διότι εἶναι γραμμένον· κατηραμένος εἶναι ὅποιος κρεμᾶται ἐπὶ ξύλου»[15]. Ἀλλ' ὅμως ἄλλης κατάρας ἦτο ὑπεύθυνος ὁ λαός, δηλαδὴ τῆς λεγούσης· «Κατηραμένος θὰ εἶναι ὅποιος δὲν τηρεῖ τὰ ὑπὸ τοῦ παρόντος νόμου προβλεπόμενα»[16]. Καὶ τί σημασίαν ἔχει αὐτό; Ὁ μὲν λαὸς βεβαίως ἦτο ὑπεύθυνος· διότι δὲν ἐτήρησεν, οὔτε ὑπῆρξε κανεὶς ποὺ νὰ ἐξεπλήρωσε ὁλόκληρον τὸν νόμον· ὁ δὲ Χριστὸς μὲ ἄλλην κατάραν ἤλλαξεν αὐτήν, δηλαδὴ μὲ τὴν λέγουσαν· «Κατηραμένος εἶναι ὅποιος κρεμᾶται εἰς τὸ ξύλον».

Ἐπειδὴ λοιπὸν εἶναι ἐπικατάρατος καὶ ὅποιος κρεμᾶται εἰς τὸ ξύλον, καὶ ὅποιος παραβαίνει τὸν νόμον, καὶ ἐφ' ὅσον ἐπρόκειτο νὰ λύσῃ ἐκείνην τὴν κατάραν, δὲν ἔπρεπε νὰ γί-

ξασθαι κατάραν, ἀντ' ἐκείνης ταύτην ἐδέξατο, καὶ δι' αὐτῆς ἐκείνην ἔλυσε. Καὶ καθάπερ τινὸς καταδικασθέντος ἀποθανεῖν ἕτερος ἀνεύθυνος ἑλόμενος ἀποθανεῖν ὑπὲρ ἐκείνου, ἐξαρπάζει τῆς τιμωρίας αὐτόν· οὕτω καὶ ὁ Χριστὸς ἐποίησεν. Ἐπειδὴ γὰρ οὐχ ὑπέκειτο κατάρᾳ τῇ τῆς παραβάσεως, ἀνεδέξατο ὁ Χριστὸς ἀντ' ἐκείνης ταύτην, ἵνα λύσῃ τὴν ἐκείνων. «Ἁμαρτίαν γὰρ οὐκ ἐποίησεν, οὐδὲ δόλος εὑρέθη ἐν τῷ στόματι αὐτοῦ». Ὥσπερ οὖν ἀποθανὼν τοὺς ἀποθνήσκειν μέλλοντας ἐξείλετο θανάτου, οὕτω καὶ κατάραν δεξάμενος, τῆς κατάρας ἀπήλλαξεν.

«Ἵνα εἰς τὰ ἔθνη ἡ εὐλογία τοῦ Ἀβραὰμ γένηται». Πῶς εἰς τὰ ἔθνη; «Ἐν τῷ σπέρματί σου», φησίν, «εὐλογηθήσονται πάντα τὰ ἔθνη», τουτέστιν, ἐν τῷ Χριστῷ. Εἰ δὲ περὶ Ἰουδαίων τοῦτο ἐλέγετο, πῶς ἂν ἔχοι λόγον τοὺς ὑπευθύνους ὄντας τῇ κατάρᾳ διὰ τὴν παράβασιν, τούτους ἑτέροις εὐλογίας αἰτίους γενέσθαι; Οὐδεὶς γὰρ τῶν κατηραμένων ἑτέρῳ μεταδίδωσιν εὐλογίας, ἧς αὐτὸς ἀπεστέρηται. Ὅθεν δῆλον ὅτι περὶ τοῦ Χριστοῦ τὸ πᾶν εἴρηται· αὐτὸς γὰρ ἦν σπέρμα τοῦ Ἀβραάμ, καὶ δι' αὐτοῦ τὰ ἔθνη εὐλόγηνται, καὶ οὕτω πρόσεισιν ἡ τοῦ Πνεύματος ἐπαγγελία· ὅπερ καὶ αὐτὸ δηλῶν ἔλεγεν· «Ἵνα τὴν ἐπαγγελίαν τοῦ Πνεύματος λάβωσι διὰ τῆς πίστεως». Ἐπειδὴ γὰρ οὐκ ἦν τὴν χάριν τοῦ Πνεύματος εἰς ἀχάριστον καὶ προσκεκρουκότα ἐλθεῖν, εὐλογοῦνται πρῶτον τῆς κατάρας ἀφαιρεθείσης· εἶτα διὰ τῆς πίστεως δικαιωθέντες, ἐπισπῶνται τοῦ Πνεύματος τὴν χάριν. Ὥστε ὁ μὲν σταυρὸς τὴν κατάραν ἔλυσεν· ἡ δὲ πίστις τὴν δικαιοσύνην εἰσήγαγεν· ἡ δὲ δικαιοσύνη τὴν χάριν τοῦ Πνεύματος ἐπεσπάσατο.

5. *«Ἀδελφοί, κατὰ ἄνθρωπον λέγω, ὅμως ἀνθρώπου προκεκυρωμένην διαθήκην οὐδεὶς ἀθετεῖ, ἢ ἐπιδιατάσσεται». Τί*

---

17. Ἡσαΐας 53, 9.
18. Γαλ. 3, 14.
19. Γεν. 22, 18.

νῃ ὑπεύθυνος αὐτῆς, ἔπρεπεν ὅμως νὰ δεχθῇ κατάραν, ἀντὶ ἐκείνης αὐτὴν ἐδέχθη, καὶ δι' αὐτῆς ἔλυσεν ἐκείνην. Καὶ ὅπως ἀκριβῶς κάποιον ὁ ὁποῖος κατεδικάσθη εἰς θάνατον, ἐφαρπάζει ἀπὸ αὐτὴν τὴν τιμωρίαν ἄλλος, ὁ ὁποῖος, ἐνῷ εἶναι ἀθῶος, προτιμᾷ ν' ἀποθάνῃ ἀντὶ ἐκείνου, ἔτσι ἔκανε καὶ ὁ Χριστός. Ἐπειδὴ δηλαδὴ δὲν ὑπέκειτο εἰς τὴν κατάραν τῆς παραβάσεως τοῦ νόμου, ἐδέχθη ἀντὶ αὐτῆς τῆς κατάρας, τὴν κατάραν τοῦ σταυροῦ, ὥστε δι' αὐτῆς νὰ λύσῃ ἐκείνην. «Κατεσκεύασαν τὸν τάφον αὐτοῦ μετὰ τῶν ἀσεβῶν, ἂν καὶ δὲν ἔπραξεν ἀνομίαν, οὔτε εὑρέθη δόλος εἰς τὸ στόμα του»[17]. Ὅπως ἀκριβῶς λοιπὸν μὲ τὸν θάνατόν του ἠλευθέρωσεν ἀπὸ τὸν θάνατον τοὺς μελλοθανάτους, ἔτσι καί, ἀφοῦ ἐδέχθη κατάραν, ἀπήλλαξεν ἀπὸ τὴν κατάραν.

«Διὰ νὰ ἔλθῃ ἡ εὐλογία τοῦ Ἀβραὰμ εἰς τὰ ἔθνη»[18]. Πῶς εἰς τὰ ἔθνη; «Δι' ἑνὸς ἐκ τῶν ἀπογόνων σου», λέγει, «θὰ εὐλογηθοῦν ὅλοι οἱ λαοὶ τῆς γῆς»[19]. Δηλαδὴ ἐν τῷ Χριστῷ. Διότι ἐὰν αὐτὸ ἐλέχθη διὰ τοὺς Ἰουδαίους, πῶς θὰ ἦτο λογικὸν νὰ γίνουν αἴτιοι εὐλογίας δι' ἄλλους αὐτοὶ οἱ ὁποῖοι ἦσαν ὑπεύθυνοι τῆς κατάρας διὰ τὴν παράβασιν; Διότι οὐδεὶς κατηραμένος μεταδίδει εὐλογίαν τὴν ὁποίαν ὁ ἴδιος ἔχει στερηθῇ. Εἶναι φανερὸν λοιπὸν ὅτι διὰ τὸν Χριστὸν ἐλέχθησαν ὅλα· διότι αὐτὸς ἦτο ἀπόγονος τοῦ Ἀβραάμ, καὶ δι' αὐτοῦ εὐλογήθησαν τὰ ἔθνη καὶ ἔτσι ἐξεπληρώθη ἡ ὑπόσχεσις τοῦ Πνεύματος· πρᾶγμα τὸ ὁποῖον καὶ ὁ ἴδιος δηλῶν, ἔλεγεν· «Ὥστε ὅ,τι ἐπηγγέλθη τὸ Πνεῦμα, νὰ τὸ λάβουν διὰ τῆς πίστεως». Διότι ἐπειδὴ δὲν ἦτο δυνατὸν νὰ ἔλθῃ ἡ χάρις τοῦ Πνεύματος εἰς ἀχάριστον καὶ ἐχθρόν, εὐλογοῦνται πρῶτον, ἀφοῦ ἀφῃρέθη ἡ κατάρα· ὕστερον, ἀφοῦ ἐδικαιώθησαν διὰ τῆς πίστεως, προσελκύουν τὴν χάριν τοῦ ἁγίου Πνεύματος. Ὥστε, ὁ μὲν σταυρὸς ἔλυσε τὴν κατάραν· ἡ δὲ πίστις εἰσήγαγε τὴν δικαίωσιν· ἡ δὲ δικαίωσις προσείλκυσε τὴν χάριν τοῦ ἁγίου Πνεύματος.

5. «Ἀδελφοί, θὰ σᾶς ὁμιλήσω μὲ ἕνα ἀνθρώπινον παράδειγμα. Μίαν ἐπικυρωμένην διαθήκην ἑνὸς ἀνθρώπου,

ἐστι, «κατὰ ἄνθρωπον λέγω»; Ἐξ ἀνθρωπίνων παραδειγμάτων. Ἐπειδὴ γὰρ καὶ ἀπὸ Γραφῶν, καὶ ἀπὸ τῶν παρ᾽ αὐτοῖς γινομένων θαυμάτων, καὶ ἀφ᾽ ὧν ὁ Χριστὸς ἔπαθε, τὸν λόγον συνέστησε, καὶ ἀπὸ τοῦ πατριάρχου, καὶ εἰς τὴν κοινὴν λοιπὸν ἐκβαίνει συνήθειαν. Ἔθος γὰρ αὐτῷ ἀεὶ τοῦτο ποιεῖν, ὥστε καὶ καταγλυκαίνειν τὸν λόγον, καὶ εὐπαράδεκτόν τε καὶ εὐμαθέστερον τοῖς παχυτέροις ποιεῖν. Οὕτω καὶ Κορινθίοις διαλεγόμενος, φησί· «Τίς ποιμαίνει ποίμνην, καὶ ἐκ τοῦ γάλακτος αὐτῆς οὐκ ἐσθίει; τίς φυτεύει ἀμπελῶνα, καὶ ἐκ τοῦ καρποῦ αὐτοῦ οὐκ ἐσθίει;». Καὶ Ἑβραίοις πάλιν, «Διαθήκη γὰρ ἐπὶ νεκροῖς βεβαία· ἐπεὶ μήποτε ἰσχύει, ὅτε ζῇ ὁ διαθέμενος».

Καὶ πολλαχοῦ δὲ ἄν τις εὕροι τούτοις αὐτὸν ἐμφιλοχωροῦντα τοῖς λογισμοῖς. Καὶ γὰρ ὁ Θεὸς ἐν τῇ Παλαιᾷ συνεχῶς αὐτὸ ποιεῖ, οὕτω λέγων· «Μὴ ἐπιλήσεται γυνὴ τοῦ παιδίου αὐτῆς;»· καὶ πάλιν, «Μὴ ἐρεῖ τὸ πλάσμα τῷ κεραμεῖ, τί ποιεῖς;». Καὶ ἐν τῷ Ὠσηὲ ἄνδρα μιμεῖται καταφρονούμενον ὑπὸ γυναικός. Καὶ ἐν τοῖς τύποις δὲ πολὺ τὸ τῶν ἀνθρωπίνων παραδειγμάτων ἴδοι τις ἄν, ὡς ὅταν τὸ περίζωμα ὁ προφήτης λαμβάνῃ, καὶ εἰς τὸν οἰκίσκον τοῦ κεραμέως κατίῃ. Τί οὖν αὐτῷ τὸ ὑπόδειγμα βούλεται; Ὅτι ἡ μὲν πίστις ἀρχαιοτέρα ἦν, ὁ δὲ νόμος νεώτερός τε καὶ πρόσκαιρος, καὶ διὰ τοῦτο δεδομένος, ἵνα προοδοποιήσῃ τῇ πίστει. Διό φησιν· «Ἀδελφοί, κατὰ ἄνθρωπον λέγω». Ἀνωτέρω ἀνοήτους εἰπών, ἐνταῦθα ἀδελφοὺς καλεῖ, ἐπιστύφων τε ὁμοῦ, καὶ παραμυθούμενος.

«Ὅμως ἀνθρώπου προκεκυρωμένην διαθήκην». Ἐὰν ἄνθρωπος, φησί, διάθηται, μὴ τολμᾷ τις ἀνατρέψαι μετὰ ταῦτα ἐλθών, ἢ προσθεῖναί τι· τοῦτο γάρ ἐστιν, «ἢ ἐπιδια-

20. Γαλ. 3, 15.
21. Α΄ Κορ. 9, 7.
22. Ἑβρ. 9, 17.
23. Ἠσ. 49, 15. 29, 16.
24. Ὠσηὲ 3. 16.
25. Ἱερεμ. 13, 1. 18, 2.

οὐδεὶς δύναται ν' ἀκυρώσῃ ἢ νὰ προσθέσῃ κάτι εἰς αὐτήν»[20]. Ἀπὸ ἀνθρώπινα παραδείγματα. Διότι, ἐπειδὴ καὶ ἀπὸ τὰς Γραφάς, καὶ ἀπὸ τὰ θαύματα τὰ ὁποῖα ἔγιναν ὑπ' αὐτοῦ καὶ ἀπὸ ὅσα ἔπαθεν ὁ Χριστὸς συνέθεσε τὸν λόγον, καὶ ἀπὸ τὸν πατριάρχην, κάνει παρέκβασιν λοιπὸν ἀπὸ τὸν λόγον καὶ ἔρχεται εἰς τὴν κοινὴν συνήθειαν. Διότι ἦτο συνήθεια εἰς αὐτὸν νὰ κάμνῃ τοῦτο πάντοτε, ὥστε νὰ καθιστᾷ τὸν λόγον καὶ γλυκύτερον, καὶ εὐπαράδεκτον καὶ περισσότερον εὔληπτον διὰ τοὺς πνευματικὰ ἀτελεῖς. Ἔτσι καὶ ὅταν ὁμιλῇ εἰς τοὺς Κορινθίους, λέγει· «Ποῖος βόσκει ποίμνιον καὶ δὲν τρώγει ἀπὸ τὸ γάλα του; Ποῖος φυτεύει ἀμπέλι καὶ δὲν τρώγει ἀπὸ τὸν καρπόν του;»[21]. Καὶ εἰς τοὺς Ἑβραίους ἐπίσης· «Μία διαθήκη ἰσχύει μόνον μετὰ θάνατον· δὲν ἔχει ποτὲ ἰσχὺν ἐνόσῳ ζῇ ὁ διαθέτης».

Καὶ εἰς πολλὰ ἄλλα σημεῖα θὰ εὕρῃ κανεὶς αὐτὸν νὰ ἐνδιατρίβῃ εὐχαρίστως εἰς αὐτοὺς τοὺς λογισμούς. Ἀλλὰ καὶ ὁ Θεὸς εἰς τὴν παλαιὰν Διαθήκην συνεχῶς κάνει αὐτό, λέγων· «Εἶναι δυνατὸν γυνὴ νὰ λησμονήσῃ τὸ θηλάζον βρέφος αὐτῆς;»[22]· καὶ πάλιν· «Μήπως θὰ εἴπῃ τὸ ποίημα διὰ τὸν δημιουργόν του 'διατί μὲ ἐδημιούργησες';»[23]. Καὶ εἰς τὸν Ὠσηὲ μιμεῖται ἄνδρα, ὁ ὁποῖος περιφρονεῖται ἀπὸ γυναῖκα[24]. Ἀλλὰ καὶ εἰς τὰς προτυπώσεις πολλὰ ἀπὸ τὰ ἀνθρώπινα παραδείγματα θὰ ἴδῃ κανείς, ὅπως ὅταν ὁ προφήτης λαμβάνῃ τὴν ζώνην καὶ κατέρχεται εἰς τὸν οἰκίσκον τοῦ κεραμέως[25]. Τί λοιπὸν θέλει νὰ εἴπῃ μὲ αὐτὸ τὸ παράδειγμα; Ὅτι ἡ μὲν πίστις ἦτο ἀρχαιοτέρα, ὁ δὲ νόμος καὶ νεώτερος καὶ προσωρινός, καὶ διὰ τοῦτο εἶχε δοθῇ, διὰ νὰ προετοιμάσῃ τὴν ὁδὸν τῆς πίστεως. Διὰ τοῦτο λέγει· «Ἀδελφοὶ θὰ σᾶς ὁμιλήσω μὲ ἀνθρώπινον παράδειγμα». Ἐνῷ ἀνωτέρω τοὺς εἶπεν ἀνοήτους, ἐδῶ τοὺς ὀνομάζει ἀδελφούς, ὀνειδίζων καὶ συγχρόνως παρηγορῶν αὐτούς.

«Μίαν ἐπικυρωμένην διαθήκην ἑνὸς ἀνθρώπου». Ἐὰν κάποιος ἄνθρωπος, λέγει, ἀφήσῃ διαθήκην, μήπως τολμᾷ κανείς, ἀφοῦ ἔλθῃ μετὰ ἀπὸ αὐτά, νὰ τὴν ἀκυρώσῃ ἢ

τάσσεται». Οὐκοῦν πολλῷ μᾶλλον ἐπὶ τοῦ Θεοῦ. Καὶ πρὸς τίνα διέθετο ὁ Θεός; «Τῷ Ἀβραάμ», φησίν, «ἐρρήθησαν αἱ ἐπαγγελίαι, καὶ τῷ σπέρματι αὐτοῦ. Οὐ λέγει, καὶ τοῖς σπέρμασιν αὐτοῦ, ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνός, καὶ τῷ σπέρματί σου, ὅς ἐστι Χριστός. Τοῦτο δὲ λέγω, διαθήκην προκεκυρωμένην ὑπὸ τοῦ Θεοῦ εἰς Χριστόν, ὁ μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη γεγονὼς νόμος οὐκ ἀκυροῖ, εἰς τὸ καταργῆσαι τὴν ἐπαγγελίαν. Εἰ γὰρ ἐκ νόμου ἡ κληρονομία, οὐκέτι ἐξ ἐπαγγελίας· τῷ δὲ Ἀβραὰμ δι' ἐπαγγελίας κεχάρισται ὁ Θεός».

Ἰδοὺ τοίνυν καὶ ὁ Θεὸς διέθετο τῷ Ἀβραὰμ διαλεγόμενος, εἰς τὰ ἔθνη ἐν τῷ σπέρματι αὐτοῦ ἥξειν τὰς εὐλογίας· πῶς οὖν ὁ νόμος ἀνατρέψαι δύναται ταύτας; Ἐπειδὴ δὲ τὸ παράδειγμα ἅπαν οὐκ ἴσχυσεν ἑλκύσαι πρὸς τὸ ὑποκείμενον, καὶ διὰ τοῦτο προεῖπε, «κατὰ ἄνθρωπον λέγω». Μηδὲν ἀπὸ τοῦ παραδείγματος εἰς τὴν τοῦ Θεοῦ μεγαλοπρέπειαν βλαβῇς. Σκόπει δὲ ἄνωθεν τὸ ὑπόδειγμα. Ἐπηγγείλατο τῷ Ἀβραὰμ διὰ τοῦ σπέρματος αὐτοῦ εὐλογεῖσθαι τὰ ἔθνη· σπέρμα δὲ αὐτοῦ κατὰ σάρκα ἐστὶν ὁ Χριστός. Ἦλθε μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη ὁ νόμος. Εἰ τοίνυν ὁ νόμος χαρίζεται τὰς εὐλογίας, καὶ τὴν ζωὴν καὶ τὴν δικαιοσύνην, ἡ ἐπαγγελία ἐκείνη ἄκυρός ἐστιν. Εἶτα ἀνθρώπου μὲν οὐδεὶς ἀκυροῖ διαθήκην, τοῦ δὲ Θεοῦ μετὰ τετρακόσια καὶ τριάκοντα ἔτη ἀκυροῦται ἡ διαθήκη; Εἰ γὰρ ἃ ἐπηγγείλατο ἐκείνη, οὐκ ἐκείνη δίδωσιν, ἀλλ' ἕτερος ἀντ' ἐκείνης, ἐκβέβληται ἐκείνη. Καὶ πῶς ἂν ἔχοι ταῦτα λόγον;

Τίνος οὖν ἕνεκεν τὸν νόμον ἔδωκε, φησί; Τῶν παραβάσεων χάριν». Οὐδὲ γὰρ οὗτός ἐστι περιττός. Ὁρᾷς πῶς

---

26. Γαλ. 3. 16-18.
27. Γαλ. 3 19.

νὰ προσθέσῃ κάτι εἰς αὐτήν; Διότι αὐτὸ σημαίνει τὸ «ἢ νὰ προσθέσῃ κάτι». Λοιπόν, πολὺ περισσότερον προκειμένου διὰ τὸν Θεόν. Καὶ πρὸς ποῖον παρέδωσε διαθήκην ὁ Θεός; «Εἰς τὴν περίπτωσιν τοῦ Ἀβραάμ, αἱ ὑποσχέσεις ἐγένοντο εἰς αὐτὸν καὶ εἰς τὸν ἀπόγονόν του. Δὲν λέγει· «καὶ εἰς τοὺς ἀπογόνους», ὡσὰν νὰ ἐπρόκειτο περὶ πολλῶν, ἀλλὰ περὶ ἑνός· «καὶ εἰς τὸν ἀπόγονόν σου», ὁ ὁποῖος εἶναι ὁ Χριστός. Ἐννοῶ δὲ τὸ ἑξῆς· Ὁ νόμος ὁ ὁποῖος ἦλθε μετὰ τετρακόσια τριάκοντα ἔτη, δὲν δύναται ν' ἀκυρώσῃ μίαν διαθήκην, ἡ ὁποία εἶχεν ἐπικυρωθῆ προηγουμένως ἀπὸ τὸν Θεὸν καὶ ἀναφέρεται εἰς τὸν Χριστόν, ὥστε νὰ καταργήσῃ τὴν ὑπόσχεσιν. Διότι ἐὰν ἡ κληρονομία βασίζεται εἰς τὴν τήρησιν τοῦ νόμου, τότε δὲν δίδεται βάσει ὑποσχέσεως. Εἰς τὸν Ἀβραὰμ ὅμως ὁ Θεὸς τὴν ἐχάρισε δι' ὑποσχέσεως»[26].

Ἰδοὺ λοιπὸν καὶ ὁ Θεὸς παρέδωσε διαθήκην ὁμιλῶν εἰς τὸν Ἀβραάμ, ὥστε νὰ φθάσουν εἰς τοὺς ἐθνικοὺς διὰ τοῦ ἀπογόνου του αἱ εὐλογίαι· πῶς λοιπὸν δύναται ὁ νόμος ν' ἀκυρώσῃ αὐτάς; Ἐπειδὴ ὅμως τὸ παράδειγμα δὲν εἶχε τὴν δύναμιν νὰ προσελκύσῃ ὁλοκληρωτικῶς πρὸς τὸ ἐν λόγῳ θέμα, διὰ τοῦτο καὶ εἶπεν ἀπὸ πρὶν «θὰ σᾶς ὁμιλήσω μὲ ἀνθρώπινον παράδειγμα». Καθόλου νὰ μὴ ζημιωθῇς διὰ τὴν μεγαλοπρέπειαν τοῦ Θεοῦ. Παρατήρησε δὲ ἄνωθεν τὸ παράδειγμα. Ὑπεσχέθη εἰς τὸν Ἀβραὰμ ὅτι διὰ τοῦ ἀπογόνου του θὰ εὐλογηθοῦν τὰ ἔθνη· ἀπόγονος δὲ αὐτοῦ κατὰ σάρκα εἶναι ὁ Χριστός. Ἦλθεν ὁ νόμος μετὰ ἀπὸ τετρακόσια τριάκοντα ἔτη. Ἐὰν λοιπὸν ὁ νόμος χαρίζῃ τὰς εὐλογίας, καὶ τὴν ζωὴν καὶ τὴν δικαιοσύνην, τότε ἐκείνη ἡ ὑπόσχεσις εἶναι ἄκυρος. Ὕστερον, τὴν μὲν ἀνθρωπίνην διαθήκην οὐδεὶς ἀκυρώνει, ἐνῷ ἡ διαθήκη τοῦ Θεοῦ ἀκυροῦται μετὰ τετρακόσια τριάκοντα ἔτη; Διότι ἐὰν ὅσα ὑπεσχέθη ἐκείνη, δὲν τὰ δίδει ἡ ἰδία, ἀλλ' ἄλλος ἀντ' ἐκείνης, τότε ἐκείνη ἔχει ἐκβληθῆ. Καὶ πῶς θὰ ἦσαν αὐτὰ λογικά;

Ἐξ αἰτίας τίνος λοιπὸν ἔδωσε τὸν νόμον; λέγει. «Ἕνεκα τῶν παραβάσεων»[27]. Διότι, οὔτε ὁ νόμος εἶναι περιττός.

πάντα συνορᾷ; πῶς μυρίοις κέχρηται ὀφθαλμοῖς; Ἐπειδὴ γὰρ τὴν πίστιν ἐπῆρε, καὶ πρεσβυτέραν ἔδειξεν, ἵνα μή τις νομίσῃ περιττὸν τὸν νόμον, καὶ τοῦτο διορθοῦται τὸ μέρος, δεικνὺς ὅτι οὐκ εἰκῇ, ἀλλὰ πάνυ χρησίμως ἐδόθη, τῶν παραβάσεων χάριν», τουτέστιν, ἵνα μὴ ἐξῇ Ἰουδαίοις ἀδεῶς ζῆν, καὶ εἰς ἔσχατον ἐξολισθαίνειν κακίας, ἀλλ' ἀντὶ χαλινοῦ ὁ νόμος αὐτοῖς ἐπικείμενος ᾖ, παιδεύων, ρυθμίζων, κωλύων παραβαίνειν, εἰ καὶ μὴ πάσας, ἀλλ' ὅμως κἂν ἐνίας τῶν ἐντολῶν.

Ὥστε οὐ μικρὸν τὸ κέρδος τοῦ νόμου. Ἀλλ' ἄχρι τίνος; «Ἄχρις οὗ ἔλθῃ τὸ σπέρμα, ᾧ ἐπήγγελται» περὶ Χριστοῦ λέγων. Εἰ τοίνυν μέχρι τῆς τοῦ Χριστοῦ παρουσίας δέδοται, τί περαιτέρω καὶ παρὰ καιρὸν αὐτὸν ἕλκεις; «Διαταγεὶς δι' ἀγγέλων ἐν χειρὶ μεσίτου». Ἢ τοὺς ἱερέας ἀγγέλους καλεῖ, ἢ καὶ αὐτοὺς τοὺς ἀγγέλους ὑπηρετήσασθαί φησι τῇ νομοθεσίᾳ. Μεσίτην δὲ ἐνταῦθα τὸν Χριστόν φησι, δεικνὺς ὅτι προῆν, καὶ τὸν νόμον αὐτὸς ἔδωκεν.

6. «Ὁ δὲ μεσίτης ἑνὸς οὐκ ἔστιν· ὁ δὲ Θεὸς εἷς ἐστι». Τί ἂν ἐνταῦθα εἴποιεν αἱρετικοί; Εἰ γὰρ τό, «μόνος ἀληθινός», οὐκ ἀφίησι τὸν Υἱὸν εἶναι Θεὸν ἀληθινόν, οὐκ ἄρα οὐδὲ Θεόν, διὰ τὸ λέγεσθαι, «ὁ δὲ Θεὸς εἷς ἐστιν». Εἰ δὲ ἑνὸς λεγομένου Θεοῦ τοῦ Πατρός, ἐστὶ Θεὸς καὶ ὁ Υἱός, εὔδηλον ὅτι καὶ ἀληθινοῦ λεγομένου μόνου τοῦ Πατρός, ἀληθινὸς καὶ ὁ Υἱός. Ὁ δὲ μεσίτης, φησί, δύο τινῶν γίνεται μεσίτης. Τίνος οὖν μεσίτης ἦν ὁ Χριστός; Ἢ δῆλον ὅτι Θεοῦ καὶ ἀνθρώπων; Ὁρᾷς πῶς δείκνυσιν, ὅτι καὶ τὸν νόμον αὐτὸς ἔδωσεν; Εἰ τοίνυν αὐτὸς ἔδωκε, κύριος ἂν εἴη καὶ λῦσαι πάλιν.

---

28. Γαλ. 3, 20.
29. Ἰωάν. 17, 3.

Βλέπεις πῶς βλέπει συγχρόνως τὰ πάντα; Πῶς χρησιμοποιεῖ χιλιάδας ὀφθαλμούς; Ἐπειδὴ δηλαδὴ ἐξῆρε τὴν πίστιν καὶ ἔδειξεν ὅτι εἶναι ἀρχαιοτέρα, διὰ νὰ μὴ νομίσῃ κανεὶς περιττὸν τὸν νόμον, προλαμβάνει καὶ αὐτό, δεικνύων ὅτι ὄχι τυχαίως, ἀλλὰ διὰ μεγάλην ὠφέλειαν ἐδόθη «ἕνεκα τῶν παραβάσεων», δηλαδὴ διὰ νὰ μὴ εἶναι ἐπιτρεπτὸν εἰς τοὺς Ἰουδαίους νὰ ζοῦν ἀπρεπῶς καὶ νὰ ὀλισθαίνουν εἰς τὸ ἔσχατον σημεῖον τῆς κακίας, ἀλλὰ νὰ εἶναι δι' αὐτοὺς ὁ νόμος ὡς χαλινός, παιδαγωγῶν, τακτοποιῶν, ἐμποδίζων νὰ παραβαίνουν, ἂν καὶ ὄχι ὅλας, τοὐλάχιστον μερικὰς ἀπὸ τὰς ἐντολάς.

Ὥστε δὲν εἶναι μικρὸν τὸ κέρδος τοῦ νόμου. Ἀλλ' ἕως πότε; «Ἕως ὅτου ἔλθῃ ὁ ἀπόγονος εἰς τὸν ὁποῖον ἔγινεν ἡ ὑπόσχεσις», λέγων διὰ τὸν Χριστόν. Ἐὰν λοιπὸν ἔχῃ δοθῆ μέχρι τὴν παρουσίαν τοῦ Χριστοῦ, διατί παρατείνεις αὐτὸν καὶ πέραν τοῦ προωρισμένου καιροῦ του; «Διετάχθη δὲ ὁ νόμος δι' ἀγγέλων καὶ μὲ τὴν μεσολάβησιν μεσίτου. Ἢ τοὺς ἱερεῖς ὀνομάζει ἀγγέλους ἢ καὶ οἱ ἴδιοι οἱ ἄγγελοι λέγει ὅτι ὑπηρέτησαν εἰς τὴν νομοθεσίαν. Μεσίτην δὲ ἐδῶ λέγει τὸν Χριστόν, δεικνύων ὅτι προϋπῆρχε, καὶ ὅτι αὐτὸς ἔδωσε τὸν νόμον.

6. «Ἀλλ' ὁ μεσίτης δὲν εἶναι ἑνός, ὁ Θεὸς ὅμως εἶναι ἕνας»[28]. Τί θὰ ἔλεγον ἐδῶ οἱ αἱρετικοί; Διότι ἐὰν τὸ «μόνος ἀληθινός»[29], δὲν ἀφήνῃ τὸν Υἱὸν νὰ εἶναι ἀληθινὸς Θεός, ἄρα οὔτε Θεός, ἐφ' ὅσον λέγεται· «Ὁ δὲ Θεὸς εἶναι ἕνας». Ἐὰν ὅμως, παρ' ὅ,τι λέγεται εἷς ὁ Θεὸς Πατήρ, εἶναι Θεὸς καὶ ὁ Υἱός, εἶναι φανερὸν καὶ ὅτι, παρ' ὅ,τι λέγεται μόνος ἀληθινὸς ὁ Πατὴρ εἶναι ἀληθινὸς καὶ ὁ Υἱός. Ὁ δὲ μεσίτης, λέγει, γίνεται μεσίτης δύο πραγμάτων. Τίνος λοιπὸν μεσίτης ἦτο ὁ Χριστός; Ἢ εἶναι φανερὸν ὅτι ἦτο μεσίτης Θεοῦ καὶ ἀνθρώπων; Βλέπεις πῶς ἀποδεικνύει ὅτι καὶ τὸν νόμον αὐτὸς ἔδωσε; Ἐὰν λοιπὸν αὐτὸς ἔδωσε, εἶναι κύριος καὶ νὰ τὸν λύσῃ πάλιν.

«Ὁ οὖν νόμος κατὰ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ;». Εἰ γὰρ ἐν τῷ σπέρματι τοῦ Ἀβραὰμ αἱ εὐλογίαι δέδονται, ὁ δὲ νόμος κατάραν εἰσάγει, ἄρα κατὰ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ. Πῶς οὖν λύει τὴν ἀντίθεσιν; Πρῶτον μὲν ἀπαγορεύει, εἰπών· «Μὴ γένοιτο»· ἔπειτα καὶ κατασκευάζει, οὕτω λέγων· «Εἰ γὰρ ἐδόθη νόμος ὁ δυνάμενος ζωοποιῆσαι, ὄντως ἂν ἐκ νόμου ἦν ἡ δικαιοσύνη». Ὃ δὲ λέγει, τοῦτό ἐστιν· εἰ μὲν ἐν αὐτῷ, φησί, τὴν ἐλπίδα τῆς ζωῆς εἴχομεν, καὶ αὐτὸς ἦν ὁ τὸ κῦρος ἔχων τῆς ἡμετέρας σωτηρίας, ἴσως ταῦτα καλῶς ἔλεγες· εἰ δὲ ἀπὸ πίστεως σώζῃ, κἂν ἐπικαταράτους ποιῇ, οὐδὲν ἐβλάβης ἐρχομένης ἐκείνης καὶ πάντα λυούσης.

Εἰ μὲν γὰρ δι' ἐκείνου ἡ ἐπαγγλία, εἰκότως ἐδεδοίκεις μὴ τῆς δικαιοσύνης ἐκπέσῃς, ἐκπίπτων τοῦ νόμου· εἰ δὲ διὰ τοῦτο ἐδόθη, ἵνα συγκλείσῃ πάντας, τουτέστιν, ἵνα ἐλέγξῃ, καὶ δείξῃ τὰ οἰκεῖα αὐτῶν πλημμελήματα, οὐ μόνον οὐ κωλύει σε τοῦ τυχεῖν τῆς ἐπαγγελίας, ἀλλὰ καὶ συμπράττει πρὸς τὸ τυχεῖν. Τοῦτο γοῦν δηλῶν ἔλεγεν· «Ἀλλὰ συνέκλεισεν ἡ Γραφὴ τὰ πάντα ὑπὸ ἁμαρτίαν, ἵνα ἡ ἐπαγγελία ἐκ πίστεως Ἰησοῦ Χριστοῦ δοθῇ τοῖς πιστεύουσιν». Ἐπειδὴ γὰρ Ἰουδαῖοι οὐδὲ τῶν ἁμαρτημάτων ᾐσθάνοντο τῶν οἰκείων, μὴ αἰσθανόμενοι δέ, οὐδὲ ἀφέσεως ἐπεθύμουν, ἔδωκε τὸν νόμον ἐλέγχοντα τὰ τραύματα, ἵνα ποθήσωσι τὸν ἰατρόν. Τὸ γάρ, «συνέκλεισεν», ἤλεγξέν ἐστι, καὶ ἐλέγξας κατεῖχεν ἐν φόβῳ.

Εἶδες ὅτι οὐ μόνον κατὰ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ οὐκ ἔστιν, ἀλλὰ καὶ ὑπὲρ τῶν ἐπαγγελιῶν ἐδόθη; Εἰ μὲν γὰρ ἑαυτῷ τὸ πρᾶγμα ἐξεδίκει καὶ τὴν αὐθεντίαν ὁ νόμος, καλῶς ταῦτα ἐλέγετο· εἰ δὲ ἑτέρῳ τρέχει, καὶ δι' ἐκείνου πάντα ἔπραττε, πῶς κατὰ τῶν ἐπαγγελιῶν τοῦ Θεοῦ; Εἰ

30. Γαλ. 3, 21.
31. Γαλ. 3, 22.

«Ὁ νόμος λοιπὸν εἶναι ἐναντίον τῶν ὑποσχέσεων τοῦ Θεοῦ;»[30]. Διότι ἐὰν αἱ δωρεαὶ ἔχουν δοθῇ εἰς τὸν ἀπόγονον τοῦ Ἀβραάμ, ὁ δὲ νόμος εἰσάγει κατάραν, ἄρα στρέφεται ἐναντίον τῶν ὑποσχέσεων τοῦ Θεοῦ. Πῶς λοιπὸν λύει τὴν ἀντίθεσιν; Πρῶτον μὲν ἀπαγορεύει, λέγων· «Μὴ γένοιτο!»· ὕστερον καὶ ἀποδεικνύει λέγων ἔτσι· «Διότι ἐὰν ἐδίδετο ὁ νόμος, ὁ ὁποῖος θὰ ἠδύνατο νὰ ζωοποιήσῃ, τότε πραγματικῶς θὰ προήρχετο ἐκ τοῦ νόμου ἡ δικαίωσις». Αὐτὸ δὲ τὸ ὁποῖον ἐννοεῖ, εἶναι τὸ ἑξῆς· ἐὰν μὲν εἰς αὐτὸν ἐστηρίξαμεν τὴν ἐλπίδα τῆς ζωῆς, καὶ ἦτο αὐτὸς ὁ ἔχων τὴν ἐξουσίαν τῆς σωτηρίας μας, ἴσως νὰ ἔλεγες ὀρθῶς αὐτά· ἐφ' ὅσον ὅμως σώζεσαι ἀπὸ τὴν πίστιν, ἂν καὶ ὁ νόμος μᾶς θέτει ὑπὸ κατάραν, εἰς τίποτε δὲν ἐζημιώθης ἀπὸ τὸ ὅτι ἔρχεται ἐκείνη καὶ λύει τὰ πάντα.

Διότι, ἐὰν μὲν ἡ ὑπόσχεσις εἶχε δοθῇ διὰ τοῦ νόμου, εὐλόγως θὰ ἐφοβεῖσο μήπως, ἐκπίπτων ἀπὸ τὸν νόμον, ἐκπέσῃς τῆς δικαιώσεως· ἐὰν ὅμως διὰ τοῦτο ἐδόθη, διὰ νὰ περικλείσῃ τὰ πάντα, δηλαδὴ διὰ νὰ ἐλέγξῃ καὶ νὰ δείξῃ τὰς ἁμαρτίας των, ὄχι μόνον δὲν σὲ ἐμποδίζει νὰ ἐπιτύχῃς τὴν ὑπόσχεσιν, ἀλλὰ καὶ συνεργεῖ εἰς τὸ νὰ τὴν ἐπιτύχῃς. Αὐτὸ λοιπὸν δηλῶν ἔλεγεν· «Ἡ Γραφὴ ὅμως περιέκλεισε τὰ πάντα κάτω ἀπὸ τὴν ἁμαρτίαν, διὰ νὰ δοθῇ εἰς τοὺς πιστεύοντας ἡ ὑπόσχεσις βάσει τῆς πίστεως εἰς τὸν Ἰησοῦν Χριστόν»[31]. Διότι ἐπειδὴ οἱ Ἰουδαῖοι δὲν ᾐσθάνοντο, οὔτε τὴν ἄφεσιν ἐπεθύμουν, ἔδωσε τὸν νόμον ὥστε νὰ ἐλέγχῃ διὰ τὰ τραύματα, διὰ νὰ ποθήσουν τὸν ἰατρόν. Διότι τὸ «περιέκλεισεν», σημαίνει ἤλεγξεν, καὶ ἀφοῦ ἤλεγξεν, ἐκράτει αὐτοὺς εἰς φόβον.

Εἶδες ὅτι ὄχι μόνον δὲν εἶναι ἐναντίον τῶν ὑποσχέσεων τοῦ Θεοῦ, ἀλλὰ καὶ ὑπὲρ τῶν ὑποσχέσεων ἐδόθη; Διότι, ἐὰν μὲν ὁ νόμος διεξεδίκει διὰ τὸν ἑαυτόν του τὸ πρᾶγμα καὶ τὴν αὐθεντίαν, ὀρθῶς θὰ ἐλέγοντο αὐτά· ἐφ' ὅσον ὅμως εἰς ἄλλον τρέχει, καὶ δι' ἐκεῖνον ἔπραττε τὰ πάντα, πῶς τότε στρέφεται κατὰ τῶν ὑποσχέσεων τοῦ Θεοῦ; Διότι ἐὰν

γὰρ μὴ νόμος ἐδόθη, πάντες εἰς κακίαν ἐξώκειλαν ἄν, καὶ οὐδεὶς ἔμελλεν Ἰουδαίων ἔσεσθαι ὁ ἀκουσόμενος τοῦ Χριστοῦ· νυνὶ δὲ δοθείς, δύο ταῦτα κατώρθωσεν, ἀρετὴν σύμμετρον παιδεύσας τοὺς προσέχοντας, καὶ πείσας εἰδέναι τὰ οἰκεῖα ἁμαρτήματα, ὃ μάλιστα αὐτοὺς ἐποίει προθυμοτέρους πρὸς τὸ ζητεῖν τὸν Υἱόν. Οἱ γοῦν μὴ πιστεύσαντες αὐτῷ, ἐκ τοῦ μὴ καταγνῶναι τῶν οἰκείων ἁμαρτημάτων, οὐκ ἐπίστευσαν. Καὶ τοῦτο δηλῶν ἔλεγεν· «Ἀγνοοῦντες γὰρ τὴν τοῦ Θεοῦ δικαιοσύνην, καὶ τὴν ἰδίαν δικαιοσύνην ζητοῦντες στῆσαι, τῇ δικαιοσύνῃ τοῦ Θεοῦ οὐχ ὑπετάγησαν».

«Πρὸ τοῦ δὲ ἐλθεῖν τὴν πίστιν, ὑπὸ νόμον ἐφρουρούμεθα, συγκεκλεισμένοι εἰς τὴν μέλλουσαν πίστιν ἀποκαλυφθῆναι εἰς ἡμᾶς». Εἶδες πῶς σαφῶς ἅπερ εἰρήκαμεν παρέστησε; Τὸ γάρ, «ἐφρουρούμεθα», καί, «συγκεκλεισμένοι», οὐδὲν ἕτερον δηλοῦντός ἐστιν, ἢ τὴν ἐκ τῶν ἐντολῶν τοῦ νόμου γενομένην ἀσφάλειαν. Ὥσπερ γὰρ ἐν τειχίῳ τινὶ τῷ φόβῳ κατέχων αὐτοὺς καὶ τῷ βίῳ τῷ κατ' αὐτὸν ὁ νόμος ἐτήρει τῇ πίστει.

«Ὥστε ὁ νόμος παιδαγωγὸς ἡμῶν γέγονεν εἰς Χριστόν, ἵνα ἐκ πίστεως δικαιωθῶμεν». Ὁ δὲ παιδαγωγὸς οὐκ ἐναντιοῦται τῷ διδασκάλῳ, ἀλλὰ καὶ συμπράττει, πάσης κακίας ἀπαλλάττων τὸν νέον, καὶ μετὰ πάσης σχολῆς τὰ μαθήματα παρὰ τοῦ διδασκάλου δέχεσθαι παρασκευάζων· ἀλλ' ὅταν ἐν ἕξει γένηται, ἀφίσταται λοιπὸν ὁ παιδαγωγός. Διὰ τοῦτό φησιν· «Ἐλθούσης δὲ τῆς πίστεως», τῆς εἰς τὸν τέλειον ἄνδρα ἀγούσης, «οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν. Πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε διὰ τῆς πίστεως ἐν Χριστῷ Ἰησοῦ». Εἰ τοίνυν ὁ νόμος παιδαγωγός, καὶ ὑπ' αὐτὸν ἐφρουρούμεθα συγκεκλεισμένοι, οὐκ ἐναντίος τῆς χάριτος, ἀλλὰ καὶ συνεργός· εἰ δὲ ἐλθούσης τῆς χάριτος ἐπιμένοι κατέχων, τότε ἐ-

---

32. Ρωμ. 10, 3.
33. Γαλ. 3, 23.
34. Γαλ. 3, 24.
35. Γαλ. 3, 25, 26.

δὲν εἶχε δοθῇ ὁ νόμος, ὅλοι θὰ ἐξετρέποντο εἰς τὴν κακίαν, καὶ οὐδεὶς ἀπὸ τοὺς Ἰουδαίους ἐπρόκειτο ν' ἀκούσῃ τὸν Χριστόν· τώρα ὅμως, ἀφοῦ ἐδόθη, δύο πράγματα κατώρθωσεν, καὶ εἰς τὴν ἀρετὴν νὰ τοὺς παιδαγωγήσῃ μετρίως ὅσους ἀφωσιώθησαν εἰς αὐτόν, καὶ νὰ πείσῃ νὰ γνωρίσουν τὰ ἁμαρτήματά των, πρᾶγμα τὸ ὁποῖον ἔκαμνε μάλιστα προθυμοτέρους αὐτοὺς εἰς τὸ νὰ ζητοῦν τὸν Υἱόν. Ἐκεῖνοι, λοιπόν, οἱ ὁποῖοι δὲν ἐπίστευσαν εἰς αὐτόν, δὲν ἠπίστησαν λόγῳ τοῦ ὅτι δὲν ἐγνώρισαν τὰ ἁμαρτήματά των. Καὶ αὐτὸ δηλῶν ἔλεγε· «Διότι, ἐπειδὴ ἀγνοοῦν τὴν δικαίωσιν τὴν ὁποίαν δίδει ὁ Θεὸς καὶ προσπαθοῦν νὰ κατασκευάσουν τὸν ἰδικόν των τρόπον δικαιώσεως, δὲν ὑπετάγησαν εἰς τὴν δικαίωσιν ἡ ὁποία προέρχεται ἀπὸ τὸν Θεόν»[32].

«Πρὶν ἔλθῃ ἡ πίστις, ἐφρουρούμεθα κεκλεισμένοι κάτω ἀπὸ τὸν νόμον, μέχρις ὅτου ἀποκαλυφθῇ ἡ πίστις»[33]. Εἶδες πῶς παρέστησε σαφῶς αὐτὰ τὰ ὁποῖα εἴπομεν; Διότι διὰ τοῦ «ἐφρουρούμεθα» καὶ «κεκλεισμένοι», τίποτε ἄλλο δὲν θέλει νὰ δηλώσῃ, παρὰ τὴν ἀσφάλειαν ἡ ὁποία ἐδόθη ἀπὸ τὰς ἐντολὰς τοῦ νόμου. Διότι ὡσὰν νὰ ἐκράτει αὐτοὺς μέσα εἰς ἓν τεῖχος μὲ τὸν φόβον, καὶ εἰς τὸν βίον τὸν σύμφωνον πρὸς αὐτόν, ὁ νόμος ἐκράτει αὐτοὺς εἰς τὴν πίστιν.

«Ὥστε ὁ νόμος ἦτο παιδαγωγὸς εἰς ἐμᾶς, ἕως ὅτου ἔλθῃ ὁ Χριστός, διὰ νὰ δικαιωθῶμεν διὰ τῆς πίστεως»[34]. Ὁ δὲ παιδαγωγὸς δὲν ἐναντιοῦται εἰς τὸν διδάσκαλον, ἀλλὰ καὶ συνεργεῖ, ἀπαλλάσσων τὸν νέον ἀπὸ κάθε κακίαν καὶ μὲ κάθε ἐπιμέλειαν προετοιμάζων νὰ δέχεται τὰ μαθήματα ἀπὸ τὸν διδάσκαλον. Διὰ τοῦτο λέγει· «Τώρα δέ, ποὺ ἦλθεν ἡ πίστις, δὲν εἴμεθα πλέον ὑπὸ παιδαγωγόν, διότι διὰ τῆς πίστεως εἶσθε ὅλοι υἱοὶ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ»[35]. Ἐὰν λοιπὸν ὁ νόμος εἶναι παιδαγωγὸς καὶ ἐφρουρούμεθα κεκλεισμένοι κάτω ἀπὸ αὐτόν, ὄχι μόνον δὲν εἶναι ἀντίθετος πρὸς τὴν χάριν, ἀλλὰ καὶ συνεργὸς εἶναι· ἐὰν δέ, ἐνῷ ἦλθεν ἡ χάρις, ἐπιμένει νὰ ἰσχύῃ, τότε εἶναι ἀντίθετος. Διότι ἄν,

ναντίος. Ἂν γὰρ ὀφείλοντας ἐξελθεῖν πρὸς αὐτὴν συγκλείῃ, τότε τὴν ἡμετέραν λυμαίνεται σωτηρίαν.

Ὥσπερ γὰρ ὁ λύχνος ἐν τῇ νυκτὶ φωτίσας, ἐὰν γενομένης ἡμέρας ἀναγκάζῃ μὴ καθορᾶν τὸν ἥλιον, οὐ μόνον οὐκ ἐχαρίσατο, ἀλλὰ καὶ ἐλυμήνατο· οὕτω καὶ ὁ νόμος, ἂν πρὸς τὰ μείζονα κώλυμα γίνηται. Οἱ τοίνυν αὐτὸν τηροῦντες νῦν, οὗτοι μάλιστα αὐτὸν διαβάλλουσι. Καὶ γὰρ ὁ παιδαγωγὸς τότε καταγέλαστον ποιεῖ τὸν νέον, ὅταν καιροῦ καλοῦντος αὐτὸν ἀποστῆναι, παρ' ἑαυτῷ κατέχῃ. Διὸ καὶ ὁ Παῦλός φησιν, «Ἐλθούσης δὲ τῆς πίστεως, οὐκέτι ὑπὸ παιδαγωγόν ἐστε». Ὥστε οὐκέτι ὑπὸ παιδαγωγόν ἐσμεν.

«Πάντες γὰρ υἱοὶ Θεοῦ ἐστε». Βαβαί, πόση τῆς πίστεως ἡ δύναμις, καὶ πῶς αὐτὴν ἐκκαλύπτει προϊών· Πρότερον μὲν γὰρ ἔδειξεν, ὅτι υἱὸς ἐποίει τοῦ πατριάρχου· «Γινώσκετε γάρ», φησίν, «ὅτι οἱ ἐκ πίστεως, οὗτοι υἱοί εἰσιν Ἀβραάμ»· νῦν δὲ ἀποφαίνει, ὅτι καὶ τοῦ Θεοῦ· «Πάντες γὰρ υἱοὶ Θεοῦ», φησίν, «ἐστὲ διὰ πίστεως τῆς ἐν Χριστῷ Ἰησοῦ»· διὰ τῆς πίστεως, οὐ διὰ τοῦ νόμου. Εἶτα ἐπειδὴ μέγα εἶπε καὶ θαυμαστόν, λέγει καὶ τὸν τρόπον τῆς υἱοθεσίας. «Ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε». Καὶ τίνος ἕνεκεν οὐκ εἶπεν, ὅσοι γὰρ εἰς Χριστὸν ἐβαπτίσθητε, ἐκ τοῦ Θεοῦ ἐγεννήθητε; τὸ γὰρ ἀκόλουθον τοῦ δεῖξαι υἱοὺς τοῦτο ἦν. Ὅτι πολὺ φρικωδέστερον αὐτὸ τίθησιν. Εἰ γὰρ ὁ Χριστὸς Υἱὸς τοῦ Θεοῦ, σὺ δὲ αὐτὸν ἐνδέδυσαι, τὸν Υἱὸν ἔχων ἐν ἑαυτῷ καὶ πρὸς αὐτὸν ἀφομοιωθείς, εἰς μίαν συγγένειαν καὶ μίαν ἰδέαν ἤχθης.

«Οὐκ ἔνι Ἰουδαῖος οὐδὲ Ἕλλην, οὐκ ἔνι δοῦλος οὐδὲ ἐλεύθερος, οὐκ ἔνι ἄρσεν ἢ θῆλυ· πάντες γὰρ ὑμεῖς εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ». Εἶδες ψυχὴν ἀκόρεστον; Εἰπὼν γάρ,

---

36. Γαλ. 3, 27.
37. Γαλ. 3, 28.

ἐνῷ ὀφείλομεν νὰ ἐξέλθωμεν πρὸς τὴν πίστιν, αὐτὸς μᾶς κρατεῖ κεκλεισμένους, τότε καταστρέφει τὴν σωτηρίαν μας.

Διότι, ὅπως ἀκριβῶς ὁ λύχνος, ἀφοῦ ἐφώτισεν εἰς τὴν νύκτα, ἄν, ὅταν ἔλθῃ ἡ ἡμέρα, ἀναγκάζῃ νὰ μὴ βλέπωμεν τὸν ἥλιον, ὄχι μόνον δὲν προσέφερεν, ἀλλὰ κατέστρεψε, ἔτσι καὶ ὁ νόμος, ὅταν γίνεται ἐμπόδιον πρὸς τὰ μεγαλύτερα. Αὐτοὶ λοιπὸν οἱ ὁποῖοι τὸν τηροῦν τώρα, αὐτοὶ πολὺ περισσότερον τὸν κατηγοροῦν. Διότι καὶ ὁ παιδαγωγὸς τότε κάμνει καταγέλαστον τὸν νέον, ὅταν, ἐνῷ ὁ καιρὸς καλεῖ αὐτὸν ν' ἀπομακρυνθῇ, τὸν κρατεῖ πλησίον του. Διὰ τοῦτο καὶ ὁ Παῦλος λέγει· «Τώρα δέ, ποὺ ἦλθεν ἡ πίστις, δὲν εἴμεθα πλέον ὑπὸ παιδαγωγόν». Ὥστε δὲν εἴμεθα ὑπὸ παιδαγωγόν.

«Διότι διὰ τῆς πίστεως εἶσθε ὅλοι υἱοὶ Θεοῦ». Ὤ, πόσον μεγάλη εἶναι ἡ δύναμις τῆς πίστεως καὶ πῶς, προχωρῶν, ἀποκαλύπτει αὐτήν! Διότι, προηγουμένως μὲν ἔδειξεν, ὅτι ἡ πίστις ἀνεδείκνυεν αὐτοὺς υἱοὺς τοῦ πατριάρχου· διότι «βλέπετε λοιπόν», λέγει, «ὅτι ὅσοι εἶναι ἄνθρωποι πίστεως, αὐτοὶ εἶναι παιδιὰ τοῦ Ἀβραάμ»· τώρα δὲ δεικνύει, ὅτι εἶναι καὶ παιδιὰ τοῦ Θεοῦ· «Διότι διὰ τῆς πίστεως εἶσθε ὅλοι υἱοὶ Θεοῦ ἐν Χριστῷ Ἰησοῦ»· διὰ τῆς πίστεως, ὄχι διὰ τοῦ νόμου. Ὕστερον, ἐπειδὴ εἶπε μεγάλο καὶ θαυμαστὸν πρᾶγμα, λέγει καὶ τὸν τρόπον τῆς υἱοθεσίας. «Διότι ὅσοι ἐβαπτίσθητε εἰς τὸν Χριστόν, ἔχετε ἐνδυθῆ τὸν Χριστόν»[16]. Καὶ διατί δὲν εἶπεν· διότι ὅσοι ἐβαπτίσθητε εἰς τὸν Χριστόν, ἔχετε γεννηθῆ ἀπὸ τὸν Θεόν; Διότι αὐτὸ ἦτο τὸ φυσικὸν ἑπόμενον διὰ ν' ἀποδείξῃ ὅτι ἦσαν υἱοὶ τοῦ Θεοῦ. Διότι λέγει αὐτὸ μὲ τρόπον πολὺ φρικωδέστερον. Διότι, ἀφοῦ ὁ Χριστὸς εἶναι Υἱὸς τοῦ Θεοῦ, καὶ σὺ ἔχεις ἐνδυθῆ αὐτόν, ἔχων μέσα σου τὸν Υἱόν, καὶ ἀφοῦ ἀφωμοιώθης πρὸς αὐτόν, ἔχεις ὁδηγηθῆ εἰς μίαν συγγένειαν καὶ εἰς μίαν εἰκόνα.

«Δὲν ὑπάρχει Ἰουδαῖος, οὔτε Ἕλλην, δὲν ὑπάρχει δοῦλος οὔτε ἐλεύθερος, δὲν ὑπάρχει ἄρρεν καὶ θῆλυ, διότι ὅλοι ἐσεῖς εἶσθε εἷς ἄνθρωπος ἐν Χριστῷ Ἰησοῦ»[17]. Εἶδες ἀκόρεστον ψυχήν; Διότι ἀφοῦ εἶπεν ὅτι ἐγίναμεν υἱοὶ τοῦ Θεοῦ

ὅτι υἱοὶ τοῦ Θεοῦ γεγόναμεν διὰ πίστεως, οὐχ ἵσταται μέχρι τούτου, ἀλλ' ἐπιζητεῖ τι πλέον εὑρεῖν, τὸ δυνάμενον σαφέστερον παραστῆσαι τὴν ἐγγυτέραν πρὸς τὸν Χριστὸν ἕνωσιν. Καὶ εἰπών, ὅτι αὐτὸν ἐνεδύσασθε, οὐδὲ ταύτῃ ἀρκεῖται τῇ λέξει, ἀλλ' ἑρμηνεύων αὐτήν, ἐνδοτέρω πρόεισι τῆς τοιαύτης συναφείας, καί φησιν· ὅτι «πάντες εἷς ἐστε ἐν Χριστῷ Ἰησοῦ»· τουτέστι, μίαν μορφήν, ἕνα τύπον ἔχετε πάντες τὸν τοῦ Χριστοῦ. Τί τούτων γένοιτ' ἂν φρικωδέστερον τῶν ῥημάτων; Ὁ Ἕλλην καὶ ὁ Ἰουδαῖος καὶ ὁ δοῦλος πρῴην, οὐκ ἀγγέλου οὐδὲ ἀρχαγγέλου, ἀλλ' αὐτοῦ τοῦ πάντων δεσπότου τὴν μορφὴν ἔχων περιέρχεται, καὶ ἐν ἑαυτῷ δεικνὺς τὸν Χριστόν.

«Εἰ δὲ ὑμεῖς τοῦ Χριστοῦ, ἄρα τοῦ Ἀβραὰμ σπέρμα ἐστέ, καὶ κατ' ἐπαγγελίαν κληρονόμοι». Εἶδες πῶς, ὅπερ ἔμπροσθεν ἔλεγεν, ἀπέδειξε νῦν τὸ περὶ τοῦ σπέρματος, ὅτι αὐτῷ καὶ τῷ σπέρματι αὐτοῦ αἱ εὐλογίαι εἰσὶ δεδομέναι;

---

38. Γαλ. 3, 29.

διὰ τῆς πίστεως, δὲν σταματᾷ μέχρις αὐτὸ τὸ σημεῖον, ἀλλ' ἐπιζητεῖ νὰ εὕρῃ κάτι περισσότερον, τὸ ὁποῖον δύναται νὰ παραστήσῃ σαφέστερον τὴν ἐγγυτέραν ἕνωσιν μὲ τὸν Χριστόν. Καὶ ἀφοῦ εἶπεν ὅτι ἔχετε ἐνδυθῆ αὐτόν, οὔτε εἰς αὐτὴν τὴν λέξιν ἀρκεῖται, ἀλλ' ἑρμηνεύων αὐτήν, προχωρεῖ βαθύτερον ἀπὸ αὐτὴν τὴν ἕνωσιν, καὶ λέγει ὅτι «ὅλοι εἶσθε εἷς ἄνθρωπος ἐν Χριστῷ Ἰησοῦ»· δηλαδή, μίαν μορφήν, ἕνα τύπον ἔχετε ὅλοι, τὸν τοῦ Ἰησοῦ Χριστοῦ. Τί θὰ ἦτο φρικωδέστερον ἀπὸ αὐτὰ τὰ λόγια; Ὁ Ἕλλην καὶ ὁ Ἰουδαῖος καὶ ὁ πρώην δοῦλος, ὄχι ἀγγέλου, οὔτε ἀρχαγγέλου, ἀλλ' αὐτοῦ τοῦ ἰδίου τοῦ Κυρίου τῶν πάντων ἔχων τὴν μορφήν, περιφέρεται, ἐμφανίζων εἰς τὸν ἑαυτόν του τὸν Χριστόν.

«Ἐὰν δὲ εἶσθε τοῦ Χριστοῦ, ἄρα εἶσθε ἀπόγονοι τοῦ Ἀβραάμ, καὶ κληρονόμοι βάσει ὑποσχέσεως»[38]. Εἶδες πῶς, αὐτὸ τὸ ὁποῖον ἔλεγε προηγουμένως διὰ τὸν ἀπόγονον, ἀπέδειξε τώρα, ὅτι δηλαδὴ εἰς αὐτὸν καὶ εἰς τὸν ἀπόγονον αὐτοῦ ἔχουν δοθῆ αἱ εὐλογίαι;

ΚΕΦΑΛΑΙΟΝ Δ′ 1—31

1. «Λέγω δέ, ἐφ' ὅσον χρόνον ὁ κληρονόμος νήπιός ἐστιν, οὐδὲν διαφέρει δούλου, κύριος πάντων ὤν· ἀλλ' ὑπὸ ἐπιτρόπους καὶ οἰκονόμους ἐστὶν ἄχρι τῆς προθεσμίας τοῦ Πατρός. Οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν». Νήπιον ἐνταῦθα οὐ τὴν ἡλικίαν φησίν, ἀλλὰ τὴν γνώμην, δεικνὺς ὅτι ὁ μὲν Θεὸς ἐξ ἀρχῆς ἐβούλετο ταῦτα χαρίσασθαι· ἐπειδὴ δὲ ἔτι νηπιωδέστερον διεκείμεθα, ἀφῆκεν ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου εἶναι, τουτέστι νουμηνίας καὶ Σάββατα· αὗται γὰρ ἡμῖν αἱ ἡμέραι ἀπὸ δρόμου σελήνης καὶ ἡλίου γίνονται. Εἰ τοίνυν καὶ νῦν ὑμᾶς ὑπὸ νόμον ἄγουσιν, οὐδὲν ἕτερον ποιοῦσιν, ἀλλ' ἢ καὶ ἐν τῷ χρόνῳ τῆς τελείας ἡλικίας εἰς τοὐπίσω πάλιν ὑμᾶς ἀπάγουσιν. Ὁρᾷς ὅσον ἐστὶ παρατήρησις ἡμερῶν; Τὸν Κύριον, τὸν οἰκοδεσπότην, τὸν πάντων κρατοῦντα ἐν ὑπηρέτου καθίστησι τάξει.

«Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν Υἱὸν αὐτοῦ, γενόμενον ἐκ γυναικός, γενόμενον ὑπὸ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν». Δύο τίθησιν ἐνταῦθα αἰτίας καὶ κατορθώματα τῆς σαρκώσεως, καὶ κακῶν ἀπαλλαγήν, καὶ ἀγαθῶν χορηγίαν· ἅπερ οὐδενὶ δυνατὸν ἦν, ἢ αὐτῷ κατορθῶσαι μόνῳ. Τίνα δὲ ταῦτα ἦν; Ἀπαλλαγῆναι τῆς ἀρᾶς τοῦ νόμου, καὶ εἰς υἱοθεσίαν ἀχθῆναι. «Ἵνα γὰρ τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ», φησί,

1. Γαλ. 4. 1-3.
2. Γαλ. 4. 4-5.

ΚΕΦΑΛΑΙΟΝ Δ' 1—31

1. «Ἐκεῖνο τὸ ὁποῖον ἐννοῶ εἶναι ὅτι, ἐφ' ὅσον χρόνον ὁ κληρονόμος εἶναι ἀνήλικος, δὲν διαφέρει καθόλου ἀπὸ τὸν δοῦλον, ἂν καὶ εἶναι κύριος ὅλης τῆς περιουσίας, ἀλλ' εἶναι ὑπὸ τὴν ἐξουσίαν ἐπιτρόπων καὶ διαχειριστῶν μέχρι τῆς προθεσμίας, τὴν ὁποίαν ὥρισεν ὁ πατήρ. Ἔτσι καὶ ἐμεῖς, ὅταν ἤμεθα ἀνήλικοι, ἤμεθα ὑποδουλωμένοι κάτω ἀπὸ τὰ στοιχεῖα τοῦ κόσμου»[1]. Νήπιον ἐδῶ λέγει ὄχι εἰς τὴν ἡλικίαν, ἀλλ' εἰς τὸ φρόνημα, διὰ νὰ δείξῃ, ὅτι ὁ μὲν Θεὸς ἀπὸ τὴν ἀρχὴν ἤθελε νὰ χαρίσῃ αὐτά· ἀλλ' ἐπειδὴ ἀκόμη ἤμεθα εἰς νηπιώδη κατάστασιν, ἐπέτρεψε νὰ ἤμεθα ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου, δηλαδὴ τὰ νουμηνίας καὶ τὰ Σάββατα· διότι αὐταὶ αἱ ἡμέραι γίνονται δι' ἐμᾶς ἀπὸ τὴν περιφορὰν τοῦ ἡλίου καὶ τῆς σελήνης. Ἐὰν λοιπὸν καὶ τώρα σᾶς ὁδηγοῦν ὑπὸ τὴν ἐξουσίαν τοῦ νόμου, δὲν κάμνουν τίποτε ἄλλο, παρὰ νὰ σᾶς ὁδηγοῦν ὀπίσω, ἐνῷ εὑρίσκεσθε εἰς τὸν χρόνον τῆς ὡρίμου ἡλικίας. Βλέπεις πόσον κακὸν εἶναι ἡ τήρησις τῶν ἡμερῶν; Τὸν Κύριον, τὸν οἰκοδεσπότην, τὸν κυρίαρχον πάντων, ὑποβιβάζει εἰς τὴν τάξιν τοῦ δούλου.

«Ὅταν ὅμως συνεπληρώθη ὁ χρόνος, τότε ἔστειλεν ὁ Θεὸς τὸν Υἱόν του, ὁ ὁποῖος ἐγεννήθη ἀπὸ γυναῖκα καὶ διετέλεσε ὑπὸ τὸν νόμον, διὰ νὰ ἐξαγοράσῃ ἐκείνους, οἱ ὁποῖοι ἦσαν δοῦλοι κάτω ἀπὸ τὸν νόμον, διὰ νὰ λάβωμεν τὴν υἱοθεσίαν»[2]. Δύο αἰτίας καὶ κατορθώματα τῆς σαρκώσεως θέτει ἐδῶ, καὶ τὴν ἀπαλλαγὴν ἀπὸ τὰ κακά, καὶ τὴν χορήγησιν τῶν ἀγαθῶν· τὰ ὁποῖα δὲν ἦτο δυνατὸν νὰ κατορθωθοῦν ἀπὸ κανένα, παρὰ μόνον ἀπὸ αὐτόν. Ποῖα δὲ ἦσαν αὐτά; Νὰ ἀπαλλαγῶμεν ἀπὸ τὴν κατάραν τοῦ νόμου καὶ νὰ ὁδηγηθῶμεν εἰς τὴν υἱοθεσίαν. Διότι, «διὰ νὰ ἐξαγοράσῃ ἐκείνους οἱ ὁποῖοι ἦσαν δοῦλοι κάτω ἀπὸ τὸν νόμον», λέγει, «καὶ διὰ

καί, «ἵνα τὴν υἱοθεσίαν ἀπολάβωμεν». Καλῶς εἶπεν, «ἀπολάβωμεν», δεικνὺς ὀφειλομένην. Ἄνωθεν γὰρ ἐπηγγείλατο, καθὼς διὰ πολλῶν καὶ αὐτὸς ἔδειξε πρὸς τὸν Ἀβραὰμ ὑπὲρ τούτων ἐπαγγελίας γενομένας.

Καὶ πόθεν δῆλον ὅτι γεγόναμεν υἱοί, φησίν; Εἶπε τρόπον ἕνα, ὅτι τὸν Χριστὸν ἐνεδυσάμεθα τὸν ὄντα Υἱόν· λέγει καὶ δεύτερον, ὅτι τὸ Πνεῦμα τῆς υἱοθεσίας ἐλάβομεν. Οὐ γὰρ ἂν ἐδυνήθημεν καλέσαι Πατέρα, εἰ μὴ πρότερον υἱοὶ κατέστημεν. Εἰ τοίνυν ἀντὶ δούλων ἐλευθέρους, ἀντὶ νηπίων τελείους, ἀντὶ ἀλλοτρίων κληρονόμους ἐποίησε καὶ υἱοὺς ἡ χάρις, πῶς οὐκ ἄτοπον καὶ ἐσχάτης ἀγνωμοσύνης ἀφιέναι μὲν ταύτην, ὑποστρέψαι δὲ εἰς τοὐπίσω;

«Ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεόν, ἐδουλεύσατε τοῖς μὴ φύσει οὖσι θεοῖς· νῦν δὲ γνόντες Θεόν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα, οἷς πάλιν ἄνωθεν δουλεύειν θέλετε;». Ἐνταῦθα πρὸς τοὺς ἐξ ἐθνῶν πιστεύσαντας ἀποτεινόμενός φησιν, ὅτι καὶ εἰδωλολατρία τὸ τοιοῦτόν ἐστιν, ἡ τῆς τῶν ἡμερῶν παρατηρήσεως φυλακή, καὶ ὅτι μείζονα φέρει τὴν κόλασιν νῦν. Διὸ καὶ Θεοὺς οὐ φύσει τὰ στοιχεῖα ἐκάλεσε, ταῦτα αὐτὰ κατασκευάσαι βουλόμενος καὶ εἰς μείζονα ἀγωνίαν αὐτοὺς ἐμβαλεῖν. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅτι τότε μὲν ἐσκοτισμένοι καὶ ἐν τῇ πλάνῃ διάγοντες χαμαὶ ἐσύρεσθε· νῦν δέ, ὅτε ἔγνωτε τὸν Θεόν, μᾶλλον δὲ ἐγνώσθητε παρ' αὐτοῦ, πῶς οὐ μείζονα καὶ χαλεπωτέραν ἐπισπάσασθε κόλασιν, μετὰ τοσαύτην ἐπιμέλειαν τὰ αὐτὰ νοσοῦντες πάλιν; Οὐδὲ γὰρ ὑμεῖς καμόντες εὕρετε τὸν Θεόν, ἀλλ' ὑμεῖς μὲν ἐν τῇ πλάνῃ διετρίβετε, αὐτὸς δὲ ὑμᾶς ἐπεσπάσατο. Ἀσθενῆ δὲ στοιχεῖα

---

3. Γαλ. 4. 8, 9.

νὰ λάβωμεν τὴν υἱοθεσίαν». Καλῶς εἶπεν «νὰ λάβωμεν», δεικνύων ὅτι ἦτο ὀφειλομένη. Διότι ἄνωθεν εἶχεν ὑποσχεθῆ, ὅπως καὶ ἔδειξεν ὁ ἴδιος διὰ πολλῶν ὅτι ἐδόθησαν δι' αὐτὰ ὑποσχέσεις εἰς τὸν 'Αβραάμ.

Καὶ ἀπὸ ποῦ εἶναι φανερὸν ὅτι ἐγίναμεν υἱοί; λέγει. Εἶπεν ἕνα τρόπον, ὅτι ἐνεδύθημεν τὸν Χριστόν, ὁ ὁποῖος εἶναι Υἱός· λέγει τώρα καὶ δεύτερον, ὅτι ἐλάβομεν τὸ πνεῦμα τῆς υἱοθεσίας. Διότι δὲν θὰ ἠδυνάμεθα νὰ ὀνομάσωμεν Πατέρα τὸν Θεόν, ἐὰν προηγουμένως δὲν εἴχομεν γίνει υἱοί. 'Εὰν λοιπὸν ἡ χάρις μᾶς ἀνέδειξεν ἀπὸ δούλους ἐλευθέρους, ἀπὸ νήπια τελείους, ἀπὸ ἐχθροὺς κληρονόμους καὶ υἱούς, πῶς δὲν εἶναι ἄτοπον καὶ ἐσχάτης ἀγνωμοσύνης τὸ νὰ ἐγκαταλείψωμεν μὲν αὐτήν, νὰ ἐπιστρέψωμεν δὲ εἰς τὰ ὀπίσω;

«'Αλλὰ τότε, ἐπειδὴ δὲν ἐγνωρίζατε τὸν Θεόν, ἤσασθε δοῦλοι εἰς ὄντα, τὰ ὁποῖα κατ' οὐσίαν δὲν εἶναι θεοί. Τώρα ὅμως, ἀφοῦ ἐγνωρίσατε τὸν Θεὸν ἢ μᾶλλον ἐγνωρίσθητε ἀπὸ τὸν Θεόν, πῶς ἐπιστρέφετε πάλιν εἰς τὰ ἀδύνατα καὶ πτωχὰ στοιχεῖα, εἰς τὰ ὁποῖα πάλιν θέλετε νὰ εἶσθε δοῦλοι ὅπως καὶ πρίν;»[9]. 'Εδῶ, ἀπευθυνόμενος πρὸς τοὺς ἐξ ἐθνῶν πιστούς, λέγει ὅτι αὐτό, δηλαδὴ ἡ τήρησις τῶν ἡμερῶν, εἶναι εἰδωλολατρεία, καὶ ὅτι μεγαλυτέραν κόλασιν ἐπισύρει τώρα. Διὰ τοῦτο καὶ ὠνόμασε τὰ στοιχεῖα θεοὺς ὄχι κατ' οὐσίαν, ἐπειδὴ θέλει ν' ἀποδείξῃ αὐτὰ καὶ νὰ τοὺς βάλῃ εἰς μεγαλυτέραν ἀγωνίαν. Αὐτὸ δὲ τὸ ὁποῖον ἐννοεῖ, εἶναι τὸ ἑξῆς· ὅτι τότε μέν, εὑρισκόμενοι εἰς τὸ σκότος καὶ ζῶντες εἰς τὴν πλάνην, ἐσύρεσθε εἰς τὴν γῆν· τώρα ὅμως, ποὺ ἔχετε γνωρίσει τὸν Θεόν, ἢ μᾶλλον ἔχετε γνωρισθῆ ἀπὸ αὐτόν, πῶς δὲν θὰ ἐπισύρητε μεγαλυτέραν καὶ φοβερωτέραν κόλασιν, ἀφοῦ, μετὰ ἀπὸ τόσην φροντίδα ἐξακολουθεῖτε νὰ πάσχετε ἀπὸ τὴν ἰδίαν νόσον; Διότι δὲν εὑρήκατε τὸν Θεὸν μὲ ἰδικήν σας προσπάθειαν, ἀλλ' ἐνῷ σεῖς ἐζῆτε εἰς τὴν πλάνην, ἐκεῖνος σᾶς προσεκάλεσε. 'Αδύνατα δὲ καὶ πτωχὰ

καλεῖ καὶ πτωχά, τῷ μηδεμίαν δύναμιν ἔχειν εἰς τὰ προκείμενα ἀγαθά·

«Ἡμέρας παρατηρεῖσθε καὶ μῆνας καὶ καιροὺς καὶ ἐνιαυτούς». Ἐκ τούτων δῆλον, ὅτι οὐ μόνον περιτομὴν αὐτοῖς ἐκήρυττον ἐκεῖνοι, ἀλλὰ καὶ τὰς ἑορτὰς καὶ τὰς νουμηνίας. «Φοβοῦμαι ὑμᾶς, μή πως εἰκῇ κεκοπίακα εἰς ὑμᾶς». Εἶδες σπλάγχνα ἀποστολικά; Ἐκεῖνοι ἐσαλεύοντο, καὶ οὗτος τρέμει καὶ δέδοικε. Διὸ καὶ σφόδρα ἐντρεπτικῶς αὐτὸ τέθεικεν εἰπών, «κεκοπίακα εἰς ὑμᾶς»· ὡς ἂν εἰ ἔλεγε, μὴ κενώσητέ μου τοὺς τοιούτους ἱδρῶτας. Εἰπὼν δέ, «φοβοῦμαι», καὶ τό, «μή πως», προσθείς, καὶ εἰς ἀγῶνα αὐτοὺς ἐνέβαλε, καὶ εἰς ἐλπίδας ἤγαγε χρηστάς. Οὐ γὰρ εἶπεν, εἰκῇ ἐκοπίασα, ἀλλά, «μή πως». Οὐδέπω, φησίν, ἐξέβη τὸν ναυάγιον, ἀλλ' ἔτι τὸν χιμῶνα τοῦτο ὠδίνοντα βλέπω. Διὰ τοῦτο δέδοικα, οὐ μὴν ἀπέγνωκα· κύριοι γὰρ ὑμεῖς τὸ πᾶν διορθῶσαι, καὶ εἰς τὴν προτέραν ἐπανελθεῖν γαλήνην.

2. *Εἶτα, ὥσπερ χειμαζομένοις χεῖρα ὀρέγων, ἑαυτὸν εἰς μέσον ἄγει, λέγων· «Γίνεσθε ὡς ἐγώ, ὅτι κἀγὼ ὡς ὑμεῖς». Ταῦτα πρὸς τοὺς ἐξ Ἰουδαίων· διὸ καὶ ἑαυτὸν εἰς μέσον ἄγει, κἀντεῦθεν πείθων αὐτοὺς ἀποστῆναι τῶν παλαιῶν. Εἰ γὰρ καὶ μηδένα ἕτερον εἴχετε εἰς ὑπόδειγμα, ἤρκει εἰς ἐμὲ μόνον ἰδεῖν ταύτης ἕνεκεν τῆς μεταβολῆς, καὶ θαρρῆσαι ῥᾳδίως. Διαβλέψατε τοίνυν· καὶ γὰρ ἐγὼ ταῦτα ἔπασχον πάλαι, καὶ σφόδρα καὶ περιεκαιόμην τοῦ νόμου, ἀλλ' ὅμως ὕστερον οὐκ ἐφοβήθην ἀφεῖναι τὸν νόμον, οὐδὲ μεταστῆναι τῆς πολιτείας ἐκείνης. Καὶ ταῦτα ὑμεῖς ἴστε σαφῶς, πῶς μεθ' ὑπερβολῆς πολλῆς ἀντειχόμην τοῦ Ἰουδαϊσμοῦ, καὶ πῶς μετὰ μείζονος αὐτὸν σφοδρότητος εἴασα μετὰ ταῦτα. Καὶ καλῶς*

---

4. Γαλ. 4, 10.
5. Γαλ. 4, 11.
6. Γαλ. 4, 12.

στοιχεῖα τὰ ὀνομάζει, διότι οὐδεμίαν δύναμιν ἔχουν διὰ νὰ προσφέρουν τὰ ἀναφερθέντα ἀγαθά.

«Φυλάττετε ὡρισμένας ἡμέρας καὶ μῆνας καὶ ἐποχὰς καὶ ἔτη»[4]. Ἀπὸ αὐτὰ γίνεται φανερόν, ὅτι, ὄχι μόνον περιτομὴν ἐκήρυττον εἰς αὐτοὺς ἐκεῖνοι, ἀλλὰ καὶ τὰς ἑορτὰς καὶ τὰς νουμηνίας. «Φοβοῦμαι μήπως ματαίως ἐκοπίασα δι' ἐσᾶς»[5]. Εἶδες ἀποστολικὴν εὐσπλαχνίαν; Ἐκεῖνοι ἐκλονίζοντο καὶ αὐτὸς τρέμει καὶ φοβεῖται. Διὰ τοῦτο καὶ μὲ τρόπον πολὺ ἐντροπιαστικὸν ἔγραψεν αὐτὸ λέγων «ἐκοπίασα δι' ἐσᾶς»· ὡσὰν νὰ ἔλεγε, μὴ ἀφήσετε ν' ἀποβοῦν μάταιοι αὐτοὶ οἱ ἱδρῶτες. Λέγων δὲ «φοβοῦμαι», καὶ προσθέτων τὸ «μήπως», καὶ εἰς στενοχωρίαν ἐνέβαλεν αὐτοὺς καὶ εἰς ἀγαθὰς ἐλπίδας τοὺς ὡδήγησε. Διότι δὲν εἶπεν, ματαίως ἐκοπίασα, ἀλλὰ «μήπως». Ἀκόμη, λέγει, δὲν ἔχει συντελεσθῆ τὸ ναυάγιον, ἀλλ' ἀκόμη βλέπω αὐτὴν τὴν δοκιμασίαν νὰ ἐγκυμονῇ τὸν κίνδυνον. Διὰ τοῦτο φοβοῦμαι, δὲν ἔχω ὅμως ἀπελπισθῇ· διότι ἀπὸ σᾶς ἐξαρτᾶται τὸ νὰ διορθώσητε τὸ πᾶν καὶ νὰ ἐπανέλθητε εἰς τὴν προηγουμένην γαλήνην.

2. Ὕστερον, ὡσὰν νὰ τείνῃ τὴν χεῖρα εἰς κινδυνεύοντας, φέρει ἐνώπιόν των τὸν ἑαυτόν του, λέγων· «Σᾶς ἱκετεύω νὰ γίνετε ὅπως εἶμαι ἐγώ, διότι καὶ ἐγὼ ἤμουν ὅπως ἐσεῖς»[6]. Αὐτὰ τὰ λέγει πρὸς τοὺς ἐξ Ἰουδαίων πιστούς· διὰ τοῦτο καὶ παρουσιάζει τὸν ἑαυτόν του ὡς παράδειγμα, διὰ νὰ πείσῃ καὶ δι' αὐτοῦ ν' ἀπομακρυνθοῦν ἀπὸ τὰ παλαιά. Διότι, καὶ ἂν κανένα ἄλλον δὲν εἴχατε ὡς παράδειγμα, θὰ ἦτο ἀρκετὸν νὰ ἴδητε αὐτὴν τὴν μεταβολὴν εἰς ἐμέ, διὰ νὰ ἐνθαρρυνθῆτε εὐκόλως. Ἴδετε λοιπόν· διότι καὶ ἐγὼ παλαιότερον αὐτὰ ἔπασχον καὶ ἐφλογιζόμην ὑπερβολικῶς διὰ τὸν νόμον, ἀλλ' ὅμως ὕστερον δὲν ἐφοβήθην νὰ ἐγκαταλείψω τὸν νόμον, οὔτε νὰ ἀναχωρήσω ἀπὸ ἐκεῖνον τὸν τρόπον ζωῆς. Καὶ αὐτὰ σεῖς γνωρίζετε σαφῶς, πῶς μὲ μεγάλην ὑπερβολὴν ὑπερήσπιζα τὸν Ἰουδαϊσμόν, καὶ πῶς μὲ μεγαλυτέραν σφοδρότητα ἐγκατέλειψα αὐτὸν μετὰ ἀπὸ αὐτά. Καὶ καλῶς ἐξέθεσεν αὐτὸ μετὰ ἀπὸ ὅσα ἕως τώρα εἶπε.

αὐτὸ τέθεικεν ὕστερον. Οἱ γὰρ πολλοὶ τῶν ἀνθρώπων, κἂν μυρίους εὕρωσι λογισμούς, καὶ δικαίους, ἀπὸ τοῦ ὁμογενοῦς μᾶλλον ἐφέλκονται, καὶ ὅταν ἴδωσι τὰ αὐτὰ πράττοντα, μᾶλλον ἔχονται τῶν αὐτῶν.

«Ἀδελφοί, δέομαι ὑμῶν, οὐδέν με ἠδικήσατε». Ὅρα πῶς πάλιν τῷ τῆς τιμῆς ὀνόματι προσαγορεύει· τὸ δ' αὐτὸ καὶ τῆς χάριτος ὑπόμνησις ἦν. Ἐπειδὴ γὰρ σφόδρα καθήψατο αὐτῶν, καὶ πανταχόθεν συνέκρινε τὰ πράγματα, καὶ ἔδειξε παρανομοῦντας, καὶ πολλαχόθεν αὐτοὺς ἔβαλε, πάλιν ἀνίησι καὶ θεραπεύει, προσηνεστέροις κεχρημένος λόγοις. Ὥσπερ γὰρ τὸ διαπαντὸς θεραπεύειν ἐκλύει, οὕτω τὸ συνεστραμμένως ἀεὶ διαλέγεσθαι τραχύτερον ποιεῖ. Διὰ τοῦτο πανταχοῦ τῇ συμμετρίᾳ κεχρῆσθαι καλόν· Ὅρα τοίνυν πῶς αὐτοῖς ὑπὲρ τῶν εἰρημένων ἀπολογεῖται, δεικνὺς ὡς οὐχ ἁπλῶς ἀπεχθανόμενος αὐτοῖς, ἀλλὰ κηδόμενος εἴρηκεν ἅπερ εἴρηκεν. Ἐπειδὴ γὰρ βαθυτέραν ἔδωκε τὴν τομήν, ὥσπερ ἔλαιον λοιπὸν τὴν παράκλησιν ταύτην ἐνίησι. Καὶ δηλῶν ὅτι οὐ μίσους, οὐδὲ ἔχθρας ἦν τὰ εἰρημένα, ἀναμιμνήσκει τῆς ἀγάπης αὐτούς, ἣν ἐνεδείξαντο περὶ αὐτόν, καὶ μετ' ἐγκωμίων τὴν ἀπολογίαν τίθησι. Διό φησι· «Δέομαι ὑμῶν, οὐδέν με ἠδικήσατε. Οἴδατε δέ, ὅτι δι' ἀσθένειαν τῆς σαρκός μου εὐηγγελισάμην ὑμῖν· καὶ τὸν πειρασμόν μου τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε». Ἀλλ' οὔπω τοῦτο μέγα τὸ μὴ ἀδικῆσαι· καίτοιγε οὐδὲ ὁ τυχὼν ἄνθρωπος τὸν οὐκ ἀδικήσαντα βλάψαι ἠθέλησεν ἄν, καὶ εἰκῇ λυπῆσαι καὶ μάτην. Ὑμεῖς δὲ οὐ μόνον οὐκ ἠδικήσατε, ἀλλὰ καὶ πολλὴν καὶ ἄφατον ἐπεδείξασθε εὔνοιαν· καὶ οὐχ οἷόν τε τὸν τοιαύτης ἀπολαύσαντα θεραπείας, ἐκ κακονοίας ταῦτα λέγειν. Εἰ τοί-

7. Γαλ. 4. 13, 14.

Διότι πολλοὶ ἀπὸ τοὺς ἀνθρώπους, ἀκόμη καὶ ὅταν ἀκούσουν μυρίους καὶ ὀρθοὺς συλλογισμούς, περισσότερον ἕλκονται ἀπὸ τὸν συγγενῆ, καὶ ὅταν τὸν ἴδουν νὰ πράττῃ τὰ αὐτά, περισσότερον ἀκολουθοῦν τὰ ἴδια.

«'Αδελφοί, δὲν ἐκάνατε εἰς ἐμὲ κανένα κακόν». Πρόσεξε πῶς τοὺς προσαγορεύει πάλιν μὲ τὴν ὀνομασίαν μὲ τὴν ὁποίαν τοὺς τιμᾷ· αὐτὸ δὲ ἦτο καὶ ὑπόμνησις τῆς χάριτος. Διότι, ἐπειδὴ τοὺς ἐκατηγόρησε πολὺ καὶ συνέκρινε ἀπὸ παντοῦ τὰ πράγματα, καὶ ἀπέδειξεν ὅτι παρανομοῦν, καὶ προσέβαλεν αὐτοὺς ἀπὸ πολλὰς πλευράς, πάλιν χαλαρώνει καὶ τοὺς τιμᾷ χρησιμοποιῶν λόγους περισσότερον προσηνεῖς. Διότι, ὅπως ἡ συνεχὴς περιποίησις ἀποχαυνώνει, ἔτσι καὶ μὲ τὸ νὰ ὁμιλῇ κανεὶς συνεχῶς μὲ αὐστηρότητα, κάνει τὸν ἀκούοντα σκληρότερον. Διὰ τοῦτο πρέπει μὲ μέτρον νὰ χρησιμοποιῆται παντοῦ τὸ καλόν. Πρόσεξε λοιπὸν πῶς ἀπολογεῖται εἰς αὐτοὺς δι' ὅσα εἶπε, δεικνύων ὅτι ὄχι μόνον χωρὶς νὰ μισῇ αὐτούς, ἀλλὰ καὶ φροντίζων δι' αὐτοὺς εἶπεν ὅσα εἶπε. Διότι ἐπειδὴ ἤνοιξε βαθυτέραν πληγήν, ὡσὰν ἔλαιον ρίπτει ἐπάνω αὐτὴν τὴν παρηγορίαν. Καὶ διὰ νὰ κάνῃ φανερὸν ὅτι τὰ λεχθέντα δὲν προήρχοντο οὔτε ἀπὸ ἔχθραν, οὔτε ἀπὸ μῖσος, ὑπενθυμίζει εἰς αὐτοὺς τὴν ἀγάπην τὴν ὁποίαν ἔδειξαν δι' αὐτόν, καὶ ἐκθέτει τὴν ἀπολογίαν μετ' ἐγκωμίων. Διὰ τοῦτο λέγει· «Σᾶς ἱκετεύω, δὲν ἐκάνατε εἰς ἐμὲ κανένα κακόν. Γνωρίζετε ὅτι τὴν προηγουμένην φοράν, ἕνεκα σωματικῆς ἀσθενείας ἐκήρυξα εἰς ἐσᾶς τὸ εὐαγγέλιον, καὶ παρ' ὅ,τι τὸ σῶμά μου ἦτο δι' ἐσᾶς πειρασμός, δὲν μὲ περιεφρονήσατε, οὔτε ἀηδιάσατε»[7]. 'Αλλὰ δὲν εἶναι τόσον μεγάλο τὸ ὅτι δὲν μοῦ ἐκάνατε κακό· διότι βεβαίως οὔτε ὁ τυχὼν ἄνθρωπος δὲν θὰ ἤθελε νὰ βλάψῃ κάποιον ὁ ὁποῖος δὲν τοῦ ἔκανε κακό, καὶ νὰ τὸν στενοχωρήσῃ χωρὶς νὰ ὑπάρχῃ λόγος. Σεῖς ὅμως, ὄχι μόνον δὲν μὲ ἠδικήσατε, ἀλλὰ καὶ πολλὴν καὶ ἀπερίγραπτον εὔνοιαν ἐπεδείξατε· καὶ δὲν εἶναι δυνατὸν νὰ λέγῃ αὐτὰ ἀπὸ κακὴν διάθεσιν ὅποιος ἀπήλαυσε τόσης περιποιήσεως. 'Εὰν λοιπὸν δὲν λέγω αὐτὰ

νυν οὐ δι' ἀπέχθειαν ταῦτα λέγω, λείπεται διὰ φιλοστοργίαν καὶ κηδεμονίαν.

«Δέομαι ὑμῶν, οὐδέν με ἠδικήσατε». Οὐδὲν προσηνέστερον τῆς ἁγίας ἐκείνης ψυχῆς, οὐδὲν γλυκύτερον καὶ φιλοστοργότερον. Οὐ τοίνυν οὐδὲ τὰ πρότερα ἀλόγων θυμοῦ, οὐδὲ πάθους ψυχῆς ἦν, ἀλλὰ κηδεμονίας πολλῆς. Καὶ τί λέγω, οὐκ ἠδικήσατε; πολλὴν μὲν οὖν καὶ γνησίαν σπουδὴν περὶ ἡμᾶς ἐπεδείξασθε. «Οἴδατε γάρ», φησίν, «ὅτι δι' ἀσθένειαν τῆς σαρκὸς εὐηγγελισάμην ὑμῖν· καὶ τὸν πειρασμόν μου τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε». Τί ποτέ ἐστιν ὃ λέγει, Ἠλαυνόμην, φησίν, ἐμαστιγούμην, μυρίους θανάτους ὑπέμενον κηρύττων ὑμῖν, καὶ οὐδὲ οὕτω κατεφρονήσατέ μου. Τοῦτο γάρ ἐστι, «Τὸν πειρασμόν μου τὸν ἐν τῇ σαρκί μου οὐκ ἐξουθενήσατε οὐδὲ διεπτύσατε». Εἶδες σύνεσιν πνευματικήν; Καὶ γὰρ ἐν τάξει ἀπολογίας πάλιν αὐτοὺς ἐντρέπει, δεικνὺς ὅσα ἔπαθε δι' αὐτούς· Ἀλλ' ὅμως οὐδὲν τοῦτο ὑμᾶς ἐσκανδάλισε, φησίν, οὐδὲ διεπτύσατέ με διὰ τὰ πάθη καὶ τοὺς διωγμούς· ἀσθένειαν γὰρ καὶ πειρασμὸν ταῦτα καλεῖ· «ἀλλ' ὡς ἄγγελον Θεοῦ ἐδέξασθέ με». Πῶς οὖν οὐκ ἄτοπον, διωκόμενον μὲν καὶ ἐλαυνόμενον ὡς ἄγγελον Θεοῦ δέχεσθαι, παραινοῦντα δὲ τὰ δέοντα μὴ δέχεσθαι;

3. «Τίς οὖν ἦν ὁ μακαρισμὸς ὑμῶν; Μαρτυρῶ γὰρ ὑμῖν ὅτι, εἰ δυνατόν, τοὺς ὀφθαλμοὺς ὑμῶν ἐξορύξαντες ἂν ἐδώκατέ μοι. Ὥστε ἐχθρὸς ὑμῶν γέγονα ἀληθεύων ὑμῖν;». Ἐνταῦθα διαπορεῖ καὶ ἐκπλήττεται, καὶ παρ' αὐτῶν ζητεῖ τὴν αἰτίαν τῆς μεταβολῆς μαθεῖν. Τίς γὰρ ὑμᾶς ἐξηπάτησε, φησί, καὶ ἔπεισεν ἑτέρως διατεθῆναι πρὸς ἡμᾶς; Οὐχ ὑμεῖς ἐστε οἱ περιέποντες καὶ θεραπεύοντες, καὶ τῶν ὀφθαλμῶν τιμιώτερον ἄγοντες; Τί τοίνυν γέγονε; πόθεν ἡ ἔχθρα; πό-

8. Γαλ. 4. 15, 16.

ἀπὸ ἔχθραν, δὲν ἀπομένει ἄλλο, παρὰ νὰ τὰ λέγω ἀπὸ στοργὴν καὶ φροντίδα.

«Σᾶς ἱκετεύω, εἰς τίποτε δὲν μὲ ἐβλάψατε». Δὲν ὑπάρχει τίποτε προσηνέστερον, τίποτε γλυκύτερον καὶ φιλοστοργότερον τῆς ἁγίας ἐκείνης ψυχῆς. Οὔτε τὰ προηγούμενα λοιπὸν ἦσαν ἀποτέλεσμα ἀλόγου θυμοῦ, οὔτε πάθους ψυχῆς, ἀλλὰ φροντίδος μεγάλης. Καὶ τί λέγω, δὲν μὲ ἐβλάψατε; Ἀφοῦ μεγάλο καὶ γνήσιον ἐνδιαφέρον ἐδείξατε δι' ἐμᾶς. «Διότι «γνωρίζετε», λέγει, «ὅτι ἕνεκα σωματικῆς ἀσθενείας ἐκήρυξα εἰς ἐσᾶς τὸ εὐαγγέλιον, καὶ παρ' ὅ,τι τὸ σῶμά μου ἦτο δι' ἐσᾶς πειρασμός, δὲν μὲ περιεφρονήσατε». Τί εἶναι αὐτὸ τὸ ὁποῖον λέγει; Ἐδιωκόμην, λέγει, ἐμαστιγούμην, ὑπέμεινα μυρίους θανάτους κηρύττων εἰς σᾶς, καὶ οὔτε ἔτσι μὲ περιεφρονήσατε. Διότι αὐτὸ σημαίνει «καὶ παρ' ὅ,τι τὸ σῶμά μου ἦτο δι' ἐσᾶς πειρασμὸς δὲν μὲ περιεφρονήσατε, οὔτε ἀηδιάσατε». Εἶδες πνευματικὴν σύνεσιν; Θέτων δηλαδὴ τὸν ἑαυτόν του καὶ εἰς θέσιν ἀπολογίας, πάλιν ἐντροπιάζει αὐτούς, δεικνύων ὅσα ὑπέστη δι' αὐτούς. Ἀλλ' ὅμως τίποτε ἀπὸ αὐτὰ δὲν σᾶς ἐσκανδάλισε, λέγει, οὔτε ἀηδιάσατε δι' ἐμὲ ἐξ αἰτίας τῶν παθῶν καὶ τῶν διωγμῶν· διότι ἀσθένειαν καὶ πειρασμὸν αὐτὰ ὀνομάζει· «ἀλλὰ μὲ ἐδέχθητε ὡς ἄγγελον τοῦ Θεοῦ». Πῶς λοιπὸν δὲν εἶναι ἄτοπον, ὅταν μὲν καταδιώκωμαι καὶ ἀτιμάζωμαι νὰ μὲ δέχεσθε ὡς ἄγγελον Θεοῦ, ἐνῷ ὅταν προτρέπω εἰς σᾶς τὰ πρέποντα νὰ μὴ μὲ δέχεσθε;

3. «Ποῦ εἶναι λοιπὸν ἡ ἱκανοποίησις τὴν ὁποίαν ᾐσθάνθητε; Διότι ἐγὼ μαρτυρῶ δι' ἐσᾶς ὅτι ἐὰν ἦτο δυνατὸν καὶ τοὺς ὀφθαλμούς σας θὰ ἐβγάζατε καὶ θὰ μοῦ ἐδίδατε. Ὥστε ἔχω γίνει τώρα ἐχθρός σας ἐπειδὴ σᾶς λέγω τὴν ἀλήθειαν;»[8]. Ἐδῶ ἀπορεῖ καὶ ἐκπλήσσεται καὶ ζητεῖ νὰ μάθῃ ἀπὸ αὐτοὺς τὴν αἰτίαν τῆς μεταβολῆς. Ποῖος σᾶς ἐξηπάτησε, λέγει, καὶ σᾶς ἔπεισε νὰ ἀλλάξητε θέσιν ἔναντι ἡμῶν; Δὲν εἶσθε σεῖς οἱ περιβάλλοντες καὶ περιποιούμενοι καὶ ἐκτιμῶντες με περισσότερον καὶ ἀπὸ τοὺς ὀφθαλμούς σας; Τί συνέβη τώ-

θεν ἡ ὑποψία; Ὅτι τἀληθῆ πρὸς ὑμᾶς εἶπον; Διὰ τοῦτο μὲν οὖν μειζόνως ἐχρῆν τιμᾶν καὶ θεραπεύειν· νυνὶ δέ, «Ἐχθρὸς ὑμῶν γέγονα ἀληθεύων ὑμῖν». Ἐγὼ γάρ, φησίν, οὐκ οἶδα ἄλλην αἰτίαν, ἢ τὰ ἀληθῆ λέγειν ὑμῖν. Καὶ ὅρα μεθ' ὅσης ἀπολογεῖται ταπεινοφροσύνης. Οὐ γὰρ ἀφ' ὧν περὶ αὐτοὺς ἐπεδείξατο, ἀλλ' ἀφ' ὧν αὐτοὶ περὶ αὐτόν, δείκνυσιν ἀδύνατον εἶναι ἐκ κακονοίας ταῦτα λέγεσθαι. Οὐδὲ γὰρ εἶπεν οὕτω, καὶ πῶς ἐγχωρεῖ τὸν μαστιζόμενον, τὸν ἐλαυνόμενον, τὸν μυρία παθόντα δι' ὑμᾶς, νῦν ἐπιβουλεύειν ὑμῖν; ἀλλ' ἀφ' ὧν εἶχον ἐναβρύνεσθαι ἐκεῖνοι, ἀπὸ τούτων συλλογίζεται λέγων· πῶς ἐγχωρεῖ τὸν τιμηθέντα παρ' ὑμῶν, τὸν ὡς ἄγγελον δεχθέντα, τοῖς ἐναντίοις ἀμείψασθαι;

«Ζηλοῦσιν ὑμᾶς οὐ καλῶς, ἀλλ' ἐκκλεῖσαι ὑμᾶς θέλουσιν, ἵνα αὐτοὺς ζηλοῦτε». Ἔστι γὰρ ζῆλος ἀγαθός, ὅταν τις οὕτω ζηλοῖ, ὥστε μιμήσασθαι τὴν ἀρετήν· ἔστι καὶ ζῆλος πονηρός, ὥστε ἐκβαλεῖν τῆς ἀρετῆς τὸν κατορθοῦντα. Ὃ δὴ καὶ αὐτοὶ νῦν ἐπιχειροῦσι, τῆς μὲν τελείας γνώσεως ἐκβαλεῖν θέλοντες, εἰς δὲ τὴν ἠκρωτηριασμένην καὶ νόθον ἀγαγεῖν, δι' οὐδὲν ἕτερον, ἀλλ' ἵνα αὐτοὶ μὲν ἐν τάξει κάθωνται διδασκάλων, ὑμᾶς δὲ τοὺς νῦν ὑψηλοτέρους αὐτῶν ὄντας ἐν τάξει καταστήσωσι μαθητῶν. Τοῦτο γὰρ ἐδήλωσεν εἰπών, «ἵνα αὐτοὺς ζηλοῦτε». Ἐγὼ δὲ τοὐναντίον βούλομαι, φησίν, ὑμᾶς αὐτῶν κανόνα, καὶ ὑπόδειγμα γίνεσθαι τῶν τελειοτέρων. Ὃ δὴ καὶ ἐγένετο, ὅτε πρὸς ὑμᾶς ἤμην. Διὸ καὶ ἐπάγει λέγων· «Καλὸν δὲ τὸ ζηλοῦσθαι ἐν καλῷ πάντοτε, καὶ μὴ

9. Γαλ. 4, 17.

ρα; Ἀπὸ ποῦ ἡ ἔχθρα; Ἀπὸ ποῦ ἡ ὑποψία; Ἀπὸ τὸ ὅτι εἶπα εἰς ἐσᾶς τὴν ἀλήθειαν; Ἀλλὰ διὰ τοῦτο ἔπρεπε περισσότερον νὰ μὲ τιμᾶτε καὶ νὰ μὲ περιποιῆσθε· τώρα ὅμως «ἔγινα ἐχθρός σας ἐπειδὴ σᾶς λέγω τὴν ἀλήθειαν». Διότι ἐγώ, λέγει; δὲν γνωρίζω ἄλλην αἰτίαν, παρὰ τὸ ὅτι σᾶς λέγω τὴν ἀλήθειαν. Καὶ πρόσεξε μὲ πόσην ταπεινοφροσύνην ἀπολογεῖται. Διότι δὲν ἀπολογεῖται στηριζόμενος εἰς ὅσα αὐτὸς ἔδειξεν εἰς αὐτούς, ἀλλὰ εἰς ὅσα ἐκεῖνοι ἔκαναν δι' αὐτόν, δεικνύων ὅτι εἶναι ἀδύνατον νὰ λέγωνται αὐτὰ ἀπὸ κακὴν διάθεσιν. Δηλαδὴ δὲν εἶπε· καὶ πῶς γίνεται αὐτὸς ὁ ὁποῖος ἐμαστιγώθη, ἐδιώχθη, ὑπέστη ἄπειρα δι' ἐσᾶς, τώρα νὰ σᾶς ἐπιβουλεύεται; Ἀλλὰ κατασκευάζει τὸν συλλογισμὸν ἀπὸ αὐτὰ διὰ τὰ ὁποῖα ἐκεῖνοι ἐκαυχῶντο, λέγων· πῶς γίνεται, αὐτὸς ὁ ὁποῖος ἐτιμήθη ἀπὸ σᾶς, ὁ ὁποῖος ἔγινε δεκτὸς ὡς ἄγγελος, νὰ ἀμείβεται μὲ τὰ ἀντίθετα;

«Αὐτοὶ οἱ διαστρέφοντες τὸ εὐαγγέλιον δείχνουν ζῆλον δι' ἐσᾶς ὄχι πρὸς τὸ καλόν, ἀλλὰ θέλουν νὰ σᾶς ἀποκλείσουν ἀπὸ τὸ ἀληθινὸν εὐαγγέλιον, διὰ νὰ ἔχητε ζῆλον δι' αὐτούς»'. Διότι ὑπάρχει ἀγαθὸς ζῆλος, ὅταν κανεὶς ἔχῃ τέτοιον ζῆλον, ὥστε νὰ μιμῆται τὴν ἀρετήν· ὑπάρχει καὶ ζῆλος πονηρός, ὁ ὁποῖος θέλει νὰ ἐκβάλῃ ἀπὸ τὴν ἀρετὴν αὐτὸν ὁ ὁποῖος τὴν κατορθώνει. Πρᾶγμα τὸ ὁποῖον καὶ αὐτοὶ τώρα ἐπιχειροῦν, θέλοντες ἀπὸ τὴν μὲν τελείαν γνῶσιν νὰ ἐκβάλλουν τοὺς πιστούς, νὰ ὁδηγήσουν δὲ αὐτοὺς εἰς τὴν ἠκρωτηριασμένην καὶ νόθον, ὄχι δι' ἄλλον λόγον, ἀλλὰ διὰ νὰ κάθωνται αὐτοὶ μὲν εἰς τὴν θέσιν τῶν διδασκάλων, ἐνῷ ἐμᾶς οἱ ὁποῖοι εἴμεθα τώρα ἀνώτεροι αὐτῶν, νὰ ὑποβιβάσουν εἰς τὴν τάξιν τῶν μαθητῶν. Διότι αὐτὸ ἐδήλωσεν ὅταν εἶπε· «διὰ νὰ ἔχητε ζῆλον δι' αὐτούς». Ἐγὼ ὅμως τὸ ἀντίθετον θέλω, λέγει, δηλαδὴ νὰ γίνεσθε ἐσεῖς κανὼν καὶ ὑπόδειγμα διὰ τοὺς τελειοτέρους. Πρᾶγμα τὸ ὁποῖον καὶ ἔγινεν, ὅταν ἤμουν πλησίον σας. Διὰ τοῦτο καὶ προσθέτει λέγων· «Εἶναι ὡραῖον νὰ εἶναι κανεὶς ζηλευτὸς διὰ τὸ καλὸν πάντοτε καὶ ὄχι μόνον ὅταν εἶμαι πλησίον

μόνον ἐν τῷ παρεῖναί με πρὸς ὑμᾶς». Ἐνταῦθα γὰρ αἰνίττεται, ὅτι ἡ ἀπουσία αὐτοῦ ταῦτα εἰργάσατο, καὶ ὅτι τὸ μὲν μακάριον τοῦτό ἐστι, μὴ παρόντος τοῦ διδασκάλου μόνον τοὺς μαθητὰς τὴν δέουσαν γνώμην ἔχειν, ἀλλὰ καὶ ἀπόντος· ἐπειδὴ δὲ ἐκεῖνοι οὐδέπω πρὸς τοῦτο ἦσαν τελειότητος ἀφιγμένοι, πάντα ποιεῖ, ὥστε εἰς τοῦτο αὐτοὺς ἐμβιβάσαι.

«Τεκνία μου, οὓς πάλιν ὠδίνω, ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν». Ὅρα ταραττόμενον, ὅρα θορυβούμενον. «Ἀδελφοί μου, δέομαι ὑμῶν»· τεκνία μου, οὓς πάλιν ὠδίνω». Μητέρα μιμεῖται περιτρέμουσαν τοῖς παιδίοις. «Ἄχρις οὗ μορφωθῇ Χριστὸς ἐν ὑμῖν». Εἶδες σπλάγχνα πατρικά; εἶδες ἀθυμίαν ἀποστόλῳ πρέπουσαν; εἶδες οἵαν ἀφῆκεν ὀλολυγὴν πολὺ τῶν τικτουσῶν πικροτέραν; Διεφθείρατε, φησί, τὴν εἰκόνα, ἀπωλέσατε τὴν συγγένειαν, τὴν μορφὴν ἠλλοιώσατε· ἀναγεννήσεως ἑτέρας ὑμῖν δεῖ καὶ ἀναπλάσεως· ἀλλ' ὅμως ἔτι τεκνία καλῶ τὰ ἀμβλωθρίδια, τὰ ἐκτρώματα. Ἀλλ' οὕτω μὲν οὐ λέγει, ἑτέρως δέ· φείδεται γάρ, καὶ οὐ βούλεται πλῆξαι, οὐδὲ τραύματα ἐπιθεῖναι τραύμασιν· ἀλλ' ὥσπερ οἱ σοφοὶ τῶν ἰατρῶν τοὺς εἰς μακρὰν καταπεσόντας νόσον οὐχ ὑφ' ἓν θεραπεύουσιν, ἀλλὰ διαλιμπάνοντες, ὥστε μὴ ὀλιγοψυχοῦντας ἀπολέσθαι, οὕτω καὶ ὁ μακάριος οὗτος. Καὶ γὰρ αἱ ὠδῖνες αὗται δριμύτεραι, ὅσῳ καὶ ἡ φιλοστοργία μείζων. Καὶ τὸ ἁμαρτηθὲν οὐ τὸ τυχὸν ἦν. Ὅπερ γὰρ ἀεὶ λέγω, καὶ λέγων οὐ παύσομαι, καὶ τὸ μικρὸν παραβαθὲν ὁλόκληρον τὴν ὄψιν ἠφάνισε, καὶ τὴν μορφὴν ἐλυμήνατο.

«Ἤθελον παρεῖναι πρὸς ὑμᾶς ἄρτι, καὶ ἀλλάξαι τὴν φωνήν μου». Σκόπει μοι τὸν ἀκαρτέρητον, τὸν θερμόν, τὸν οὐ δυνάμενον στέγειν τὰ τοιαῦτα. Τοιοῦτον γὰρ ἡ ἀγάπη· οὐκ ἀρκεῖται τοῖς ῥήμασιν, ἀλλ' ἐπιζητεῖ καὶ τὴν παρουσίαν.

10. Γαλ. 4, 18.
11. Γαλ. 4, 19.
12. Γαλ. 4, 20.

σας»[10]. Ἐδῶ δηλαδὴ ὑπαινίσσεται ὅτι ἡ ἀπουσία του ἀπειργάσθη αὐτὰ καὶ ὅτι τὸ μὲν ἄξιον ἐπαίνου αὐτὸ εἶναι, δηλαδὴ ὄχι μόνον ὅταν εἶναι παρὼν ὁ διδάσκαλος νὰ ἔχουν οἱ μαθηταὶ τὴν πρέπουσαν γνώμην, ἀλλὰ καὶ ὅταν λείπῃ· ἐπειδὴ ὅμως ἐκεῖνοι δὲν εἶχον φθάσει ἀκόμη εἰς τέτοιο σημεῖον τελειότητος, κάμνει τὰ πάντα, ὥστε νὰ τοὺς ὁδηγήσῃ εἰς αὐτό.

«Παιδιά μου, διὰ τὰ ὁποῖα πάλιν δοκιμάζω πόνους τοκετοῦ ἕως ὅτου μορφωθῇ μέσα σας ὁ Χριστός»[11]. «Παιδιά μου, διὰ τὰ ὁποῖα πάλιν δοκιμάζω πόνους τοκετοῦ». Παρομοιάζει τὸν ἑαυτόν του μὲ μητέρα ποὺ τρέμει ὁλόκληρος διὰ τὰ παιδιά της. «Ἕως ὅτου μορφωθῇ μέσα μας ὁ Χριστός». Εἶδες εὐσπλαχνίαν πατρικήν; Εἶδες θλῖψιν πρέπουσαν εἰς ἀπόστολον; Εἶδες τί κραυγὴν λύπης ἄφησε, πικροτέραν κατὰ πολὺ ἀπὸ τὰς μητέρας ποὺ γεννοῦν; Διεφθείρατε, λέγει, τὸ κατ' εἰκόνα, ἀπωλέσατε τὴν συγγένειαν μὲ τὸν Θεόν, ἔχετε ἀλλοιώσει τὴν μορφήν· χρειάζεται δι' ἐσᾶς ἄλλη ἀναγέννησις καὶ ἀνάπλασις· ἀλλ' ὅμως ἀκόμη παιδιὰ ὀνομάζω ἐσᾶς ποὺ εἶσθε ἐξαμβλώματα, ἐκτρώματα. Δὲν λέγει ὅμως ἔτσι, ἀλλὰ ἄλλως· διότι λυπεῖται καὶ δὲν θέλει νὰ κτυπήσῃ, οὔτε νὰ προσθέσῃ τραύματα ἐπάνω εἰς τὰ τραύματα· ἀλλ' ὅμως οἱ σοφοὶ ἀπὸ τοὺς ἰατρούς, αὐτοὺς οἱ ὁποῖοι καταπίπτουν εἰς χρονίαν νόσον δὲν θεραπεύουν ἀμέσως, ἀλλὰ σιγὰ-σιγά, ὥστε νὰ μὴ ὀλιγοψυχήσουν καὶ καταστραφοῦν, ἔτσι καὶ αὐτὸς ὁ μακάριος. Καὶ βεβαίως αὐτοὶ οἱ πόνοι τοῦ τοκετοῦ εἶναι τόσον ἐντονώτεροι, ὅσον καὶ ἡ φιλοστοργία μεγαλυτέρα. Καὶ τὸ ἁμάρτημα δὲν ἦτο ἀσήμαντον. Ἀλλ' αὐτὸ ἀκριβῶς τὸ ὁποῖον λέγω πάντοτε καὶ δὲν θὰ παύσω νὰ λέγω, ὅτι δηλαδὴ καὶ ἡ πλέον μικρὰ παράβασις ἀφανίζει ὅλην τὴν ὄψιν καὶ καταστρέφει τὴν μορφήν.

«Πόσον θὰ ἤθελον νὰ εἶμαι τώρα μαζί σας καὶ νὰ ἀλλάξω τὸν τόνον τῆς φωνῆς μου»[12]. Κοίταξε τὸν ἀνυπόμονον, τὸν θερμόν, ὁ ὁποῖος δὲν δύναται νὰ τὰ ὑποφέρῃ αὐτά. Τέτοια λοιπὸν εἶναι ἡ ἀγάπη· δὲν ἀρκεῖται εἰς τοὺς λόγους,

Τίνος δὲ ἕνεκεν ζητεῖ τὴν παρουσίαν; Ὥστε «ἀλλάξαι τὴν φωνήν μου», φησί· τουτέστιν, ὀλολύξαι καὶ ὀλοφυρμὸν ποιῆσαι καὶ δάκρυα, καὶ πάντα εἰς θρῆνον ἐπισπάσασθαι. Διὰ γὰρ ἐπιστολῆς οὐκ ἐνῆν δάκρυα δεῖξαι οὐδὲ ὀλολυγμόν· διὸ καίεται τὴν παρουσίαν ἐπιζητῶν.

«Ὅτι ἀπορούμαι ἐν ὑμῖν». Οὐκ ἔχω γάρ, φησί, τί εἴπω, οὐκ ἔχω τί λογίσωμαι. Πόθεν οἱ πρὸς αὐτὴν ἀναβάντες τῶν οὐρανῶν τὴν κορυφήν, καὶ διὰ τῶν κινδύνων, οὓς ὑπεμείνατε ὑπὲρ τῆς πίστεως, καὶ διὰ τῶν σημείων, ὧν ἐπεδείξασθε διὰ τῆς πίστεως, νῦν ἀθρόον οὕτως εἰς τοσαύτην εὐτέλειαν κατηνέχθητε, ὡς εἰς περιτομὴν καὶ Σάββατα σύρεσθαι, καὶ τῶν Ἰουδαϊζόντων ἐκκρέμασθαι; Διὰ ταῦτα καὶ ἀρχόμενος ἔλεγε, «Θαυμάζω ὅτι οὕτω ταχέως μετατίθεσθε»· καὶ ἐνταῦθα, «Ἀπορούμαι ἐν ὑμῖν»· ὡς ἂν εἰ ἔλεγε· τί εἴπω; τί λαλήσω; τί ἐννοήσω; ἀπορῶ. Διὸ καὶ ὀλολύζειν ἀνάγκη, ὅπερ ἐν τοῖς ἀπόροις ποιοῦσι καὶ οἱ προφῆται. Εἶδος δὲ καὶ τοῦτο θεραπείας οὐ μικρόν, τὸ μὴ μόνον συμβουλεύειν, ἀλλὰ καὶ θρηνεῖν. Τοῦτο γὰρ καὶ Μιλησίοις διαλεγόμενος ἔλεγε· «Τριετίαν μετὰ δακρύων νουθετῶν ὑμᾶς οὐ διέλιπον». Τοῦτο καὶ ἐνταῦθά φησι λέγων, «ἀλλάξαι τὴν φωνήν μου». Καὶ γὰρ ἐν ταῖς ἀπορίαις καὶ ταῖς ἀμηχανίαις ταῖς παρ' ἐλπίδα συμβαινούσαις νικώμενοι, λοιπὸν ἐπὶ τὰ δάκρυα καταφερόμεθα.

4. Ἐπειδὴ τοίνυν ἐπέπληξε καὶ ἐνέτρεψε, καὶ ἐθεράπευσε πάλιν, εἶτα ὠλοφύρατο· ὁ δὲ ὀλοφυρμὸς οὐκ ἐπιπλήξεως μόνης, ἀλλὰ καὶ κολακείας ἐστίν· οὔτε γὰρ τραχύνει, ὥσπερ ἐπίπληξις, οὔτε χαλᾷ, καθάπερ ἡ θεραπεία, ἀλλ' ἔστι μεμιγμένον φάρμακον, καὶ πολλὴν ἔχει τὴν ἰσχὺν πρὸς παραίνεσιν· ἐπειδὴ οὖν ὠλοφύρατο καὶ ἐμάλαξεν αὐτῶν τὴν

18. Πράξ. 20, 31.

ἀλλ' ἐπιζητεῖ καὶ τὴν παρουσίαν. Ἐξ αἰτίας τίνος δὲ ἐπιθυμεῖ τὴν παρουσίαν; Διὰ νὰ «ἀλλάξω τὸν τόνον τῆς φωνῆς μου», λέγει· δηλαδὴ νὰ κραυγάσω καὶ νὰ θρηνήσω καὶ νὰ δακρύσω, καὶ νὰ καλέσω ὅλους εἰς θρῆνον. Διότι διὰ τῆς ἐπιστολῆς δὲν ἦτο δυνατὸν νὰ δείξῃ δάκρυα, οὔτε λυγμόν· διὰ τοῦτο φλέγεται ἐπιθυμῶν τὴν παρουσίαν.

«Διότι εὑρίσκομαι εἰς ἀμηχανίαν δι' ἐσᾶς». Δηλαδὴ δὲν ἔχω, λέγει, τί νὰ εἴπω, δὲν ἔχω τί νὰ σκεφθῶ. Ἀπὸ ποῦ σεῖς οἱ ὁποῖοι ἀνέβητε εἰς τὴν κορυφὴν τῶν οὐρανῶν, καὶ διὰ μέσου τῶν κινδύνων τοὺς ὁποίους ὑπεμείνατε χάριν τῆς πίστεως, καὶ διὰ μέσου τῶν θαυμάτων τὰ ὁποῖα ἐπεδείξατε μὲ τὴν δύναμιν τῆς πίστεως, τώρα ἀποτόμως κατηντήσατε ἔτσι εἰς τόσην εὐτέλειαν, ὥστε νὰ σύρεσθε εἰς περιτομὴν καὶ Σάββατα καὶ νὰ ἐξαρτᾶσθε ἀπὸ τοὺς Ἰουδαίους; Διὰ τοῦτο καὶ ἀρχίζων τὴν ἐπιστολὴν ἔλεγε· «Ἀπορῶ πῶς μετατίθεσθε τόσον ταχέως» καὶ ἐδῶ· «εὑρίσκομαι εἰς ἀμηχανίαν δι' ἐσᾶς». Ὡσὰν νὰ ἔλεγε· τί νὰ εἴπω; Τί νὰ ὁμιλήσω; Ἀπορῶ. Διὰ τοῦτο καὶ εἶναι ἀνάγκη νὰ θρηνῇ, ὅπως κάνουν καὶ οἱ προφῆται εἰς τὰς δυσκόλους στιγμὰς τοῦ λαοῦ. Εἶναι δὲ καὶ αὐτὸ εἶδος θεραπείας ἀποτελεσματικόν, δηλαδὴ ὄχι μόνον νὰ συμβουλεύῃ κανείς, ἀλλὰ καὶ νὰ θρηνῇ. Αὐτὸ λοιπὸν ἔλεγεν ὁμιλῶν καὶ εἰς τοὺς Μιλησίους· «Ἐπὶ τριετίαν, νύκτα καὶ ἡμέραν δὲν ἔπαυσα νὰ νουθετῶ τὸν καθένα ἀπὸ σᾶς μὲ δάκρυα»[18]. Αὐτὸ ἐννοεῖ καὶ ἐδῶ, λέγων· «Καὶ ν' ἀλλάξω τὸν τόνον τῆς φωνῆς μου». Διότι εἰς τὰς δυσκόλους στιγμὰς καὶ εἰς ἀμηχανίαν, νικώμενοι ἀπὸ τὰ συμβαίνοντα παρ' ἐλπίδα, καταφεύγομεν λοιπὸν εἰς τὰ δάκρυα.

4. Ἐπειδὴ λοιπὸν ἐπέπληξε καὶ ἐντρόπιασε, καὶ μετὰ περιεποιήθη, ὕστερον καὶ ἐθρήνησε· ὁ δὲ θρῆνος ὄχι μόνον δὲν εἶναι ἀποτέλεσμα ἐπιπλήξεως, ἀλλ' ἐπὶ πλέον καὶ φιλοφρονήσεως· διότι, οὔτε σκληρύνει, ὅπως ἡ ἐπίπληξις, οὔτε χαλαρώνει, ὅπως ἡ περιποίησις· ἀλλ' εἶναι ἀνάμικτον φάρμακον, καὶ ἔχει πολλὴν δύναμιν πρὸς παραίνεσιν· ἐπειδὴ λοιπὸν ἐθρήνησε καὶ ἐμαλάκωσε τὴν ψυχήν των καὶ προσείλ-

διάνοιαν, καὶ ἐπεσπάσατο μειζόνως, πάλιν εἰς τοὺς ἀγῶνας ἐμβαίνει, κεφάλαιον τιθεὶς μεῖζον, δεικνὺς ὅτι αὐτὸς ὁ νόμος οὐ βούλεται ἑαυτὸν φυλάττεσθαι. Τότε μὲν οὖν ἐκ τοῦ Ἀβραὰμ τὸ παράδειγμα εἰσήγαγε, νῦν δὲ αὐτὸν εἰσάγει τὸν νόμον παραινοῦντα μὴ φυλάττειν αὐτόν, ἀλλὰ ἀναχωρεῖν, ὅπερ ἦν ἰσχυρότερον. Ὥστε εἰ βούλεσθε πείθεσθαι τῷ νόμῳ, φησίν, ἀπόστητε αὐτοῦ· τοῦτο γὰρ αὐτὸς βούλεται. Ἀλλ' οὕτω μὲν οὐ λέγει· ἑτέρως δὲ αὐτὸ κατασκευάζει, καὶ ἱστορίαν ἀναμιγνύς.

«Λέγετε γάρ μοι», φησίν, «οἱ ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ ἀκούετε;». Καλῶς εἶπεν, «οἱ ἐθέλοντες»· οὐ γὰρ τῆς τῶν πραγμάτων ἀκολουθίας, ἀλλὰ τῆς ἐκείνων ἀκαίρου φιλονεικίας τὸ πρᾶγμα ἦν. Νόμον δὲ ἐνταῦθα τὸ βιβλίον τῆς κτίσεως καλεῖ, ὅπερ πολλάκις ποιεῖ, τὴν παλαιὰν ἅπασαν οὕτως ὀνομάζων. «Γέγραπται γάρ, ὅτι Ἀβραὰμ δύο υἱοὺς ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ τῆς ἐλευθέρας». Πάλιν ἐπὶ τὸν Ἀβραὰμ ἄνεισιν, οὐ ταυτολογῶν, ἀλλ' ἐπειδὴ πολλὴ τοῦ πατριάρχου παρὰ τοῖς Ἰουδαίοις ἡ δόξα ἦν, δείκνυσιν ὅτι ἐκεῖθεν οἱ τύποι τὴν ἀρχὴν ἔλαβον, καὶ τὰ παρόντα ἐν αὐτῷ προεζωγραφεῖτο. Καὶ πρῶτον δείξας υἱοὺς ὄντας τοῦ Ἀβραάμ, ἐπειδὴ οὐ τῆς αὐτῆς ἀξίας ἦσαν οἱ υἱοὶ τοῦ πατριάρχου, ἀλλ' ὁ μὲν ἐκ τῆς δούλης, ὁ δὲ ἐκ τῆς ἐλευθέρας, δείκνυσι λοιπόν, ὅτι οὐ μόνον υἱοί, ἀλλὰ καὶ οὕτως υἱοί, ὡς ὁ ἐλεύθερος καὶ εὐγενής· Τοσαύτη τῆς πίστεως ἡ δύναμις.

«Ἀλλ' ὁ μὲν ἐκ τῆς παιδίσκης κατὰ σάρκα γεγέννηται· ὁ δὲ ἐκ τῆς ἐλευθέρας κατ' ἐπαγγελίαν». Τί ἐστι, «κατὰ σάρκα»; Ἐπειδὴ ἔλεγεν, ὅτι ἡ πίστις ἡμᾶς συνάπτει τῷ Ἀβραάμ, καὶ ἐδόκει τοῖς ἀκούουσιν ἀπίθανον εἶναι, εἰ τοὺς μὴ γενομένους ἐξ ἐκείνου, τούτους φησὶν υἱοὺς εἶναι ἐκείνου,

---

14. Γαλ. 4, 21.
15. Γαλ. 4, 22. Γεν. 16, 15. 21, 2. 9.
16. Γαλ. 4, 23.

κυσε περισσότερον, εἰσέρχεται πάλιν εἰς τοὺς ἀγῶνας, θέτων μεγαλύτερον κεφάλαιον, διὰ ν' ἀποδείξῃ ὅτι ὁ ἴδιος ὁ νόμος δὲν θέλει νὰ τηρῆται. Τότε μὲν λοιπὸν ἔλαβε τὸ παράδειγμα ἀπὸ τὸν Ἀβραάμ, τώρα δὲ εἰσάγει τὸν ἴδιον τὸν νόμον νὰ παραινῇ νὰ μὴ τὸν τηρῶμεν, ἀλλὰ νὰ φεύγωμεν ἀπὸ αὐτόν, τὸ ὁποῖον παράδειγμα ἦτο ἰσχυρότερον. Ὥστε ἐὰν θέλετε νὰ πείθεσθε εἰς τὸν νόμον, λέγει, ἀπομακρυνθῆτε ἀπὸ αὐτόν· διότι αὐτὸ θέλει ὁ νόμος. Δὲν λέγει ὅμως ἔτσι ρητῶς· ἀλλὰ μὲ διαφορετικὸν τρόπον λέγει αὐτό, ἀναμιγνύων καὶ μίαν διήγησιν.

«Εἴπετέ μου σεῖς, οἱ ὁποῖοι θέλετε νὰ εἶσθε ὑπὸ τὸν νόμον, δὲν ἀκούετε τὸν νόμον;»[14]. Καλῶς εἶπεν «σεῖς, οἱ ὁποῖοι θέλετε»· διότι ἡ κατάστασις ἐδημιουργεῖτο, ὄχι ἀπὸ τὴν συνέπειαν τῶν πραγμάτων, ἀλλ' ἀπὸ τὴν φιλονεικίαν ἐκείνην. Νόμον δὲ ἐννοεῖ ἐδῶ τὸ βιβλίον τῆς δημιουργίας, πρᾶγμα τὸ ὁποῖον κάνει πολλὰς φοράς, ὀνομάζων ἔτσι ὁλόκληρον τὴν Παλαιὰν Διαθήκην. «Εἶναι γεγραμμένον, ὅτι ὁ Ἀβραὰμ εἶχε δύο υἱούς, ἕνα ἀπὸ τὴν δούλην του καὶ ἕνα ἀπὸ τὴν ἐλευθέραν»[15]. Πάλιν εἰς τὸν Ἀβραὰμ ἐπιστρέφει, ὄχι διὰ νὰ εἴπῃ τὰ ἴδια, ἀλλ' ἐπειδὴ ἦτο μεγάλη ἡ δόξα τοῦ πατριάρχου εἰς τοὺς Ἰουδαίους, ἀποδεικνύει ὅτι ἀπὸ ἐκεῖ ἔλαβον τὴν ἀρχήν των τὰ σημεῖα, καὶ ὅτι τὰ παρόντα προετυπώθησαν εἰς αὐτόν. Καὶ πρῶτον, ἀφοῦ ἔδειξεν ὅτι εἶναι υἱοὶ τοῦ Ἀβραάμ, ἐπειδὴ δὲν ἦσαν τῆς αὐτῆς ἀξίας οἱ υἱοὶ τοῦ πατριάρχου, ἀλλ' ὁ μὲν ἐγεννήθη ἀπὸ τὴν δούλην, ὁ δὲ ἀπὸ τὴν ἐλευθέραν, δεικνύει λοιπόν, ὅτι ὄχι μόνον υἱοί, ἀλλὰ καὶ μὲ τέτοιον τρόπον υἱοί, ὅπως ὁ ἐλεύθερος καὶ ὁ εὐγενής. Τόση εἶναι ἡ δύναμις τῆς πίστεως.

«Ἀλλ' ὁ υἱὸς τῆς δούλης ἐγεννήθη κατὰ τὸν φυσικὸν νόμον, ἐνῷ τῆς ἐλευθέρας δυνάμει τῆς ὑποστάσεως τοῦ Θεοῦ»[16]. Τί σημαίνει «κατὰ τὸν φυσικὸν νόμον»; Ἐπειδὴ ἔλεγεν ὅτι ἡ πίστις μᾶς συνδέει μὲ τὸν Ἀβραὰμ καὶ ἐφαίνετο εἰς τοὺς ἀκούοντας ὅτι εἶναι ἀπίθανον τὸ νὰ εἶναι, ὅπως λέγει, υἱοὶ ἐκείνου ὅσοι δὲν ἐγεννήθησαν ἀπὸ ἐκεῖ-

δείκνυσιν ὅτι τὸ παράδοξον τοῦτο ἄνωθεν γέγονεν. Ὁ γὰρ Ἰσαὰκ οὐ κατὰ φύσεως ἀκολουθίαν, οὐδὲ κατὰ γάμων νόμον, οὐδὲ κατὰ σαρκὸς δύναμιν γενόμενος, καὶ υἱὸς καὶ γνήσιος ἦν, ἀπὸ νεκρῶν σωμάτων φύς, καὶ ἀπὸ τῆς μήτρας ἐκείνης. Οὐ γὰρ ἡ σὰρξ τὴν κύησιν, οὐδὲ τὸ σπέρμα τὸν τόκον εἰργάσαντο· νεκρὰ γὰρ ἡ μήτρα, καὶ διὰ τὴν ἡλικίαν καὶ διὰ τὴν πήρωσιν· ἀλλ' ὁ τοῦ Θεοῦ Λόγος αὐτὸν ἔπλασεν. Ἐπὶ δὲ τοῦ δούλου οὐχ οὕτως, ἀλλ' ἐκεῖνος τοῖς τῆς φύσεως θεσμοῖς καὶ τῇ τοῦ γάμου συνηθείᾳ τίκτεται. Ἀλλ' ὅμως ὁ μὴ κατὰ σάρκα τοῦ κατὰ σάρκα γεννηθέντος τιμιώτερος ἦν.

Μὴ θορυβείτω τοίνυν ὑμᾶς τὸ μὴ κατὰ σάρκα γεγεννῆσθαι· διὰ γὰρ τοῦτο μάλιστα αὐτοῦ συγγενεῖς ὑμεῖς, ὅτι οὐ κατὰ σάρκα ἐγεννήθητε. Οὐ γὰρ τιμιωτέρους τοῦτο τὸ κατὰ σάρκα, ἀλλὰ καὶ ἀτιμοτέρους ἐργάζεται. Θαυμαστότερος γὰρ ὁ τόκος ὁ μὴ κατὰ σάρκα καὶ πνευματικώτερος· καὶ δῆλον ἐκ τῶν ἄνωθεν τεχθέντων. Ἐτέχθη γὰρ κατὰ σάρκα ὁ Ἰσραήλ, ἀλλὰ δοῦλος ἦν, καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐξεβάλλετο τῆς πατρῴας οἰκίας· ὁ δὲ κατ' ἐπαγγελίαν τεχθεὶς ὁ Ἰσαάκ, ἅτε υἱὸς ὢν καὶ ἐλεύθερος, κύριος ἦν πάντων. «Ἅτινά ἐστιν ἀλληγορούμενος». Καταχρηστικῶς τὸν τύπον ἀλληγορίαν ἐκάλεσεν. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· ἡ μὲν ἱστορία αὕτη· οὐ τοῦτο δὲ μόνον παραδηλοῖ, ὅπερ φαίνεται, ἀλλὰ καὶ ἄλλα τινὰ ἀναγορεύει· διὸ καὶ ἀλληγορία κέκληται.

Τί δὲ ἀνηγόρευσεν; Οὐδὲν ἕτερον, ἢ τὰ παρόντα πάντα· «Αὗται γάρ εἰσιν αἱ δύο διαθῆκαι», φησί, «μία μὲν ἀπὸ ὄρους Σινᾶ εἰς δουλείαν γεννῶσα, ἥτις ἐστὶν Ἄγαρ». Αὗται

17. Γαλ. 4, 24.

νον, δεικνύει ὅτι αὐτὸ τὸ παράδοξον ἔγινεν ἄνωθεν. Διότι ὁ Ἰσαάκ, ἐνῷ δὲν ἐγεννήθη κατὰ τὸν φυσικὸν νόμον, οὔτε κατὰ τὸν νόμον τοῦ γάμου, οὔτε ἀπὸ τὴν δύναμιν τῆς σαρκός, καὶ υἱὸς καὶ γνήσιος ἦτο, γεννηθεὶς ἀπὸ νεκρὰ σώματα καὶ νεκρὰν μήτραν. Διότι οὔτε ἡ σάρκα τὴν κύησιν, οὔτε τὸ σπέρμα τὴν γέννησιν ἀπειργάσθησαν, ἀφοῦ ἦτο νεκρὰ ἡ μήτρα καὶ ἐξ αἰτίας τῆς ἡλικίας καὶ ἐξ αἰτίας τῆς φυσικῆς βλάβης· ἀλλ' ἔπλασεν αὐτὸν ὁ λόγος τοῦ Θεοῦ. Εἰς τὸν δοῦλον ὅμως δὲν ἔγινε ἔτσι, ἀλλ' ἐκεῖνος ἐγεννήθη συμφώνως μὲ τοὺς νόμους τῆς φύσεως καὶ τὴν συνήθειαν τοῦ γάμου. Ἀλλ' ἐκεῖνος ὁ ὁποῖος δὲν ἐγεννήθη κατὰ τὸν φυσικὸν νόμον, ἦτο πολυτιμότερος ἀπὸ τὸν γεννηθέντα κατὰ τὸν φυσικὸν νόμον.

Ἂς μὴ σᾶς θορυβῇ λοιπὸν τὸ ὅτι δὲν ἐγεννήθητε κατὰ τὸν φυσικὸν νόμον· διότι περισσότερον συγγενεῖς του εἶσθε σεῖς, διὰ τὸ ὅτι δὲν ἐγεννήθητε κατὰ τὸν φυσικὸν νόμον. Ἐπειδή, ὄχι μόνον δὲν σᾶς κάνει περισσότερον ἀξίους ἡ φυσικὴ γέννησις, ἀλλὰ καὶ ὀλιγώτερον σᾶς τιμᾷ. Διότι εἶναι θαυμαστοτέρα καὶ πνευματικωτέρα ἡ μὴ φυσικὴ γέννησις· καὶ εἶναι φανερὸν τοῦτο ἀπὸ τοὺς γεννηθέντας, τοὺς ὁποίους ἀνεφέραμεν. Ἐγεννήθη δηλαδὴ κατὰ τὸν φυσικὸν νόμον ὁ Ἰσμαήλ, ἀλλ' ἦτο δοῦλος, καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ ἐδιώχθη ἀπὸ τὴν πατρικὴν οἰκίαν· ὁ Ἰσαὰκ ὅμως ὁ ὁποῖος ἐγεννήθη καθ' ὑπόσχεσιν τοῦ Θεοῦ, ἐνῷ ἦτο καὶ υἱὸς καὶ ἐλεύθερος, ἦτο κύριος ὅλης τῆς πατρικῆς κληρονομίας. «Αὐτὰ εἶναι ἀλληγορικά»[17]. Καταχρηστικῶς ὠνόμασε τὸ σημεῖον ἀλληγορίαν. Ἐκεῖνο ὅμως τὸ ὁποῖον ἐννοεῖ, εἶναι τὸ ἑξῆς· ἡ μὲν διήγησις εἶναι αὐτή· δὲν ἐννοεῖ ὅμως μόνον αὐτὸ τὸ ὁποῖον φαίνεται, ἀλλὰ καὶ μερικὰ ἄλλα ἀνακηρύσσει· διὰ τοῦτο καὶ ὠνομάσθη ἀλληγορία.

Τί δὲ ἀνεκήρυξεν; Τίποτε ἄλλο, παρὰ ὅλα τὰ παρόντα. Διότι «αἱ δύο αὐταὶ γυναῖκες εἶναι αἱ δύο διαθῆκαι», λέγει, «ἡ μὲν μία, ἡ ὁποία προῆλθεν ἀπὸ τὸ ὄρος Σινᾶ καὶ γεννᾷ παιδιὰ διὰ δουλείαν· αὐτὴ εἶναι ἡ Ἄγαρ»[17]. Αὐταί· ποῖαι;

τίνες; Τῶν παιδίων ἐκείνων αἱ μητέρες, ἡ Σάρρα καὶ ἡ Ἄγαρ. Τί εἰσι; Δύο διαθῆκαι, δύο νόμοι. Ἀλλ' ἐπειδὴ γυναικῶν ὀνόματα ἦν ἐν τῇ ἱστορίᾳ, ἐνέμεινεν ἐν τῇ προσηγορίᾳ τοῦ γένους, καὶ ἀπὸ τῶν ὀνομάτων πολλὴν δεικνὺς τὴν ἀκολουθίαν. Πῶς δὲ ἀπὸ τῶν ὀνομάτων; «Τὸ γὰρ Ἄγαρ Σινᾶ ὄρος ἐστί», φησίν, «ἐν τῇ Ἀραβίᾳ». Ἄγαρ ἐλέγετο ἡ δούλη· τὸ δὲ Σινᾶ ὄρος οὕτω μεθερμηνεύεται τῇ ἐπιχωρίῳ αὐτῶν γλώττῃ. Ὥστε τοὺς ἐκ τῆς παλαιᾶς τικτομένους πάντας ἀνάγκη δούλους εἶναι. Τὸ γὰρ ὄρος ἐκεῖνο ἔνθα ἡ παλαιὰ διαθήκη ἐδόθη ὁμώνυμον ὂν τῇ δούλῃ, παραλαμβάνει καὶ τὴν Ἱερουσαλήμ. Τοῦτο γάρ ἐστι· «Συστοιχεῖ δὲ τῇ νῦν Ἱερουσαλήμ»· τουτέστι, γειτνιάζει, ἅπτεται.

5. Τί οὖν ἀπὸ τούτου; Ὅτι οὐ μόνον ἐκείνη δούλη ἦν, καὶ δούλους ἔτικτεν, ἀλλὰ καὶ αὕτη, τουτέστιν, ἡ διαθήκη, ἧς τύπος ἡ δούλη. Καὶ γὰρ ἡ Ἱερουσαλὴμ ἐκ γειτόνων κεῖται τῷ ὄρει τῷ ὁμονύμῳ τῇ δούλῃ· ἐν τούτῳ δὲ τῷ ὄρει καὶ ἡ διαθήκη δέδοται. Ποῦ οὖν καὶ τῆς Σάρρας ὁ τύπος; «Ἡ δὲ ἄνω Ἱερουσαλὴμ ἐλευθέρα ἐστίν». Οὐκοῦν καὶ οἱ ἐξ αὐτῆς τικτόμενοι οὐ δοῦλοι. Τῆς μὲν Ἱερουσαλὴμ τῆς κάτω τύπος ἦν Ἄγαρ, καὶ δῆλον ἐκ τοῦ ὄρους τοῦ οὕτω καλουμένου· τῆς δὲ ἄνω ἡ ἐκκλησία. Ἀλλ' ὅμως οὐκ ἀρκεῖται τοῖς τύποις, ἀλλὰ καὶ τὸν Ἡσαΐαν προστίθησι μαρτυροῦντα τοῖς εἰρημένοις. Εἰπὼν γάρ, ἡ ἄνω Ἱερουσαλὴμ μήτηρ ἡμῶν ἐστι, καὶ τὴν Ἐκκλησίαν οὕτω καλέσας, παρίστησι τὸν προφήτην τὰ αὐτὰ αὐτῷ ψηφιζόμενον.

«Εὐφράνθητι γάρ», φησί, «στεῖρα ἡ οὐ τίκτουσα, ῥῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα». Τίς οὖν ἡ στεῖρα, καὶ τίς ἡ ἔρημος πρὸ τούτου; οὐκ εὔδηλον ὅτι ἡ ἐξ ἐθνῶν ἐκκλησία,

18. Γαλ. 4, 25.
19. Γαλ. 4, 26.
20. Γαλ. 4, 27.

Αἱ μητέρες ἐκείνων τῶν παιδιῶν, ἡ Σάρρα καὶ ἡ Ἄγαρ. Τί εἶναι; Δύο διαθῆκαι, δύο νόμοι. Ἀλλ' ἐπειδὴ ἦσαν ὀνόματα γυναικῶν εἰς τὴν διήγησιν ἐπέμεινεν εἰς τὴν ὀνομασίαν τοῦ γένους, δεικνύων τὴν ἀντιστοιχίαν καὶ ἀπὸ τὰ ὀνόματα. Πῶς δὲ ἀπὸ τὰ ὀνόματα; «Διότι ἡ λέξις Ἄγαρ σημαίνει τὸ ὄρος Σινᾶ εἰς τὴν Ἀραβίαν»[18], λέγει. Ἄγαρ ἐλέγετο ἡ δούλη· τὸ δὲ ὄρος Σινᾶ ἔτσι μεταφράζεται εἰς τὴν ἐντόπιον γλῶσσαν αὐτῶν. Ὥστε ὅλοι οἱ γεννώμενοι ἀπὸ τὴν παλαιὰν Διαθήκην κατ' ἀνάγκην εἶναι δοῦλοι. Διότι ἐκεῖνο τὸ ὄρος ὅπου ἐδόθη ἡ παλαιὰ Διαθήκη, τὸ ὁποῖον εἶναι ὁμώνυμον μὲ τὴν δούλην, συμπεριλαμβάνει καὶ τὴν Ἰερουσαλὴμ. Διότι αὐτὸ σημαίνει «ἀντιστοιχεῖ εἰς τὴν σημερινὴν Ἰερουσαλήμ», δηλαδὴ γειτνιάζει, ἐφάπτεται.

5. Τί λοιπὸν ἐξάγεται ἀπὸ αὐτό; Ὅτι ὄχι μόνον ἐκείνη ἦτο δούλη καὶ ἐγέννα δούλους, ἀλλὰ καὶ αὐτή, δηλαδὴ ἡ διαθήκη, τῆς ὁποίας προτύπωσις εἶναι ἡ δούλη. Διότι καὶ ἡ Ἰερουσαλὴμ γειτνιάζει μὲ τὸ ὄρος τὸ ὁμώνυμον πρὸς τὴν δούλην· εἰς τοῦτο δὲ τὸ ὄρος ἔχει δοθῆ ἡ διαθήκη. Ἀλλὰ ποία εἶναι καὶ τῆς Σάρρας ἡ προτύπωσις; «Ἡ ἄνω ὅμως Ἰερουσαλὴμ εἶναι ἐλευθέρα»[19]. Ἄρα καὶ οἱ γεννώμενοι ἀπὸ αὐτὴν δὲν εἶναι δοῦλοι. Τῆς μὲν κάτω Ἰερουσαλὴμ τύπος ἦτο ἡ Ἄγαρ, καὶ εἶναι τοῦτο φανερὸν ἀπὸ τὸ ὄρος τὸ ὀνομαζόμενον ἔτσι· τῆς δὲ ἄνω ἡ Ἐκκλησία. Δὲν ἀρκεῖται ὅμως εἰς τὰς προτυπώσεις, ἀλλὰ προσθέτει καὶ τὸν Ἠσαΐαν, ὁ ὁποῖος μαρτυρεῖ διὰ τὰ λεχθέντα. Διότι λέγων ὅτι ἡ ἄνω Ἰερουσαλὴμ εἶναι μήτηρ ἡμῶν, καὶ ὀνομάσας ἔτσι τὴν ἐκκλησίαν, παρουσιάζει τὸν προφήτην νὰ δέχεται τὰ ἴδια μὲ αὐτόν.

Διότι, λέγει, «νὰ εὐφρανθῇς ἐσὺ ἡ στεῖρα, ἡ ὁποία δὲν γεννᾷς. Κραύγασε καὶ φώναξε ἐσύ, ἡ ὁποία δὲν κοιλοπονεῖς, διότι θὰ ἔχῃ περισσότερα τέκνα ἡ ἐγκαταλειφθεῖσα, παρὰ ἐκείνη ἡ ὁποία ἔχει ἄνδρα»[20]. Ποία λοιπὸν εἶναι ἡ στεῖρα καὶ ποία ἡ ἐγκαταλειφθεῖσα πρὶν ἀπὸ αὐτό; Δὲν εἶναι φανερὸν ὅτι πρόκειται διὰ τὴν ἐξ ἐθνῶν ἐκκλησίαν, ἡ ὁποία

τῆς τοῦ Θεοῦ γνώσεως ἀπεστερημένη; Τίς δὲ ἡ τὸν ἄνδρα ἔχουσα; οὐκ εὔδηλον ὅτι ἡ συναγωγή; Ἀλλ᾽ ὅμως ἐνίκησεν αὐτὴν τῇ πολυπαιδίᾳ ἡ στεῖρα. Ἐκείνη μὲν γὰρ ἓν ἔθνος ἔχει· τὰ δὲ τῆς ἐκκλησίας τέκνα τὴν Ἑλλάδα, τὴν βάρβαρον, τὴν γῆν, τὴν θάλατταν, τὴν οἰκουμένην ἅπασαν ἐνέπλησεν.

Εἶδες πῶς διὰ μὲν πραγμάτων ἡ Σάρρα, διὰ δὲ ῥημάτων ὁ προφήτης τὰ μέλλοντα ἡμῖν ὑπέγραψαν; Σκόπει δέ. Στεῖραν ἐκάλεσεν ὁ Ἡσαΐας, καὶ ταύτην ἔδειξε πολύπαιδα γενομένην. Τοῦτο τυπικῶς καὶ ἐπὶ τῆς Σάρρας συνέβη· καὶ γὰρ καὶ αὕτη στεῖρα οὖσα, πλήθους ἐκγόνων ἐγένετο μήτηρ. Τῷ Παύλῳ δὲ οὐδὲ ταῦτα ἀπόχρη, ἀλλὰ καὶ πῶς ἐγένετο μήτηρ ἡ στεῖρα περιεργάζεται, ἵνα καὶ ἐντεῦθεν προσαγάγῃ τῇ ἀληθείᾳ τὸν τύπον. Διὸ καὶ ἐπάγει λέγων· «Ἡμεῖς δέ, ἀδελφοί, κατὰ Ἰσαὰκ ἐπαγγελίας τέκνα ἐσμέν». Οὐ γὰρ μόνον στεῖρα ἦν ἡ Ἐκκλησία, ὥσπερ ἡ Σάρρα, οὐδὲ μόνον πολύπαις ἐγένετο, ὥσπερ ἐκείνη, ἀλλὰ καὶ οὕτως ἐγέννησεν, ὥσπερ ἡ Σάρρα. Καθάπερ γὰρ ἐκείνην μητέρα οὐχ ἡ φύσις, ἀλλ᾽ ἡ ἐπαγγελία τοῦ Θεοῦ πεποίηκεν· ὁ γὰρ λόγος τοῦ Θεοῦ ὁ εἰρηκώς, «Κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι, καὶ ἔσται τῇ Σάρρᾳ υἱός», οὗτος εἰσελθὼν εἰς τὴν νηδύν, τὸ βρέφος διέπλασεν· οὕτω δὴ καὶ ἐπὶ τῆς ἀναγεννήσεως τῆς ἡμετέρας φύσις μὲν οὐδεμία, τὰ δὲ ῥήματα τοῦ Θεοῦ διὰ τοῦ ἱερέως λεγόμενα, ἅπερ ἴσασιν οἱ πιστοί, ταῦτα ἐν τῇ κολυμβήθρᾳ τῶν ὑδάτων, καθάπερ ἐν νηδύϊ τινί, διαπλάττει καὶ ἀναγεννᾷ τὸν βαπτιζόμενον. Οὐκοῦν εἰ τῆς στείρας ἐσμὲν παῖδες, καὶ ἐλεύθεροί ἐσμεν.

Καὶ ποία αὕτη ἐλευθερία, εἴποι τις ἄν, ὅταν οἱ μὲν Ἰουδαῖοι κατέχωσι καὶ μαστίζωσι τοὺς πιστεύσαντας, οἱ δὲ δοκοῦντες ἐλεύθεροι εἶναι διώκωνται; ταῦτα γὰρ τότε συνέβαινε, τῶν πιστῶν διωκομένων. Ἀλλὰ μηδὲ τοῦτο ὑμᾶς

21. Γαλ. 4, 28.
22. Γεν. 18, 10.

εἶχε στερηθῆ τῆς γνώσεως τοῦ Θεοῦ; Ποία δὲ ἐκείνη ἡ ὁποία ἔχει τὸν ἄνδρα; Δὲν εἶναι φανερὸν ὅτι εἶναι ἡ συναγωγή; Ἀλλ' ὅμως ὑπερέβη αὐτὴν εἰς τὴν πολυτεκνίαν ἡ στεῖρα. Διότι ἐκείνη μὲν ἔχει ἓν ἔθνος· τὰ τέκνα ὅμως τῆς ἐκκλησίας ἐπλήρωσαν τὴν Ἑλλάδα, τὰς βαρβαρικὰς χώρας, τὴν γῆν, τὴν θάλασσαν, τὴν οἰκουμένην ὁλόκληρον.

Εἶδες πῶς ἐμπράκτως μὲν ἡ Σάρρα, διὰ λόγων δὲ ὁ προφήτης, προεφήτευσαν δι' ἡμᾶς τὰ μέλλοντα; Πρόσεχε δέ. Στεῖραν ὠνόμασεν ὁ Ἠσαΐας, καὶ ἔδειξεν αὐτὴν ὅτι ἔγινε πολύτεκνος. Αὐτὸ ὡς προτύπωσις συνέβη καὶ εἰς τὴν Σάρραν· διότι καὶ αὐτή, ἐνῷ ἦτο στεῖρα, ἔγινε μήτηρ πλήθους ἀπογόνων. Εἰς τὸν Παῦλον ὅμως οὔτε αὐτὰ ἤρκουν, ἀλλ' ἐξετάζει καὶ πῶς ἡ στεῖρα ἔγινε μήτηρ, ὥστε καὶ ἀπὸ ἐδῶ νὰ προσκομίσῃ εἰς τὴν ἀλήθειαν τὸ σημεῖον. Διὰ τοῦτο καὶ προσθέτει λέγων· «Ἐμεῖς δέ, ἀδελφοί, εἴμεθα ὅπως καὶ ὁ Ἰσαάκ, παιδιὰ ὑποσχέσεως»[21]. Διότι ὄχι μόνον στεῖρα ἦτο ἡ ἐκκλησία, ὅπως ἡ Σάρρα, οὔτε μόνον πολύτεκνος ἔγινεν, ὅπως ἐκείνη, ἀλλὰ καὶ ἔτσι ἐγέννησεν, ὅπως ἡ Σάρρα. Διότι, ὅπως ἀκριβῶς ἐκείνην κατέστησε μητέρα ὄχι ἡ φύσις, ἀλλ' ἡ ἐπαγγελία τοῦ Θεοῦ, — διότι ὁ λόγος τοῦ Θεοῦ ὁ ὁποῖος εἶπε· «Ὅταν ἐπιστρέφων ἔλθω πρὸς σὲ κατὰ τὸ ἑπόμενον ἔτος καὶ τὴν αὐτὴν ἐποχὴν θὰ ἔχῃ υἱὸν ἡ γυνή σου Σάρρα»[22], αὐτὸς ἀφοῦ εἰσῆλθεν εἰς τὴν κοιλίαν τῆς μητρός, αὐτὸς ἔπλασε τὸ βρέφος —, ἔτσι λοιπὸν κα εἰς τὴν ἰδικήν μας ἀναγέννησιν, ὄχι ἡ φύσις, ἀλλὰ οἱ λόγοι τοῦ Θεοῦ λεγόμενοι διὰ τοῦ ἱερέως, τοὺς ὁποίους γνωρίζουν οἱ πιστοί, αὐτοὶ εἰς τὸ ἡγιασμένον ὕδωρ τῆς κολυμβήθρας, ὡς εἰς κάποιαν μητρικὴν κοιλίαν, διαπλάσσουν καὶ ἀναγεννοῦν τὸν βαπτιζόμενον. Λοιπόν, ἐὰν εἴμεθα παιδιὰ τῆς στείρας, εἴμεθα καὶ ἐλεύθεροι.

Καὶ ποία εἶναι αὐτὴ ἡ ἐλευθερία, θὰ ἔλεγε κανείς, ὅταν οἱ μὲν Ἰουδαῖοι κατέχουν καὶ μαστίζουν τοὺς πιστεύσαντας, ἐκεῖνοι δὲ οἱ ὁποῖοι θεωροῦνται ἐλεύθεροι διώκονται; Διότι αὐτὰ συνέβαιναν τότε, ὅταν ἐδιώκοντο οἱ πιστοί. Ἀλλ' οὔτε

θορυβείτω, φησί· καὶ γὰρ καὶ τοῦτο ἔλαβεν ἐν τῷ τύπῳ· ὁ γὰρ Ἰσαὰκ ἐλεύθερος ὤν, ὑπὸ τοῦ δούλου Ἰσμαὴλ ἐδιώκετο. Διὸ καὶ ἐπάγει λέγων· «Ἀλλ' ὥσπερ τότε ὁ κατὰ σάρκα γεννηθεὶς ἐδίωκε τὸν κατὰ Πνεῦμα, οὕτω καὶ νῦν. Ἀλλὰ τί λέγει ἡ Γραφή; Ἔκβαλε τὸν υἱὸν τῆς παιδίσκης· οὐ γὰρ μὴ κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας». Τί οὖν; αὕτη ἡ παράκλησις πᾶσα, τὸ δειχθῆναι τοὺς ἐλευθέρους ὑπὸ τῶν δούλων διώκεσθαι; Οὐχί, φησίν· οὐδὲ γὰρ ἐνταῦθα ἵσταμαι, ἀλλ' ἄκουσον καὶ τῶν ἑξῆς, καὶ τότε λήψῃ παραμυθίαν ἱκανήν, οὐ μικροψυχῶν τοῖς διωγμοῖς.

Τίνα οὖν τὰ ἑξῆς; «Ἔκβαλε τὸν υἱὸν τῆς παιδίσκης· οὐ γὰρ μὴ κληρονομήσει μετὰ τοῦ υἱοῦ τῆς ἐλευθέρας». Εἶδες τὰ ἐπίχειρα τῆς προσκαίρου τυραννίδος, καὶ τῆς ἀπονοίας τῆς ἀκαίρου; Ἐκπίπτει τῶν πατρῴων ὁ παῖς, καὶ γίνεται φυγὰς καὶ πλάνος μετὰ τῆς μητρός. Σὺ δέ μοι σκόπει τὴν σοφίαν τῶν εἰρημένων. Οὐ γὰρ εἶπεν, ἐπειδὴ ἐδίωκε, διὰ τοῦτο ἐξεβάλλετο μόνον, ἀλλ' ἵνα μὴ κληρονομήσῃ. Οὐ γὰρ τοῦ προσκαίρου διωγμοῦ τιμωρίαν αὐτὸν ἀπῄτει ταύτην· τοῦτο γὰρ μικρόν, καὶ οὐδὲν πρὸς ἐκεῖνο· ἀλλ' οὐκ ἀφῆκε γενέσθαι κοινωνὸν τῶν ἡτοιμασμένων τῷ παιδί, δεικνὺς ὅτι καὶ τοῦ διωγμοῦ χωρὶς τοῦτο ἄνωθεν αὐτῷ διατετυπωμένον ἦν, οὐκ ἀπὸ τοῦ διωγμοῦ τὴν ἀρχὴν λαβόν, ἀλλ' ἀπὸ τῆς τοῦ Θεοῦ γνώμης. Καὶ οὐκ εἶπεν, οὐ μὴ κληρονομήσει ὁ υἱὸς τοῦ Ἀβραάμ, ἀλλ', «ὁ υἱὸς τῆς παιδίσκης», ἀπὸ τοῦ φαυλοτέρου γένους αὐτὸν καλῶν. Ἀλλ' ἡ Σάρρα στεῖρα ἦν. Καὶ γὰρ ἡ ἐξ ἐθνῶν ἐκκλησία τοιαύτη.

Ὁρᾷς διὰ πάντων τὸν τύπον τηρούμενον; Ὥσπερ γὰρ ἐν ὅλοις τοῖς ἔμπροσθεν ἔτεσιν ἐκείνη καὶ μὴ τίκτουσα, πρὸς ἐσχάτῳ γήρᾳ γίνεται μήτηρ· οὕτω καὶ αὕτη, ὅτε ἦλθε τὸ

23. Γαλ. 4. 29, 30.

αὐτὸ ἂς μὴ σᾶς θορυβῇ, λέγει· διότι καὶ τοῦτο συμπεριέλαβεν εἰς τὴν προτύπωσιν· ἐνῷ δηλαδὴ ὁ Ἰσαὰκ ἦτο ἐλεύθερος, ἐδιώκετο ἀπὸ τὸν δοῦλον Ἰσμαήλ. Διὰ τοῦτο καὶ προσθέτει λέγων· «Ἀλλ' ὅπως τότε ἐκεῖνος ὁ ὁποῖος ἐγεννήθη κατὰ πνεῦμα, ἔτσι καὶ τώρα. Ἀλλὰ τί λέγει ἡ Γραφή; «Δίωξε τὴν δούλην καὶ τὸν υἱόν της, διότι δὲν πρόκειται νὰ κληρονομήσῃ ὁ υἱὸς τῆς δούλης μαζὶ μὲ τὸν υἱὸν τῆς ἐλευθέρας»[23]. Τί λοιπόν; Αὐτὴ εἶναι ὅλη ἡ παρηγορία, τὸ νὰ δεχθῇ ὅτι διώκονται οἱ ἐλεύθεροι ἀπὸ τοὺς δούλους; Ὄχι, λέγει· οὔτε ἐδῶ λοιπὸν σταματῶ, ἀλλ' ἄκουσε καὶ τὰ ἑξῆς, καὶ τότε θὰ λάβῃς παρηγορίαν ἀρκετὴν διὰ νὰ μὴ μικροψυχῇς εἰς τοὺς διωγμούς.

Ποῖα λοιπὸν τὰ ἑπόμενα; «Δίωξε τὸν υἱὸν τῆς δούλης· διότι δὲν πρόκειται νὰ κληρονομήσῃ μαζὶ μὲ τὸν υἱὸν τῆς ἐλευθέρας». Εἶδες τ' ἀποτελέσματα τῆς προσκαίρου τυραννίας, καὶ τῆς παρακαίρου καὶ ἀνοήτου τόλμης; Ἐκπίπτει τῆς πατρικῆς κληρονομίας ὁ υἱός, καὶ γίνεται φυγάς, καὶ περιπλανώμενος μαζὶ μὲ τὴν μητέρα του. Σὺ δὲ πρόσεξε τὴν σοφίαν τῶν λεχθέντων. Δὲν εἶπε δηλαδὴ ὅτι ἐπειδὴ κατεδίωκε, δι' αὐτὸ μόνον ἐδιώχθη, ἀλλὰ διὰ νὰ μὴ κληρονομήσῃ. Διότι ὁ πρόσκαιρος διωγμὸς δὲν ἤξιζε νὰ τιμωρηθῇ μὲ αὐτὴν τὴν τιμωρίαν, διότι αὐτὸ ἦτο μικρὸν καὶ ἀσήμαντον ὡς πρὸς ἐκεῖνο· ἀλλὰ δὲν ἄφησε νὰ γίνῃ κοινωνὸς τῶν ὅσων ἦσαν ἡτοιμασμένα διὰ τὸν κατὰ χάριν υἱόν, διὰ νὰ δείξῃ ὅτι καὶ χωρὶς τὸν διωγμόν, εἶχε σχεδιασθῇ ἄνωθεν αὐτό, λαμβάνον τὴν ἀρχὴν ὄχι ἀπὸ τὸν διωγμόν, ἀλλ' ἀπὸ τὸ θέλημα τοῦ Θεοῦ. Καὶ δὲν εἶπε δὲν θὰ κληρονομήσῃ ὁ υἱὸς τοῦ Ἀβραάμ, ἀλλ' «ὁ υἱὸς τῆς δούλης», ὀνομάζων αὐτὸν ἀπὸ τὴν ταπεινοτέραν καταγωγήν. Ἀλλ' ἡ Σάρρα ἦτο στεῖρα. Ὅπως καὶ ἡ ἐξ ἐθνῶν ἐκκλησία ἦτο τέτοια.

Βλέπεις ὅτι ἡ προτύπωσις πραγματοποιεῖται καθ' ὅλα; Ὅπως ἀκριβῶς δηλαδὴ ἐκείνη ἐνῷ εἰς ὅλα τὰ προηγούμενα ἔτη δὲν ἐγέννα, γίνεται μήτηρ εἰς βαθύτατον γῆρας, ἔτσι καὶ αὐτή, ὅταν ἦλθε τὸ πλήρωμα τοῦ χρόνου, γεννᾷ.

πλήρωμα, τίκτει. Τοῦτο γὰρ καὶ προφῆται προανεφώνουν λέγοντες, «Εὐφράνθητι, στεῖρα ἡ οὐ τίκτουσα, ρῆξον καὶ βόησον, ἡ οὐκ ὠδίνουσα, ὅτι πολλὰ τὰ τέκνα τῆς ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα»· τὴν ἐκκλησίαν οὕτω καλοῦντες. Οὐ γὰρ ἦν ἐπεγνωκυῖα τὸν Θεόν· ἀλλ' ὅμως ἐπιγνοῦσα, τὴν πολύπαιδα ἐνίκησε συναγωγήν. «Ἄρα, ἀδελφοί, οὐκ ἐσμὲν παιδίσκης τέκνα, ἀλλὰ τῆς ἐλευθέρας». Ταῦτα πάντα κινεῖ καὶ στρέφει, δεῖξαι βουλόμενος, ὅτι τὸ γενόμενον οὐ πρόσφατον ἦν, ἀλλ' ἄνωθεν καὶ πρὸ πολλῶν διετυποῦτο χρόνων. Πῶς οὖν οὐκ ἄτοπον πρὸ τοσούτων χρόνων ἀφορισθέντας καὶ ἐλευθερίας τυχόντας, ἑκόντας ἑαυτοὺς εἰς τὸν τῆς δουλείας ὑπάγειν ζυγόν;

---

24. Γαλ. 4, 31.

Αὐτὸ λοιπὸν καὶ οἱ προφῆται προανεφώνουν, λέγοντες· «Νὰ εὐφρανθῇς ἐσὺ ἡ στεῖρα, ἡ ὁποία δὲν γεννᾷς. Κραύγασε καὶ φώναξε ἐσύ, ἡ ὁποία δὲν κοιλοπονεῖς, διότι θὰ ἔχῃ περισσότερα τέκνα ἡ ἐγκαταλειφθεῖσα, παρὰ ἐκείνη ἡ ὁποία ἔχει τὸν ἄνδρα»· ὀνομάζοντες ἔτσι τὴν ἐκκλησίαν. Διότι δὲν εἶχε γνωρίσει τὸν Θεόν· ἀλλ' ὅμως, ὅταν τὸν ἐγνώρισε, ὑπερέβη τὴν πολύτεκνον συναγωγήν. «Ἄρα, ἀδελφοί, δὲν εἴμεθα τέκνα τῆς δούλης, ἀλλὰ τῆς ἐλευθέρας»[24]. Ὅλα αὐτὰ κινεῖ καὶ ἀναποδογυρίζει, ἐπειδὴ θέλει νὰ δείξῃ ὅτι αὐτὸ τὸ ὁποῖον ἔγινε δὲν ἦτο πρόσφατον, ἀλλ' εἶχε σχεδιασθῆ ἄνωθεν καὶ πρὸ πολλῶν χρόνων. Πῶς λοιπὸν δὲν εἶναι ἄτοπον, ἐνῷ ἐξεχωρίσθησαν ἀπὸ τὸν Θεὸν πρὶν ἀπὸ τόσους χρόνους καὶ ἔτυχον ἐλευθερίας, ἑκουσίως νὰ θέτουν τὸν ἑαυτόν των ὑπὸ τὸν ζυγὸν τῆς δουλείας;

1. Εἶτα καὶ ἄλλην αἰτίαν τίθησι τὴν πείθουσαν αὐτοὺς ἐπὶ τῶν δογμάτων μένειν. «Τῇ γὰρ ἐλευθερίᾳ», φησίν, «ᾗ Χριστὸς ὑμᾶς ἐξηγόρασε, στήκετε». Μὴ γὰρ ἑαυτοὺς ἠλευθερώσατε, ὅτι πάλιν ἐπὶ τὴν προτέραν τρέχετε δεσποτείαν; «Ἄλλος ἐστὶν ὑμᾶς ὁ ἐξηγορακώς, ἄλλος ὁ τὴν τιμὴν δοὺς ὑπὲρ ὑμῶν. Ὁρᾷς δι' ὅσων αὐτοὺς ἀπάγει τῆς Ἰουδαϊκῆς πλάνης; Πρῶτον, δεικνὺς ὅτι ἐσχάτης ἀνοίας ἐλευθέρους ἀντὶ δούλων γενομένους δούλους ἀντ' ἐλευθέρων ἐπιθυμεῖν εἶναι· δεύτερον, ὅτι περὶ τὸν εὐεργέτην ἀγνώμονες καὶ ἀχάριστοι δειχθήσονται, τοῦ μὲν ἐλευθερώσαντος καταφρονοῦντες, τὸν δὲ δουλωσάμενον στέργοντες· τρίτον, ὅτι οὐ δυνατὸν τοῦτο· οὐ γὰρ ἔχει τὴν δεσποτείαν ὑμῶν ὁ νόμος, ἅπαξ ἑτέρου παρ' αὐτοῦ πάντας ὑμᾶς πριαμένου. «Στήκετε» δὲ εἰπών, τὸν σάλον ἔδειξε.

«Καὶ μὴ πάλιν ζυγῷ δουλείας ἐνέχεσθε». Τῷ μὲν τοῦ ζυγοῦ ὀνόματι τὸ βαρὺ τοῦ πράγματος αὐτοῖς ἐνδείκνυται· τῷ δέ, «πάλιν», εἰπεῖν, πολλὴν αὐτῶν δείκνυσι τὴν ἀναισθησίαν· Εἰ μὲν γὰρ ἄπειροι ἦτε τοῦ βάρους ἐκείνου, οὐ τοσούτων ἦτε ἐγκλημάτων ἄξιοι· οἱ δὲ τῇ πείρᾳ μαθόντες τὸ φορτικὸν τοῦ ζυγοῦ, εἶτα ὑποτιθέντες ἑαυτοὺς ἐκείνῳ πάλιν, ποίας ἂν εἴηται δίκαιοι συγγνώμης τυχεῖν;

«Ἰδὲ ἐγὼ Παῦλος λέγω ὑμῖν, ὅτι ἐὰν περιτέμνησθε, Χριστὸς ὑμᾶς οὐδὲν ὠφελήσει». Ὅρα πόση ἀπειλή. Εἰκότως ἄρα καὶ ἀγγέλους ἀνεθεμάτιζε. Πῶς δὲ Χριστὸς αὐτοὺς οὐδὲν ὠφελήσει; Αὐτὸς μὲν γὰρ τοῦτο οὐ κατεσκεύασεν, ἀλλ' ἀπεφήνατο, ὡς τῆς τοῦ προσώπου ἀξιοπιστίας ἀρκούσης ἀντὶ πάσης ἀποδείξεως λοιπόν. Διὰ τοῦτο γὰρ προλαβὼν εἶπεν, «Ἰδὲ ἐγὼ Παῦλος λέγω ὑμῖν», ὅπερ ἦν θαρροῦντος οἷς λέγει.

---

1. Γαλ. 5, 1.
2. Γαλ. 5, 2.

1. Ὕστερον ἐκθέτει καὶ ἄλλην αἰτίαν, ἡ ὁποία πείθει αὐτοὺς νὰ παραμένουν εἰς τὴν ὀρθὴν πίστιν. «Εἰς τὴν ἐλευθερίαν λοιπόν, διὰ τὴν ὁποίαν ὁ Χριστὸς μᾶς ἠλευθέρωσε, σταθῆτε σταθεροί»[1]. Μήπως λοιπὸν ἠλευθερώσατε σεῖς τοὺς ἑαυτούς σας καὶ τρέχετε πάλιν εἰς τὴν προηγουμένην ἐξουσίαν; Ἄλλος εἶναι αὐτὸς ὁ ὁποῖος σᾶς ἐξηγόρασε, ἄλλος ἐπλήρωσε τὸ ἀντίτιμον διὰ νὰ σᾶς ἐλευθερώσῃ. Βλέπεις μὲ πόσα ἐπιχειρήματα ὁδηγεῖ αὐτοὺς μακρὰν τῆς Ἰουδαϊκῆς πλάνης; Πρῶτον, δεικνύων ὅτι εἶναι ἀποτέλεσμα ἐσχάτης ἀνοησίας, ἐνῷ ἀπὸ δοῦλοι ἔγιναν ἐλεύθεροι, νὰ ἐπιθυμοῦν νὰ γίνουν ἀπὸ ἐλεύθεροι δοῦλοι· δεύτερον, ὅτι θὰ δειχθοῦν ἀγνώμονες καὶ ἀχάριστοι εἰς τὸν εὐεργέτην, τὸν μὲ ἐλευθερώσαντα καταφρονοῦντες, τὸν δὲ ὑποδουλώσαντα ἐπιζητοῦντες· τρίτον, ὅτι δὲν εἶναι δυνατὸν αὐτό· διότι δὲν ἔχει τὴν ἐξουσίαν δι' ἐμᾶς ὁ νόμος, ἅπαξ καὶ σᾶς ἐξηγόρασεν ἄλλος ἀπὸ αὐτόν, ὅλους ἐσᾶς. Λέγων δὲ «σταθῆτε σταθεροί», ἔδειξε τὸν κλονισμόν.

«Καὶ μὴ θελήσετε νὰ ὑποταχθῆτε πάλιν εἰς ζυγὸν δουλείας». Διὰ τοῦ μὲν ὀνόματος τοῦ ζυγοῦ, δεικνύει εἰς αὐτοὺς τὸ πόσον βαρὺ ἦτο τὸ πρᾶγμα· διὰ τοῦ δὲ «πάλιν», ὅτι ἡ ἀναισθησία των ἦτο μεγάλη. Διότι ἐὰν δὲν ἔχετε πεῖραν ἐκείνου τοῦ βάρους, δὲν θὰ ἤσασθε ἄξιοι τόσων κατηγοριῶν· ἀλλὰ σεῖς οἱ ὁποῖοι ἐκ πείρας ἐγνωρίσατε τὴν φορτικότητα τοῦ ζυγοῦ, καὶ ὕστερον ἐτέθητε καὶ πάλιν ὑπὸ τὴν ἐξουσίαν ἐκείνου, ποίας συγγνώμης θὰ εἴσασθε ἄξιοι νὰ τύχητε;

«Ἐγὼ ὁ Παῦλος σᾶς λέγω, ὅτι ἐὰν περιτέμνεσθε, ὁ Χριστὸς δὲν πρόκειται νὰ σᾶς ὠφελήσῃ εἰς τίποτε»[2]. Κοίταξε πόση ἀπειλή. Εὐλόγως λοιπὸν ἀνεθεμάτιζε καὶ ἀγγέλους. Πῶς δὲ ὁ Χριστὸς εἰς τίποτε δὲν θὰ ὠφελήσῃ αὐτούς; Διότι αὐτὸς μὲν δὲν ἐπενόησε τοῦτο, ἀλλὰ τὸ ἐβεβαίωσεν, ἐπειδὴ ἦτο ἀρκετὴ ἡ ἀξιοπιστία τοῦ προσώπου, ἀντὶ ὁποιασδήποτε ἀποδείξεως. Διότι διὰ νὰ προλάβῃ τοῦτο εἶπε· «Ἐγὼ ὁ Παῦ-

Ἡμεῖς δὲ ὡς ἂν οἷόν τε τὰ παρ' ἑαυτῶν προσθήσομεν. Πῶς οὐδὲν ὠφελήσει τὸν περιτεμνόμενον ὁ Χριστός; Ὁ περιτεμνόμενος, ὡς νόον δεδοικὼς περιτέμνεται· ὁ δὲ δεδοικώς, ἀπιστεῖ τῇ δυνάμει τῆς χάριτος· ὁ δὲ ἀπιστῶν, οὐδὲν κερδαίνει παρὰ τῆς ἀπιστουμένης. Πάλιν ἑτέρως, ὁ περιτεμνόμενος τὸν νόμον κύριον ποιεῖ· κύριον δὲ εἶναι νομίζων, καὶ ἐκ τοῦ μείζονος αὐτὸν παραβαίνων μέρους, ἐκ δὲ τοῦ ἐλάττονος τηρῶν, πάλιν ὑπὸ τὴν ἀρὰν ἑαυτὸν τίθησιν· ὑποβαλὼν δὲ ἑαυτὸν τῇ ἀρᾷ, καὶ διακρουσάμενος τὴν ἀπὸ τῆς πίστεως ἐλευθερίαν, πῶς δύναται σωθῆναι; Εἰ γὰρ χρή τι καὶ παράδοξον εἰπεῖν, οὗτος οὔτε Χριστῷ, οὔτε νόμῳ πιστεύει, ἀλλ' ἐν μέσῳ ἕστηκε, κἀκεῖθεν καὶ ἔνθεν βουλόμενος κερδαίνειν· διόπερ οὐδαμόθεν οὐδὲν καρπώσεται.

Εἶτα εἰπών, ὅτι οὐδὲν ὠφελήσει, αἰνιγματωδῶς καὶ διὰ βραχέων τὴν ἀπόδειξιν τίθησιν, οὕτω λέγων· «Μαρτύρομαι δὲ παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι». Ἵνα γὰρ μὴ νομίσῃς κατ' ἔχθραν ταῦτα λέγεσθαι, οὐχ ὑμῖν λέγω μόνον, φησίν, ἀλλὰ καὶ παντὶ ἀνθρώπῳ περιτεμνομένῳ, «ὅτι ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι»· ἀλλήλων γὰρ ἔχεται τὰ νόμιμα. Καὶ καθάπερ ὁ ἀπογραψάμενος εἶναι δοῦλος ἐξ ἐλευθέρων, οὐκέτι ποιεῖ ὃ βούλεται, ἀλλὰ πᾶσι τοῖς τῆς δουλείας κατέχεται νόμοις· οὕτω καὶ ἐπὶ τοῦ νόμου, ὅταν ἀναδέξῃ μικρόν τι τοῦ νόμου, καὶ ὑπαγάγῃς σεαυτὸν τῷ ζυγῷ, ὅλην ἐφειλκύσω τὴν δεσποτείαν. Οὕτω καὶ ἐπὶ τῆς ἔξωθεν κληρονομίας, ὁ μὲν μηδενὸς ἁψάμενος, πάντων ἀπήλλακται τῶν ἐπαγομένων τῷ κλήρῳ τοῦ τετελευτηκότος πραγμάτων· ἂν δὲ μικρόν τι χειρίσῃ, κἂν μὴ πάντα λάβῃ, πᾶσιν ἑαυτὸν ὑπεύθυνον κατέστησε διὰ τοῦ μέρους.

3. Γαλ. 5, 3.

λος σᾶς λέγω», πρᾶγμα τὸ ὁποῖον ἦτο ἀποτέλεσμα ἀνθρώπου ὁ ὁποῖος ὁμιλεῖ μὲ βεβαιότητα εἰς ὅσα λέγει. Ἐμεῖς δέ, ὡσὰν κάτι ἰδικόν μας ἂς προσθέσωμεν εἰς αὐτά. Πῶς δὲν θὰ ὠφελήσῃ εἰς τίποτε ὁ Χριστὸς τὸν περιτεμνόμενον; Ὁ περιτεμνόμενος περιτέμνεται ἐπειδὴ φοβεῖται τὸν νόμον· ὁ δὲ φοβούμενος ἀπιστεῖ εἰς τὴν δύναμιν τῆς χάριτος· ὁ δὲ ἀπιστῶν, δὲν κερδίζει τίποτε ἀπὸ τὴν χάριν εἰς τὴν ὁποίαν ἀπιστεῖ. Καὶ πάλιν, μὲ διάφορον τρόπον, ὁ περιτεμνόμενος κάνει κύριον τὸν νόμον· θεωρῶν δὲ αὐτὸν κύριον καὶ παραβαίνων τὸ μεγαλύτερον μέρος αὐτοῦ, τηρῶν δὲ τὸ ἐλάχιστον, πάλιν θέτει τὸν ἑαυτόν του ὑπὸ τὴν κατάραν· θέτων δὲ τὸν ἑαυτόν του ὑπὸ τὴν κατάραν, καὶ ἀπωθῶν τὴν ἐλευθερίαν τὴν προερχομένην ἀπὸ τὴν πίστιν, πῶς δύναται νὰ σωθῇ; Διότι ἐὰν πρέπει νὰ εἴπω καὶ κάτι παράδοξον, αὐτὸς οὔτε εἰς τὸν Χριστόν, οὔτε εἰς τὸν νόμον πιστεύει, ἀλλ' ἔχει σταθῆ εἰς τὸ μέσον, θέλων νὰ κερδίσῃ καὶ ἀπὸ ἐκεῖ, καὶ ἀπὸ ἐδῶ· διὰ τοῦτο ἀπὸ πουθενὰ τίποτε δὲν θὰ καρπωθῇ.

Ὕστερον, ἀφοῦ εἶπεν ὅτι εἰς τίποτε δὲν θὰ ὠφελήσῃ, αἰνιγματικῶς καὶ συντόμως ἐκθέτει τὴν ἀπόδειξιν, λέγων ἔτσι· «Βεβαιῶ πάλιν κάθε ἄνθρωπον, ὁ ὁποῖος περιτέμνεται, ὅτι ὀφείλει νὰ ἐκπληρώσῃ ὅλον τὸν νόμον»[3]· διότι ὅσα εἶναι τοῦ νόμου συνέχονται μεταξύ των. Καὶ ὅπως ἀκριβῶς αὐτὸς ὁ ὁποῖος ἔχει ἀπογραφῆ εἶναι δοῦλος προερχόμενος ἀπὸ ἐλευθέρους, καὶ δὲν κάνει αὐτὸ τὸ ὁποῖον θέλει, ἀλλὰ κατέχεται ἀπὸ ὅλους τοὺς νόμους τῆς δουλείας, ἔτσι καὶ εἰς τὸν νόμον, ὅταν ἀποδεχθῇς κάτι μικρὸν ἀπὸ αὐτὸν καὶ θέσῃς τὸν ἑαυτόν σου ὑπὸ τὸν ζυγόν, ἐπέσυρες εἰς τὸν ἑαυτόν σου ὅλην τὴν ἐξουσίαν του. Ἔτσι γίνεται καὶ εἰς τὴν κληρονομίαν, ἐκεῖνος μὲν ὁ ὁποῖος δὲν ἀπεδέχθη τίποτε, ἔχει ἀπαλλαγῆ ἀπὸ ὅλα ὅσα συνεπάγεται ἡ κληρονομία τοῦ ἀποθανόντος· ἂν ὅμως διαχειρισθῇ ἔστω καὶ κάτι μικρόν, καὶ ἂν ἀκόμη δὲν τὴν λάβῃ ὁλόκληρον, ἔκανε τὸν ἑαυτόν του ὑπεύθυνον δι' ὅλα ὅσα συνεπάγεται ἡ κληρονομία, διὰ τῆς παραλαβῆς μέρους αὐτῆς.

Τοῦτο καὶ ἐπὶ τοῦ νόμου συμβαίνει, οὐ διὰ τοῦτον δὲ μόνον ὃν εἴρηκα τρόπον, ἀλλὰ καὶ δι' ἕτερον· ἀλλήλων γὰρ τὰ νόμιμα ἔχεται. Οἷόν τι λέγω· ἡ περιτομὴ θυσίαν ἔχει συνεζευγμένην καὶ ἡμερῶν παρατήρησιν· ἡ θυσία πάλιν καὶ ἡμέρας καὶ τόπου φυλακήν, ὁ τόπος μυρίων καθαρμῶν τρόπους, οἱ καθαρμοὶ ἑσμόν τινα παρατηρήσεων εἰσάγουσι ποικίλων. Τὸν γὰρ ἀκάθαρτον οὐ θύειν, οὐχ ἱερῶν ἐπιβαίνειν ἀδύτων, οὐκ ἄλλο τι τῶν τοιούτων ποιεῖν θέμις. Διὸ καὶ πολλὰ ἐφέλκεται διὰ τῆς μιᾶς ἐντολῆς ὁ νόμος. Ἂν τοίνυν περιτμηθῇς, μὴ ἐν τῇ ὀγδόῃ δὲ ἡμέρᾳ· ἢ ἐν τῇ ὀγδόῃ μέν, μὴ οὔσης δὲ θυσίας· ἢ θυσίας μὲν οὔσης μὴ ἐν τῷ ὡρισμένῳ δὲ τόπῳ ἢ ἐν τῷ ὡρισμένῳ μὲν τόπῳ, μὴ τὰ νενομισμένα δέ· ἢ τὰ νενομισμένα μέν, μὴ καθαρὸς δὲ ὤν· ἢ καθαρὸς μὲν ὤν, οὐ τοῖς προσήκουσι δὲ θεσμοῖς καθαρθείς, πάντα οἴχεται ἐκεῖνα. Διὰ τοῦτό φησιν, ὅτι «ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι». Μὴ μέρος πληρώσῃς, ἀλλὰ τὸ πᾶν· εἰ δὲ οὐκ ἔστι Κύριος, μηδὲ τὸ μέρος.

«Κατηργήθητε ἀπὸ τοῦ Χριστοῦ, οἵτινες ἐν νόμῳ δικαιοῦσθε· τῆς χάριτος ἐξεπέσετε». Ἐπειδὴ γὰρ κατεσκεύασεν, ἀποφαίνεται λοιπόν, καὶ τὸν περὶ τῶν ἐσχάτων ἐπικρεμνῶν κίνδυνον. Ὅταν γὰρ ὁ τῷ νόμῳ προστρέχων, μήτε ἐκεῖθεν δύνηται σώζεσθαι, καὶ τῆς χάριτος ἐκπίπτῃ, τί τὸ λοιπόν, ἀλλ' ἡ κόλασις ἀπαραίτητος, τοῦ μὲν ἀτονοῦντος, τῆς δὲ οὐ προσιεμένης αὐτόν;

2. Αὐξήσας τοίνυν αὐτῶν οὕτω τὸν φόβον, καὶ κατασείσας αὐτῶν τὴν διάνοιαν, καὶ δείξας τὸ ναυάγιον, ὃ μέλλουσιν ὑπομένειν, πᾶν, ἐγγύθεν ἀνοίγει αὐτοῖς τῆς χάριτος τὸν λιμένα· ὃ πανταχοῦ ποιεῖ, εὐκολωτάτην τε καὶ ἀσφαλεστάτην

---

4. Γαλ. 5, 4.

Αὐτὸ συμβαίνει καὶ εἰς τὸν νόμον· ὄχι μόνον δὲ διὰ τὸν τρόπον τὸν ὁποῖον εἶπον, ἀλλὰ καὶ δι' ἄλλου· διότι τὰ τοῦ νόμου συνέχονται μεταξύ των. Τί ἐννοῶ· ἡ περιτομὴ εἶναι συνεζευγμένη μὲ τὴν θυσίαν καὶ τὴν φύλαξιν ὡρισμένων ἡμερῶν· ἡ θυσία πάλιν μὲ τήρησιν ὡρισμένου τόπου καὶ ἡμέρας, ὁ τόπος μὲ ἀπείρους τρόπους καθαρμῶν, οἱ καθαρμοὶ εἰσάγουν ἓν πλῆθος ἀπὸ τήρησιν ποικίλλων ἐντολῶν. Διότι ὁ ἀκάθαρτος δὲν ἐπιτρέπεται οὔτε νὰ προσφέρῃ θυσίαν, οὔτε νὰ εἰσέρχεται εἰς ἱερὰ ἄδυτα, οὔτε κάτι ἄλλο ἀπὸ αὐτά. Διὰ τοῦτο καὶ πολλὰ ἐπισύρει ὁ νόμος διὰ τῆς μιᾶς ἐντολῆς. Ἐὰν λοιπὸν περιτμηθῇς, ἀλλὰ δὲν τὸ κάνῃς τὴν ὀγδόην ἡμέραν· ἤ, ἐὰν μὲν τὴν ὀγδόην, ἀλλὰ δὲν τελέσῃς θυσίαν· ἤ, ἐὰν τελέσῃς θυσίαν, ὄχι ὅμως εἰς ὡρισμένον τόπον· ἤ, εἰς ὡρισμένον μὲν τόπον, ἀλλ' ὄχι συμφώνως πρὸς τὰ καθιερωμένα· ἤ, κατὰ τὰ καθιερωμένα μέν, ἀλλὰ μὴ ὢν καθαρός· ἤ, ἐὰν μὲν εἶσαι καθαρός, ἀλλ' ἔχεις καθαρθῆ ὄχι συμφώνως πρὸς τοὺς καθιερωμένους θεσμούς, τὰ πάντα ἀφανίζονται. Διὰ τοῦτο λέγει ὅτι «ὀφείλει νὰ ἐκπληρώσῃ ὁλόκληρον τὸν νόμον». Νὰ μὴ ἐκπληρώσῃς ἓν μέρος, ἀλλ' ὁλόκληρον· διότι, ἐὰν ὁ νόμος δὲν εἶναι κύριος, τότε οὔτε ἓν μέρος αὐτοῦ.

«Ἀπεχωρίσθητε ἀπὸ τὸν Χριστὸν ὅσοι ζητεῖτε νὰ δικαιωθῆτε διὰ τοῦ νόμου· ἔχετε ἐκπέσει ἀπὸ τὴν χάριν»[4] Ἀφοῦ λοιπὸν ἀπέδειξεν, ἐκθέτει τὸ συμπέρασμα, ἐπικρεμῶν καὶ τὸν ἔσχατον κίνδυνον. Διότι ὅταν αὐτὸς ὁ ὁποῖος προσφεύγει εἰς τὸν νόμον, ἐνῷ δὲν δύναται νὰ σωθῇ ἀπὸ ἐκεῖνον καὶ ἐκπίπτῃ καὶ ἀπὸ τὴν χάριν, τί ἄλλο μένει, παρά, κατ' ἀνάγκην κόλασις, ἀφοῦ ὁ μὲν νόμος εἶναι ἀνίσχυρος, ἡ δὲ πίστις δὲν γίνεται δεκτὴ ἀπὸ αὐτόν;

2. Ἀφοῦ λοιπὸν ηὔξησεν ἔτσι τὸν φόβον των καὶ συνετάραξε τὴν ψυχήν των, καὶ ἔδειξεν ὁλόκληρον τὸ ναυάγιον, τὸ ὁποῖον πρόκειται νὰ ὑποστοῦν, ἀνοίγει ἐνώπιόν των τὸν λιμένα τῆς χάριτος· πρᾶγμα τὸ ὁποῖον κάνει παντοῦ, δει-

ἐντεῦθεν ἀποφαίνων τὴν σωτηρίαν. Διὸ καὶ ἐπάγει λέγων· «Ἡμεῖς γὰρ διὰ πίστεως ἐν Πνεύματι ἐλπίδα δικαιοσύνης ἀπεκδεχόμεθα. Οὐδενὸς ἐκείνων δεόμεθα τῶν νομίμων, φησίν· ἀρκεῖ γὰρ ἡ πίστις ἡμῖν Πνεῦμα παρασχεῖν, καὶ δι' αὐτοῦ δικαιοσύνην, καὶ τὰ πολλὰ καὶ μεγάλα ἀγαθά.

«Ἐν γὰρ Χριστῷ Ἰησοῦ οὔτε περιτομή τι ἐστίν, οὔτε ἀκροβυστία, ἀλλὰ πίστις δι' ἀγάπης ἐνεργουμένη». Ὁρᾷς πῶς λοιπὸν μετὰ πλείονος ἀποδύεται παρρησίας; Ὁ γὰρ τὸν Χριστὸν ἐνδυσάμενος, μηκέτι ταῦτα περιεργαζέσθω, φησί. Καὶ μὴν ἔλεγεν, ὅτι βλαβερὸν ἡ περιτομή· πῶς οὖν ἀδιάφορον αὐτὸ τίθησιν; Ἀδιάφορον ἐπὶ τῶν ἤδη πρὸ τῆς πίστεως ἐσχηκότων, οὐκ ἐπὶ τῶν μετὰ τὴν πίστιν περιτεμνομένων. Ὅρα δὲ ποῦ αὐτὴν ἐξέβαλε, μετὰ ἀκροβυστίας στήσας αὐτήν. Τὸ γὰρ ποιοῦν τὴν διαφορὰν ἡ πίστις ἐστίν. Ὥσπερ οὖν ἂν ἀθλητάς τις καταλέγῃ, ἄν τε γρυπούς, ἄν τε σιμούς, ἄν τε μέλανας, ἄν τε λευκούς, οὐδὲν διαφέρει πρὸς τὴν δοκιμασίαν ταῦτα, ἀλλ' ἵνα ἰσχυροὶ καὶ ἐπιστήμονες ὦσι μόνον, τοῦτο δεῖ ζητεῖν· οὕτω καὶ τὸν μέλλοντα ἀπογράφεσθαι εἰς τὴν Καινὴν Διαθήκην, οὐδὲν βλάπτει τὰ σωματικὰ ταῦτα ἀπόντα, ὥσπερ οὖν οὔτε ὀνίνησιν, ἂν προσῇ.

Τί δέ ἐστι, «δι' ἀγάπης ἐνεργουμένη»; Μεγάλην ἐνταῦθα πληγὴν αὐτοὺς ἔπληξεν, ἐμφήνας ὅτι ἐκ τοῦ τὴν πρὸς Χριστὸν ἀγάπην μὴ ῥιζωθῆναι αὕτη ἡ παρείσδυσις γέγονεν· οὐ γὰρ τὸ πιστεῦσαί ἐστι τὸ ζητούμενον μόνον, ἀλλὰ καὶ τὸ μεῖναι ἀγαπῶντας. Ὡς ἂν εἰ ἔλεγεν, εἰ ἠγαπᾶτε τὸν Χριστὸν ὡς ἐχρῆν, οὐκ ἂν ηὐτομολήσατε πρὸς τὴν δουλείαν, οὐκ

5. Γαλ. 5, 5.
6. Γαλ. 5, 6.

κνύων κατόπιν εὐκολωτάτην καὶ βεβαιοτάτην τὴν σωτηρίαν. Διὰ τοῦτο καὶ προσθέτει λέγων· «Διότι ἐμεῖς διὰ τοῦ Πνεύματος, βάσει τῆς πίστεως, ἀναμένομεν τὴν δικαίωσιν διὰ τὴν ὁποίαν ἐλπίζομεν»[5]. Τίποτε ἀπὸ ἐκεῖνα τοῦ νόμου δὲν ἔχομεν ἀνάγκην, λέγει· διότι ἀρκεῖ ἡ πίστις διὰ νὰ μᾶς παράσχῃ ἅγιον Πνεῦμα καὶ δι' αὐτοῦ τὴν δικαίωσιν καὶ τὰ πολλὰ καὶ μεγάλα ἀγαθά.

«Διότι ἐν Χριστῷ Ἰησοῦ οὔτε ἡ περιτομὴ ἔχει καμμίαν ἰσχύν, οὔτε ἡ ἀκροβυστία, ἀλλ' ἡ πίστις, ἡ ὁποία ἐκδηλοῦται ἐνεργῶς διὰ τῆς ἀσκήσεως τῆς ἀγάπης»[6]. Βλέπεις λοιπὸν πῶς μὲ περισσοτέραν παρρησίαν ἀγωνίζεται; Διότι ὅποιος, λέγει ἐνεδύθη τὸν Χριστόν, καθόλου ἂς μὴ περιεργάζεται αὐτά. Καὶ ὅμως ἔλεγεν ὅτι ἡ περιτομὴ εἶναι κάτι τὸ ὁποῖον βλάπτει· πῶς ἐκθέτει τώρα αὐτὸ ὡς ἀδιάφορον; Εἶναι ἀδιάφορον διὰ τοὺς ἤδη περιτμηθέντας πρὸ τῆς πίστεως, ὄχι δι' ὅσους περιτέμνονται μετὰ τὴν πίστιν. Κοίταξε δὲ ποῦ ἐξέβαλε τὴν περιτομήν, θέτων αὐτὴν μαζὶ μὲ τὴν ἀκροβυστίαν. Διότι αὐτὸ τὸ ὁποῖον δημιουργεῖ τὴν διαφοράν, εἶναι ἡ πίστις. Ὅπως ἀκριβῶς λοιπὸν ὅταν κανεὶς ἐκλέγῃ ἀθλητάς, τὸ ἂν εἶναι κοῖλοι ἢ κυρτοί, μέλανες ἢ λευκοί, δὲν ἔχουν καμμίαν σημασίαν αὐτὰ εἰς τὴν δοκιμασίαν, ἀλλ' ἐνδιαφέρει μόνον τὸ νὰ εἶναι ἰσχυροὶ καὶ ἔμπειροι, καὶ αὐτὸ πρέπει νὰ ζητῆται, ἔτσι καὶ αὐτὸς ὁ ὁποῖος πρόκειται ν' ἀπογραφῇ εἰς τὴν Καινὴν Διαθήκην, εἰς τίποτε δὲν βλάπτεται ἐὰν αὐτὰ τὰ σωματικὰ ἀπουσιάζουν, ὅπως ἀκριβῶς δὲν ὠφελοῦν, ἐὰν ὑπάρχουν.

Τί σημαίνει δὲ «ἡ ὁποία ἐκδηλοῦται ἐνεργῶς διὰ τῆς ἀσκήσεως τῆς ἀγάπης»; Πολὺ βαθέως τοὺς ἐπλήγωσεν ἐδῶ, μὲ τὸ νὰ φανερώσῃ ὅτι ἡ διείσδυσις ὅλων αὐτῶν ἔγινεν ἐπειδὴ δὲν ἐρρίζωσεν ἡ ἀγάπη πρὸς τὸν Χριστόν· διότι τὸ ζητούμενον δὲν εἶναι μόνον τὸ νὰ πιστεύσουν, ἀλλὰ καὶ νὰ μείνουν ἀγαπῶντες. Ὡσὰν νὰ ἔλεγεν, ἐὰν εἴχατε ἀγαπήσει τὸν Χριστὸν ὅπως ἔπρεπε, δὲν θὰ εἴχατε αὐτομολήσει πρὸς τὴν δουλείαν, οὔτε θὰ εἴχατε ἐγκαταλείψει ἐκεῖνον ὁ ὁποῖος

ἂν τὸν ἐξαγοράσαντα ὑμᾶς ἀφήκατε, οὐκ ἂν ὑβρίσατε τὸν ἐλευθερώσαντα. Αἰνίττεται δὲ ἐνταῦθα καὶ τοὺς ἐπιβουλεύοντας αὐτοῖς, δεικνὺς ὅτι καὶ ἐκεῖνοι, εἰ ἀγάπην εἶχον πρὸς αὐτούς, οὐκ ἂν ἐτόλμησαν ταῦτα ποιεῖν. Βούλεται δὲ καὶ τὸν βίον αὐτοῖς διορθοῦν ἀπὸ τοῦ ῥήματος τούτου.

«Ἐτρέχετε καλῶς· τίς ὑμᾶς ἐνέκοψεν;». Οὐκ ἐρωτῶντός ἐστι τοῦτο, ἀλλ' ἀποροῦντος καὶ ὀλοφυρομένου. Πῶς ὁ τοσοῦτος ἐνεκόπη δρόμος; τίς ὁ τοσοῦτον ἰσχύσας; Οἱ πάντων ἀνώτεροι καὶ ἐν τάξει διδασκάλων ὄντες, οὐδὲ ἐν τάξει μαθητῶν ἐμείνατε. Τί γέγονε; τίς τοσοῦτον ἴσχυσε; Ταῦτα ἀνακαλοῦντός ἐστι καὶ θρηνοῦντος μᾶλλον, ὥσπερ καὶ ἔμπροσθεν ἔλεγε, «Τίς ὑμᾶς ἐβάσκανεν;». «Ἡ πεισμονὴ οὐκ ἐκ τοῦ καλοῦντος ὑμᾶς». Οὐκ ἐπὶ τούτοις ἐκάλεσεν ὑμᾶς ὁ καλῶν, ὥστε οὕτω σαλεύεσθαι· οὐ ταῦτα ἐνομοθέτησεν, ὥστε Ἰουδαΐζειν. Εἶτα ἵνα μή τις λέγῃ, τί τὸ πρᾶγμα ἐπαίρεις καὶ δεινοῖς τῷ λόγῳ; μίαν ἐντολὴν τοῦ νόμου ἐφυλάξαμεν μόνον, καὶ τοσαῦτα θορυβεῖς; ἄκουσον πῶς φοβεῖ οὐκ ἀπὸ τῶν παρόντων, ἀλλ' ἀπὸ τῶν μελλόντων, λέγων οὕτω· «Μικρὰ ζύμη ὅλον τὸ φύραμα ζυμοῖ». Οὕτω καὶ ὑμᾶς ἰσχύει, φησί, τὸ μικρὸν τοῦτο κακόν, μὴ διορθωθέν, καὶ εἰς τέλειον Ἰουδαϊσμὸν ἀγαγεῖν, ὥσπερ ἡ ζύμη τὸ φύραμα.

3. «Ἐγὼ πέποιθα εἰς ὑμᾶς ἐν Χριστῷ ὅτι οὐδὲν ἄλλο φρονήσετε». Οὐκ εἶπεν, ὅτι οὐ φρονεῖτε, ἀλλ' ὅτι οὐ φρονήσετε, τουτέστιν, ὅτι διορθώσεσθε. Πόθεν οἶδας τοῦτο; Οὐκ εἶπεν, οἶδα, ἀλλά, «πέποιθα». Πιστεύω τῷ Θεῷ, φησί, καὶ τὴν ἐκείνου καλῶν συμμαχίαν πρὸς τὴν ὑμετέραν διόρθωσιν θαρρῶ. Καὶ οὐχ ἁπλῶς εἶπε, πέποιθα τῷ Κυρίῳ, ἀλλά, «πέποιθα εἰς ὑμᾶς ἐν Κυρίῳ». Πανταχοῦ γὰρ μετ' ἐγκωμίων

---

7. Γαλ. 5, 7.
8. Γαλ. 5, 8.
9. Γαλ. 5, 9.
10. Γαλ. 5, 10.

σᾶς ἐξηγόρασε, οὔτε θὰ εἴχατε ὑβρίσει ἐκεῖνον ὁ ὁποῖος σᾶς ἠλευθέρωσε. Ὑπαινίσσεται δὲ ἐδῶ καὶ ἐκείνους οἱ ὁποῖοι ἐπιβουλεύονται αὐτούς, δεικνύων ὅτι καὶ ἐκεῖνοι, ἐὰν εἶχον ἀγάπην πρὸς αὐτούς, δὲν θὰ εἶχον τολμήσει νὰ κάνουν αὐτά. Θέλει δὲ νὰ διορθώση καὶ τὴν ζωήν των, μὲ τὸν λόγον τοῦτον.

«Ἐτρέχετε καλῶς· ποῖος σᾶς ἠμπόδισε νὰ ὑπακούετε εἰς τὴν ἀλήθειαν;»[7]. Αὐτὸ δὲν εἶναι λόγος ἐρωτῶντος, ἀλλ' ἀποροῦντος καὶ θρηνοῦντος. Πῶς ἠφανίσθη τόσος δρόμος; Ποῖος αὐτὸς ὁ ὁποῖος κατώρθωσε νὰ πράξῃ τόσον μεγάλο κακόν; Σεῖς οἱ ὁποῖοι ἤσασθε ἀνώτεροι ὅλων καὶ εἰς τὴν τάξιν τῶν διδασκάλων, δὲν ἐμείνατε οὔτε εἰς τὴν τάξιν τῶν μαθητῶν. Τί ἔγινε; Ποῖος ὑπερίσχυσε τόσο πολύ; Αὐτὰ εἶναι λόγια ἀνθρώπου ὁ ὁποῖος τοὺς ἀνακαλεῖ καὶ θρηνεῖ μᾶλλον, ὅπως καὶ εἰς τὴν ἀρχὴν ἔλεγε· «Ποῖος σᾶς ἐβάσκανε;». «Ἡ πειθὼ αὐτὴ δὲν προῆλθεν ἀπὸ τὸν Θεὸν ὁ ὁποῖος σᾶς καλεῖ»[8]. Ἐκεῖνος ὁ ὁποῖος σᾶς καλεῖ, δὲν σᾶς ἐκάλεσε δι' αὐτά, ὥστε νὰ κλονίζεσθε ἔτσι· δὲν ἐνομοθέτησεν αὐτά, διὰ νὰ Ἰουδαΐζετε. Ὕστερον, διὰ νὰ μὴ λέγῃ κανείς, διατί ὑπερτονίζεις τὸ πρᾶγμα καὶ μεγαλοποιεῖς τὸν λόγον; Μίαν ἐντολὴν τοῦ νόμου ἐφυλάξαμε μόνον καὶ θορυβεῖς τόσον πολύ; Ἄκουσε πῶς φοβίζει αὐτούς, ὄχι ἀπὸ τὰ παρόντα, ἀλλ' ἀπὸ τὰ μέλλοντα, λέγων ἔτσι· «Ὀλίγον προζύμι ἔχει τὴν δύναμιν νὰ ζυμώσῃ ὅλην τὴν ζύμην»[9]. Ἔτσι ἔχει δύναμιν καὶ εἰς ἐσᾶς, λέγει, αὐτὸ τὸ μικρὸν κακόν, ἐὰν δὲν διορθωθῇ, νὰ σᾶς ὁδηγήσῃ εἰς πλήρη Ἰουδαϊσμόν, ὅπως τὸ προζύμι τὴν ζύμην.

3. «Ἔχω πεποίθησιν δι' ἐσᾶς εἰς τὸν Κύριον, ὅτι δὲν θὰ ἔχετε διαφορετικὴν γνώμην»[10]. Δὲν εἶπεν ὅτι δὲν ἔχετε, ἀλλ' ὅτι δὲν θὰ ἔχετε, δηλαδὴ ὅτι θὰ διορθωθῆτε. Ἀπὸ ποῦ γνωρίζεις τοῦτο; Δὲν εἶπεν, γνωρίζω, ἀλλά, «ἔχω τὴν πεποίθησιν». Πιστεύω εἰς τὸν Θεόν, λέγει, καὶ καλῶν τὴν συμμαχίαν ἐκείνου, ἐλπίζω ὅτι θὰ διορθωθῆτε Καὶ δὲν εἶπεν ἁπλῶς, ἔχω πεποίθησιν εἰς τὸν Κύριον, ἀλλά, «ἔχω πεποίθησιν δι' ἐσᾶς εἰς τὸν Κύριον». Διότι παντοῦ συμπλέκει μὲ

πλέκει τὰς κατηγορίας· ὡς ἂν εἰ ἔλεγεν· οἶδα τοὺς ἐμοὺς μαθητάς, οἶδα ὑμῶν τὸ εὐδιόρθωτον· θαρρῶ, τοῦτο μὲν διὰ τὸν Κύριον τὸν οὐκ ἐῶντα ἀπολέσθαι οὐδὲ τὸ τυχόν, τοῦτο δὲ δι' ὑμᾶς τοὺς δυναμένους ταχέως ἑαυτοὺς ἀνακτήσασθαι. Ἅμα δὲ καὶ προτρέπει καὶ τὴν παρ' ἑαυτῶν σπουδὴν εἰσενεγκεῖν, ὡς οὐκ ἐνὸν τῶν παρὰ τοῦ Θεοῦ τυχεῖν, ἂν μὴ καὶ τὰ παρ' ἡμῶν εἰσφέρηται.

«Ὁ δὲ ταράσσων ὑμᾶς, βαστάσει τὸ κρῖμα, ὅστις ἂν ᾖ». Ἑκατέρωθεν αὐτοὺς ἀλείφει, καὶ ἐξ ὧν παρεθάρρυνε, καὶ ἐξ ὧν ἐκείνοις ἐπηράσατο, ἢ προεφήτευσε. Σὺ δέ μοι σκόπει πῶς οὐδαμοῦ ὄνομα τίθησι τῶν ἐπιβουλευόντων, ἵνα μὴ ἀναισχυντότεροι γένωνται. Ὃ δὲ λέγει, τοῦτό ἐστιν· οὐκ ἐπειδὴ ὑμεῖς οὐδὲν ἄλλο φρονήσετε, διὰ τοῦτο οἱ τῆς ἀπάτης αἴτιοι ἀπηλλαγμένοι τῆς κολάσεώς εἰσιν, ἀλλὰ δώσουσι δίκην· οὐδὲ γὰρ προσῆκον τὴν ἑτέρων σπουδὴν τῆς ἄλλων κακοηθείας γενέσθαι παραμυθίαν. Γίνεται δὲ τοῦτο, ἵνα μὴ καὶ ἑτέροις πάλιν ἐπίθωνται. Καὶ οὐχ ἁπλῶς εἶπεν, οἱ ταράσσοντες, ἀλλὰ καὶ ἐπῆρε τὸν λόγον εἰπών, «ὅστις ἂν ᾖ».

«Ἐγὼ δέ, ἀδελφοί εἰ περιτομὴν ἔτι κηρύττω, τί ἔτι διώκομαι;». Ἐπειδὴ γὰρ διέβαλλον αὐτὸν ὡς πολλαχοῦ Ἰουδαΐζοντα, καὶ ὑποκρινόμενον τὸ κήρυγμα, ὅρα πῶς καθαρῶς ἀπεδύσατο, μάρτυρας αὐτοὺς καλῶν. Οἴδατε γάρ, φησί, καὶ ὑμεῖς, ὅτι τῶν διωγμῶν μου πρόφασις τοῦτό ἐστιν, ὅτι κελεύω ἀπέχεσθαι τοῦ νόμου· εἰ δὲ περιτομὴν κηρύσσω, τί ἔτι διώκομαι; Οὐδὲν γὰρ ἕτερόν μοι ἐγκαλεῖν ἔχουσιν οἱ ἐξ Ἰουδαίων, ἢ τοῦτο μόνον. Καὶ γὰρ εἰ συνεχώρουν αὐτοῖς με-

11. Γαλ. 5, 11.

ἐγκώμια τὰς κατηγορίας· ὡσὰν νὰ ἔλεγεν· γνωρίζω τοὺς ἰδικούς μου μαθητάς, γνωρίζω ὅτι εὐκόλως διορθώνεσθε· ἔχω θάρρος, ἀφ' ἑνὸς μὲν διὰ τὸν Κύριον, ὁ ὁποῖος δὲν ἀφήνει οὔτε κάτι ἀσήμαντον νὰ χαθῇ, ἀφ' ἑτέρου δὲ δι' ἐσᾶς, οἱ ὁποῖοι δύνασθε ταχέως νὰ ἐπανακτήσετε τοὺς ἑαυτούς σας. Συγχρόνως δὲ καὶ προτρέπει νὰ εἰσφέρουν καὶ τὴν ἰδικήν των προσπάθειαν, διότι δὲν εἶναι δυνατὸν νὰ τύχωμεν τῆς βοηθείας τοῦ Θεοῦ, ἐὰν δὲν εἰσφέρωμεν καὶ ἡμεῖς ὅσον δυνάμεθα.

«Ἐκεῖνος δὲ ὁ ὁποῖος σᾶς ταράσσει, αὐτὸς θὰ φέρῃ τὸ κρῖμα, οἱοσδήποτε καὶ ἂν εἶναι». Καὶ ἀπὸ τὰς δύο πλευρὰς ἀλείφει αὐτοὺς διὰ τὸν ἀγῶνα, καὶ ἀπὸ ὅσα ἐνεθάρρυνεν αὐτούς, καὶ ἀπὸ ὅσα κατηράσθη τοὺς αἰτίους ἢ προεφήτευσε. Σὺ δὲ πρόσεξε πῶς δὲν θέτει πουθενὰ τὸ ὄνομα ἐκείνων, οἱ ὁποῖοι τοὺς ἐπιβουλεύονται, διὰ νὰ μὴ γίνουν περισσότερον ἀναίσχυντοι. Αὐτὸ δὲ τὸ ὁποῖον ἐννοεῖ, εἶναι τὸ ἑξῆς· αὐτοὶ οἱ ὁποῖοι εἶναι αἴτιοι τῆς ἀπάτης, δὲν θὰ εἶναι ἀπηλλαγμένοι τῆς κολάσεως ἐπειδὴ ἐσεῖς θ' ἀλλάξετε φρόνημα, ἀλλὰ θὰ κριθοῦν· διότι δὲν πρέπει ἡ ἐπιμέλεια τῶν ἄλλων νὰ γίνεται παρηγορία δι' ἄλλους. Γίνεται δὲ αὐτό, διὰ νὰ μὴ ἐπιβουλεύωνται πάλιν καὶ ἄλλους. Καὶ δὲν εἶπεν ἁπλῶς, ἐκεῖνοι οἱ ὁποῖοι σᾶς ταράσσουν, ἀλλὰ καὶ ἐτόνισε τὸν λόγον, μὲ τὸ νὰ εἴπῃ· «ὅποιος καὶ ἂν εἶναι».

«Ἀλλ' ἐὰν ἐγώ, ἀδελφοί, κηρύττω ἀναγκαίαν τὴν περιτομήν, πῶς συμβαίνει νὰ καταδιώκωμαι ἀκόμη;»[11]. Ἐπειδὴ λοιπὸν διέβαλλον αὐτὸν ὅτι εἰς πολλὰ Ἰουδαΐζει καὶ ὑποκρίνεται εἰς τὸ κήρυγμα, κοίταξε πῶς μὲ καθαρότητα ἀπεδύθη, καλῶν ὡς μάρτυρας αὐτούς. Δηλαδή, γνωρίζετε, λέγει, καὶ σεῖς, ὅτι ἀφορμὴ διὰ τοὺς διωγμούς μου αὐτὸ ἦτο, ὅτι κηρύττω νὰ ἀπέχετε ἀπὸ τὸν νόμον· διότι, ἐὰν κηρύττω τὴν περιτομήν, διατί διώκομαι ἀκόμη; καθ' ὅσον διὰ τίποτε ἄλλο δὲν ἔχουν νὰ μὲ κατηγορήσουν οἱ ἐξ Ἰουδαίων πιστοί, παρὰ διὰ τοῦτο μόνον. Διότι, ἐὰν ἐπέτρεπον εἰς αὐτοὺς νὰ πιστεύουν μαζὶ μὲ τὰ πατροπαράδοτα ἤθη, δὲν θὰ

τὰ τῶν πατρῴων ἐθῶν πιστεύειν, οὐκ ἂν οὔτε οἱ πιστεύσαντες, οὔτε οἱ ἀπιστήσαντες ἐπεβούλευσαν, τῷ μηδὲν τῶν οἰκείων παρασαλεύεσθαι.

Τί οὖν; οὐκ ἐκήρυξε περιτομήν; οὐ περιέτεμε τὸν Τιμόθεον; Περιέτεμε μέν. Πῶς οὖν φησιν, οὐ κηρύσσω; Καὶ ἐνταῦθα αὐτοῦ μάθε τὴν ἀκρίβειαν· Οὐ γὰρ εἶπεν, ὅτι περιτομὴν οὐκ ἐργάζομαι, ἀλλά, οὐ κηρύσσω, τουτέστιν, οὐχ οὕτω κελεύω πιστεύειν. Μὴ γὰρ εἰς δογμάτων λάβῃς βεβαίωσιν· περιέτεμον μὲν γάρ, οὐκ ἐκήρυξα δὲ περιτομήν. «Ἄρα κατήργηται τὸ σκάνδαλον τοῦ σταυροῦ». Τουτέστι, τὸ ἐμπόδιον, τὸ κώλυμα ἀνήρηται, εἰ τοῦτό ἐστιν ὅ φατε. Οὐδὲ γὰρ οὕτως ὁ σταυρὸς ἦν σκανδαλίζων τοὺς Ἰουδαίους, ὡς τὸ μὴ δεῖν πείθεσθαι τοῖς πατρῴοις νόμοις. Καὶ γὰρ τὸν Στέφανον προσενεγκόντες, οὐκ εἶπον, ὅτι οὗτος τὸν ἐσταυρωμένον προσκυνεῖ, ἀλλ' ὅτι κατὰ τοῦ νόμου καὶ τοῦ τόπου λέγει τοῦ ἁγίου.

Καὶ τῷ Ἰησοῦ τοῦτο ἐνεκάλουν, ὅτι τὸν νόμον παραλύει. Διό φησιν ὁ Παῦλος· εἰ συγκεχώρηται περιτέμνεσθαι, λέλυται ἡ φιλονεικία ἡ πρὸς ὑμᾶς· οὐδεμία λοιπὸν ἔχθρα μένει πρὸς τὸν σταυρὸν καὶ τὸ κήρυγμα· εἰ δὲ καθ' ἑκάστην ἡμέραν φονῶσι καθ' ἡμῶν, πῶς τοῦτο ἐγκαλοῦσιν ἡμῖν; Ἐμοὶ γοῦν διὰ τοῦτο ἐπέθεντο, ὅτι εἰσήνεγκα ἀκρόβυστον εἰς τὸν ναόν. Ἆρ' οὖν οὕτως ἀνόητός εἰμι, φησίν, ὡς συγκεχωρημένης περιτομῆς, εἰκῇ καὶ μάτην τοσαύτην ἀναδέξασθαι βλάβην, τοσοῦτον σκάνδαλον θεῖναι τῷ σταυρῷ; Ὁρᾶτε γάρ, ὅτι δι' οὐδὲν ἡμῖν πολεμοῦσιν οὕτως, ὡς διὰ τὴν περιτομήν. Οὕτως οὖν ἀνόητος ἤμην, ὡς ὑπὲρ τοῦ μηδενὸς θλίβεσθαι, καὶ σκανδαλίζειν ἑτέρους; Σταυροῦ δὲ σκάνδαλον ἐκάλεσεν, ἐπειδὴ καὶ ὁ τοῦ σταυροῦ λόγος τοῦτο ἐπέταττε, καὶ τοῦτο μάλιστα ἦν τὸ σκανδαλίζον Ἰουδαίους, καὶ κωλύον τὸν σταυρὸν καταδέξασθαι, τὸ κελεύεσθαι τῶν πατρῴων ἀφίστασθαι ἐθῶν. «Ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς». Ὄ-

μὲ ἐπεβουλεύοντο οὔτε οἱ πιστεύσαντες, οὔτε οἱ μὴ πιστεύσαντες, ἀφοῦ δὲν θὰ ἐσαλεύετο τίποτε ἀπὸ τὰ εἰς αὐτοὺς οἰκεῖα.

Τί λοιπόν; Δὲν ἐκήρυξε περιτομήν; Δὲν περιέτεμε τὸν Τιμόθεον; Τὸν περιέτεμε. Πῶς λοιπὸν λέγει δὲν κηρύσσω; Γνώρισε καὶ ἐδῶ πόσον ἀκριβολογεῖ. Διότι δὲν εἶπεν ὅτι δὲν ἀπεργάζομαι τὴν περιτομήν, ἀλλὰ δὲν κηρύσσω, δηλαδὴ δὲν παραγγέλλω νὰ πιστεύετε ἔτσι. Μὴ λοιπὸν θεωρήσῃς αὐτὸ ὡς δόγμα· διότι, περιέτεμον μέν, ἀλλὰ δὲν ἐκήρυξα περιτομήν. «Ἐν τοιαύτῃ περιπτώσει δὲν θὰ ὑφίστατο πλέον τὸ σκάνδαλον τοῦ σταυροῦ». Δηλαδὴ τὸ ἐμπόδιον, τὸ κώλυμα ἔχει ἀρθῆ, ἐὰν συμβαίνῃ αὐτὸ τὸ ὁποῖον ἰσχυρίζεσθε. Διότι δὲν θὰ ἐσκανδάλιζε τοὺς Ἰουδαίους τόσον ὁ σταυρός, ὅσον τὸ ὅτι δὲν πρέπει νὰ πείθωνται εἰς τοὺς πατροπαραδότους νόμους. Διότι καὶ τὸν Στέφανον ὅταν τὸν ὡδήγησαν εἰς δίκην, δὲν εἶπον ὅτι αὐτὸς προσκυνεῖ τὸν ἐσταυρωμένον, ἀλλ' ὅτι λέγει ἐναντίον τοῦ νόμου καὶ τοῦ ἁγίου τόπου.

Καὶ τὸν Ἰησοῦν δι' αὐτὸ ἐκατηγόρουν, διὰ τὸ ὅτι καταλύει τὸν νόμον. Διὰ τοῦτο λέγει ὁ Παῦλος· ἐὰν ἐπιτρέπεται νὰ περιτέμνεσθε, ἔχει λυθῆ ἡ φιλονεικία μαζί σας· οὐδεμία ἔχθρα μένει λοιπὸν διὰ τὸν σταυρὸν καὶ τὸ κήρυγμα· ἐφ' ὅσον ὅμως καθ' ἡμέραν ἐγκληματοῦν ἐναντίον ἡμῶν, πῶς μᾶς κατηγοροῦν διὰ τοῦτο; Ἆρά γε λοιπὸν εἶμαι τόσον ἀνόητος, λέγει, ὥστε, ἐνῷ ἐπιτρέπεται ἡ περιτομή, ματαίως καὶ ἄνευ λόγου νὰ ἔχω δεχθῆ τόσην ταλαιπωρίαν, νὰ δημιουργήσω τόσον σκάνδαλον διὰ τὸν σταυρόν; Ἀλλὰ βλέπετε, ὅτι διὰ τίποτε ἄλλο δὲν μᾶς πολεμοῦν τόσον, ὅσον διὰ τὴν περιτομήν. Τόσον ἀνόητος ἤμουν λοιπόν, ὥστε διὰ τὸ τίποτε νὰ ταλαιπωροῦμαι καὶ νὰ σκανδαλίζω ἄλλους; Σκάνδαλον δὲ ὠνόμασε τὸν σταυρόν, ἐπειδὴ καὶ ὁ λόγος τοῦ σταυροῦ αὐτὸ διέτασσε, καὶ αὐτὸ ἦτο ἐκεῖνο τὸ ὁποῖον ἐσκανδάλιζε τοὺς Ἰουδαίους περισσότερον, καὶ ἠμπόδιζε νὰ δεχθοῦν τὸν σταυρόν, τὸ ὅτι παρήγγελλε ν' ἀπομακρύνωνται ἀπὸ τὰ πατρῷα ἔθιμα. «Ἠμποροῦν καὶ νὰ εὐνουχισθοῦν ὅσοι

ρα πῶς ἐστι πικρὸς ἐνταῦθα κατὰ τῶν ἠπατηκότων. Παρὰ μὲν γὰρ τὴν ἀρχὴν ἐπὶ τοὺς ἠπατημένους τὴν κατηγορίαν ἔτρεπεν, ἀνοήτους καλῶν, καὶ ἅπαξ καὶ δεύτερον· ἐπειδὴ δὲ καλῶς αὐτοὺς ἐπαίδευσε καὶ διώρθωσε, πρὸς τοὺς ἠπατηκότας τρέπεται λοιπόν· Δεῖ δὲ ἡμᾶς συνιδεῖν αὐτοῦ καὶ ἐντεῦθεν τὴν σοφίαν, πῶς τούτους μέν, ὡς παῖδας οἰκείους, καὶ δυναμένους λαβεῖν διόρθωσιν, νουθετεῖ καὶ σωφρονίζει· τοὺς δὲ ἠπατηκότας, ὡς ἀλλοτρίους καὶ ἀνίατα νοσοῦντας, ἐκκόπτει· τοῦτο μὲν λέγων, «Βαστάσει τὸ κρῖμα, ὅστις ἂν ᾖ»· τοῦτο δὲ ἐπαρώμενος αὐτοῖς, καὶ λέγων· «Ὄφελον καὶ ἀποκόψονται οἱ ἀναστατοῦντες ὑμᾶς». Καὶ καλῶς εἶπεν, «ἀναστατοῦντες». Τὴν γὰρ οἰκείαν πατρίδα καὶ τὴν ἐλευθερίαν καὶ τὴν συγγένειαν ἀφέντες τὴν ἄνω, τὴν ἀλλοτρίαν καὶ ξένην μεταδιώκειν ἠνάγκασαν, ἀπὸ μὲν τῆς ἄνω Ἰερουσαλὴμ καὶ τῆς ἐλευθέρας ἐκβαλόντες, βιαζόμενοι δὲ καθάπερ αἰχμαλώτους καὶ μετανάστας πλανᾶσθαι. Διόπερ αὐτοῖς ἐπαρᾶται. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· οὐδέν μοι μέλει περὶ ἐκείνων. Αἱρετικὸν γὰρ ἄνθρωπον μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν παραιτοῦ». Εἰ βούλονται, μὴ περιτεμνέσθωσαν μόνον, ἀλλὰ καὶ ἀποκοπτέσθωσαν.

4. Ποῦ τοίνυν εἰσὶν οἱ τολμῶντες ἀποκόπτειν ἑαυτούς, καὶ τὴν ἀρὰν ἐπισπώμενοι, καὶ τὴν τοῦ Θεοῦ δημιουργίαν διαβάλλοντες, καὶ τοῖς Μανιχαίοις συμπράττοντες; Ἐκεῖνοι μὲν γάρ φασι τὸ σῶμα ἐπίβουλον εἶναι, καὶ ὕλης τῆς πονηρᾶς· οὗτοι δὲ διὰ τῶν ἔργων τοῖς χαλεποῖς δόγμασι τούτοις διδόασιν ἀφορμήν· ὡς γὰρ ἐχθρὸν καὶ ἐπίβουλον ἀποκόπτουσι τὸ μέλος. Οὐκοῦν πολλῷ μᾶλλον τοὺς ὀφθαλμοὺς πηρῶσαι ἐχρῆν· διὰ γὰρ τῶν ὀφθαλμῶν εἰς τὴν ψυχὴν κάτεισιν ἡ ἐπιθυμία. Ἀλλὰ οὔτε ὀφθαλμός, οὔτε τὶ ἄλλο μέλος αἴτιον, ἀλλ' ἡ πονηρὰ προαίρεσις μόνον.

12. Γαλ. 5, 12.
18. Τίτ. 3, 10.

σᾶς ἀναστατώνουν»[12]. Κοίταξε πόσον σκληρὸς εἶναι ἐδῶ κατὰ τῶν ἀπατεώνων. Διότι εἰς τὴν ἀρχὴν μέν, ἔστρεφε τὴν κατηγορίαν κατὰ τῶν ἠπατημένων, ὀνομάζων αὐτοὺς ἀνοήτους, καὶ μίαν καὶ δευτέραν φοράν· ἀφοῦ ὅμως ἐδίδαξε καλῶς καὶ διώρθωσεν αὐτούς, στρέφεται τώρα κατὰ τῶν ἀπατεώνων. Πρέπει δὲ νὰ κατανοήσωμεν ἐδῶ τὴν σοφίαν του, πῶς τοὺς μέν, ὡς ἰδικά του τέκνα καὶ ἐπιδεχομένους διόρθωσιν, νουθετεῖ καὶ συνετίζει· ἐνῷ τοὺς ἀπατεῶνας, ὡς ἐχθροὺς καὶ πάσχοντας ἀπὸ ἀθεράπευτον νόσον, ἀποκόπτει· ἄλλοτε μὲν λέγων «αὐτὸς δὲ θὰ κριθῇ, οἱοσδήποτε καὶ ἂν εἶναι», ἄλλοτε δὲ καταρώμενος αὐτοὺς καὶ λέγων· «Δύνανται ἀκόμη καὶ νὰ εὐνουχισθοῦν ἐκεῖνοι, οἱ ὁποῖοι σᾶς ἀναστατώνουν». Καὶ ὀρθῶς εἶπεν «ἐκεῖνοι οἱ ὁποῖοι σᾶς ἀναστατώνουν». Διότι, ἀφοῦ ἐγκατέλειψαν τὴν πατρίδα των καὶ τὴν ἐλευθερίαν καὶ τὴν συγγένειαν μὲ τὸν Θεόν, ἠνάγκασαν αὐτοὺς νὰ ἐπιδιώκουν τὴν ἐχθρὰν καὶ ξένην, ἀφοῦ ἀφ' ἑνὸς τοὺς ἐξέβαλον ἀπὸ τὴν ἄνω καὶ ἐλευθέραν Ἰερουσαλήμ, ἀφ' ἑτέρου δὲ ἐξηνάγκαζον αὐτοὺς ὡς αἰχμαλώτους καὶ μετανάστας νὰ πλανῶνται. Διὰ τοῦτο καὶ τοὺς καταρᾶται. Ἐκεῖνο δὲ τὸ ὁποῖον ἐννοεῖ, εἶναι τὸ ἑξῆς· δὲν μὲ ἐνδιαφέρει καθόλου δι' ἐκείνους· διότι «αἱρετικὸν ἄνθρωπον μετὰ πρώτην καὶ δευτέραν νουθεσίαν, ἄφηνέ τον»[13]. Ἐὰν θέλουν, ὄχι μόνον νὰ περιτέμνωνται, ἀλλὰ καὶ ἂς εὐνουχίζωνται.

4. Ποῦ εἶναι λοιπὸν ἐκεῖνοι οἱ ὁποῖοι τολμοῦν νὰ εὐνουχίζουν τοὺς ἑαυτούς των, καὶ ἐπισύρουν ἔτσι τὴν κατάραν, καὶ οἱ ὁποῖοι διαβάλλουν τὴν δημιουργίαν τοῦ Θεοῦ καὶ συμπράττουν πρὸς τοὺς Μανιχαίους; Διότι ἐκεῖνοι μὲν ἰσχυρίζονται ὅτι τὸ σῶμα εἶναι ἐχθρός, καὶ προϊὸν τῆς ὕλης ἡ ὁποία εἶναι κακή· αὐτοὶ δὲ ἐμπράκτως δίδουν ἀφορμὴν εἰς αὐτὴν τὴν φοβερὰν πλάνην· διότι ἀποκόπτουν ὡς ἐχθρὸν καὶ ἐπίβουλον τὸ μέλος. Λοιπόν, πολὺ περισσότερον θὰ ἔπρεπε τότε νὰ καταστρέψωμεν τοὺς ὀφθαλμούς· διότι διὰ τῶν ὀφθαλμῶν κατέρχεται εἰς τὴν ψυχὴν ἡ ἐπιθυμία. Οὔτε ὁ ὀφθαλμὸς ὅμως, οὔτε κάποιο ἄλλο μέλος εἶναι αἴτιον, ἀλλὰ μόνον

Εἰ δὲ οὐκ ἀνέχῃ, διὰ τί μὴ καὶ γλῶτταν διὰ τὴν βλασφημίαν, καὶ χεῖρας διὰ τὴν ἁρπαγήν, καὶ πόδας διὰ τοὺς ἐπὶ πονηρίαν δρόμους, καὶ πᾶν, ὡς εἰπεῖν, τὸ σῶμα κατακόπτεις; Καὶ γὰρ ἀκοὴ καταυλουμένη πολλάκις κατεμάλαξε τὴν ψυχήν, καὶ ῥῖνες ὀσμὴν ἡδεῖαν δεξάμεναι κατεγοήτευσαν τὴν διάνοιαν, καὶ πρὸς ἡδονὴν ἐξεβάκχευσαν. Οὐκοῦν πάντα περικόψωμεν, καὶ ὦτα καὶ χεῖρας καὶ ῥῖνας. Ἀλλ' ἐσχάτης ταῦτα παρανομίας, καὶ Σατανικῆς παραπληξίας. Δέον γὰρ διορθῶσαι μόνον τὴν ἄτακτον τῆς ψυχῆς ὁρμήν, ὡς τοῦ τεχνίτου διαμαρτάνοντος, τὸ ὄργανον συντρίβειν ἀνέπεισεν ὁ πονηρὸς δαίμων καὶ φόνοις χαίρων διηνεκῶς.

Πῶς οὖν, τοῦ σώματος πιαινομένου, φησίν, ἐκκαίεται ἐπιθυμία; Ἰδοὺ πάλιν τὸ ἁμάρτημα τῆς ψυχῆς· τὸ γὰρ πιαίνειν τὴν σάρκα, οὐ τῆς σαρκός ἐστιν, ἀλλὰ τῆς ψυχῆς· εἰ γὰρ βούλοιτο κατατήκειν, αὐτὴ τὴν ἐξουσίαν ἅπασαν ἔχει. Σὺ δὲ παραπλήσιον ποιεῖς, ὥσπερ ἂν εἴ τις ὁρῶν τινα πῦρ καίοντα, καὶ ἐπιτιθέντα ξύλα, καὶ οἰκίαν ἐμπιπρῶντα, ἀφεὶς τὸν ἅψαντα τὴν πυράν, ἐγκαλέσειε τῇ πυρᾷ, ὅτι πολλῶν ἐπιλαβομένη ξύλων εἰς ὕψος ἤρθη· ἀλλ' οὐκ ἔστι τὸ ἔγκλημα τοῦ πυρός, ἀλλὰ τοῦ ἅψαντος τὸ πῦρ. Τοῦτο γὰρ πρὸς τροφήν, πρὸς φωτισμόν, πρὸς ἄλλας τοιαύτας ἐδόθη διακονίας, οὐχ ἵνα καίῃ τὰς οἰκίας· ὥσπερ οὖν καὶ ἡ ἐπιθυμία εἰς παιδοποιΐαν καὶ βίου σύστασιν, οὐ πρὸς μοιχείαν καὶ πορνείαν καὶ ἀσελγείας· ἵνα πατὴρ γένῃ, οὐχ ἵνα μοιχός· ἵνα νομίμως ὁμιλήσῃς γυναικί, οὐχ ἵνα παρανόμως διαφθείρῃς· ἵνα καταλίπῃς σπέρμα, οὐχ ἵνα τὸ ἑτέρου λυμήνῃ. Τὸ γὰρ μοιχεύειν οὐ τῆς ἐπιθυμίας ἐστὶ τῆς φυσικῆς, ἀλλὰ τῆς ὕβρεως τῆς παρὰ φύσιν· ἡ γὰρ ἐπιθυμία μίξιν ἐπιζητεῖ μόνον, οὐ τοιάν-

ἡ διεστραμμένη προαίρεσις. Ἐὰν δὲ δὲν ἀνέχεσαι αὐτό, διατί δὲν κατακόπτεις καὶ τὴν γλῶσσαν διὰ τὴν βλασφημίαν, καὶ τὰς χεῖρας διὰ τὴν ἁρπαγήν, καὶ τοὺς πόδας διὰ τὸ ὅτι βαδίζουν πρὸς τὸ κακόν, καὶ ὁλόκληρον, διὰ νὰ εἴπω ἔτσι, τὸ σῶμα; Διότι καὶ ἡ ἀκοὴ πολλὰς φοράς, ἀκούουσα μουσικήν, καθιστᾷ μαλθακὴν τὴν ψυχήν, καὶ αἱ ρῖνες, ἀφοῦ ἐδέχθησαν γλυκεῖαν ὀσμήν, κατεγοήτευσαν τὴν ψυχὴν καὶ τὴν ἐκυρίευσαν μὲ βακχικὴν μανίαν. Λοιπόν, ὅλα νὰ τὰ περικόψωμεν, καὶ τὰ ὦτα καὶ τὰς χεῖρας καὶ τὰς ρῖνας. Ἀλλ᾽ αὐτὰ εἶναι πράγματα ἐσχάτης παρανομίας καὶ σατανικῆς παραφροσύνης. Διότι ἔπρεπε νὰ διορθώσωμεν μόνον τὴν ἄτακτον ὁρμὴν τῆς ψυχῆς, ἀλλ᾽ ὁ πονηρὸς δαίμων ὁ ὁποῖος χαίρει αἰωνίως διὰ τοὺς φόνους, ἐξηπάτησε καὶ ἔπεισε νὰ καταστρέφουν τὸ ὄργανον, ὡσὰν νὰ ἔσφαλεν ὁ δημιουργός.

Πῶς λοιπόν, ὅταν παχύνεται τὸ σῶμα, λέγει, καταφλέγεται ἡ ἐπιθυμία; Ἰδοὺ πάλιν τὸ ἁμάρτημα τῆς ψυχῆς· διότι τὸ νὰ παχύνωμεν τὴν σάρκα, δὲν εἶναι τῆς σαρκός, ἀλλὰ τῆς ψυχῆς· διότι ἐὰν ἤθελεν νὰ λειώσῃ τὴν σάρκα, αὐτὴ ἔχει ὅλην τὴν ἐξουσίαν δι᾽ αὐτό. Σὺ δὲ κάνεις περίπου τὸ ἴδιον, ὅπως ἐὰν κάποιος, ὁ ὁποῖος βλέπει ἄλλον ν᾽ ἀνάπτῃ πῦρ καὶ νὰ θέτῃ ἐπάνω ξύλα καὶ νὰ πυρπολῇ οἰκίαν, ἀφήνων ἐκεῖνον ὁ ὁποῖος ἤναψε τὴν πυράν, κατηγορῇ τὴν πυρὰν διότι, ἀφοῦ ἔλαβε πολλὰ ξύλα, ἀνέβη εἰς ὕψος· τὸ ἔγκλημα ὅμως δὲν εἶναι τῆς πυρᾶς, ἀλλ᾽ ἐκείνου ὁ ὁποῖος ἤναψε τὸ πῦρ. Διότι αὐτὸ ἐδόθη διὰ νὰ ἐξυπηρετῇ εἰς τὴν τροφήν, τὸν φωτισμὸν καὶ πρὸς ἄλλας τέτοιου εἴδους ὑπηρεσίας καὶ ὄχι διὰ νὰ καίῃ οἰκίας· ὅπως ἀκριβῶς λοιπὸν καὶ ἡ ἐπιθυμία ἐδόθη πρὸς τεκνογονίαν καὶ γένεσιν ζωῆς, ὄχι διὰ μοιχείαν καὶ πορνείαν καὶ ἀσελγείας· διὰ νὰ γίνῃς πατὴρ καὶ ὄχι μοιχός· διὰ νὰ ἑνωθῇς μὲ γυναῖκα, καὶ ὄχι διὰ νὰ διαφθείρῃς παρανόμως· διὰ ν᾽ ἀφήσῃς ἀπογόνους ὄχι διὰ νὰ καταισχύνῃς τοὺς ἀπογόνους τοῦ ἄλλου. Διότι τὸ νὰ μοιχεύῃς δὲν εἶναι ἀποτέλεσμα τῆς φυσικῆς ἐπιθυμίας, ἀλλὰ τῆς ἀκολασίας, ἡ ὁποία εἶναι παρὰ φύσιν· διότι ἡ ἐπιθυμία

δε μίξιν. Ταῦτα δέ μοι οὐχ ἁπλῶς εἴρηται νῦν, ἀλλὰ προανακρουόμεθά τινας ἀγῶνας, καὶ προακροβολιζόμεθα πρὸς τοὺς λέγοντας τοῦ Θεοῦ τὴν δημιουργίαν πονηρὰν εἶναι, καὶ τῆς μὲν ψυχῆς τὴν ῥαθυμίαν ἐῶντας, κατὰ δὲ τοῦ σώματος μαινομένους, καὶ τὴν σάρκα ἡμῶν διαβάλλοντας, περὶ ὧν καὶ μετὰ ταῦτα Παῦλος ὁ ἀπόστολος διαλέγεται, οὐ τῆς σαρκὸς κατηγορῶν, ἀλλὰ τῶν διαβολικῶν λογισμῶν.

5. «Ὑμεῖς δέ, ἀδελφοί, ἐπὶ ἐλευθερίᾳ ἐκλήθητε· μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί». Ἐνταῦθα λοιπὸν δοκεῖ μὲν εἰς τὸν ἠθικὸν ἐμβαίνειν λόγον, πάσχει δέ τι καινόν, καὶ ὅπερ οὐδὲ ἐν μιᾷ τῶν ἄλλων ἔπαθεν ἐπιστολῶν. Πάσας γὰρ διαλαμβάνων εἰς δύο μέρη, καὶ τὰ μὲν πρῶτα περὶ δογμάτων, τὰ δὲ ἔσχατα περὶ βίου διαλεγόμενος, ἐνταῦθα εἰς τὸν ἠθικὸν ἐμπεσὼν λόγον, πάλιν ἀναμίγνυσι τὸν δογματικόν· καὶ γὰρ οὗτος ἐκείνου πάλιν ἔχεται ἐν τῇ πρὸς Μανιχαίους μάχῃ.

Τί δέ ἐστι, «Μόνον μὴ τὴν ἐλευθερίαν εἰς ἀφορμὴν τῇ σαρκί»; Ἀπήλλαξεν ὑμᾶς, φησίν, ὁ Χριστὸς τοῦ ζυγοῦ τῆς δουλείας, κυρίους ἀφῆκε τοῦ πράττειν ὅ,τι βούλεσθε, οὐχ ἵνα τῇ ἐξουσίᾳ πρὸς κακίαν χρησώμεθα, ἀλλ' ἵνα μείζονος λάβωμεν μισθοῦ πρόφασιν, ἐπὶ φιλοσοφίαν μείζονα ἀνιόντες. Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω ζυγὸν δουλείας καλεῖ τὸν νόμον, καὶ κατάρας ἐπαγωγήν· ἵνα μή τις ὑποπτεύσῃ, ὅτι διὰ τοῦτο κελεύει τοῦ νόμου ἀποστῆναι, ἵνα ἐξῇ παρανόμως ζῆν, διορθοῦται τὴν ὑπόνοιαν, λέγων· οὐχ ἵνα παράνομος γένηται ἡ πολιτεία, ἀλλ' ἵνα ὑπὲρ τὸν νόμον ἡ φιλοσοφία. Ἐλύθη γὰρ τοῦ νόμου τὰ δεσμά, καὶ ἐγὼ ταῦτα λέγω, οὐχ ἵνα ταπεινότεροι, ἀλλ' ἵνα ὑψηλότεροι γενώμεθα. Καὶ γὰρ ὁ πορνεύων, καὶ ὁ παρθενεύων, ἀμφότεροι τοῦ νόμου τὰ μέτρα ἐξέβησαν,

14. Γαλ. 5, 13.

ἐπιζητεῖ ἕνωσιν μόνον, ὄχι τέτοιαν ἕνωσιν. Αὐτὰ δὲ τώρα δὲν λέγονται τυχαίως, ἀλλ' ἀρχίζομεν ὡρισμένους ἀγῶνας καὶ προκαλοῦμεν ἐκείνους οἱ ὁποῖοι λέγουν ὅτι ἡ δημιουργία τοῦ Θεοῦ εἶναι κακή, καὶ οἱ ὁποῖοι, ἐνῷ ἀφήνουν τὴν ραθυμίαν τῆς ψυχῆς, μαίνονται ἐναντίον τοῦ σώματος καὶ διαβάλλουν τὴν σάρκα μας, διὰ τὰ ὁποῖα καὶ μετὰ ἀπὸ αὐτὰ ὁμιλεῖ ὁ ἀπόστολος Παῦλος, ὄχι κατηγορῶν τὴν σάρκα, ἀλλὰ τοὺς διαβολικοὺς λογισμούς.

5. «Σεῖς ὅμως, ἀδελφοί, ἔχετε κληθῆ διὰ τὴν ἐλευθερίαν. Μόνον μὴ λαμβάνετε ὡς πρόφασιν τὴν ἐλευθερίαν διὰ σαρκικὰς ἀπολαύσεις»[14]. Ἐδῶ λοιπὸν φαίνεται μὲν ὅτι εἰσέρχεται εἰς τὸν ἠθικὸν λόγον, παθαίνει δὲ κάτι πρωτοφανὲς καὶ τὸ ὁποῖον δὲν ἔπαθεν εἰς οὐδεμίαν τῶν ἄλλων ἐπιστολῶν. Διότι ἐνῷ ἀναπτύσσει ὅλας εἰς δύο μέρη, καὶ εἰς τὰ μὲν πρῶτα μέρη ὁμιλεῖ διὰ τὰ δόγματα, εἰς δὲ τὰ δεύτερα διὰ τὰ τοῦ βίου ἐδῶ, ἀφοῦ εἰσῆλθεν εἰς τὸν ἠθικὸν λόγον, ἀναμιγνύει πάλιν τὸν δογματικόν· διότι αὐτὸς ἀκολουθεῖ ἐκεῖνον πάλιν εἰς τὸν κατὰ τῶν Μανιχαίων ἀγῶνα.

Τί σημαίνει δέ· «Μόνον μὴ λαμβάνετε τὴν ἐλευθερίαν ὡς πρόφασιν διὰ σαρκικὰς ἀπολαύσεις»; Σᾶς ἀπήλλαξε, λέγει, ὁ Χριστός, ἀπὸ τὸν ζυγὸν τῆς δουλείας, σᾶς ἄφησε νὰ εἶσθε κύριοι, νὰ πράττετε ὅ,τι θέλετε, ὄχι διὰ νὰ χρησιμοποιήσωμεν τὸ αὐτεξούσιον διὰ τὸ κακόν, ἀλλὰ διὰ νὰ λάβωμεν ἀφορμὴν μεγαλυτέρου μισθοῦ, ἀφοῦ ἀνέλθωμεν εἰς ὑψηλοτέραν φιλοσοφίαν. Διότι ἐπειδὴ παντοῦ ὀνομάζει τὸν νόμον ζυγὸν δουλείας καὶ πρόξενον κατάρας, διὰ νὰ μὴ ὑποπτευθῆ κανεὶς ὅτι διὰ τοῦτο κηρύττει ν' ἀπομακρυνθῶμεν ἀπὸ τὸν νόμον, διὰ νὰ καταστῆ δυνατὸν νὰ ζῶμεν παρανόμως, διορθώνει τὴν ὑπόνοιαν, λέγων· ὄχι διὰ νὰ γίνῃ παράνομος ὁ τρόπος τοῦ ζῆν, ἀλλὰ διὰ νὰ ὑπερβῆ ὁ νέος τρόπος ζωῆς τὸν νόμον. Διότι ἐλύθησαν τὰ δεσμὰ τοῦ νόμου, καὶ ἐγὼ λέγω αὐτά, ὄχι διὰ νὰ γίνωμεν χειρότεροι, ἀλλὰ καλύτεροι. Διότι καὶ ὁ πορνεύων καὶ ὁ παρθενεύων, ἔχουν ἐξέλθει καὶ οἱ δύο ἀπὸ τὰ μέτρα τοῦ νόμου, ὄχι ὅμως μὲ τὸν

ἀλλ' οὐκ ἐπὶ τοῖς αὐτοῖς, ἀλλ' ὁ μὲν ἐπὶ τὸ χεῖρον κατενεχθείς, ὁ δὲ ἐπὶ τὸ βέλτιον ἐπαρθείς· ὁ μὲν παραβάς, ὁ δὲ ὑπερβὰς τὸν νόμον. Τοῦτ' οὖν φησιν ὁ Παῦλος, ὅτι ἔλυσε τὸν ζυγὸν ἀφ' ὑμῶν, οὐχ ἵνα σκιρτήσητε, οὐδ' ἵνα λακτίζητε, ἀλλ' ἵνα χωρὶς ζυγοῦ βαδίζητε εὔρυθμα.

Εἶτα καὶ δείκνυσι τρόπον δι' οὗ ῥᾳδίως ἂν τὸ τοιοῦτον κατορθωθείη· Τίς οὖν ὁ τρόπος; «Διὰ τῆς ἀγάπης δουλεύετε ἀλλήλοις», φησί. Πάλιν ἐνταῦθα αἰνίττεται, ὅτι φιλονεικία καὶ στάσις καὶ φιλαρχία καὶ ἀπόνοια ταύτης αἰτία τῆς πλάνης αὐτοῖς ἐγένετο· ἡ γὰρ τῶν αἱρέσεων μήτηρ, ἡ τῆς φιλαρχίας ἐστὶν ἐπιθυμία. Εἰπὼν γάρ, ὅτι «δουλεύετε ἀλλήλοις», ἔδειξεν ὅτι ἐξ ἀπονοίας καὶ τύφου τοῦτο ἔλαβεν ἀρχὴν τὸ κακόν· διὸ κατάλληλον ἐπισάγει φάρμακον. Ἐπειδὴ γὰρ ἀλλήλων ἄρχειν βουλόμενοι διεσχίσθητε, δουλεύσατε ἀλλήλοις· οὕτω γὰρ συναχθήσεσθε πάλιν. Ἀλλὰ φανερῶς μὲν οὐ λέγει τὸ ἁμάρτημα, φανερῶς δὲ τίθησι τὴν διόρθωσιν, ἵνα δι' αὐτῆς κἀκεῖνο μάθωσιν· ὡς ἂν εἴ τις τῷ ἀσελγαίνοντι ὅτι μὲν ἀσελγαίνει μὴ λέγοι, παραινοῖ δὲ συνεχῶς σωφρονεῖν. Ὁ γὰρ ἀγαπῶν, ὡς χρή, τὸν πλησίον, οὐ παραιτεῖται δουλεύειν αὐτῷ παντὸς δούλου ταπεινότερον. Καθάπερ γὰρ πῦρ ὁμιλῆσαν κηρῷ, μαλάσσει ῥᾳδίως αὐτόν, οὕτω καὶ ἡ τῆς ἀγάπης θερμότης πάντα τῦφον καὶ ἀπόνοιαν πυρὸς σφοδρότερον διαλύει. Διὰ τοῦτο οὐκ εἶπεν, ἀγαπᾶτε ἀλλήλους, ἁπλῶς, ἀλλά, «δουλεύετε», τὴν ἐπιτεταμένην δηλῶν φιλίαν. Ἐπειδὴ γὰρ τοῦ νόμου τὸν ζυγὸν ἀνεῖλεν, ἵνα μὴ ἀποσκιρτήσωσιν, ἕτερον αὐτοῖς ἐπιτίθησι ζυγὸν τὸν τῆς ἀγάπης, ἰσχυρότερον μὲν ἐκείνου, κουφότερον δὲ καὶ ἡδίω πολλῷ.

Εἶτα δεικνὺς αὐτοῦ τὸ κατόρθωμα, φησίν· «Ὁ γὰρ πᾶς νόμος ἐν ἑνὶ λόγῳ πληροῦται, ἐν τῷ, ἀγαπήσεις τὸν πλησίον

ἴδιον τρόπον, ἀλλ' ὁ μὲν εἷς καταντήσας εἰς τὸ χειρότερον, ὁ δὲ ἄλλος ὑψωθεὶς εἰς τὸ καλύτερον· ὁ μέν, ἀφοῦ παρέβη, ὁ δὲ ἀφοῦ ὑπερέβη τὸν νόμον. Αὐτὸ λοιπὸν λέγει ὁ Παῦλος, ὅτι μᾶς ἠλευθέρωσεν ἀπὸ τὸν ζυγόν, ὄχι διὰ νὰ χοροπηδᾶτε, οὔτε διὰ νὰ κλωτσᾶτε, ἀλλὰ διὰ νὰ βαδίζετε ὀρθὰ χωρὶς τὸν ζυγόν.

Ὕστερον ὑποδεικνύει καὶ τὸν τρόπον μὲ τὸν ὁποῖον εὐκόλως θὰ κατορθωθῇ αὐτό. Ποῖος λοιπὸν ὁ τρόπος; «Ἀλλὰ διὰ τῆς ἀγάπης νὰ ὑπηρετῆτε ὁ ἕνας τὸν ἄλλον», λέγει. Πάλιν ἐδῶ ὑπαινίσσεται ὅτι αἰτία αὐτῆς τῆς πλάνης ὑπῆρξε δι' αὐτοὺς ἡ φιλονεικία καὶ ἡ διχόνοια καὶ ἡ φιλαρχία καὶ ἡ μωρία· διότι ἡ μήτηρ τῶν αἱρέσεων εἶναι ἡ ἐπιθυμία τῆς φιλαρχίας. Διότι λέγων «νὰ ὑπηρετῆτε ὁ ἕνας τὸν ἄλλον», ἔδειξεν ὅτι ἀπὸ μωρίαν καὶ ὑπερηφάνειαν προεκλήθη αὐτὸ τὸ κακόν· διὰ τοῦτο εἰσάγει κατάλληλον φάρμακον. Ἐπειδὴ δηλαδὴ θέλοντες νὰ ἄρχετε ἀπεσχίσθητε μεταξὺ σας, γίνετε ὑπηρέται ὁ ἕνας τοῦ ἄλλου· διότι ἔτσι θὰ συνενωθῆτε πάλι. Δὲν λέγει ὅμως φανερῶς τὸ ἁμάρτημα, ἀλλὰ ἐκθέτει φανερῶς τὴν διόρθωσιν, ὥστε δι' αὐτῆς νὰ μάθουν καὶ ἐκεῖνο· ὅπως ἐὰν κάποιος δὲν λέγῃ μὲν εἰς τὸν ἀσελγαίνοντα ὅτι ἀσελγεῖ, ἀλλὰ παραινεῖ νὰ τηρῇ συνεχῶς σωφροσύνην. Διότι ἐκεῖνος ὁ ὁποῖος ἀγαπᾷ ὅπως πρέπει τὸν πλησίον, δὲν διστάζει νὰ ὑπηρετῇ αὐτὸν περισσότερον ἀπὸ κάθε δοῦλον. Διότι, ὅπως ἀκριβῶς τὸ πῦρ, ὅταν ἑνωθῇ μὲ κηρόν, εὐκόλως καθιστᾷ αὐτὸν μαλακόν, ἔτσι καὶ ἡ θερμότης τῆς ἀγάπης κάθε ὑπερηφάνειαν καὶ ἀνοησίαν διαλύει ὁρμητικώτερον τοῦ πυρός. Διὰ τοῦτο δὲν εἶπεν ἁπλῶς ν' ἀγαπᾶτε ὁ ἕνας τὸν ἄλλον, ἀλλὰ «ὑπηρετεῖτε», ἐννοῶν τὴν δυνατὴν ἀγάπην. Διότι, ἐπειδὴ ἀνῄρεσε τὸν ζυγὸν τοῦ νόμου, διὰ νὰ μὴ ἀποσκιρτήσουν, θέτει ἐπάνω εἰς αὐτοὺς ἄλλον ζυγόν, τὸν τῆς ἀγάπης, ὁ ὁποῖος εἶναι ἰσχυρότερος μὲν ἀπὸ ἐκεῖνον, ἀλλὰ ἐλαφρότερος καὶ πολὺ γλυκύτερος.

Ὕστερον, διὰ νὰ δείξῃ τὸ κατόρθωμα τοῦ νόμου τῆς ἀγάπης, λέγει· «διότι ὁλόκληρος ὁ νόμος ἐκπληροῦται μὲ ἕνα

σὸν ὡς ἑαυτόν». Ἐπειδὴ γὰρ ἄνω καὶ κάτω τὸν νόμον ἔστρεφον, εἰ βούλει αὐτόν, φησί, πληροῦν, μὴ περιτέμνου· οὐ γὰρ ἐν τῇ περιτομῇ, ἀλλ' ἐν τῇ ἀγάπῃ πληροῦται. Ὅρα τῆς ὀδύνης πῶς οὐκ ἐπιλανθάνεται τῆς ἑαυτοῦ, ἀλλὰ τὸ πονοῦν κινεῖ συνεχῶς, καὶ εἰς τὸν ἠθικὸν ἐξελθὼν λόγον. «Εἰ δὲ ἀλλήλους δάκνετε καὶ κατεσθίετε βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε». Οὐκ ἀποφαίνεται, ἵνα μὴ βαρήσῃ, ἀλλ' οἶδε μὲν αὐτὸ γινόμενον, λέγει δὲ αὐτὸ μετὰ ἀμφιβολίας. Οὐ γὰρ εἶπεν, ἐπειδὴ ἀλλήλους δάκνετε· καὶ τὸ ἑξῆς ὁμοίως· οὐδὲ γὰρ ἐκεῖ πάλιν ἀπεφήνατο, ὅτι ὑπὸ ἀλλήλων ἀναλωθήσεσθε, ἀλλά, «βλέπετε μὴ ὑπὸ ἀλλήλων ἀναλωθῆτε»· ὅπερ ἐστὶ φοβοῦντος καὶ ἀσφαλιζομένου, οὐ καταδικάζοντος. Καὶ ταῖς λέξεσι δὲ ἐμφαντικῶς ἐχρήσατο. Οὐ γὰρ εἶπε, «δάκνετε», μόνον, ὅπερ ἐστὶ θυμουμένου, ἀλλὰ καί, «κατεσθίετε», ὅπερ ἐστὶν ἐμμένοντος τῇ πονηρίᾳ. Ὁ μὲν γὰρ δάκνων, ὀργῆς ἐπλήρωσε πάθος· ὁ δὲ κατεσθίων, θηριωδίας ἐσχάτης παρέσχεν ἀπόδειξιν. Δήγματα δὲ καὶ βρώσεις οὐ τὰς σωματικάς φησιν, ἀλλὰ τὰς πολὺ χαλεπωτέρας. Οὐ γὰρ οὕτως ὁ ἀνθρωπίνης ἀπογευσάμενος σαρκὸς ἔβλαψεν, ὡς ὁ δήγματα εἰς τὴν ψυχὴν πηγνύς· ὅσον γὰρ ψυχὴ τιμιωτέρα σώματος, τοσούτῳ χαλεπωτέρα ἡ ταύτης βλάβη.

Βλέπετε μὴ ὑπ' ἀλλήλων ἀναλωθῆτε». Ἐπειδὴ γὰρ οἱ ἀδικοῦντες καὶ ἐπιβουλεύοντες, ὡς ἄλλους ἀναλίσκοντες, ἐπὶ τοῦτο ἔρχονται, διὰ τοῦτό φησι, σκοπεῖτε μὴ εἰς ὑμᾶς τὸ πρᾶγμα περιτραπῇ. Ἡ γὰρ διάστασις καὶ ἡ μάχη φθοροποιὸν καὶ ἀναλωτικὸν καὶ τῶν δεχομένων αὐτήν, καὶ τῶν

15. Γαλ. 5, 14.
16. Γαλ. 5, 15.

λόγον· «νὰ ἀγαπήσῃς τὸν πλησίον σου ὡσὰν τὸν ἑαυτόν σου»[15]. Διότι ἐπειδὴ διέστρεφον τὸν νόμον, ἐὰν θέλῃς, λέγει, νὰ ἐκπληρώσῃς αὐτόν, μὴ περιτέμνεσαι· διότι ὄχι εἰς τὴν περιτομήν, ἀλλ' εἰς τὴν ἀγάπην ἐκπληροῦται. Κοίταξε πῶς δὲν λησμονεῖ τὴν ὀδύνην του, ἀλλ' ἐκεῖνο τὸ ὁποῖον τὸν πονεῖ ἀνακινεῖ συνεχῶς, παρ' ὅ,τι ἔχει ἔλθει εἰς τὸν ἠθικὸν λόγον. «Ἐὰν δὲ ὁ ἕνας δαγκώνῃ καὶ κατατρώγῃ τὸν ἄλλον, προσέχετε μήπως καταφαγωθῆτε μεταξύ σας»[16]. Δὲν λέγει ρητῶς, διὰ νὰ μὴ γίνῃ φορτικός, ἀλλά, γνωρίζει μὲν ὅτι γίνεται αὐτό, τὸ λέγει ὅμως μὲ ἀμφιβολίαν. Δὲν εἶπε δηλαδή, ἐπειδὴ δαγκώνεσθε μεταξύ σας· καὶ εἰς τὰ ἑπόμενα ἐπίσης· διότι οὔτε ἐκεῖ πάλιν εἶπε ρητῶς ὅτι θὰ καταφαγωθῆτε μεταξύ σας, ἀλλὰ «προσέχετε μήπως καταφαγωθῆτε μεταξύ σας»· πρᾶγμα τὸ ὁποῖον εἶναι ἐνέργεια ἀνθρώπου, ὁ ὁποῖος φοβίζει καὶ ἀσφαλίζει, καὶ ὄχι ἀνθρώπου ὁ ὁποῖος καταδικάζει. Καὶ τὰς λέξεις δὲ ἐχρησιμοποίησε μὲ ἔμφασιν. Διότι δὲν εἶπε «δαγκώνετε» μόνον, πρᾶγμα τὸ ὁποῖον γίνεται καὶ κατὰ τὸν θυμόν, ἀλλὰ καὶ «κατατρώγει ὁ ἕνας τὸν ἄλλον», πρᾶγμα τὸ ὁποῖον εἶναι γνώρισμα ἀνθρώπου ὁ ὁποῖος ἐπιμένει εἰς τὴν κακίαν. Διότι, ἐκεῖνος μὲν ὁ ὁποῖος δαγκώνει, ἱκανοποιεῖ τὸ πάθος τῆς ὀργῆς· ἐνῷ ἐκεῖνος ὁ ὁποῖος κατατρώγει, δίδει ἀπόδειξιν ἐσχάτης θηριωδίας. Δαγκώματα δὲ καὶ ἀλληλοφαγώματα δὲν ἐννοεῖ τὰ σωματικά, ἀλλὰ τὰ πολὺ χειρότερα ἀπὸ αὐτά. Διότι δὲν βλάπτει τόσον ἐκεῖνος ὁ ὁποῖος σπαράσσει τὴν ἀνθρωπίνην σάρκα, ὅσον ἐκεῖνος ὁ ὁποῖος δαγκώνει τὴν ψυχήν· διότι ὅσον πολυτιμοτέρα εἶναι ἡ ψυχὴ ἀπὸ τὸ σῶμα, τόσον μεγαλυτέρα εἶναι ἡ βλάβη της.

«Προσέχετε μήπως καταφαγωθῆτε μεταξύ σας». Ἐπειδὴ δηλαδὴ ἐκεῖνοι οἱ ὁποῖοι βλάπτουν ἐπιβουλεύονται, ὡσὰν ἐχθροὶ ποὺ εἶναι, ἄλλους κατασπαράσσουν, καὶ ἔρχονται μὲ αὐτὸν τὸν σκοπόν, διὰ τοῦτο, λέγει, προσέχετε μήπως μεταφερθῇ εἰς ἐσᾶς αὐτὸ τὸ πρᾶγμα. Διότι ἡ διάστασις καὶ ἡ φιλονεικία εἶναι πρᾶγμα φθοροποιὸν καὶ καταστρεπτικὸν καὶ ἐκείνων οἱ ὁποῖοι τὴν δέχονται, καὶ ἐκείνων οἱ ὁποῖοι τὴν εἰσά-

εἰσαγόντων, καὶ σητὸς μᾶλλον ἅπαντα διατρώγει.

6. «Λέγω δέ, Πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε». Ἰδοὺ καὶ ἑτέραν δείκνυσιν ὁδὸν εὔκολον ποιοῦσαν τὴν ἀρετήν, καὶ κατορθοῦσαν τὰ εἰρημένα, ὁδὸν τίκτουσαν ἀγάπην, καὶ σφιγγομένην ὑπὸ τῆς ἀγάπης. Οὐδὲν γάρ, οὐδὲν οὕτως ἀγαπητικοὺς ποιεῖ, ὡς τὸ Πνευματικοὺς εἶναι· καὶ οὐδὲν οὕτω πείθει παραμένειν ἡμῖν τὸ Πνεῦμα, ὡς ἡ τῆς ἀγάπης ἰσχύς. Διό φησι, «Πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε». Ἐπειδὴ γὰρ εἶπε τὸ ποιοῦν τὴν νόσον, λέγει καὶ τὸ τὴν ὑγείαν χαριζόμενον φάρμακον.

Ποῖον δὲ τοῦτό ἐστι, καὶ τίς ἡ λύσις τῶν εἰρημένων κακῶν, ἢ τῷ Πνεύματι ζῆν; Διό φησι· «Πνεύματι περιπατεῖτε, καὶ ἐπιθυμίαν σαρκὸς οὐ μὴ τελέσητε». «Ἡ γὰρ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ Πνεύματος, τὸ δὲ Πνεῦμα κατὰ τῆς σαρκός· ταῦτα δὲ ἀντίκειται ἀλλήλοις, ἵνα μή, ἃ ἂν θέλητε, ταῦτα ποιῆτε». Ἐνταῦθα δὲ ἐπιτίθενταί τινες λέγοντες, ὅτι διεῖλεν εἰς δύο τὸν ἄνθρωπον ὁ ἀπόστολος, ὥσπερ ἐξ ἐναντίας οὐσίας κατεσκευασμένον εἰσάγων, καὶ μάχην τῷ σώματι πρὸς τὴν ψυχὴν δεικνὺς οὖσαν. Ἀλλ' οὐκ ἔστι ταῦτα, οὐκ ἔστι. Σάρκα γὰρ ἐνταῦθα, οὐ τὸ σῶμα καλεῖ· εἰ γὰρ τοῦτό φησι, πῶς ἔχει λόγον τὸ ἑξῆς εἰρημένον; «ἐπιθυμεῖ γάρ», φησί, «κατὰ τοῦ Πνεύματος». Καὶ μὴν τοῦτο οὐ τῶν κινούντων ἀλλὰ τῶν κινουμένων ἐστίν, οὐ τῶν ἐνεργούντων, ἀλλὰ τῶν ἐνεργουμένων· πῶς οὖν ἐπιθυμεῖ; Ἡ γὰρ ἐπιθυμία οὐ σαρκός, ἀλλὰ ψυχῆς. Καὶ γὰρ ἀλλαχοῦ φησι, «Κατεπίθυμός ἐστιν ἡ ψυχή μου»· καί, «Τί ἐπιθυμεῖ ἡ ψυχή σου, καὶ ποιήσω σοι;» καί, «Μὴ πορεύου κατὰ τὴν ἐπιθυμίαν τῆς ψυχῆς σου»· καὶ πάλιν, «Οὕτως ἐπιποθεῖ ἡ ψυχή μου».

17. Γαλ. 5, 16.
18. Γαλ. 5, 17.
19. Ψαλμ. 83, 2.
20. Α' Βασ. 20, 4.
21. Σοφ. Σειρὰχ 18, 30.
22. Ψαλμ. 41, 2.

γουν, καὶ κατατρώγει τὰ πάντα περισσότερον ἀπὸ τὸν σκῶρον.

6. «Ἐννοῶ νὰ ὁδηγῆσθε ἀπὸ τὸ Πνεῦμα καὶ τότε δὲν θὰ ἐκτελῆτε τὴν ἐπιθυμίαν τῆς σαρκός»[17]. Ἰδού, δεικνύει καὶ ἄλλην ὁδόν, ἡ ὁποία κάνει εὔκολον τὴν ἀρετὴν καὶ ἱκανὴν νὰ κατορθώνῃ τὰ λεχθέντα, ὁδὸν ἡ ὁποία γεννᾷ ἀγάπην καὶ εἶναι ἐνηγκαλισμένη μὲ τὴν ἀγάπην. Διότι τίποτε, τίποτε δὲν πληροῖ ἀπὸ ἀγάπην τοὺς ἀνθρώπους, ὅσον τὸ νὰ εἶναι πλήρεις ἁγίου Πνεύματος· καὶ τίποτε ἄλλο δὲν πείθει τὸ ἅγιον Πνεῦμα νὰ παραμένῃ εἰς ἐμᾶς, ὅσον ἡ δύναμις τῆς ἀγάπης. Διὰ τοῦτο λέγει «νὰ ὁδηγῆσθε ἀπὸ τὸ ἅγιον Πνεῦμα καὶ τότε δὲν θὰ ἐκτελῆτε τὴν ἐπιθυμίαν τῆς σαρκός». Ἀφοῦ λοιπὸν εἶπε αὐτὸ τὸ ὁποῖον προκαλεῖ τὴν νόσον, λέγει τώρα καὶ τὸ φάρμακον τὸ ὁποῖον χαρίζει τὴν ὑγείαν.

Ποῖον δὲ εἶναι αὐτό, καὶ ποία ἡ κατάλυσις τῶν λεχθέντων κακῶν, παρὰ τὸ νὰ ζῇ κανεὶς ἐν ἁγίῳ Πνεύματι; Διὰ τοῦτο λέγει· «νὰ ὁδηγῆσθε ἀπὸ τὸ ἅγιον Πνεῦμα, καὶ τότε δὲν θὰ ἐκτελῆτε τὴν ἐπιθυμίαν τῆς σαρκός». «Διότι ἡ σὰρξ ἔχει ἐπιθυμίας ἀντιθέτους πρὸς τὸ Πνεῦμα, τὸ δὲ Πνεῦμα ἀντιθέτους πρὸς τὴν σάρκα. Αὐτὰ εἶναι ἀντίθετα τὸ ἕνα πρὸς τὸ ἄλλο ὥστε νὰ μὴ δύνασθε νὰ κάνετε ἐκεῖνα τὰ ὁποῖα θέλετε»[18]. Ἐδῶ δὲ ἐπιτίθενται ὡρισμένοι καὶ λέγουν ὅτι διήρεσεν εἰς δύο τὸν ἄνθρωπον ὁ ἀπόστολος, ὡσὰν νὰ εἰσάγῃ τὴν ἀντίληψιν ὅτι συνίσταται ἀπὸ ἀντιθέτους οὐσίας, καὶ νὰ ἐμφανίζῃ ὅτι ἡ ψυχὴ εὑρίσκεται εἰς πόλεμον μὲ τὸ σῶμα. Ἀλλὰ δὲν συμβαίνει αὐτό, ὄχι. Διότι σάρκα ἐδῶ ὀνομάζει ὄχι τὸ σῶμα· διότι, ἐὰν λέγῃ τοῦτο, πῶς θὰ ᾐτιολογεῖτο αὐτὸ τὸ ὁποῖον εἶπε· «ἐπιθυμεῖ κατὰ τοῦ Πνεύματος»; Διότι τὸ σῶμα δὲν εἶναι κινοῦν, ἀλλὰ κινούμενον, ὄχι ἐνεργοῦν, ἀλλ' ἐνεργούμενον· πῶς λοιπὸν ἐπιθυμεῖ; Διότι ἡ ἐπιθυμία δὲν εἶναι τῆς σαρκός, ἀλλὰ τῆς ψυχῆς. Μάλιστα καὶ ἀλλοῦ λέγει «Λαχταρᾷ ἡ ψυχή μου καὶ λειώνει»[19]· καὶ «τί ἐπιθυμεῖ ἡ ψυχή σου διὰ νὰ τὸ πραγματοποιήσω;»[20]· καὶ «μὴ πολιτεύεσαι συμφώνως πρὸς τὰς ἐπιθυμίας τῆς ψυχῆς σου»[21]· καὶ πάλιν «ἔτσι ποθεῖ ἡ ψυχή μου»[22].

Πῶς οὖν Παῦλός φησιν, «Ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος»; Οἶδε σάρκα καλεῖν, οὐ τὴν τοῦ σώματος φύσιν, ἀλλὰ καὶ τὴν πονηρὰν προαίρεσιν, ὡς ὅταν λέγῃ, «Ὑμεῖς οὐκ ἐστὲ ἐν σαρκί, ἀλλ' ἐν Πνεύματι»· καὶ πάλιν, «Οἱ δὲ ἐν σαρκὶ ὄντες, Θεῷ ἀρέσαι οὐ δύνανται». Τί οὖν; ἀνελεῖν δεῖ τὴν σάρκα; αὐτὸς δὲ ὁ ταῦτα λέγων οὐ σάρκα περιέκειτο; Οὐ τῆς σαρκός, ἀλλὰ τοῦ διαβόλου ταῦτα τὰ δόγματα· «Ἐκεῖνος γὰρ ἀνθρωποκτόνος ἦν ἀπ' ἀρχῆς». Τί οὖν φησι; Σάρκα ἐνταῦθα τὸν λογισμὸν καλεῖ τὸν γεώδη, τὸν ῥᾴθυμον καὶ ἠμελημένον. Τοῦτο δὲ οὐ σώματος κατηγορία, ἀλλὰ ῥαθύμου ψυχῆς ἔγκλημα. Ὄργανον γάρ ἐστιν ἡ σάρξ, τὸ δὲ ὄργανον οὐδεὶς ἀποστρέφεται καὶ μισεῖ, ἀλλὰ τὸν τὸ ὄργανον κακῶς μεταχειριζόμενον· Καὶ γὰρ οὐ τὸν σίδηρον, ἀλλὰ τὸν ἀνδροφόνον καὶ μισοῦμεν καὶ κολάζομεν.

Ἀλλὰ καὶ αὐτὸ τοῦτο, φησί, κατηγορία τοῦ σώματος, τὸ τὰ ἁμαρτήματα τῆς ψυχῆς τῷ τῆς σαρκὸς ὀνόματι καλεῖσθαι. Ἐγὼ δὲ ὁμολογῶ μὲν ἐλάττονα εἶναι τῆς ψυχῆς τὴν σάρκα, καὶ αὐτὴν δὲ καλήν. Τὸ γὰρ ἔλαττον τοῦ καλοῦ, καὶ αὐτὸ καλόν· τὸ δὲ κακόν, οὐκ ἔλαττον τοῦ καλοῦ, ἀλλ' ἐναντίον. Σὺ δέ, εἰ μὲν ἔχεις δεῖξαι ἀπὸ τοῦ σώματος κατασκευαζομένην τὴν κακίαν, κατηγόρει τῆς σαρκός· εἰ δὲ ἀπὸ τῆς προσηγορίας διαβάλλειν ἐπιχειρεῖς, ὥρα σοι καὶ τῆς ψυχῆς κατηγορεῖν. Καὶ γὰρ ψυχικὸς ἄνθρωπος λέγεται ὁ τῆς ἀληθείας ἐστερημένος, καὶ πνεύματα πονηρίας λέγεται τὰ τῶν δαιμόνων πλήθη. Τῷ δὲ τῆς σαρκὸς ὀνόματι πάλιν καὶ τὰ μυστήρια καλεῖν εἴωθεν ἡ Γραφή, καὶ τὴν Ἐκκλησίαν ἅπασαν, σῶμα λέγουσα εἶναι τοῦ Χριστοῦ.

Εἰ δὲ βούλει καὶ κατορθώματα καλεῖν τὰ δι' αὐτῆς γινόμενα, σβέσον τῷ λόγῳ τὰς αἰσθήσεις, καὶ ἔρημον ὄψει τὴν ψυχὴν γνώσεως ἁπάσης καὶ οὐδὲν εἰδυῖαν ὧν οἶδεν.

---

23. Ρωμ. 8, 9.
24. Ρωμ. 8, 8.
25. Ἰωάν. 8, 44.

Πῶς λοιπὸν ὁ Παῦλος λέγει «ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ Πνεύματος»; Σάρκα ὀνομάζει, ὄχι τὴν φύσιν τοῦ σώματος, ἀλλὰ καὶ τὴν πονηρὰν προαίρεσιν, ὅπως ὅταν λέγῃ· «Σεῖς ὅμως δὲν εἶσθε σαρκικοί, ἀλλὰ πνευματικοί»[23]· καὶ πάλιν «Ἐκεῖνοι οἱ ὁποῖοι εἶναι σαρκικοί, δὲν δύνανται ν' ἀρέσουν εἰς τὸν Θεόν»[24]. Τί λοιπόν; Πρέπει νὰ καταστρέψωμεν τὴν σάρκα; Ἀλλ' αὐτὸς ὁ ὁποῖος ἔλεγεν αὐτὰ δὲν εἶχε σάρκα; Δὲν ἀναφέρεται εἰς τὴν σάρκα, ἀλλ' εἰς τὸν διάβολον αὐτὴ ἡ διδασκαλία. Διότι «ἐκεῖνος ἀπὸ τὴν ἀρχὴν ἦτο ἀνθρωποκτόνος»[25]. Τί λοιπὸν λέγει; Σάρκα ἐδῶ ὀνομάζει τὴν γεώδη σκέψιν, τὴν ράθυμον καὶ ἀμελῆ. Αὐτὸ ὅμως δὲν εἶναι κατηγορία κατὰ τοῦ σώματος, ἀλλὰ καταδίκη ραθύμου ψυχῆς. Διότι ἡ σὰρξ εἶναι ὄργανον, τὸ δὲ ὄργανον οὐδεὶς ἀποστρέφεται καὶ μισεῖ, ἀλλ' ἐκεῖνον ὁ ὁποῖος μεταχειρίζεται κακῶς τὸ ὄργανον. Διότι ὄχι τὸν σίδηρον, ἀλλὰ τὸν φονέα καὶ μισοῦμεν καὶ τιμωροῦμεν.

Ἀλλὰ καὶ αὐτὸ εἶναι ἄδικος κατηγορία τοῦ σώματος, λέγει, δηλαδὴ τὸ νὰ ὀνομάζωνται τ' ἁμαρτήματα τῆς ψυχῆς μὲ τὸ ὄνομα τῆς σαρκός. Ἐγὼ δὲ ὁμολογῶ μὲν ὡς κατωτέραν τῆς ψυχῆς τὴν σάρκα, ἀλλὰ καὶ αὐτὴν καλήν. Διότι τὸ ὀλιγώτερον τοῦ καλοῦ εἶναι καὶ αὐτὸ καλόν· ἐνῷ τὸ κακὸν δὲν εἶναι ὀλιγώτερον, ἀλλ' ἀντίθετον τοῦ καλοῦ. Σὺ δέ, ἂν δύνασαι ν' ἀποδείξῃς ὅτι ἀπὸ τὸ σῶμα προέρχεται ἡ κακία, νὰ κατηγορῇς τὴν σάρκα· ἐὰν ὅμως ἐπιχειρῇς νὰ διαβάλλῃς αὐτὴν ἀπὸ τὴν ὀνομασίαν της, εἶναι καιρὸς νὰ κατηγορῇς καὶ τὴν ψυχήν. Διότι ψυχικὸς ἄνθρωπος λέγεται ἐκεῖνος ὁ ὁποῖος στερεῖται τὴν ἀλήθειαν, καὶ πνεύματα πονηρίας λέγονται τὰ πλήθη τῶν δαιμόνων. Μὲ τὸ ὄνομα δὲ τῆς σαρκὸς πάλιν συνηθίζει νὰ ὀνομάζῃ ἡ Γραφὴ καὶ τὰ μυστήρια καὶ ὁλόκληρον τὴν ἐκκλησίαν, λέγουσα ὅτι εἶναι σῶμα τοῦ Χριστοῦ.

Ἐὰν δὲ θέλῃς καὶ κατορθώματα νὰ ὀνομάζῃς τὰ ὅσα γίνονται διὰ τῆς σαρκός, σβῆσε τὰς αἰσθήσεις διὰ τὸν νοῦν καὶ θὰ ἴδῃς τὴν ψυχὴν ἔρημον ἀπὸ κάθε γνῶσιν, καὶ νὰ μὴ

Εἰ γὰρ ἡ δύναμις τοῦ Θεοῦ ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοουμένη καθορᾶται, πῶς ἂν ἴδοιμεν χωρὶς ὀφθαλμῶν; εἰ δὲ καὶ ἡ πίστις ἐξ ἀκοῆς, πῶς ἀκουσόμεθα χωρὶς ὤτων; Καὶ τὸ κηρῦξαι δὲ καὶ τὸ περιελθεῖν, διὰ γλώττης καὶ ποδῶν· «Πῶς γὰρ κηρύξουσιν, ἐὰν μὴ ἀποσταλῶσι;» καὶ τὸ γράψαι διὰ χειρῶν.

Ὁρᾷς ὅτι μυρίων ἡμῖν ἀγαθῶν ἐστιν αἰτία τῆς σαρκὸς ἡ διακονία; Εἰ δὲ λέγει, «Ἡ σὰρξ ἐπιθυμεῖ κατὰ τοῦ πνεύματος», περὶ δύο φησὶ λογισμῶν. Οὗτοι γὰρ ἀλλήλοις ἀντίκεινται, ἡ ἀρετὴ καὶ ἡ κακία, οὐχ ἡ ψυχὴ καὶ τὸ σῶμα. Εἰ γὰρ ταῦτα ἀντίκειται, ἀλλήλων ἐστὶν ἀναιρετικά, ὡς τὸ πῦρ τοῦ ὕδατος, ὡς τὸ σκότος τοῦ φωτός. Εἰ δὲ ἐπιμελεῖται σώματος ψυχή, καὶ πολλὴν αὐτοῦ ποιεῖται πρόνοιαν, καὶ μυρία πάσχει, ὥστε αὐτὸ μὴ καταλιπεῖν, καὶ ἀπορρηγνυμένη κωλύει, καὶ τὸ σῶμα αὐτῇ διακονεῖται, καὶ πολλὴν εἰσάγει γνῶσιν αὐτῇ, καὶ πρὸς τὴν ἐκείνης ἐνέργειαν τοῦτο κατεσκεύασται· πῶς ἂν ἐναντία ταῦτα εἴη καὶ μαχόμενα ἀλλήλοις; Ἐγὼ γὰρ οὐ μόνον οὐκ ἐναντία, ἀλλὰ καὶ σφόδρα ὁμονοοῦντα, καὶ ἀλλήλων ἀντεχόμενα διὰ τῶν ἔργων ὁρῶ. Οὐ τοίνυν περὶ τούτων φησίν, ὅτι ἀντίκεινται ἀλλήλοις, ἀλλὰ λογισμῶν πονηρῶν καὶ ἀγαθῶν μάχην εἰσάγει. Τὸ γὰρ θέλειν καὶ μὴ θέλειν, τῆς ψυχῆς. Διὰ τοῦτό φησι, «ταῦτα δὲ ἀντίκεινται», ἵνα μὴ συγχωρῇς τῇ ψυχῇ πορεύεσθαι ἐν ταῖς ἐπιθυμίαις αὐτῆς ταῖς πονηραῖς. Καθάπερ γάρ τις παιδαγωγὸς καὶ διδάσκαλος φοβῶν, ταῦτα ἐφθέγξατο.

*«**Εἰ** δὲ Πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον». Ποία αὕτη ἀκολουθία; Μεγίστη μὲν οὖν καὶ σαφής· Ὁ γὰρ Πνεῦμα ἔχων, ὡς χρή, σβέννυσι διὰ τούτου πονηρὰν ἐπιθυμίαν ἅπασαν·*

26. Ρωμ. 10, 15.
27. Γαλ. 5, 18.

γνωρίζῃ τίποτε ἀπὸ ὅσα γνωρίζει. Διότι ἐὰν ἡ δύναμις τοῦ Θεοῦ φαίνεται διὰ τοῦ νοῦ εἰς τὰ δημιουργήματα ἀπὸ κτίσεως κόσμου, πῶς θὰ ἴδωμεν χωρὶς ὀφθαλμούς; Ἐὰν δὲ καὶ ἡ πίστις λαμβάνεται διὰ τῆς ἀκοῆς, πῶς θὰ ἀκούσωμεν χωρὶς ὦτα; Καὶ τὸ νὰ κηρύξῃ κανεὶς καὶ νὰ περιοδεύσῃ εἰς ἱεραποστολήν, γίνεται διὰ τῆς γλώσσης καὶ τῶν ποδῶν· διότι «πῶς θὰ κηρύξουν ἐὰν δὲν ἀποσταλοῦν;»[26]· Καὶ τὸ γράψιμον γίνεται διὰ τῶν χειρῶν.

Βλέπεις ὅτι ἡ ὑπηρεσία τῆς σαρκὸς εἶναι αἰτία διὰ χιλιάδας ἀγαθῶν; Ἐὰν δὲ λέγῃ ὅτι «ἡ σὰρξ ἔχει ἐπιθυμίας ἀντιθέτους πρὸς τὸ Πνεῦμα», ὁμιλεῖ διὰ δύο φρονήματα. Διότι αὐτὰ εἶναι ἀντίθετα μεταξύ των, δηλαδὴ ἡ ἀρετὴ καὶ ἡ κακία, καὶ ὄχι ἡ ψυχὴ καὶ τὸ σῶμα. Διότι ἐὰν αὐτὰ ἀντίκεινται, τότε ἀλληλοαναιροῦνται, ὅπως τὸ πῦρ καὶ τὸ ὕδωρ, ὅπως τὸ σκότος καὶ τὸ φῶς. Ἐὰν ὅμως ἡ ψυχὴ φροντίζῃ διὰ τὸ σῶμα, καὶ πολλὴν πρόνοιαν λαμβάνει δι' αὐτό, καὶ ἄπειρα πάσχει, ὥστε νὰ μὴ τὸ ἐγκαταλείψῃ, καὶ ἐμποδίζει τὸν ἀποχωρισμόν της ἀπὸ αὐτό, καὶ τὸ σῶμα ὑπηρετεῖται ἀπὸ αὐτὴν καὶ πολλὴν γνῶσιν εἰσάγει εἰς τὴν ψυχήν, καὶ διὰ νὰ ἐνεργῇ ἐκείνη ἐκτίσθη αὐτό· πῶς εἶναι δυνατὸν νὰ εἶναι ἀντίθετα αὐτὰ καὶ ἀντιμαχόμενα μεταξύ των; Ἀλλ' ἐγώ, ὄχι μόνον μὴ ἀντίθετα, ἀλλὰ καὶ πολὺ ὁμονοοῦντα, καὶ συνεχόμενα μεταξύ των διὰ τῶν ἔργων τὰ βλέπω. Δὲν λέγει λοιπὸν διὰ τοῦτο ὅτι ἀντίκεινται μεταξύ των, ἀλλ' ὁμιλεῖ διὰ πόλεμον μεταξὺ κακῶν καὶ ἀγαθῶν λογισμῶν. Δηλαδὴ τὸ θέλειν καὶ τὸ μὴ θέλειν τῆς ψυχῆς. Διὰ τοῦτο λέγει· «αὐτὰ δὲ ἀντιτίθενται», διὰ νὰ μὴ ἐπιτρέπῃς εἰς τὴν ψυχὴν νὰ πορεύεται εἰς τὰς ἁμαρτωλὰς ἐπιθυμίας. Ὡσὰν παιδαγωγὸς λοιπὸν καὶ διδάσκαλος ὁ ὁποῖος φοβίζει παιδαγωγικῶς εἶπεν αὐτά.

«Ἐὰν ὅμως ὁδηγῆσθε ἀπὸ τὸ Πνεῦμα, τότε δὲν εἶσθε κάτω ἀπὸ τὸν νόμον»[27]. Ποία συνέπεια ὑπάρχει εἰς αὐτά; Μεγίστη καὶ σαφής. Διότι ἐκεῖνος ὁ ὁποῖος ἔχει Πνεῦμα, ὅπως πρέπει, σβήνει διὰ τούτου κάθε πονηρὰν ἐπιθυμίαν·

ὁ δὲ τούτων ἀπαλλαγείς, οὐ δεῖται τῆς ἀπὸ τοῦ νόμου βοηθείας, ὑψηλότερος πολλῷ τῆς ἐκείνου παραγγελίας γενόμενος. Ὁ γὰρ μὴ ὀργιζόμενος, πῶς δεῖται ἀκούειν, «Οὐ φονεύσεις»; ὁ μὴ βλέπων ἀκολάστοις ὀφθαλμοῖς, πῶς χρήζει τοῦ παιδεύοντος μὴ μοιχεύειν; Τίς γὰρ διαλέγεται περὶ τοῦ καρποῦ τῆς κακίας τῷ τὴν ῥίζαν αὐτὴν ἀνασπάσαντι; Ῥίζα γὰρ φόνου θυμός, καὶ μοιχείας ἡ περίεργος θεωρία τῶν ὄψεων. Διὰ τοῦτό φησιν, «Εἰ Πνεύματι ἄγεσθε, οὐκ ἐστὲ ὑπὸ νόμον».

Ἐνταῦθα δέ μοι δοκεῖ καὶ ἐγκώμιον τοῦ νόμου μέγα εἰρηκέναι καὶ θαυμαστόν, εἴγε ἐν τάξει τοῦ Πνεύματος ὁ νόμος ἦν κατὰ δύναμιν τὴν ἑαυτοῦ πρὸ τῆς τοῦ Πνύματος ἐπιφοιτήσεως· οὐ μὴ διὰ τοῦτο ἐναπομένειν χρὴ τῷ παιδαγωγῷ. Τότε μὲν εἰκότως ὑπὸ νόμον ἦμεν, ἵνα τῷ δέει κολάζωμεν τὰς ἐπιθυμίας, οὔπω τοῦ Πνεύματος φανέντος· νῦν δὲ τῆς χάριτος δεδομένης τῆς οὐ κελευούσης μόνον αὐτῶν ἀπέχεσθαι, ἀλλὰ καὶ μαραινούσης αὐτάς, καὶ πρὸς μείζονα πολιτείαν αναγούσης, τίς χρεία νόμου; Τῷ γὰρ οἴκοθεν κατορθοῦντι τὰ μείζω, ποῦ χρεία παιδαγωγοῦ; Οὐδὲ γὰρ γραμματιστοῦ τις δεῖται φιλόσοφος ὤν. Τί τοίνυν ἑαυτοὺς ἐξευτελίζετε, τῷ Πνεύματι πρότερον ἑαυτοὺς ἐκδόντες, καὶ νῦν προσκαθήμενοι τῷ νόμῳ;

7. «Φανερὰ δέ ἐστι τὰ ἔργα τῆς σαρκός, ἅτινά ἐστι πορνεία, μοιχεία, ἀκαθαρσία, ἀσέλγεια, φαρμακεία, εἰδωλολατρία, ἔχθραι, ἔρεις, ζῆλοι, θυμοί, ἐριθεῖαι, διχοστασίαι, αἱρέσεις, φθόνοι, φόνοι, μέθαι, κῶμοι, καὶ τὰ ὅμοια τούτοις„ ἃ προλέγω ὑμῖν, καθὼς καὶ προεῖπον, ὅτι οἱ τὰ τοιαῦτα πράσσοντες, βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν». Ἐνταῦθα λοιπὸν ὁ τῆς

---

28. Γαλ. 5, 19-21.

ἐκεῖνος δὲ ὁ ὁποῖος ἀπηλλάγη ἀπὸ αὐτάς, δὲν ἔχει ἀνάγκην ἀπὸ τὴν βοήθειαν τοῦ νόμου ἐφ' ὅσον ἔγινε πολὺ ὑψηλότερος ἀπὸ ὅ,τι ἐκεῖνος παραγγέλλει. Διότι ἐκεῖνος ὁ ὁποῖος δὲν ὀργίζεται, πῶς ἔχει ἀνάγκην ν' ἀκούσῃ «μὴ φονεύσῃς»; Ἐκεῖνος ὁ ὁποῖος δὲν βλέπει μὲ ἀκολάστους ὀφθαλμούς, πῶς ἔχει ἀνάγκην ἀπὸ τὸν διδάσκοντα νὰ μὴ μοιχεύῃ; Διότι ποῖος ὁμιλεῖ διὰ τὸν καρπὸν τῆς κακίας εἰς ἐκεῖνον ὁ ὁποῖος ἐξέβαλε τὴν ρίζαν; Διότι ἡ ρίζα τοῦ φόνου εἶναι ὁ θυμός, καὶ τῆς μοιχείας τὸ νὰ κοιτάζῃ κανεὶς περιέργως τὰ ἀνθρώπινα σώματα. Διὰ τοῦτο λέγει «ἐὰν ὁδηγῆσθε ἀπὸ τὸ Πνεῦμα, τότε δὲν εἶσθε κάτω ἀπὸ τὸν νόμον».

Ἐδῶ δὲ νομίζω ὅτι ἔπλεξε μέγα καὶ θαυμαστὸν ἐγκώμιον τοῦ νόμου, ἐφ' ὅσον βεβαίως εἰς τὴν τάξιν τοῦ Πνεύματος ἦτο ὁ νόμος ὅσον ἠδύνατο, πρὶν ἀπὸ τὴν ἐπιφοίτησιν τοῦ Πνεύματος· ἀλλὰ δὲν πρέπει διὰ τοῦτο νὰ παραμείνωμεν εἰς τὸν παιδαγωγόν. Τότε μὲν εὐλόγως ἤμεθα ὑπὸ τὸν νόμον, ὥστε νὰ τιμωρῶμεν διὰ τοῦ φόβου τὰς ἐπιθυμίας, ἐπειδὴ τὸ Πνεῦμα δὲν εἶχεν ἀκόμη φανῆ· τώρα ὅμως ποὺ ἔχει δοθῆ ἡ χάρις ἡ ὁποία, ὄχι μόνον παραγγέλλει ν' ἀπέχωμεν ἀπὸ τὰς ἐπιθυμίας, ἀλλὰ καὶ μαραίνει αὐτάς, καὶ ἀνάγει εἰς ὑψηλότερον τρόπον ζωῆς, ποία ἡ ἀνάγκη τοῦ νόμου; Διότι ἐκεῖνον ὁ ὁποῖος μόνος κατορθώνει τὰ μεγαλύτερα, ποία ἡ ἀνάγκη παιδαγωγοῦ; Οὔτε βεβαίως ἔχει ἀνάγκην γραμματοδιδασκάλου κανεὶς ὅτὰν εἶναι φιλόσοφος. Διατί λοιπὸν ἐξευτελίζετε τοὺς ἑαυτούς σας, συναναστρεφόμενοι μὲ τὸν νόμον, ἐνῷ προηγουμένως ἐδώσατε τοὺς ἑαυτούς σας εἰς τὸ Πνεῦμα;

7. «Εἶναι δὲ φανερὰ τὰ ἔργα τῆς σαρκός· μοιχεία, πορνεία, ἀκαθαρσία, ἀκολασία, εἰδωλολατρεία, μαγεία, ἐχθρότης, φιλονεικίαι, ζηλοτυπίαι, θυμοί, ραδιουργίαι, διχόνοιαι, αἱρέσεις, φθόνοι, φόνοι, μέθαι, ἀσωτίαι, καὶ τὰ ὅμοια πρὸς αὐτά, διὰ τὰ ὁποῖα σᾶς προειδοποιῶ, καθὼς καὶ ἄλλοτε σᾶς προειδοποίησα, ὅτι ἐκεῖνοι ποὺ πράττουν παρόμοια πράγματα δὲν θὰ κληρονομήσουν τὴν βασιλείαν τοῦ Θεοῦ»[28]. Ἐδῶ

σαρκός σου κατηγορῶν, εἰπέ μοι, καὶ νομίζων ὡς περὶ ἐχθρᾶς καὶ πολεμίας ταῦτα εἰρῆσθαι. Ἔστω γὰρ ἡ μοιχεία καὶ ἡ πορνεία τῆς σαρκὸς καθ' ὑμᾶς· αἱ ἔχθραι, καὶ αἱ ἔρεις, καὶ οἱ ζῆλοι, καὶ αἱ ἐριθεῖαι, καὶ αἱ αἱρέσεις, καὶ αἱ φαρμακεῖαι· προαιρέσεως γὰρ ταῦτα διεφθαρμένης μόνον, ὥσπερ οὖν καὶ τὰ ἄλλα· πῶς ἂν εἶεν σαρκός; Ὁρᾷς ὅτι οὔ φησι τὴν σάρκα ἐνταῦθα, ἀλλὰ τὸν γεώδη λογισμὸν καὶ χαμαὶ συρόμενον; Διὸ καὶ φοβεῖ λέγων, ὅτι «οἱ τὰ τοιαῦτα πράσσοντες βασιλείαν Θεοῦ οὐ κληρονομήσουσιν». Εἰ δὲ φύσεως ταῦτα πονηρᾶς, καὶ οὐ προαιρέσεως μοχθηρᾶς, περιττῶς εἶπε, «πράσσουσιν»· οὐ γὰρ πράσσουσιν, ἀλλὰ πάσχουσι. Τίνος δὲ ἕνεκεν καὶ βασιλείας ἐκπίπτουσιν; Οὐδὲ γὰρ τῶν ἐν φύσει, ἀλλὰ τῶν ἐν προαιρέσει καὶ οἱ στέφανοι καὶ αἱ κολάσεις. Διὸ καὶ ταῦτα ἠπείλησεν ὁ Παῦλος.

«Ὁ δὲ καρπὸς τοῦ Πνεύματος ἀγάπη, χαρά, εἰρήνη». Οὐκ εἶπε, τὸ ἔργον τοῦ Πνεύματος, ἀλλ', «ὁ καρπός». Οὐκοῦν ἡ ψυχὴ περιττή· εἰ γὰρ περὶ σαρκὸς καὶ Πνεύματος ὁ λόγος, ποῦ ἡ ψυχή; ἄρα περὶ ἀψύχων διαλέγεται; Ὅταν γὰρ τὰ μὲν πονηρὰ τῆς σαρκός, τὰ δὲ χρήσιμα τοῦ Πνεύματος ᾖ, περιττὴ ἡ ψυχή. Οὐδαμῶς· καὶ γὰρ ἡ ἐγκράτεια τῶν παθῶν ταύτης καὶ περὶ αὐτήν· καὶ ἐν μέσῳ κειμένης κακίας καὶ ἀρετῆς, ἂν μὲν εἰς δέον χρήσηται τῷ σώματι, πνευματικὸν αὐτὸ κατειργάσατο· ἂν δὲ ἀποστῇ μὲν τοῦ Πνεύματος, ἐκδῷ δὲ ἑαυτὴν ταῖς πονηραῖς ἐπιθυμίαις, γεωδεστέραν αὐτὴν κατεσκεύασεν. Ὁρᾷς πάντοθεν πῶς οὐ περὶ οὐσίας αὐτῷ σαρκὸς νῦν ὁ λόγος ἀλλὰ περὶ προαιρέσεως μοχθηρᾶς καὶ οὐ τοιαύτης; Διὰ τί δὲ καρπὸν καλεῖ τοῦ Πνεύματος; Ὅτι τὰ μὲν πονηρὰ ἔργα ἐξ ἡμῶν γίνεται μόνον· διὸ καὶ ἔργα καλεῖ· τὰ δὲ καλὰ οὐ τῆς ἡμετέρας ἐπιμελείας δεῖται μόνον, ἀλλὰ καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας.

---

29. Γαλ. 5, 22.

λοιπὸν σύ, ὁ ὁποῖος κατηγορεῖς τὴν σάρκα σου καὶ νομίζεις ὅτι ἐλέχθησαν αὐτὰ ὡσὰν νὰ εἶναι ἐχθρὰ καὶ πολέμιος, εἰπέ μου. Ἔστω λοιπὸν ὅτι ἡ μοιχεία καὶ ἡ πορνεία εἶναι δι' ἐσᾶς ἁμαρτήματα τῆς σαρκός· ἀλλ' αἱ ἔχθραι, καὶ αἱ φιλονεικίαι, καὶ αἱ ζηλοτυπίαι, καὶ αἱ ραδιουργίαι, καὶ αἱ αἱρέσεις, καὶ αἱ μαγεῖαι; Διότι αὐτὰ εἶναι ἔργα διεφθαρμένης προαιρέσεως μόνον, ὅπως βεβαίως καὶ τ' ἄλλα. Βλέπεις ὅτι δὲν ἐννοεῖ τὴν σάρκα ἐδῶ ἀλλὰ τὴν γεώδη καὶ εἰς τὴν λάσπην συρομένην σκέψιν; Διὰ τοῦτο καὶ φοβίζει αὐτοὺς λέγων ὅτι «ἐκεῖνοι οἱ ὁποῖοι πράττουν παρόμοια πράγματα δὲν θὰ κληρονομήσουν τὴν βασιλείαν τοῦ Θεοῦ». Διότι, ἐὰν αὐτὰ ὀφείλωνται εἰς πονηρὰν φύσιν καὶ ὄχι εἰς μοχθηρὰν προαίρεσιν, τότε θὰ ἦτο περιττὸν νὰ εἴπῃ «πράττουν»· διότι δὲν πράττουν, ἀλλὰ πάσχουν. Ἐξ αἰτίας τίνος δὲ ἐκπίπτουν καὶ τῆς βασιλείας; Διότι δὲν δίδονται εἰς τὰ τῆς φύσεως, ἀλλ' εἰς τὰ τῆς προαιρέσεως καὶ οἱ στέφανοι καὶ αἱ τιμωρίαι. Διὰ τοῦτο καὶ ἠπείλησεν αὐτὰ ὁ Παῦλος.

«Ὁ καρπὸς ὅμως τοῦ Πνεύματος εἶναι ἀγάπη, χαρά, εἰρήνη»[29]. Δὲν εἶπε, τὸ ἔργον τοῦ Πνεύματος, ἀλλ' «ὁ καρπός». Λοιπὸν ἡ ψυχὴ εἶναι περιττή· διότι ἐὰν ὁ λόγος γίνεται περὶ σαρκὸς καὶ Πνεύματος, ποῦ εἶναι ἡ ψυχή; Ἆρά γε ὁμιλεῖ δι' ἄψυχα πράγματα; Διότι, ὅταν τὰ μὲν κακὰ ὀφείλωνται εἰς τὴν σάρκα, τὰ δὲ ἀγαθὰ εἰς τὸ Πνεῦμα, εἶναι περιττὴ ἡ ψυχή. Καθόλου· καὶ μάλιστα ἡ ἐγκράτεια εἰς τὰ πάθη εἰς αὐτὴν ἐναπόκειται· καὶ ὅταν εὑρίσκεται εἰς τὸ μέσον κακίας καὶ ἀρετῆς, ἂν μὲν χρησιμοποιήσῃ ὅπως πρέπει τὸ σῶμα, καθιστᾷ αὐτὸ πνευματικόν· ἂν ὅμως ἀπομακρυνθῇ ἀπὸ τὸ ἅγιον Πνεῦμα καὶ παραδώσῃ τὸν ἑαυτόν της εἰς τὰς ἁμαρτωλὰς ἐπιθυμίας, καθιστᾷ τὸν ἑαυτόν της γεωδέστερον. Βλέπεις παντοῦ πῶς ὁμιλεῖ, ὄχι διὰ τὴν οὐσίαν τῆς σαρκός, ἀλλὰ διὰ μοχθηρὰν καὶ ἀγαθὴν προαίρεσιν; Διότι τὰ μὲν κακὰ ἔργα γίνονται ἀπὸ ἐμᾶς μόνον· διὰ τοῦτο καὶ τὰ ὀνομάζει ἔργα· τὰ καλὰ ὅμως ἔχουν ἀνάγκην ὄχι μόνον τῆς ἰδικῆς μας φροντίδος, ἀλλὰ καὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ.

Εἶτα μέλλων αὐτὰ διηγεῖσθαι, τὴν ῥίζαν τίθησι πρῶτον τῶν ἀγαθῶν, οὕτω λέγων· «Ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστότης, ἀγαθωσύνη, πίστις, πραότης, ἐγκράτεια. Κατὰ τῶν τοιούτων οὐκ ἔστι νόμος». Τί γὰρ ἄν τις ἐπιτάξειε τῷ πάντα ἔχοντι παρ' ἑαυτῷ, καὶ διδάσκαλον ἀπηρτισμένην τῆς φιλοσοφίας τὴν ἀγάπην; Ὥσπερ γὰρ οἱ τῶν ἵππων εὐήνιοι καὶ ἀφ' ἑαυτῶν ἅπαντα πράττοντες, οὐκ ἂν δεηθεῖεν μάστιγος· οὕτω καὶ ἡ ψυχὴ κατορθοῦσα τὴν ἀρετὴν ἀπὸ Πνεύματος, οὐ δεῖται τοῦ νουθετοῦντος νόμου. Πάνυ δὲ καὶ ἐνταῦθα θαυμαστικῶς τὸν νόμον ἐξέβαλεν, οὐχ ὡς φαῦλον, ἀλλ' ὡς ἐλάττονα τῆς δεδομένης παρὰ τοῦ Πνεύματος φιλοσοφίας.

«Οἱ δὲ τοῦ Χριστοῦ, τὴν σάρκα ἐσταύρωσαν σὺν τοῖς παθήμασι καὶ ταῖς ἐπιθυμίαις». Ἵνα γὰρ μὴ λέγωσι, καὶ τίς ἐστι τοιοῦτος; δείκνυσιν ἐπὶ τῶν ἔργων τοὺς τὰ τοιαῦτα κατορθοῦντας, σάρκα πάλιν ἐνταῦθα τὰς πονηρὰς πράξεις καλῶν. Οὐ γὰρ δὴ τὴν σάρκα ἀνεῖλον· ἐπεὶ πῶς ἔμελλον ζῆν; τὸ γὰρ ἐσταυρωμένον, νεκρόν ἐστι καὶ ἀνενέργητον· ἀλλὰ τὴν ἀκριβῆ φιλοσοφίαν δηλοῖ. Καὶ γὰρ αἱ ἐπιθυμίαι, κἂν ἐνοχλῶσι, κενὰ λυσσῶσιν. Ἐπεὶ οὖν τοσαύτη τοῦ Πνεύματος ἡ ἰσχύς, ἐκείνῳ ζῶμεν, ἐκείνῳ ἀρκώμεθα· ὃ καὶ αὐτὸς ἐπάγει λέγων· «Ζῶμεν οὖν ἐν Πνεύματι, καὶ Πνεύματι στοιχῶμεν», κατὰ τοὺς ἐκείνου νόμους πολιτευόμενοι. Τοῦτο γάρ ἐστι τό, «στοιχῶμεν», τουτέστιν, ἀρκεσθῶμεν τῇ τοῦ Πνεύματος δυνάμει, καὶ μὴ ἐπιζητῶμεν τὴν ἀπὸ τοῦ νόμου προσθήκην. Εἶτα δεικνὺς ἐκείνους τοὺς ἐπεισάγοντας τὴν περιτομὴν διὰ φιλοτιμίαν τοῦτο ποιοῦντας, φησί· «Μὴ γινώμεθα κενόδοξοι», ὃ πάντων ἐστὶν αἴτιον τῶν κακῶν, «ἀλλήλους προκαλούμενοι» εἰς φιλονεικίας καὶ ἔρεις, «ἀλλήλους φθονοῦντες». Ἀπὸ γὰρ κενοδοξίας ὁ φθόνος, καὶ ἀπὸ φθόνου τὰ μυρία ταῦτα κακά.

---

30. Γαλ. 5, 23.
31. Γαλ. 5, 24.
32. Γαλ. 5, 25.
33. Γαλ. 5, 26.

Ὕστερον, ἐπειδὴ πρόκειται ν' ἀναφέρῃ αὐτά, θέτει πρῶτον τὴν ρίζαν τῶν ἀγαθῶν, λέγων· «Ἀγάπη, χαρά, εἰρήνη, μακροθυμία, χρηστοήθεια, ἀγαθότης, πίστις, πραότης, ἐγκράτεια. Ἐναντίον δὲ αὐτῶν δὲν ὑπάρχει νόμος»[30]. Τί λοιπὸν θὰ εἶχε νὰ παραγγείλῃ κανεὶς εἰς ἐκεῖνον ὁ ὁποῖος ἔχει τὰ πάντα εἰς τὸν ἑαυτόν του καὶ τὴν ἀγάπην διδάσκαλον τῆς φιλοσοφίας; Διότι ὅπως οἱ ἵπποι οἱ ὁποῖοι εἶναι ὑπήκοοι καὶ πράττουν ὅσα πρέπει μόνοι των, δὲν ἔχουν ἀνάγκην μαστιγίου, ἔτσι καὶ ἡ ψυχὴ ἡ ὁποία κατορθώνει τὴν ἀρετὴν καὶ τὴν δύναμιν τοῦ Πνεύματος, δὲν ἔχει ἀνάγκην τοῦ νουθετοῦντος νόμου. Πολὺ θαυμασίως δὲ καὶ ἐδῶ ἐξέβαλε τὸν νόμον, ὄχι ὡς κακόν, ἀλλ' ὡς κατώτερον τῆς φιλοσοφίας ἡ ὁποία ἐδόθη ἀπὸ τὸν Χριστόν.

«Ἀλλ' ὅσοι ἀνήκουν εἰς τὸν Ἰησοῦν Χριστόν, ἐσταύρωσαν τὴν σάρκα μαζὶ μὲ τὰ πάθη καὶ τὰς ἐπιθυμίας»[31]. Διὰ νὰ μὴ λέγουν λοιπόν, καὶ ποῖος εἶναι αὐτός; Δεικνύει αὐτοὺς οἱ ὁποῖοι κατορθώνουν αὐτὰ εἰς τὴν πρᾶξιν, ὀνομάζων πάλιν ἐδῶ σάρκα τὰς πονηρὰς πράξεις. Ἐπειδὴ δὲν κατέστρεψαν βεβαίως τὴν σάρκα· διότι πῶς θὰ ἔζων τότε, ἀφοῦ τὸ ἐσταυρωμένον εἶναι νεκρὸν καὶ ἀνενέργητον; Ἀλλ' ἐννοεῖ τὴν ἀκριβῆ φιλοσοφίαν. Διότι αἱ ἐπιθυμίαι, καὶ ἂν ἐνοχλοῦν, ματαίως λυσσοῦν. Ἐπειδὴ λοιπὸν εἶναι τόσον μεγάλη ἡ ἰσχὺς τοῦ Πνεύματος, μέσα εἰς ἐκεῖνο ζῶμεν, εἰς ἐκεῖνο ἀρκούμεθα· πρᾶγμα τὸ ὁποῖον καὶ ὁ ἴδιος προσθέτει, λέγων· «ἐὰν ζῶμεν διὰ τοῦ Πνεύματος, πρέπει νὰ βαδίζωμεν καὶ συμφώνως πρὸς τὸ Πνεῦμα»[32], ζῶντες συμφώνως πρὸς τοὺς νόμους ἐκείνου. Διότι αὐτὸ ἐννοεῖ μὲ τὸ «νὰ βαδίζωμεν», δηλαδὴ ἂς ἀρκεσθῶμεν εἰς τὴν δύναμιν τοῦ Πνεύματος, καὶ ἂς μὴ ἐπιζητοῦμεν τὴν ἀπὸ τὸν νόμον βοήθειαν. Ὕστερον, δεικνύων ὅτι ἐκεῖνοι οἱ ὁποῖοι εἰσάγουν τὴν περιτομὴν κάνουν αὐτὸ ἀπὸ φιλοδοξίαν, λέγει· «Ἂς μὴ γινώμεθα κενόδοξοι»[33], πρᾶγμα τὸ ὁποῖον εἶναι αἴτιον ὅλων τῶν κακῶν, «προκαλοῦντες ὁ ἕνας τὸν ἄλλον», εἰς φιλονεικίας καὶ ἔριδας», «καὶ φθονοῦντες ὁ ἕνας τὸν ἄλλον».

1. «Ἀδελφοί, ἐὰν καὶ προληφθῇ ἄνθρωπος». Ἐπειδὴ γὰρ ἐπιτιμήσεως προσχήματι τὰ αὐτῶν ἐξεδίκουν πάθη, καὶ ἐδόκουν μὲν ἁμαρτημάτων ἕνεκεν τοῦτο ποιεῖν, τὴν δὲ αὐτῶν φιλαρχίαν στῆσαι ἐβούλοντο, φησίν· «Ἀδελφοί, ἐὰν καὶ προληφθῇ». Οὐκ εἶπεν, ἐὰν πράξῃ, ἀλλ', «ἐὰν προληφθῇ», τουτέστιν, ἐὰν συναρπαγῇ. «Ὑμεῖς οἱ πνευματικοὶ καταρτίζετε τὸν τοιοῦτον». Οὐκ εἶπε, κολάζετε, οὐδέ, καταδικάζετε, ἀλλά, διορθοῦσθε. Καὶ οὐδὲ ἐνταῦθα ἔστη, ἀλλὰ δεικνὺς ὅτι σφόδρα αὐτοὺς ἡμέρους εἶναι δεῖ τοῖς ὑποσκελιζομένοις, οὕτως ἐπήγαγεν· «Ἐν Πνεύματι πραότητος». Οὐκ εἶπεν, ἐν πραότητι, ἀλλ', «ἐν Πνεύματι πραότητος»· δηλῶν ὅτι καὶ τῷ Πνεύματι ταῦτα δοκεῖ, καὶ τὸ δύνασθαι μετ' ἐπιεικείας διορθοῦν τοὺς ἁμαρτάνοντας, χαρίσματός ἐστι πνευματικοῦ.

Εἶτα ἵνα μὴ ἐπαρθῇ ὁ διορθῶν ἕτερον, καὶ αὐτὸν ὑπὸ τὸν αὐτὸν φόβον ἔθηκεν, οὕτως εἰπών· «Σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇ». Ὥσπερ γὰρ οἱ πλουτοῦντες ἐράνους τοῖς δεομένοις εἰσφέρουσιν, ἵν', εἴποτε καὶ αὐτοὶ περιπέσοιεν πενίᾳ, τῶν αὐτῶν ἐπιτύχωσιν· οὕτω καὶ ἡμᾶς ποιεῖν χρή· Διὸ καὶ αἰτίαν ἀναγκαίαν τίθησι, λέγων οὕτω· «Σκοπῶν σεαυτόν, μὴ καὶ σὺ πειρασθῇς». Καὶ ἀπολογεῖται ὑπὲρ τοῦ ἡμαρτηκότος, πρῶτον μὲν εἰπών, «ἐὰν καὶ προληφθῇ», δεύτερον τὸ τῆς πολλῆς ἀσθενείας ὄνομα, εἶτα, «μὴ καὶ σὺ πειρασθῇς», δαίμονος ἐπήρειαν μᾶλλον ἢ ψυχῆς ῥᾳθυμίαν αἰτιώμενος.

«Ἀλλήλων τὰ βάρη βαστάζετε». Ἐπειδὴ γὰρ οὐκ ἔστιν

1. Γαλ. 6, 1.
2. Γαλ. 6, 2.

1. «Ἀδελφοί, ἐὰν παρασυρθῇ κάποιος εἰς ἓν ἁμάρτημα»[1]. Διότι ἐπειδή, μὲ πρόσχημα τὴν τιμωρίαν ἐξεδικοῦντο τὰ ἰδικά των πάθη, καὶ ἐφαίνοντο μὲν ὅτι κάνουν αὐτὸ ἐξ αἰτίας τῶν ἁμαρτημάτων τῶν ἄλλων, ἐνῷ ἤθελον νὰ στερεώσουν τὴν ἰδικήν των κυριαρχίαν, λέγει· «ἀδελφοί, ἐὰν παρασυρθῇ κάποιος». Δὲν εἶπεν, ἐὰν πράξῃ, ἀλλ' «ἐὰν παρασυρθῇ», δηλαδὴ ἐὰν ἁρπαγῇ ἀποτόμως ἀπὸ τὸν ἐχθρόν. «Σεῖς οἱ πνευματικοὶ πρέπει νὰ τὸν διορθώνετε». Δὲν εἶπε, τιμωρεῖτε, οὔτε καταδικάζετε, ἀλλὰ διορθώνετε. Καὶ οὔτε ἐδῶ ἐστάθη, ἀλλὰ δεικνύων ὅτι πρέπει νὰ εἶναι πολὺ ἥμεροι εἰς ἐκείνους οἱ ὁποῖοι ὑποσκελίζονται ἀπὸ τὴν ἁμαρτίαν, προσέθεσε· «μὲ πνεῦμα πραότητος». Δὲν εἶπεν μὲ πραότητα, ἀλλὰ «μὲ πνεῦμα πραότητος»· διὰ νὰ φανερώσῃ ὅτι καὶ εἰς τὸ Ἅγιον Πνεῦμα αὐτὰ εἶναι ἀρεστά, καὶ ὅτι τὸ νὰ διορθώνῃ κανεὶς μὲ ἐπιείκειαν εἶναι ἔργον χαρίσματος πνευματικοῦ.

Ὕστερον, διὰ νὰ μὴ ὑπερηφανευθῇ ἐκεῖνος ὁ ὁποῖος διορθώνει ἄλλον, ἔθεσε καὶ αὐτὸν κάτω ἀπὸ φόβον, λέγων· «καὶ νὰ προσέχῃς τὸν ἑαυτόν σου μήπως πέσῃς καὶ σὺ εἰς πειρασμόν». Διότι, ὅπως οἱ πλούσιοι προσφέρουν δι' ἐράνων εἰς τοὺς μὴ ἔχοντας, ὥστε, ἐὰν κάποτε περιπέσουν καὶ αὐτοὶ εἰς πτωχείαν νὰ τύχουν τὸ ἴδιον ἀπὸ τοὺς ἄλλους, ἔτσι πρέπει νὰ κάνετε καὶ σεῖς. Διὰ τοῦτο καὶ θέτει ἀναγκαστικὴν αἰτίαν λέγων «καὶ νὰ προσέχῃς τὸν ἑαυτόν σου μήπως πέσῃς καὶ σὺ εἰς πειρασμόν». Καὶ ἀπολογεῖται ὑπὲρ τοῦ ἁμαρτωλοῦ, λέγων πρῶτον μὲν «ἐὰν παρασυρθῇ», δεύτερον τὸ ὄνομα τῆς βαρείας ἀσθενείας, ὕστερον «μήπως πέσῃς καὶ σὺ εἰς πειρασμόν», ἀποδίδων τὴν αἰτίαν περισσότερον εἰς δαιμονικὴν ἐπήρειαν παρὰ εἰς τὴν ῥαθυμίαν τῆς ψυχῆς.

«Ὁ καθεὶς ἂς βαστάζῃ τὰ βάρη τοῦ ἄλλου»[2]. Ἐπειδὴ

ἄνθρωπον ὄντα χωρὶς ἐλαττώματος εἶναι, παραινεῖ μὴ ἀκριβεῖς ἐξεταστὰς γίνεσθαι τῶν ἑτέροις πεπλημμελημένων, ἀλλὰ καὶ φέρειν τὰ τῶν πλησίον ἐλαττώματα, ἵνα καὶ τὰ αὐτοῦ φέρηται παρ' ἑτέρων. Καθάπερ γὰρ ἐπὶ τῆς οἰκοδομῆς, οὐ τὴν αὐτὴν ἅπαντες ἕδραν ἔχουσιν οἱ λίθοι, ἀλλ' ὁ μὲν πρὸς γωνίαν ἐπιτήδειος, οὐκέτι δὲ πρὸς θεμελίους, ὁ δὲ πρὸς θεμελίους μέν, οὐκέτι δὲ πρὸς γωνίαν· οὕτω δὴ καὶ ἐπὶ τοῦ σώματος τῆς ἐκκλησίας. Καὶ ἐπὶ τῆς σαρκὸς δὲ τῆς ἡμετέρας τὸ αὐτὸ ἴδοι τις ἄν, ἀλλ' ὅμως θάτερον θατέρου ἀνέχεται, καὶ οὐ παρὰ πάντων πάντα ζητοῦμεν. Ὁ γὰρ ἐκ τοῦ κοινοῦ γινόμενος ἔρανος καὶ σῶμα καὶ οἰκοδομὴν συνίστησι.

«Καὶ οὕτως ἀναπληρώσατε». Οὐκ εἶπε, πληρώσατε, ἀλλ', «ἀναπληρώσατε τὸν νόμον τοῦ Χριστοῦ», τουτέστι, κοινῇ πάντες πληρώσατε, δι' ὧν ἀλλήλους φέρετε· οἷον, ὁ δεῖνά ἐστιν ὀργίλος, σὺ δὲ ὑπνηλός· φέρε αὐτοῦ τὴν ὁρμὴν τὴν σφοδράν, ἵνα καὶ αὐτός σου τὴν νωθείαν· καὶ οὕτως οὔτε ἐκεῖνος ἁμαρτήσεται ὑπὸ σοῦ βασταζόμενος, οὔτε σὺ πλημμελεῖς ἐν οἷς εἶ βαρύς, ἀνεχομένου σου τοῦ ἀδελφοῦ σου. Οὕτω δὲ ἀλλήλοις χεῖρα ὀρέγοντες ἐν οἷς μέλλετε καταπίπτειν, δι' ἀλλήλων κοινῇ πληρώσατε τὸν νόμον, τὸ λεῖπον τῷ πλησίον ἀναπληρῶν ἕκαστος διὰ τῆς οἰκείας ὑπομονῆς. Ἐὰν δὲ μὴ οὕτω ποιῆτε, ἀλλ' ἕκαστος ἐπεξιέναι μέλλῃ τοῖς τοῦ πλησίον, οὐδέποτε οὐδὲν ἔσται τῶν δεόντων ὑμῖν. Ὥσπερ γὰρ ἐν τῷ σώματι εἰ τὴν αὐτήν τις ἀπαιτοίη παρὰ πάντων χρείαν, οὐδέποτε τὸ σῶμα στήσεται· οὕτω καὶ ἐπὶ τῶν ἀδελφῶν πολὺς ἔσται πόλεμος, εἰ παρὰ πάντων πάντα ἐπιζητοῖμεν.

«Εἰ γάρ τις δοκεῖ εἶναί τι, μηδὲν ὤν, φρεναπατᾷ ἑαυτόν».

λοιπὸν δὲν εἶναι δυνατὸν κανείς, ἀφοῦ εἶναι ἄνθρωπος, νὰ μὴ ἔχῃ ἐλαττώματα, παραινεῖ νὰ μὴ ἀσχολοῦνται λεπτομερῶς μὲ τὰ ἁμαρτήματα τῶν ἄλλων, ἀλλὰ καὶ νὰ βαστάζουν τὰ ἐλαττώματα τῶν συνανθρώπων, διὰ νὰ βαστάζουν καὶ ἐκεῖνοι τὰ ἰδικά των. Διότι, ὅπως ἀκριβῶς εἰς τὴν οἰκοδομὴν δὲν ἔχουν ὅλοι οἱ λίθοι τὴν ἰδίαν θέσιν, ἀλλ' ὁ μὲν εἶναι κατάλληλος διὰ νὰ τοποθετηθῇ εἰς τὴν γωνίαν, ὄχι ὅμως καὶ εἰς τὸ θεμέλιον, ὁ δὲ εἶναι κατάλληλος διὰ τὸ θεμέλιον, ἀκατάλληλος ὅμως διὰ γωνίαν· ἔτσι λοιπὸν καὶ εἰς τὸ σῶμα τῆς ἐκκλησίας. Καὶ εἰς τὸ ἰδικόν μας σῶμα τὸ ἴδιον θὰ ἴδῃ κανείς, ἀλλὰ τὸ ἕνα ἀνέχεται τὸ ἄλλο, καὶ δὲν ζητοῦμεν ἀπὸ ὅλα τὸ κάθε τι. Διότι ὁ ἔρανος ὁ ὁποῖος γίνεται ἀπὸ κοινοῦ, συνιστᾷ καὶ σῶμα καὶ οἰκοδομήν.

«Καὶ κατ' αὐτὸν τὸν τρόπον θὰ ἀναπληρώσετε τὸν νόμον τοῦ Χριστοῦ». Δὲν εἶπε θὰ ἐκπληρώσετε, ἀλλὰ «θ' ἀναπληρώσετε τὸν νόμον τοῦ Χριστοῦ», δηλαδὴ ἀπὸ κοινοῦ ὅλοι θὰ ἐκπληρώσετε, ὅταν βαστάζητε ὁ ἕνας τὸν ἄλλον· ὅπως λόγου χάριν ὁ δεῖνα εἶναι ὀργίλος, ὁ δὲ νωθρός· ὑπόμεινε τὴν σφοδρὰν ὁρμήν του, διὰ νὰ ὑπομείνῃ καὶ αὐτὸς τὴν νωθρότητά σου· καὶ ἔτσι οὔτε ἐκεῖνος θ' ἁμαρτήσῃ ὅταν σὺ τὸν ὑπομένῃς, οὔτε σὺ θὰ πλημμελῇς εἰς ἐκεῖνα εἰς τὰ ὁποῖα εἶσαι βαρύς, καθ' ὅσον θὰ σὲ ἀνέχεται ὁ ἀδελφός σου. Ἔτσι δὲ τείνοντες τὴν χεῖρα μεταξύ σας εἰς ἐκεῖνα, εἰς τὰ ὁποῖα κινδυνεύετε νὰ καταπέσετε, ὁ ἕνας διὰ τοῦ ἄλλου, ἀπὸ κοινοῦ ἐκπληρώσετε τὸν νόμον, ἀναπληρῶν ὁ καθένας ἐκεῖνο τὸ ὁποῖον ἐλλείπει ἀπὸ τὸν πλησίον μὲ τὴν ἰδικήν του ἀνοχήν. Ἐὰν δὲ δὲν κάμνετε ἔτσι, ἀλλ' ὁ καθένας πρόκειται νὰ ἐκδικῆται διὰ τὰ σφάλματα τοῦ πλησίον, οὐδέποτε θὰ ὑπάρχῃ εἰς ἐσᾶς τίποτε ἀπὸ τὰ ἀναγκαῖα. Διότι ὅπως ἀκριβῶς εἰς τὸ σῶμα, ἐὰν ἀπῄτει κανεὶς τὸ ἴδιον ἔργον ἀπὸ ὅλα, δὲν πρόκειται νὰ σταθῇ ποτὲ τὸ σῶμα, ἔτσι καὶ εἰς τοὺς ἀδελφοὺς πολὺς θὰ εἶναι ὁ πόλεμος, ἐὰν ζητῶμεν ὅλα ἀπὸ τὸν καθένα.

«Ἐὰν νομίζῃ κανεὶς ὅτι εἶναι κάτι, ἐνῷ δὲν εἶναι τί-

Πάλιν ἐνταῦθα τὴν ἀπόνοιαν κατασκώπτει. Ὁ γὰρ δοκῶν εἶναί τι, οὐδέν ἐστι, πρῶτον τῆς εὐτελείας αὐτοῦ δεῖγμα ἐκφέρων τὴν τοιαύτην εὐήθειαν.

«Τὸ δὲ ἔργον ἑαυτοῦ δοκιμαζέτω ἕκαστος». Ἐνταῦθα δείκνυσιν ὅτι δεῖ βίου ἐξεταστὰς εἶναι, καὶ οὐχ ἁπλῶς, ἀλλὰ μετ' ἀκριβείας δοκιμάζειν τὰ πεπραγμένα ἡμῖν. Οἷον, ἐποίησάς τι καλόν; σκόπησον μή ποτε διὰ κενοδοξίαν, μὴ δι' ἀνάγκην, μὴ πρὸς ἀπέχθειαν, μὴ ὑποκρίσει, μὴ δι' ἄλλην τινὰ αἰτίαν ἀνθρωπίνην. Καθάπερ γὰρ τὸ χρυσίον δοκεῖ μὲν εἶναι λαμπρὸν πρὸ τοῦ χωνευτηρίου, ὅταν δὲ αὐτὸ παραδῷς τῷ πυρί, τότε ἀκριβῶς διαδείκνυται, τοῦ νόθου παντὸς ἀπὸ τοῦ γνησίου χωριζομένου· οὕτω καὶ τὰ ἡμέτερα ἔργα, ὅταν μετὰ ἀκριβείας ἐξετάζωμεν, τότε σαφῶς ἐκκαλυφθήσεται, καὶ πολλῶν ὀψόμεθα ἑαυτοὺς ὄντας ὑπευθύνους ἐγκλημάτων.

«Καὶ τότε εἰς ἑαυτὸν μόνον τὸ καύχημα ἕξει, καὶ οὐκ εἰς τὸν ἕτερον». Ταῦτα οὐ νομοθετῶν φησιν, ἀλλὰ συγκαταβαίνων· ὡς ἂν εἰ ἔλεγεν· ἄτοπον μὲν τὸ καυχᾶσθαι· εἰ δ' ἄρα βούλει, μὴ κατὰ τοῦ πλησίον, ὡς ὁ Φαρισαῖος. Ὁ γὰρ τοῦτο παιδευθείς, καὶ ἐκείνου ἀποστήσεται ταχέως. Διὸ καὶ τοῦτο συνεχώρησεν, ἵνα τὸ ὅλον κατὰ μικρὸν ἐξέλῃ. Ὁ γὰρ συνεθισθεὶς εἰς ἑαυτὸν μόνον καυχᾶσθαι, καὶ μὴ κατ' ἄλλων ταχέως καὶ τοῦτο διορθώσεται τὸ ἐλάττωμα. Ὁ γὰρ μὴ νομίσας τῶν ἄλλων ἑαυτὸν εἶναι βελτίονα· τοῦτο γάρ ἐστιν «οὐκ εἰς τὸν ἕτερον»· ἀλλ' αὐτὸν κατ' ἑαυτὸν ἐξετάζων ἁβρύνεται, παύσεται καὶ τοῦτο ποιῶν ὕστερον. Καὶ ἵνα μάθῃς ὅτι τοῦτο βούλεται κατασκευάσαι, ὅρα πῶς αὐτὸν συστέλλει τῷ φόβῳ, ἀνωτέρω μὲν εἰπών, «Δοκιμαζέτω τὸ ἔργον αὐτοῦ», ἐνταῦθα δὲ ἐπα-

---

3. Γαλ. 6, 3.
4. Γαλ. 6, 4.

ποτε, αὐτὸς ἀπατᾷ τὸν ἑαυτόν του»[3]. Πάλιν ἐδῶ καταχλευάζει τὴν ἀνοησίαν. Διότι ἐκεῖνος ὁ ὁποῖος νομίζει ὅτι εἶναι κάτι, δὲν εἶναι τίποτε, δίδων ὡς πρῶτον δεῖγμα τῆς εὐτελείας του, αὐτὴν τὴν ἀφέλειαν.

«Ὁ καθεὶς ἂς ἐξετάζῃ τὸ ἔργον του»[4]. Ἐδῶ δεικνύει ὅτι πρέπει νὰ ἐλέγχωμεν τὴν ζωήν μας, καὶ ὄχι ἐπιπολαίως, ἀλλὰ μὲ ἀκρίβειαν νὰ δοκιμάζωμεν τὰς πράξεις μας. Δηλαδή, ἔκανες κάτι καλόν; Πρόσεξε μήπως τὸ ἔκανες ἀπὸ κενοδοξίαν ἢ ἀπὸ ἐξαναγκασμὸν ἢ ἀπὸ ἀποστροφὴν ἢ ἀπὸ ὑποκρισίαν ἢ ἀπὸ κάποιαν ἄλλην ἀνθρωπίνην αἰτίαν. Διότι ὅπως ἀκριβῶς ὁ χρυσὸς φαίνεται μὲν ὅτι εἶναι λαμπρὸς πρὶν εἰσαχθῇ εἰς τὸ χωνευτήριον, ὅταν ὅμως παραδώσῃς αὐτὸν εἰς τὸ πῦρ, τότε φαίνεται λεπτομερῶς, ἀφοῦ χωρίζεται τὸ νόθον ἀπὸ τὸ γνήσιον, ἔτσι καὶ τὰ ἰδικά μας ἔργα, ὅταν ἐξετάζωμεν λεπτομερῶς, τότε θὰ ἀποκαλυφθοῦν σαφῶς, καὶ θὰ ἴδωμεν τοὺς ἑαυτούς μας ὑπευθύνους διὰ πολλὰ ἁμαρτήματα.

«Καὶ τότε ἡ αἰτία τῆς καυχήσεώς του ποὺ θὰ εἶναι εἰς τὸν ἑαυτόν του μόνον, καὶ ὄχι ἐν συγκρίσει μὲ ἄλλον». Αὐτὰ τὰ λέγει ὄχι ὡς νόμον, ἀλλ' ἀπὸ συγκατάβασιν· ὡσὰν νὰ ἔλεγεν· εἶναι ἄτοπον μὲν νὰ καυχᾶται κανείς· ἀλλ' ἐὰν θέλῃς, ὁπωσδήποτε νὰ καυχᾶσαι, μὴ καυχᾶσαι εἰς βάρος τοῦ πλησίον, ὅπως ὁ Φαρισαῖος. Διότι ἐκεῖνος ὁ ὁποῖος θὰ μάθῃ αὐτό, θ' ἀπομακρυνθῇ ταχέως καὶ ἀπὸ ἐκεῖνο. Διὰ τοῦτο καὶ ἐπέτρεψεν αὐτό, διὰ νὰ ἐξαλείψῃ βαθμιαίως ὁλόκληρον τὸ κακόν. Διότι ἐκεῖνος ὁ ὁποῖος ἔχει συνηθίσει νὰ καυχᾶται μόνον διὰ τὸν ἑαυτόν του, καὶ ὄχι εἰς βάρος τῶν ἄλλων, συντόμως θὰ διορθώσῃ καὶ τοῦτο εἰς ἐλάττωμα. Ἐκεῖνος δηλαδὴ ὁ ὁποῖος δὲν θεωρεῖ τὸν ἑαυτόν του καλύτερον τῶν ἄλλων — διότι αὐτὸ σημαίνει «ὄχι ἐν συγκρίσει μὲ ἄλλον» — ἀλλ' ἡ αἰτία τῆς καυχήσεώς του εὑρίσκεται εἰς τὸν ἑαυτόν του, θὰ παύσῃ ὕστερον νὰ κάνῃ καὶ αὐτό. Καὶ διὰ νὰ βεβαιωθῇς ὅτι αὐτὸ θέλει νὰ κάνῃ, κοίταξε πῶς συστέλλει αὐτὸν μὲ φόβον, λέγων ἀνωτέρω μὲν «ὁ καθεὶς ἂς ἐξετάζῃ

γαγών· «Ἕκαστος γὰρ τὸ ἴδιον φορτίον βαστάσει». Δοκεῖ μὲν γὰρ τιθέναι λογισμὸν κωλύοντα καθ' ἑτέρου καυχᾶσθαι, διορθοῦται δὲ τὸν καυχώμενον, ὥστε μηδὲ ἑαυτῷ μέγα φρονεῖν, εἰς ἔννοιαν ἄγων αὐτὸν τῶν οἰκείων ἁμαρτημάτων, καὶ τοῖς ὀνόμασι τοῦ φορτίου καὶ τῆς ἀχθοφορίας πιέζων αὐτοῦ τὸ συνειδός.

2. «Κοινωνείτω δὲ ὁ κατηχούμενος τὸν λόγον τῷ κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς». Ἐνταῦθα περὶ τῶν διδασκάλων λοιπὸν ὁ λόγος αὐτῷ, ὥστε πολλῆς ἀπολαύειν παρὰ τῶν μαθητευομένων θεραπείας. Καὶ τίνος ἕνεκεν οὕτως ἐνομοθέτησεν ὁ Χριστός; Καὶ γὰρ ἐν τῇ Καινῇ οὗτος κεῖται ὁ νόμος, ὥστε τοὺς τὸ εὐαγγέλιον καταγγέλλοντας ἐκ τοῦ εὐαγγελίου ζῆν· καὶ ἐν τῇ Παλαιᾷ δὲ ὁμοίως πολλαὶ τοῖς Λευΐταις παρὰ τῶν ἀρχομένων ἦσαν αἱ πρόσοδοι.

Τίνος οὖν ἕνεκεν ταῦτα διετάξατο; Ταπεινοφροσύνης καὶ ἀγάπης ὑπόθεσιν προαποτιθέμενος. Ἐπειδὴ γὰρ τὸ διδασκαλικὸν ἀξίωμα πολλάκις φυσᾷ τοὺς ἔχοντας, καταστέλλων αὐτοῦ τὸ φρόνημα, εἰς ἀνάγκην κατέστησε τοῦ δεῖσθαι τῶν μαθητευομένων· κἀκείνους πάλιν εἰς ἀφορμὴν ἤγαγε τοῦ πρὸς εὐποιΐαν εὐκολωτέρους γίνεσθαι, γυμνάζων αὐτοὺς ἐν τῇ περὶ τοὺς διδασκάλους εὐνοίᾳ καὶ περὶ τοὺς ἄλλους ἡμέρους εἶναι· ὅπερ καὶ ἀγάπην οὐ μικρὰν εἰργάζετο ἐν ἑκατέρῳ τῷ μέρει. Ἐπεὶ εἰ μὴ τοῦτο ἦν, ὅπερ εἶπον, τίνος ἕνεκεν τοὺς Ἰουδαίους τοὺς ἀγνώμονας ἀπὸ τοῦ μάννα τρέφων, τοὺς ἀποστόλους εἰς τὴν τῶν προσαιτούντων κατέστησεν ἀνάγκην; οὐκ εὔδηλον ὅτι τὰ μεγάλα ἐκ τούτου κατασκευάζων ἀγαθά, ταπεινοφροσύνην καὶ ἀγάπην, καὶ ὥστε τοὺς μαθητευομένους μὴ αἰσχύνεσθαι ἐπὶ τοῖς δοκοῦσιν ἐπονειδίστοις εἶναι; Τὸ γὰρ ἀπαιτεῖν, αἰσχύ-

5. Γαλ. 6, 5.
6. Γαλ. 6, 6.

τὸ ἔργον του», ἐδῶ δὲ προσθέτων· «διότι ὁ καθεὶς θὰ βαστάσῃ τὸ ἰδικόν του φορτίον»[5]. Εἶναι φανερὸν λοιπὸν ὅτι θέτει μὲν συλλογισμὸν ὁ ὁποῖος ἐμποδίζει νὰ καυχᾶται κανεὶς εἰς βάρος τοῦ ἄλλου, διορθώνει δὲ τὸν καυχώμενον, ὥστε νὰ μὴ ὑψηλοφρονῇ οὔτε διὰ τὸν ἑαυτόν του μόνον, ὁδηγῶν αὐτὸν εἰς συνειδητοποίησιν τῶν ἁμαρτημάτων του καὶ πιέζων τὴν συνείδησίν του διὰ τοῦ λόγου περὶ τοῦ φορτίου καὶ τοῦ βάρους τῆς ἁμαρτίας.

2. «Ἐκεῖνος ὁ ὁποῖος κατηχεῖται τὸν λόγον, ἂς ἀνταποδίδῃ εἰς τὸν κατηχητὴν ἀπὸ ὅλα τὰ ἀγαθά»[6]. Ἐδῶ λοιπὸν ὁμιλεῖ διὰ τοὺς διδασκάλους, ὥστε ν' ἀπολαμβάνουν πολλὴν περιποίησιν ἀπὸ τοὺς μαθητάς. Καὶ ἐξ αἰτίας τίνος ἐνομοθέτησεν ἔτσι ὁ Χριστός; Διότι εἰς τὴν Καινὴν Διαθήκην εὑρίσκεται αὐτὸς ὁ νόμος, οἱ κηρύσσοντες δηλαδὴ τὸ εὐαγγέλιον, νὰ ζοῦν ἀπὸ τὸ εὐαγγέλιον· ἀλλὰ καὶ εἰς τὴν Παλαιὰν Διαθήκην ἐπίσης ἦσαν πολλαὶ αἱ δωρεαὶ ἀπὸ τὸν λαὸν εἰς τοὺς Λευΐτας.

Διατί λοιπὸν διέταξεν αὐτά; Διὰ νὰ θέσῃ ἐξ ἀρχῆς θεμέλιον ταπεινοφροσύνης καὶ ἀγάπης. Ἐπειδὴ δηλαδὴ τὸ διδασκαλικὸν ἀξίωμα πολλὰς φορὰς καθιστᾷ ὑπερηφάνους ἐκείνους οἱ ὁποῖοι τὸ ἔχουν, διὰ νὰ καταστείλῃ τὴν ὑψηλοφροσύνην των, ἔκανε αὐτοὺς νὰ ἔχουν ἀνάγκην τῶν μαθητευομένων· καὶ εἰς ἐκείνους πάλιν ἔδωσεν ἀφορμὴν νὰ γίνωνται εὐκολώτεροι εἰς τὰ καλὰ ἔργα, ἀσκῶν αὐτοὺς εἰς τὸ νὰ ἔχουν εὔνοιαν διὰ τοὺς διδασκάλους καὶ νὰ εἶναι πρᾶοι πρὸς τοὺς ἄλλους· πρᾶγμα τὸ ὁποῖον ἔδιδεν ἀγάπην ὄχι μικρὰν καὶ εἰς τὰ δύο μέρη. Ἐπειδή, ἐὰν ὁ λόγος δὲν εἶναι αὐτὸς τὸν ὁποῖον εἶπον, διὰ ποῖον λόγον, ἐνῷ τοὺς ἀγνώμονας Ἰουδαίους ἔθρεψεν ἀπὸ τὸ μάννα, ἔκανε τοὺς ἀποστόλους νὰ ἔχουν ἀνάγκην ἐλεημοσύνης; Δὲν εἶναι φανερὸν ὅτι διὰ νὰ παραγάγῃ ἀπὸ αὐτὸ τὰ μεγάλα ἀγαθά, δηλαδὴ ταπεινοφροσύνην καὶ ἀγάπην, καὶ διὰ νὰ μὴ ἐντρέπωνται οἱ μαθητευόμενοι δι' ἐκεῖνα τὰ ὁποῖα φαίνονται ἐπονείδιστα; Διότι τὸ νὰ ζητῇ κανεὶς ἐλεημοσύνην, θεωρεῖται ἐν-

νης εἶναι δοκεῖ· ἀλλ' οὐκ ἐδόκει λοιπόν, τῶν διδασκάλων αὐτὸ μετιόντων μετὰ παρρησίας ἁπάσης· ὥστε οὐ μικρὰ κἀντεῦθεν ἐκέρδανον οἱ μαθηταί, πάσης δόξης παιδευόμενοι διὰ τούτων ὑπερορᾶν.

Διὰ τοῦτό φησι, «Κοινωνείτω δὲ ὁ κατηχούμενος τῷ κατηχοῦντι ἐν πᾶσιν ἀγαθοῖς». Τουτέστι, πᾶσαν ἐπιδεικνύσθω περὶ αὐτὸν δαψίλειαν· τοῦτο γὰρ αἰνιττόμενος ἔλεγεν «ἐν πᾶσιν ἀγαθοῖς». Μηδὲν γὰρ ἔστω τοῦ μαθητοῦ, φησίν, ἴδιον, ἀλλὰ πάντα κοινά. Μείζονα γὰρ λαμβάνει ἢ δίδωσι, καὶ τοσούτῳ μείζω, ὅσῳ τῶν γηΐνων τὰ ἐπουράνια ἀμείνω· ὃ καὶ ἀλλαχοῦ δηλῶν ἔλεγεν, «Εἰ ἡμεῖς ὑμῖν τὰ πνευματικὰ ἐσπείραμεν, οὐ μέγα, εἰ ἡμεῖς ὑμῶν τὰ σαρκικὰ θερίσομεν». Διὰ τοῦτο καὶ κοινωνίαν τὸ πρᾶγμα καλεῖ, δεικνὺς ἀντίδοσιν γινομένην. Ἐκ τούτου δὲ καὶ τὰ τῆς ἀγάπης ἐγίνετο θερμότερα πολλῷ καὶ βεβαιότερα. Ἂν μὲν οὖν τὴν αὐτάρκειαν ὁ διδάσκαλος ζητῇ, μένει καὶ λαμβάνων ἐπὶ τῆς οἰκείας ἀξίας. Καὶ γὰρ καὶ τοῦτο ἔπαινος, τὸ οὕτω προσεδρεύειν τῷ λόγῳ ὡς ἑτέρων δεῖσθαι, καὶ ἐν πενίᾳ μυρίᾳ εἶναι, καὶ τῶν βιωτικῶν ὑπερορᾶν ἁπάντων. Ἂν δὲ ὑπερβαίνῃ τὸ μέτρον, ἐλυμήνατο τὴν ἀξίαν, οὐ τῷ λαμβάνειν,, ἀλλὰ τῷ ἀμέτρῳ.

Εἶτα ἵνα μὴ ἡ πονηρία τοῦ διδασκάλου ὀκνηρότερον περὶ ταῦτα ποιῇ τὸν μαθητήν, καὶ πένητα ὄντα πολλάκις παρατρέχῃ διὰ τὸν τρόπον, προϊὼν μέν φησι·«Τὸ δὲ καλὸν ποιοῦντες, μὴ ἐκκακῶμεν»· ἐνταῦθα δὲ τὸ μέσον τῆς τοιαύτης καὶ τῆς ἐν τοῖς βιωτικοῖς φιλοτιμίας δείκνυσιν, οὕτω λέγων· «Μὴ πλανᾶσθε· Θεὸς οὐ μυκτηρίζεται. Ὃ γὰρ ἐὰν σπείρῃ ἄνθρωπος, τοῦτο καὶ θερίσει· ὅτι ὁ σπείρων εἰς τὴν σάρκα ἑαυτοῦ, ἐκ τῆς σαρκὸς αὐτοῦ θερίσει φθοράν· ὁ δὲ σπείρων εἰς τὸ Πνεῦμα, ἐκ τοῦ Πνεύματος θερίσει ζωὴν αἰώνιον». Ὥσπερ γὰρ

---

7. Α' Κορ. 9, 11.
8. Γαλ. 6. 7, 8.

τροπή· ἀλλὰ δὲν ἐθεωρεῖτο πλέον, ἀφοῦ ἐχρησιμοποίησαν αὐτὸ οἱ ἀπόστολοι μὲ μεγάλο θάρρος· ὥστε δὲν ἦσαν μικρὰ αὐτὰ τὰ ὁποῖα ἐκέρδιζον ἐξ αὐτοῦ οἱ μαθηταί, διδασκόμενοι νὰ περιφρονοῦν κάθε δόξαν δι' ὅλων αὐτῶν.

Διὰ τοῦτο λέγει· «Ἐκεῖνος ὁ ὁποῖος κατηχεῖται τὸν λόγον, ἂς μεταδίδῃ εἰς τὸν κατηχητὴν ἀπὸ ὅλα τ' ἀγαθά». Δηλαδή, ἂς δεικνύει πολλὴν γενναιοδωρίαν δι' αὐτόν· διότι αὐτὸ ὑπαινισσόμενος ἔλεγεν «ἀπὸ ὅλα τ' ἀγαθά». Τίποτε δηλαδὴ ἂς μὴ ἀνήκῃ ἰδιαιτέρως εἰς τὸν μαθητήν, ἀλλ' ἂς εἶναι ὅλα κοινά. Διότι περισσότερα λαμβάνει παρὰ δίδει, καὶ τόσον περισσότερον, ὅσον ὑψηλότερα εἶναι τὰ οὐράνια ἀπὸ τὰ γήϊνα· τὸ ὁποῖον δηλῶν καὶ ἀλλοῦ ἔλεγεν· «Ἐὰν ἐμεῖς ἐσπείραμεν εἰς ἐσᾶς τὰ πνευματικά, εἶναι μεγάλο πρᾶγμα τὸ νὰ θερίσωμεν ἀπὸ σᾶς ὑλικὰ πράγματα;»[7]. Διὰ τοῦτο καὶ ὀνομάζει τοῦτο τὸ πρᾶγμα «ἀνταπόδοσιν», διὰ νὰ δείξῃ ὅτι γίνεται κάποια ἀνταλλαγή. Ἀπὸ τοῦτο δὲ καὶ ἡ ἀγάπη ἐγίνετο θερμοτέρα καὶ στερεωτέρα. Ἂν μὲν λοιπὸν ὁ διδάσκαλος ζητῇ τόσα, ὅσα τοῦ εἶναι ἀπαραίτητα διὰ νὰ ζήσῃ, παίρνει ὅσα τοῦ ἀξίζουν. Διότι καὶ τοῦτο εἶναι ἔπαινος, τὸ νὰ ἐπιμένῃ δηλαδὴ κανεὶς εἰς τὸ κήρυγμα, ἔχων τὴν ἀνάγκην ἄλλων, καὶ εὑρισκόμενος εἰς πολὺ μεγάλην πτωχείαν, καὶ περιφρονῶν ὅλα τὰ βιωτικά. Ἂν ὅμως ζητῇ περισσότερα τῶν ὅσων τοῦ χρειάζονται, ἔχει καταστρέψει τὴν ἀξίαν του, ὄχι διὰ τὸ ὅτι λαμβάνει, ἀλλ' ἐπειδὴ ὑπερβαίνει τὸ μέτρον.

Ὕστερον, διὰ νὰ μὴ κάμνῃ ἡ πονηρία αὐτὴ τοῦ διδασκάλου ἀπροθυμότερον τὸν μαθητὴν πρὸς αὐτά, καὶ ἐνῷ ὁ διδάσκαλος εἶναι πτωχὸς νὰ τὸν παραβλέπῃ διὰ τὸν τρόπον του αὐτόν, προχωρῶν μὲν λέγει· «Ἂς μὴ ἀποθαρρυνώμεθα εἰς τὸ νὰ κάνωμεν τὸ καλόν»· ἐνῷ ἐδῶ δεικνύει τὸ μέσον μεταξὺ τῆς ἀπροθυμίας διὰ τὸ καλὸν καὶ τῆς ὑπερβολικῆς ἀγάπης διὰ τὰ βιωτικά, λέγων· «Μὴ πλανᾶσθε, ὁ Θεὸς δὲν ἐμπαίζεται. Ἐκεῖνο τὸ ὁποῖον θὰ σπείρῃ ὁ ἄνθρωπος, αὐτὸ καὶ θὰ θερίσῃ, διότι ἐκεῖνος ὁ ὁποῖος θὰ σπείρῃ εἰς τὸ Πνεῦμα, θὰ θερίσῃ ἀπὸ τὸ Πνεῦμα ζωὴν αἰώνιον»[8]. Δηλαδή,

ἐπὶ τῶν σπερμάτων οὐκ ἔνι σπείροντα ὀρόβους σῖτον ἀμῆσαι· δεῖ γὰρ τοῦ αὐτοῦ γένους καὶ τὸν σπόρον εἶναι καὶ ἀμητόν· οὕτω καὶ ἐν τοῖς ἔργοις, ὁ καταβαλὼν εἰς τὴν σάρκα τρυφήν, μέθην, ἐπιθυμίαν ἄτοπον, τὰ ἐκ ταύτης ἀμήσει. Τίνα δέ ἐστι ταῦτα; Κόλασις, τιμωρία, αἰσχύνη, γέλως φθορά. Τῶν γὰρ πολυτελῶν τραπεζῶν καὶ τῶν ἡδυσμάτων οὐδὲν ἕτερον τὸ τέλος, ἢ φθορά· καὶ γὰρ αὐτὰ φθείρεται, καὶ συμφθείρει τὸ σῶμα. Τὰ δὲ τοῦ Πνεύματος οὐ τοιαῦτα, ἀλλ' ἀπ' ἐναντίας ἅπαντα τούτοις. Σκόπει δέ. Ἔσπειρας ἐλεημοσύνην, ἀναμένουσί σε οἱ τῶν οὐρανῶν θησαυροὶ καὶ δόξα αἰώνιος· ἔσπειρας σωφροσύνην, τιμὴ καὶ βραβεῖον, καὶ αἱ παρ' ἀγγέλων εὐφημίαι καὶ οἱ παρὰ τοῦ ἀγωνοθέτου στέφανοι.

3. «Τὸ δὲ καλὸν ποιοῦντες, μὴ ἐκκακῶμεν· καιρῷ γὰρ ἰδίῳ θερίσομεν μὴ ἐκλυόμενοι. Ἄρ' οὖν, ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας, μάλιστα πρὸς τοὺς οἰκείους τῆς πίστεως». Ἵνα γὰρ μή τις νομίσῃ, ὅτι διδασκάλων μὲν ἐπιμελεῖσθαι δεῖ, καὶ τρέφειν αὐτούς, τῶν δὲ ἄλλων ἀμελεῖν, εἰς κοινὸν ἐξάγει λόγον, καὶ πᾶσι τὴν θύραν τῆς τοιαύτης ἀνοίγει φιλοτιμίας, καὶ τοσαύτην ποιεῖται τὴν ὑπερβολήν, ὡς καὶ Ἰουδαίους καὶ Ἕλληνας κελεύειν ἐλεεῖν, μετὰ προσηκούσης μὲν τάξεως, ἐλεεῖν δ' οὖν ὅμως. Τίς δὲ ἡ τάξις; Τὸ πλείονα περὶ τοὺς πιστοὺς ἐπιδείκνυσθαι τὴν πρόνοιαν. Καὶ ὅπερ καὶ ἐν ταῖς ἄλλαις ποιεῖ, τοῦτο καὶ ἐνταῦθα ἐργάζεται, οὐ περὶ τοῦ ἐλεεῖν διαλεγόμενος μόνον, ἀλλὰ καὶ περὶ τοῦ φιλοτίμως καὶ διηνεκῶς· τὸ γὰρ τοῦ σπόρου ὄνομα καὶ τὸ μὴ δεῖν ἐκκακεῖν, τοῦτο αἰνίττεται.

Εἶτα ἐπειδὴ μέγα ἀπῄτησε, καὶ τὸ ἔπαθλον ἐπὶ θύραις τίθησιν, ἀμητοῦ μεμνημένος καινοῦ τινος καὶ παραδόξου. Ἐ-

---

9. Γαλ. 6. 9, 10.

ὅπως ἀκριβῶς εἰς τὰ σπέρματα δὲν εἶναι δυνατόν, ἐνῷ σπείρει κανεὶς ὄσπρια, νὰ θερίσῃ σῖτον· διότι κατ' ἀνάγκην εἶναι τοῦ ἰδίου γένους καὶ ὁ σπόρος καὶ ὁ καρπός, ἔτσι καὶ εἰς τὰ ἀνθρώπινα ἔργα, ἐκεῖνος ὁ ὁποῖος σπείρει εἰς τὴν σάρκα ἀπολαύσεις, μέθην, ἁμαρτωλὴν ἐπιθυμίαν, θὰ θερίσῃ τοὺς καρποὺς αὐτῶν. Ποῖα δὲ εἶναι αὐτά; Κόλασις, τιμωρία, ἐντροπή, χλευασμός, φθορά. Διότι τὸ τέλος τῶν πολυτελῶν τραπεζῶν καὶ τῶν γλυκισμάτων δὲν εἶναι ἄλλο, παρὰ ἡ φθορά· διότι αὐτὰ φθείρονται καὶ φθείρουν μαζί των καὶ τὸ σῶμα. Τὰ τοῦ Πνεύματος ὅμως δὲν εἶναι τέτοια, ἀλλ' ἀντίθετα πρὸς ὅλ' αὐτά. Πρόσεχε δέ· ἔσπειρες ἐλεημοσύνην, σὲ περιμένουν οἱ θησαυροὶ τῶν οὐρανῶν καὶ αἰώνιος δόξα· ἔσπειρες σωφροσύνην, σὲ περιμένει τιμὴ καὶ βραβεῖον καὶ οἱ ἔπαινοι τῶν ἀγγέλων, καὶ οἱ στέφανοι ἀπὸ τὸν ἀγωνοθέτην.

3. «Ἂς μὴ ἀποθαρρυνώμεθα εἰς τὸ νὰ κάνωμεν τὸ καλόν, διότι εἰς τὸν κατάλληλον χρόνον θὰ θερίσωμεν, ἐὰν δὲν ἀποκάμωμεν. Ἑπομένως, ἐφ' ὅσον ἔχομεν εὐκαιρίας, ἂς κάνωμεν τὸ καλὸν εἰς ὅλους, πρὸ παντὸς δὲ εἰς τοὺς ὁμοπίστους μας»[9]. Διὰ νὰ μὴ νομίσῃ λοιπὸν κανείς, ὅτι διὰ μὲν τοὺς διδασκάλους πρέπει νὰ φροντίζουν καὶ νὰ τρέφουν αὐτούς, διὰ δὲ τοὺς ἄλλους ν' ἀμελοῦν, ὁμιλεῖ δι' ὅλους γενικῶς, καὶ ἀνοίγει εἰς ὅλους τὴν θύραν αὐτῆς τῆς γενναιοδωρίας, καὶ τόσον μεγάλη ζητεῖ νὰ εἶναι αὐτή, ὥστε παραγγέλλει νὰ ἐλεοῦν καὶ Ἰουδαίους καὶ ἐθνικούς, μὲ τὸ πρέπον μέτρον μέν, ἀλλὰ νὰ ἐλεοῦν. Ποῖον δὲ τὸ μέτρον; Τὸ νὰ ἐπιδεικνύουν περισσοτέραν πρόνοιαν διὰ τοὺς πιστούς. Καὶ ὅ,τι κάνει εἰς τὰς ἄλλας ἐπιστολάς, αὐτὸ κάνει καὶ ἐδῶ, ὁμιλῶν, ὄχι μόνον διὰ τὸ ἐλεεῖν, ἀλλὰ καὶ διὰ τὸ ἐλεεῖν μὲ γενναιοδωρίαν καὶ συνεχῶς· διότι ἡ λέξις σπόρος, καὶ τὸ ὅτι δὲν πρέπει ν' ἀποθαρρυνώμεθα, αὐτὸ ὑπαινίσσονται.

Ὕστερον, ἐπειδὴ ἐζήτησε κάτι μεγάλο, θέτει ἐνώπιον αὐτῶν καὶ τὸ ἔπαθλον, ὁμιλῶν διὰ θερισμὸν καινούργιον καὶ

πὶ μὲν γὰρ τῶν γηπόνων οὐχ ὁ σπείρων μόνον, ἀλλὰ καὶ ὁ θερίζων πολὺν ὑπομένει τὸν πόνον, αὐχμῷ καὶ κονιορτῷ καὶ πολλῇ μαχόμενος ταλαιπωρίᾳ· πότε δὲ οὐδὲν τούτων ἔνι, φησίν· ἃ καὶ παραδηλῶν ἔλεγε· «Καιρῷ γὰρ ἰδίῳ θερίσομεν μὴ ἐκλυόμενοι». Καὶ ἐντεῦθεν μὲν αὐτοὺς προτρέπει καὶ ἐφέλκεται· ἑτέρωθεν δὲ κατεπείγει καὶ συνωθεῖ, λέγων· «Ἄρ' οὖν, ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθόν». Ὥσπερ γὰρ οὐκ ἀεὶ τοῦ σπείρειν ἐσμὲν κύριοι, οὕτως οὐδὲ τοῦ ἐλεεῖν. Ὅταν γὰρ ἐντεῦθεν ἀπενεχθῶμεν, κἂν μυριάκις βουληθῶμεν, οὐδὲν παραινοῦμεν πλέον. Καὶ μαρτυροῦσιν ἡμῖν αἱ παρθένοι τῷ λόγῳ, αἳ μυρία προθυμηθεῖσαι, ἐπειδὴ δαψιλῆ τὴν ἐλεημοσύνην οὐκ ἀπῆλθον ἔχουσαι, ἀπεκλείσθησαν τοῦ νυμφῶνος· καὶ ὁ τὸν Λάζαρον παριδὼν πλούσιος. Καὶ γὰρ κἀκεῖνος, ἐπειδὴ ταύτης ἔρημος ἦν τῆς συμμαχίας, καὶ ὀλοφυράμενος καὶ ἱκετεύσας πολλά, οὐ παρὰ τοῦ πατριάρχου, οὐ παρὰ ἄλλου τινὸς ἠλεεῖτο, ἀλλ' ἔμενε διηνεκῶς ἀποτηγανιζόμενος χωρὶς συγγνώμης ἁπάσης. Ταῦτά φησιν, «Ὡς καιρὸν ἔχομεν, ἐργαζώμεθα τὸ ἀγαθὸν πρὸς πάντας»· καὶ ταύτῃ μάλιστα ἀπαλλάττων τῆς Ἰουδαϊκῆς ταπεινότητος. Ἐκείνοις μὲν γὰρ τὰ τῆς φιλανθρωπίας ἅπαντα πρὸς τοὺς ὁμοφύλους ἦν· ἡ δὲ τῆς χάριτος φιλοσοφία γῆν ὁμοῦ καὶ θάλατταν ἐπὶ τὴν τῆς ἐλεημοσύνης καλεῖ τράπεζαν, εἰ καὶ πλείονα περὶ τοὺς οἰκείους τὴν σπουδὴν ἐπιδείκνυται.

4. «Ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα τῇ ἐμῇ χειρί. Ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκί, οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι». Ἐννόησον ὅση κατέχει τὴν μακαρίαν ἐκείνην ψυχὴν ὀδύνη. Καθάπερ γὰρ οἱ πένθει τινὶ περιπεσόντες, καί τινα τῶν γνησίων ἀποβαλόντες, ἢ τι τῶν ἀδοκήτων

---

10. Γαλ. 6. 11, 12.

παράδοξον. Διότι εἰς τοὺς γεωργούς, ὄχι μόνον ὁ σπείρων, ἀλλὰ καὶ ὁ θερίζων ὑπομένει πολὺν κόπον καὶ ἥλιον καὶ κονιορτὸν καὶ ἀγωνιζόμενος μὲ πολλὴν ταλαιπωρίαν· τότε ὅμως, τίποτε ἀπὸ αὐτὰ δὲν θὰ συμβαίνῃ, λέγει· τὰ ὁποῖα καὶ φανερώνων ἔλεγε· «διότι εἰς τὸν κατάλληλον χρόνον θὰ θερίσωμεν, ἐὰν δὲν ἀποκάμωμεν». Καὶ ἀπὸ ἐδῶ μὲν προτρέπει καὶ προσελκύει αὐτούς· ἀπὸ ἀλλοῦ δὲ βιάζει καὶ συμπιέζει, λέγων· «Ἑπομένως, ἐφ' ὅσον ἔχομεν εὐκαιρίας, ἂς κάνωμεν τὸ καλὸν εἰς ὅλους». Διότι, ὅπως δὲν εἶναι εἰς τὴν διάθεσίν μας νὰ σπείρωμεν πάντοτε, ἔτσι οὔτε τὸ νὰ ἐλεῶμεν. Ὅταν δηλαδὴ ἀπέλθωμεν ἀπὸ αὐτὴν τὴν ζωήν, καὶ ἂν ἀκόμη θελήσωμεν ἀπείρους φοράς, δὲν θὰ δυνηθῶμεν πλέον. Καὶ εἶναι μάρτυρες διὰ τοῦτο εἰς ἐμᾶς αἱ παρθένοι, αἱ ὁποῖαι, ἐνῷ ἐπρομηθεύθησαν τόσον πολλά, ἐπειδὴ δὲν ἔφυγον ἔχουσαι πλουσίαν τὴν ἐλεημοσύνην, ἀπεκλείσθησαν ἀπὸ τὸν νυμφῶνα· ἐπίσης ὁ πλούσιος ὁ ὁποῖος περιεφρόνησε τὸν Λάζαρον. Διότι καὶ ἐκεῖνος, ἐπειδὴ ἦτο ἐστερημένος ἀπὸ αὐτὴν τὴν συμμαχίαν, ἂν καὶ ἐθρήνησε καὶ ἱκέτευσε πολύ, δὲν ἠλεεῖτο οὔτε ἀπὸ τὸν πατριάρχην, οὔτε ἀπὸ ἄλλον κανένα, ἀλλὰ παρέμενε τηγανιζόμενος εἰς τὸ διηνεκές, χωρὶς νὰ ἐπιτύχῃ συγγνώμην καθόλου. Αὐτὰ ἐννοεῖ μὲ τὸ «ἐφ' ὅσον ἔχομεν εὐκαιρίας, ἂς κάνωμεν τὸ καλὸν εἰς ὅλους»· καὶ μὲ τοῦτο μάλιστα ἀπαλλάσσων ἀπὸ τὴν Ἰουδαϊκὴν εὐτέλειαν. Διότι εἰς ἐκείνους μὲν κάθε φιλανθρωπία ἐγίνετο μόνον εἰς τοὺς ὁμοεθνεῖς· ἐνῷ ἡ φιλοσοφία τῆς χάριτος, καὶ γῆν καὶ θάλασσαν μαζὶ καλεῖ εἰς τὴν τράπεζαν τῆς ἐλεημοσύνης, ἂν καὶ ἐπιδεικνύει περισσοτέραν ἐπιμέλειαν πρὸς τοὺς οἰκείους.

4. «Κοιτάξετε μὲ πόσον μεγάλα γράμματα σᾶς ἔγραψα μὲ τὸ χέρι μου. Ὅσοι θέλουν νὰ φανοῦν εὐάρεστοι μὲ ἐξωτερικὰ μέσα, αὐτοὶ σᾶς ἀναγκάζουν νὰ περιτέμνεσθε»[10]. Σκέψου πόση ὀδύνη κατέχει τὴν μακαρίαν ἐκείνην ψυχήν. Διότι, ὅπως ἀκριβῶς ἐκεῖνοι οἱ ὁποῖοι περιπίπτουν εἰς πένθος καὶ ἀφοῦ ἀπώλεσαν κάποιον ἀπὸ τοὺς οἰκείους, ἢ κάτι

ὑπομένοντες, οὔτε νύκτωρ ἡσυχάζουσιν, οὔτε μεθ' ἡμέραν τοῦ πένθους αὐτοῖς τὴν ψυχὴν πολιορκοῦντος· οὕτω καὶ ὁ μακάριος Παῦλος εἰπὼν ὀλίγα περὶ τῶν ἠθῶν, πάλιν ἐπὶ τὰ πρότερα ἐπανέρχεται, ἃ μάλιστα αὐτοῦ τὴν ψυχὴν διετάραττε, λέγων οὕτως· «Ἴδετε πηλίκοις ὑμῖν γράμμασιν ἔγραψα».

Ἐνταῦθα οὐδὲν ἄλλο αἰνίττεται, ἀλλ' ὅτι αὐτὸς ἔγραψε τὴν ἐπιστολὴν ἅπασαν· ὃ πολλῆς γνησιότητος σημεῖον ἦν. Ἐπὶ μὲν γὰρ τῶν ἄλλων ὑπηγόρευσε μὲν αὐτός, ἔγραφε δὲ ἕτερος· καὶ τοῦτο δῆλον ἀπὸ τῆς πρὸς Ρωμαίους ἐπιστολῆς· πρὸς γὰρ τῷ τέλει φησίν, «Ἀσπάζομαι ὑμᾶς ἐγὼ Τέρτιος ὁ γράψας τὴν ἐπιστολήν»· ἐνταῦθα δὲ αὐτὸς ἔγραψε πᾶσαν. Ἐποίησε δὲ τοῦτο ἐνταῦθα καὶ ἀναγκαίως, οὐ δι' ἀγάπην μόνον, ἀλλὰ καὶ διὰ τὴν τῆς πονηρᾶς ὑπονοίας ἀναίρεσιν. Ἐπειδὴ γὰρ διεβάλλετο ἐπὶ πράγμασιν οἷς οὐδὲν ἐκοινώνει, καὶ ἐλέγετο περιτομὴν καταγγέλλειν, καὶ ὑποκρίνεσθαι ὡς οὐ καταγγέλλων, διὰ τοῦτο ἠναγκάσθη ἰδιόγραφον ποιήσασθαι τὴν ἐπιστολήν, μαρτυρίαν ἔγγραφον προαποτιθέμενος. Τὸ δέ, «πηλίκοις», ἐμοὶ δοκεῖ οὐ τὸ μέγεθος, ἀλλὰ τὴν ἀμορφίαν τῶν γραμμάτων ἐμφαίνων λέγειν, μονονουχὶ λέγων, ὅτι οὐδὲ ἄριστα γράφειν εἰδώς, ὅμως ἠναγκάσθην δι' ἐμαυτοῦ γράψαι, ὥστε τῶν συκοφαντῶν ἐμφράξαι τὸ στόμα.

«Ὅσοι θέλουσιν εὐπροσωπῆσαι ἐν σαρκί, οὗτοι ἀναγκάζουσιν ὑμᾶς περιτέμνεσθαι, μόνον ἵνα μὴ τῷ σταυρῷ τοῦ Χριστοῦ διώκωνται. Οὐδὲ γὰρ οἱ περιτεμνόμενοι αὐτοὶ νόμον φυλάττουσιν, ἀλλὰ θέλουσιν ὑμᾶς περιτέμνεσθαι, ἵνα ἐν τῇ ὑμετέρᾳ σαρκὶ καυχήσωνται». Ἐνταῦθα δείκνυσιν οὐχ ἑκόντας αὐτοὺς τοῦτο ὑπομένοντας, ἀλλ' ἀναγκαζομένους, παρέχων αὐτοῖς ἀφορμὴν ἀναχωρήσεως, καὶ σχεδὸν ὑπὲρ αὐτῶν

11 Ρωμ. 16, 22.
12. Γαλ. 6. 12, 13.

ἀπὸ τὰ ἀπροσδόκητα ὑπομένοντες, οὔτε τὴν νύκτα ἡσυχάζουν, οὔτε τὴν ἡμέραν, ἐπειδὴ πολιορκεῖ τὴν ψυχήν των τὸ πένθος· ἔτσι καὶ ὁ μακάριος Παῦλος, ἀφοῦ εἶπεν ὀλίγα διὰ τὰ ἤθη, πάλιν ἐπανέρχεται εἰς τὰ προηγούμενα, τὰ ὁποῖα περισσότερον ἐτάρασσον τὴν ψυχήν του, λέγων ἔτσι· «Κοιτάξετε μὲ πόσον μεγάλα γράμματα σᾶς ἔγραψα».

Ἐδῶ τίποτε ἄλλο δὲν ὑπαινίσσεται, παρὰ τὸ ὅτι αὐτὸς ὁ ἴδιος ἔγραψε τὴν ἐπιστολὴν ὁλόκληρον· πρᾶγμα τὸ ὁποῖον ἦτο σημεῖον ἀπολύτου γνησιότητος. Διότι εἰς μὲν τὰς ἄλλας ὑπηγόρευεν αὐτὸς καὶ ἔγραφεν ἄλλος· καὶ τοῦτο εἶναι φανερὸν ἀπὸ τὴν πρὸς Ρωμαίους ἐπιστολήν· διότι πρὸς τὸ τέλος λέγει· «Σᾶς χαιρετῶ ἐν Κυρίῳ ἐγὼ ὁ Τέρτιος ὁ ὁποῖος ἔγραψα τὴν ἐπιστολήν»[11]· ἐδῶ ὅμως αὐτὸς ἔγραψεν ὅλην τὴν ἐπιστολήν. Ἔκανε δὲ αὐτὸ ἐδῶ καὶ ἀπὸ ἀνάγκην, ὄχι μόνον ἀπὸ ἀγάπην, ἀλλὰ καὶ διὰ ν' ἀναιρέσῃ κάθε πονηρὰν ὑπόνοιαν. Διότι, ἐπειδὴ διεβάλλετο διὰ πράγματα μὲ τὰ ὁποῖα δὲν εἶχε σχέσιν, καὶ ἐλέγετο ὅτι κηρύττει τὴν περιτομὴν καὶ ὑποκρίνεται ὅτι δὲν τὴν κηρύττει, διὰ τοῦο ἠναγκάσθη νὰ γράψῃ ἰδιοχείρως τὴν ἐπιστολήν, δίδων ἐκ τῶν προτέρων ἔγγραφον μαρτυρίαν. Τὸ δὲ «μὲ πόσον μεγάλα», νομίζω ὅτι ὄχι εἰς τὸ μέγεθος, ἀλλ' εἰς τὴν δυσμορφίαν τῶν γραμμάτων ἀναφέρεται λέγων ὅτι, ἐνῷ δὲν γνωρίζω νὰ γράφω πολὺ καλῶς, ἠναγκάσθην νὰ γράψω ὁ ἴδιος, ὥστε νὰ φράξω τὸ στόμα τῶν συκοφαντῶν.

«Ὅσοι θέλουν νὰ φανοῦν εὐάρεστοι μὲ ἐξωτερικὰ μέσα, αὐτοὶ σᾶς ἀναγκάζουν νὰ περιτέμνεσθε, ἁπλῶς καὶ μόνον διὰ νὰ μὴ καταδιώκωνται διὰ τὸ κήρυγμα περὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ. Διότι οὔτε αὐτοὶ οἱ ὁποῖοι περιτέμνονται φυλάττουν τὸν νόμον, ἀλλὰ θέλουν νὰ περιτέμνεσθε σεῖς, διὰ νὰ καυχηθοῦν διὰ τὴν συμμόρφωσίν σας εἰς ἕνα ἐξωτερικὸν τύπον»[12]. Ἐδῶ δεικνύει αὐτοὺς ὅτι ὑπομένουν αὐτό, ὄχι μὲ τὴν θέλησίν των, ἀλλ' ὅτι ἀναγκάζονται, δίδων εἰς αὐτοὺς ἀφορμὴν ν' ἀναχωρήσουν, καὶ σχεδὸν ἀπολογούμενος ὑπὲρ αὐτῶν καὶ προτρέπων νὰ φύγουν τα-

ἀπολογούμενος, καὶ προτρέπων ἀποπηδῆσαι ταχέως. Τί δέ ἐστιν, «εὐπροσωπεῖν ἐν σαρκί»; Εὐδοκιμεῖν παρ' ἀνθρώποις. Ἐπειδὴ γὰρ ὠνειδίζοντο παρὰ τοῖς Ἰουδαίοις, ὡς τῶν πατρίων ἀποστάντες ἐθῶν, ἵνα μὴ ταῦτα ἐγκαλῶνται, φησί, βούλονται ὑμῖν λυμήνασθαι, διὰ τῆς ὑμετέρας σαρκὸς ἐκείνοις ἀπολογούμενοι. Ταῦτα δὲ ἔλεγε, δεικνὺς ὅτι οὐ διὰ τὸν Θεὸν ταῦτα ἔπραττον. Ὡς ἂν εἰ ἔλεγεν, οὐκ ἔστιν εὐσεβείας ὑπόθεσις τὸ γινόμενον· δι' ἀνθρωπίνην φιλοτιμίαν ταῦτα πάντα γίνεται, ὑπὲρ ἀρεσκείας τῶν ἀπίστων, ὅτι πιστοὶ κατακόπτονται, καὶ αἱροῦνται Θεῷ προσκροῦσαι ἵνα ἀνθρώποις ἀρέσωσι. Τοῦτο γάρ ἐστιν, «ἐν σαρκὶ εὐπροσωπῆσαι».

Εἶτα δεικνὺς ὅτι καὶ ἑτέρωθεν συγγνώμης εἰσὶν ἀπεστερημένοι, διελέγχει πάλιν αὐτούς, οὐ διὰ τὴν εἰς ἑτέρους ἀρέσκειαν μόνον, ἀλλὰ καὶ δι' οἰκείαν κενοδοξίαν ταῦτα ἐπιτάττοντας. Διὸ καὶ ἐπήγαγεν· «ἵνα ἐν τῇ ἡμετέρᾳ σαρκὶ καυχήσωνται», ὡς μαθητὰς ἔχοντες, καὶ ὄντες διδάσκαλοι. Καὶ τίς ἡ τούτων ἀπόδειξις; «Οὐδὲ γὰρ αὐτοὶ νόμον φυλάττοντες», φησί. Μάλιστα μὲν γάρ, εἰ καὶ ἐφύλαττον, καὶ οὕτως ἄξιοι κατηγορίας· νυνὶ δὲ καὶ ὁ σκοπὸς αὐτῶν διεφθαρμένος ἐστίν.

5. *«Ἐμοὶ δὲ μὴ γένοιτο καυχᾶσθαι, εἰ μὴ ἐν τῷ σταυρῷ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Καὶ μὴν τὸ πρᾶγμα ἐπονείδιστον εἶναι δοκεῖ, ἀλλ' ἐν τῷ κόσμῳ καὶ παρὰ τοῖς ἀπίστοις· ἐν δὲ οὐρανοῖς καὶ παρὰ τοῖς πιστοῖς δόξα, καὶ μεγίστη. Καὶ γὰρ πενία ἐπονείδιστον, ἀλλ' ἡμῖν καύχημα· καὶ τὸ ἐξευτελίζεσθαι παρὰ πολλοῖς γέλως, ἀλλ' ἡμεῖς ἁβρυνόμεθα τούτῳ. Οὕτω καὶ ὁ σταυρὸς ἡμῖν καύχημα. Καὶ οὐκ εἶπεν, ἐγὼ δὲ οὐ καυχῶμαι ἤ, ἐγὼ δὲ οὐ βούλομαι καυχᾶσθαι, ἀλλ', «ἐμοὶ δὲ μὴ γένοιτο»· ὥσπερ τι τῶν ἀτόπων ἀπηύξατο καὶ τὴν παρὰ τοῦ Θεοῦ συμμαχίαν ἐκάλεσεν εἰς τὸ κατορθῶσαι τοῦτο.*

Καὶ τί ἐστι τὸ καύχημα τοῦ σταυροῦ; Ὅτι ὁ Χριστὸς δι'

---

18. Γαλ. 6, 14.

χέως. Τί σημαίνει δὲ «θέλουν νὰ φανοῦν εὐάρεστοι μὲ ἐξωτερικὰ μέσα»; Νὰ δοξάζωνται ἀπὸ τοὺς ἀνθρώπους. Ἐπειδὴ δηλαδὴ ἐκατηγοροῦντο ἀπὸ τοὺς Ἰουδαίους ὅτι ἀπεστάτησαν ἀπὸ τὰ πάτρια ἔθη, διὰ νὰ μὴ κατηγοροῦνται δι' αὐτά, λέγει, θέλουν νὰ σᾶς καταστρέψουν, ἀπολογούμενοι εἰς τοὺς Ἰουδαίους διὰ τῆς ἰδικῆς σας σαρκός. Αὐτὰ ἔλεγε δέ, διὰ νὰ δείξῃ ὅτι δὲν ἔπραττον αὐτὰ διὰ τὸν Θεόν. Ὡσὰν νὰ ἔλεγεν ὅτι δὲν εἶναι ὑπόθεσις εὐσεβείας αὐτὸ τὸ ὁποῖον γίνεται· δι' ἀνθρωπίνην ματαιοδοξίαν γίνονται ὅλα αὐτά, χάριν ἀρεσκείας εἰς τοὺς ἀπίστους, διότι οἱ πιστοὶ κατασφάττονται, καὶ προτιμοῦν νὰ προσβάλλουν τὸν Θεὸν διὰ ν' ἀρέσουν εἰς τοὺς ἀνθρώπους.

Ὕστερον, δεικνύων ὅτι καὶ ἀπὸ ἄλλου εἶναι ἐστερημένοι ἀπὸ κάθε συγγνώμην, ἐλέγχει πάλιν αὐτούς, ὄχι μόνον διὰ τὸ ὅτι θέλουν ν' ἀρέσουν εἰς ἄλλους, ἀλλὰ καὶ διότι παραγγέλλουν αὐτὰ ἀπὸ ἰδικήν των κενοδοξίαν. Διὰ τοῦτο καὶ προσέθεσεν· «διὰ νὰ καυχηθοῦν διὰ τὴν συμμόρφωσίν σας εἰς ἕνα ἐξωτερικὸν τύπον», ὡσὰν νὰ ἔχουν μαθητὰς καὶ νὰ εἶναι διδάσκαλοι. Καὶ ποία ἡ ἀπόδειξις δι' αὐτά; «Διότι οὔτε αὐτοὶ φυλάττουν τὸν νόμον», λέγει. Ἀλλὰ καὶ ἐὰν ἐφύλαττον, καὶ πάλιν θὰ ἦσαν ἄξιοι κατηγορίας· τώρα δὲ καὶ ὁ σκοπὸς αὐτῶν εἶναι διεφθαρμένος.

5. «Εἰς ἐμὲ δὲ μὴ γένοιτο νὰ καυχηθῶ διὰ τίποτε ἄλλο, παρὰ διὰ τὸν σταυρὸν τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ»[11]. Καὶ βεβαίως τὸ πρᾶγμα φαίνεται ὅτι εἶναι ἐπονείδιστον, ἀλλὰ διὰ τοὺς κοσμικοὺς καὶ τοὺς ἀπίστους· ἐνῷ εἰς τοὺς οὐρανοὺς καὶ εἰς τοὺς πιστοὺς εἶναι δόξα, καὶ μάλιστα ἡ μεγίστη. Διότι καὶ ἡ πτωχεία εἶναι πρᾶγμα ἐπονείδιστον, ἀλλὰ δι' ἐμᾶς εἶναι καύχημα. Καὶ δὲν εἶπεν, ἐγὼ δὲ δὲν καυχῶμαι ἤ, ἐγὼ δὲν θέλω νὰ καυχῶμαι, ἀλλ' «εἰς ἐμὲ δὲ μὴ γένοιτο»· ἀπηυχήθη αὐτὸ ὡσὰν κάτι ἄτοπον, καὶ ἐζήτησε τὴν ἀπὸ τὸν Θεὸν συμμαχίαν διὰ νὰ τὸ κατορθώσῃ αὐτό.

Καὶ τί εἶναι τὸ καύχημα τοῦ σταυροῦ; Ὅτι ὁ Χριστὸς ἔλαβε τὴν μορφὴν δούλου δι' ἐμέ, καὶ ἔπαθεν ὅσα ἔπαθε

ἐμὲ δούλου μορφὴν ἀνέλαβε, καὶ ἔπαθεν ἅπερ ἔπαθε, δι' ἐμὲ τὸν δοῦλον, τὸν ἐχθρόν, τὸν ἀγνώμονα· ἀλλ' οὕτω με ἠγάπησεν, ὡς καὶ ἑαυτὸν ἐκδοῦναι ἀρᾷ. Τούτου γένοιτ' ἄν τι ἴσον; Εἰ γὰρ οἰκέται, ἂν μόνον ἐπαινῶνται παρὰ τῶν δεσποτῶν, καὶ ταῦτα ὁμογενῶν ὄντων, μέγα φρονοῦσι, πῶς οὐ καυχᾶσθαι χρή, ὅταν ὁ δεσπότης ὁ ἀληθὴς Θεὸς μὴ ἐπαισχύνηται τὸν ὑπὲρ ἡμῶν σταυρόν; Μὴ τοίνυν μηδὲ ἡμεῖς ἐπαισχυνώμεθα τὴν ἄφατον αὐτοῦ κηδεμονίαν. Αὐτὸς οὐκ ἐπῃσχύνθη σταυρωθῆναι διὰ σέ, καὶ σὺ ἐπαισχύνῃ αὐτοῦ τὴν ἄπειρον κηδεμονίαν; ὥσπερ ἂν εἴ τις δεσμώτης μὴ ἐπαισχυνόμενος τὸν βασιλέα, ἐπειδὴ ἐπέστη τῷ δεσμωτηρίῳ, καὶ τὰ δεσμὰ ἔλυσε δι' ἑαυτοῦ, διὰ τοῦτο αὐτὸν ἐπαισχύνοιτο. Ἀλλ' ἐσχάτης ταῦτα παραπληξίας· δι' αὐτὸ γὰρ τοῦτο μάλιστα ἐναβρύνεσθαι δεῖ.

«Δι' οὗ ἐμοὶ κόσμος ἐσταύρωται, κἀγὼ τῷ κόσμῳ». Κόσμον φησὶ νῦν, οὐ τὸν οὐρανὸν οὐδὲ τὴν γῆν, ἀλλὰ τὰ βιωτικὰ πράγματα, τὸν ἔπαινον τὸν παρὰ τῶν ἀνθρώπων, τὴν δορυφορίαν, τὴν δόξαν, τὸν πλοῦτον, τὰ τοιαῦτα ἅπαντα τὰ δοκοῦντα εἶναι λαμπρά. Ταῦτα γάρ μοι νεκρὰ γέγονε. Τοιοῦτον εἶναι χρὴ τὸν Χριστιανόν, ταύτην ἀεὶ τὴν φωνὴν περιφέρειν. Οὐδὲ γὰρ ἠρκέσθη μόνον τῷ προτέρῳ τῆς νεκρώσεως τρόπῳ, ἀλλὰ καὶ ἕτερον ἐπήγαγεν εἰπών· «κἀγὼ τῷ κόσμῳ», διπλῆν τὴν νέκρωσιν αἰνιττόμενος, καὶ λέγων, ὅτι καὶ ἐκεῖνα ἐμοὶ νεκρά, καὶ ἐγὼ ἐκείνοις, καὶ οὔτε αὐτὰ ἑλεῖν με δύναται καὶ χειρώσασθαι· νεκρὰ γάρ ἐστιν ἅπαξ· οὔτε ἐγὼ ἐπιθυμῆσαι αὐτῶν· νεκρὸς γὰρ αὐτοῖς εἰμι καὶ ἐγώ. Οὐδὲν τῆς νεκρώσεως ταύτης μακαριώτερον· αὕτη γάρ ἐστι τῆς μακαρίας ζωῆς ἡ ὑπόθεσις.

«Οὔτε γὰρ περιτομή τι ἰσχύει, οὔτε ἀκροβυστία, ἀλλὰ καινὴ κτίσις. Καὶ ὅσοι τῷ κανόνι τούτῳ στοιχοῦσιν, εἰρήνη

δι' ἐμὲ τὸν δοῦλον, τὸν ἐχθρόν του, τὸν ἀχάριστον· ἀλλὰ τόσον μὲ ἠγάπησεν, ὥστε καὶ τὸν ἑαυτόν του νὰ παραδώσῃ εἰς κατάραν. Εἶναι δυνατὸν νὰ γίνῃ τίποτε ἰσάξιον πρὸς αὐτό; Διότι ἐὰν οἱ δοῦλοι, ὅταν ἁπλῶς ἐπαινῶνται ἀπὸ τοὺς κυρίους των, καὶ τοῦτο παρ' ὅ,τι ἀνήκουν εἰς τὸ ἴδιον γένος, τὸ ἀνθρώπινον, ὑψηλοφρονοῦν, πῶς δὲν πρέπει νὰ καυχώμεθα, ὅταν ὁ δεσπότης, ὁ ἀληθινὸς Θεός, δὲν ἐντρέπεται τὸν σταυρὸν διὰ χάριν μας; Ἂς μὴ ἐντρεπώμεθα λοιπὸν οὔτε ἐμεῖς τὴν ἀπερίγραπτον φροντίδα του. Αὐτὸς δὲν ἐντράπηκε νὰ σταυρωθῇ δι' ἐσέ, καὶ σὺ ἐντρέπεσαι τὴν ἄπειρον φροντίδα του; Ὅπως ἀκριβῶς ἐὰν κάποιος δεσμώτης μὴ ἐντρεπόμενος τὸν βασιλέα, ὅταν ἦλθεν εἰς τὴν φυλακὴν καὶ τὸν ἠλευθέρωσεν ἀπὸ τὰ δεσμὰ διὰ τοῦ ἑαυτοῦ του, ἐντρέπεται αὐτὸν δι' αὐτό. Ἀλλ' αὐτὰ εἶναι ἐσχάτης παραφροσύνης· διότι διὰ τοῦτο μάλιστα πρέπει νὰ καυχώμεθα.

«Διὰ τοῦ ὁποίου ὁ κόσμος εἶναι ἐσταυρωμένος ὡς πρὸς ἐμέ, καὶ ἐγὼ εἶμαι ἐσταυρωμένος ὡς πρὸς τὸν κόσμον». Κόσμον ὀνομάζει τώρα, ὄχι τὸν οὐρανόν, οὔτε τὴν γῆν, ἀλλὰ τὰ βιωτικὰ πράγματα, τὸν ἔπαινον τῶν ἀνθρώπων, τὴν ἀκολουθίαν, τὴν δόξαν, τὸν πλοῦτον, ὅλ' αὐτὰ τὰ ὁποῖα φαίνονται λαμπρά. Αὐτὰ λοιπὸν ἔχουν νεκρωθῇ δι' ἐμέ. Τέτοιος πρέπει νὰ εἶναι ὁ χριστιανός, αὐτὴν τὴν φωνὴν πάντοτε νὰ φέρῃ παντοῦ. Δὲν ἠρκέσθη λοιπὸν μόνον εἰς τὸν προηγούμενον τρόπον τῆς νεκρώσεως, ἀλλὰ καὶ ἄλλον προσέθεσε λέγων· «καὶ ἐγὼ διὰ τὸν κόσμον», ἐννοῶν ὅτι εἶναι διπλῆ ἡ νέκρωσις καὶ λέγων ὅτι καὶ ἐκεῖνα εἶναι δι' ἐμὲ νεκρά, καὶ ἐγὼ δι' ἐκεῖνα, καὶ οὔτε δύνανται αὐτὰ νὰ μὲ κυριεύσουν καὶ νὰ μὲ ὑποδουλώσουν· διότι εἶναι νεκρὰ ἅπαξ διὰ παντός· καὶ διότι εἶμαι νεκρὸς καὶ ἐγὼ δι' αὐτά. Τίποτε μακαριώτερον δὲν ὑπάρχει ἀπὸ αὐτὴν τὴν νέκρωσιν· διότι αὐτὴ εἶναι ἡ βάσις τῆς μακαρίας ζωῆς.

«Διότι ἐν Χριστῷ Ἰησοῦ οὔτε ἡ περιτομή, οὔτε ἡ ἀκροβυστία ἔχουν ἀξίαν, ἀλλ' ἡ νέα δημιουργία. Καὶ ὅσοι βαδί-

ἐπ' αὐτοὺς καὶ ἔλεος, καὶ ἐπὶ τὸν Ἰσραὴλ τοῦ Θεοῦ». Εἶδες σταυροῦ δύναμιν, εἰς ὅσον αὐτὸν ὕψος ἀνήγαγεν; Οὐ γὰρ δὴ μόνον τὰ τοῦ κόσμου πράγματα ἐνέκρωσεν αὐτῷ πάντα, ἀλλὰ καὶ τῆς πολιτείας τῆς παλαιᾶς ἀνώτερον πολλῷ κατέστησεν. Τί ταύτης τῆς ἰσχύος ἴσον; Τὸν γὰρ ὑπὲρ ταύτης τῆς περιτομῆς σφαττόμενον καὶ ἑτέρους ἀποσφάττοντα, τοῦτον ἔπεισεν ὁ σταυρὸς ἐν ἴσῳ τῇ ἀκροβυστίᾳ αὐτὴν ἀφέντα, ξένα τινὰ καὶ παράδοξα καὶ τὰ ὑπὲρ τοὺς οὐρανοὺς ἐπιζητεῖν πράγματα. Καινὴν γὰρ κτίσιν ταύτην καλεῖ τὴν καθ' ἡμᾶς πολιτείαν, διά τε τὰ γεγενημένα, διά τε τὰ ἐσόμενα· τὰ γεγενημένα μέν, ὅτι ἡ ψυχὴ ἡμῶν παλαιωθεῖσα τῷ γήρᾳ τῆς ἁμαρτίας, ἀθρόως διὰ τοῦ βαπτίσματος ἀνενεώθη, ὡσανεὶ ἀνακτισθεῖσα πάλιν· διὸ καινὴν καὶ οὐρανίαν ἀπαιτούμεθα πολιτείαν· διὰ τὰ ἐσόμενα δὲ ὅτι καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ πᾶσα ἡ κτίσις εἰς ἀφθαρσίαν μεταστήσεται μετὰ τῶν σωμάτων τῶν ἡμετέρων.

Μὴ τοίνυν μοι λέγε περιτομήν, φησί, λοιπὸν τὴν οὐδὲν δυναμένην· πῶς γὰρ αὕτη φανεῖται, πάντων ἐπὶ τοσούτων μεταβεβλημένων; ἀλλὰ τὰ καινὰ ζήτει πράγματα τῆς χάριτος. Οἱ γὰρ ταῦτα διώκοντες, οὗτοι καὶ εἰρήνης καὶ φιλανθρωπίας ἀπολαύσονται, καὶ τῷ τοῦ Ἰσραὴλ ὀνόματι κυρίως ἂν καλοῖντο· ὡς οἵ γε τὰ ἐναντία φρονοῦντες, κἂν ἐξ ἐκείνου γεγεννημένοι εἶεν, καὶ τὴν προσηγορίαν αὐτοῦ περιφέροιεν, πάντων ἐκπεπτώκασι τούτων, καὶ τῆς συγγενείας καὶ τῆς ἐπωνυμίας αὐτῆς. Οἱ γὰρ κυρίως Ἰσραηλῖται εἶναι δυνάμενοι, οἱ τὸν κανόνα τοῦτον διατηροῦντές εἰσιν, οἱ τῶν παλαιῶν ἀπεχόμενοι, καὶ τὰ τῆς χάριτος διώκοντες.

6. «Τοῦ λοιποῦ, κόπους μοι μηδεὶς παρεχέτω». Ἐνταῦθα

14. Γαλ. 6. 15, 16.
15. Γαλ. 6, 17.

σουν συμφώνως πρὸς τὸν κανόνα τοῦτον, ἂς ἔλθῃ εἰρήνη καὶ ἔλεος εἰς αὐτοὺς καὶ εἰς τὸν 'Ισραὴλ τοῦ Θεοῦ»[14]. Εἶδες εἰς πόσον ὕψος ἀνεβίβασεν αὐτὸν ἡ δύναμις τοῦ Θεοῦ; Διότι, ὄχι μόνον ἐνέκρωσεν εἰς τὸν ἑαυτόν του ὅλα τὰ πράγματα τοῦ κόσμου, ἀλλὰ κατέστησεν αὐτὸν καὶ ἀπὸ τὸν παλαιὸν τρόπον ζωῆς πολὺ ἀνώτερον. Τί εἶναι ἴσον πρὸς αὐτὴν τὴν δύναμιν; Διότι αὐτὸν ὁ ὁποῖος ἦτο πρόθυμος καὶ νὰ σφαγῇ ἀκόμη, καὶ ἄλλους νὰ σφάζῃ ὑπὲρ αὐτῆς τῆς περιτομῆς, αὐτὸν ἔπεισεν ὁ σταυρός, ἀφοῦ θεωρήσῃ ἴσην τὴν ἀκροβυστίαν πρὸς αὐτήν, νὰ ἐπιζητῇ πράγματα ξένα καὶ παράδοξα καὶ τὰ ὑπεράνω τῶν οὐρανῶν εὑρισκόμενα. Νέαν δημιουργίαν λοιπὸν ὀνομάζει τὸν ἰδικόν μας τρόπον ζωῆς, καὶ δι' ὅσα ἔχουν γίνει, καὶ δι' ὅσα πρόκειται νὰ γίνουν· διὰ τὰ ὅσα μὲν ἔχουν γίνει, διότι ἡ ψυχή μας παλαιωθεῖσα ἀπὸ τὸ γῆρας τῆς ἁμαρτίας, ἀμέσως ἀνενεώθη διὰ τοῦ βαπτίσματος, ὡσὰν νὰ ἐδημιουργήθη ἀπὸ τὴν ἀρχήν, διὰ τοῦτο νέον καὶ οὐράνιον τρόπον ζωῆς ἐπιζητοῦμεν· δι' ὅσα δὲ πρόκειται νὰ γίνουν, διότι καὶ ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ ὁλόκληρος ἡ δημιουργία, θὰ ὁδηγηθῇ εἰς ἀφθαρσίαν μαζί μὲ τὰ ἰδικά μας σώματα.

Μὴ λοιπὸν μοῦ ὁμιλῇς διὰ περιτομήν, λέγει, ἡ ὁποία τίποτε πλέον δὲν δύναται· διότι πῶς θὰ φανῇ αὐτή, ὅταν ὅλα τόσον θὰ ἔχουν μεταβληθῇ; 'Αλλὰ νὰ ἐπιζητῇς τὰ νέα πράγματα τῆς χάριτος. Διότι αὐτοὶ οἱ ὁποῖοι ἐπιδιώκουν αὐτά, αὐτοὶ θ' ἀπολαύσουν καὶ εἰρήνην καὶ φιλανθρωπίαν, καὶ ἀξίως θὰ ὀνομάζωνται μὲ τὸ ὄνομα τοῦ 'Ισραήλ· ὅπως βεβαίως ἐκεῖνοι οἱ ὁποῖοι φρονοῦν τ' ἀντίθετα, ἀκόμη καὶ ἂν κατάγωνται ἀπὸ ἐκεῖνον καὶ φέρουν τὴν ὀνομασίαν αὐτοῦ, ἔχουν ἐκπέσει ἀπὸ ὅλα αὐτά, καὶ ἀπὸ τὴν συγγένειαν καὶ ἀπὸ τὴν ἐπωνυμίαν αὐτήν. Διότι οἱ κυρίως 'Ισραηλῖται εἶναι αὐτοὶ οἱ ὁποῖοι δύνανται νὰ τηροῦν αὐτὸν τὸν κανόνα, δηλαδὴ νὰ ἀπέχουν ἀπὸ τὰ παλαιὰ καὶ νὰ ἐπιδιώκουν τὰ τῆς χάριτος.

6. «Εἰς τὸ ἑξῆς ἂς μὴ μὲ ἐνοχλῇ κανείς»[15]. 'Εδῶ ὄχι

οὐχ ὡς καμών, οὐδ' ὡς περικακήσας ταῦτα φθέγγεται· ὁ γὰρ πάντα καὶ ποιεῖν καὶ πάσχειν ὑπὲρ τῶν μαθητῶν αἱρούμενος, πῶς ἂν ἐξελύθη καὶ ἀνέπεσε νῦν; ὁ λέγων, «Ἐπίστηθι εὐκαίρως ἀκαίρως»· ὁ λέγων, «Μή ποτε δῷ αὐτοῖς ὁ Θεὸς ἐπίγνωσιν ἀληθείας, καὶ ἀνανήψωσιν ἐκ τῆς τοῦ διαβόλου παγίδος». Τίνος οὖν ἕνεκεν ταῦτά φησιν; Ἀναστέλλων αὐτῶν τὴν ῥάθυμον γνώμην, καὶ εἰς φόβον πλείονα ἐμβάλλων, καὶ πηγνὺς τοὺς παρ' αὐτοῦ τεθέντας νόμους, καὶ οὐ συγχωρῶν ἀεὶ κινεῖν αὐτούς.

«Ἐγὼ γὰρ τὰ στίγματα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐν τῷ σώματί μου βαστάζω». Οὐκ εἶπεν, ἔχω, ἀλλά, «βαστάζω», ὥσπερ τις ἐπὶ τροπαίοις μέγα φρονῶν, ἢ σημείοις βασιλικοῖς· εἰ καὶ τοῦτο πάλιν ὄνειδος εἶναι δοκεῖ. Ἀλλ' οὗτος ἐπὶ τοῖς τραύμασιν ἐναβρύνεται· καὶ καθάπερ οἱ σημειοφόροι τῶν στρατιωτῶν, οὕτω καὶ οὗτος ἀγάλλεται τραύματα περιφέρων. Διὰ τί δὲ τοῦτο λέγει; Παντὸς λόγου, πάσης φωνῆς λαμπρότερον διὰ τούτων ἀπολογοῦμαι, φησί. Ταῦτα γὰρ φωνὴν σάλπιγγος ὑψηλοτέραν ἀφίησι πρὸς τοὺς ἀντιλέγοντας, καὶ λέγοντας ὑποκρίνεσθαί με τὸ δόγμα, καὶ πρὸς ἀνθρώπων ἀρέσκειάν τι λέγειν. Οὐδὲ γὰρ εἴ τις στρατιώτην εἶδεν ἐκ παρατάξεως ᾑμαγμένον ἐξελθόντα, καὶ μυρία τραύματα ἔχοντα, δειλίας κρίνειν αὐτὸν καὶ προδοσίας ἠνείχετο, ἐπὶ τοῦ σώματος τῆς ἀνδραγαθίας φέροντα τὴν ἀπόδειξιν.

Καὶ ἐπ' ἐμοῦ τοίνυν οὕτω ψηφίζεσθε, φησί. Καὶ εἴ τις ἀκοῦσαι βούλεται τῆς ἐμῆς ἀπολογίας, καὶ τὴν γνώμην μου καταμαθεῖν, βλεπέτω τὰ τραύματα, τῶν ῥημάτων τούτων

---

16. Β' Τιμ. 4, 2.
1.7 Β' Τιμ. 25, 26.

ἀπὸ κόπωσιν, οὔτε ἀπὸ κακίαν λέγει αὐτά· διότι αὐτὸς ὁ ὁποῖος εἶναι πρόθυμος τὰ πάντα καὶ νὰ κάνῃ καὶ νὰ πάθῃ διὰ τοὺς μαθητάς, πῶς θὰ διελύετο καὶ θὰ ἔπιπτε τώρα; Ἐκεῖνος ὁ ὁποῖος λέγει· «Ἐπίμενε εἰς κατάλληλον χρόνον καὶ ἀκατάλληλον καιρὸν»[16] καὶ «μήπως δώσῃ ποτὲ ὁ Θεὸς εἰς αὐτοὺς μετάνοιαν διὰ νὰ γνωρίσουν τὴν ἀλήθειαν καὶ συνέλθουν, ἐκφεύγοντες ἀπὸ τὴν παγίδα τοῦ διαβόλου»[17], διὰ ποῖον λόγον λέγει αὐτά; Διὰ ν' ἀναστείλῃ τὴν ράθυμον προαίρεσίν των, καὶ νὰ ἐμβάλῃ αὐτοὺς εἰς περισσότερον φόβον καὶ νὰ τοὺς στερεώσῃ εἰς τοὺς νόμους τοὺς ὁποίους ἔθεσεν ὁ ἴδιος καὶ νὰ μὴ ἐπιτρέψῃ αὐτοὺς συνεχῶς νὰ ταράσσουν.

«Διότι ἐγὼ βαστάζω εἰς τὸ σῶμά μου τὰ σημάδια τοῦ Κυρίου Ἰησοῦ». Δὲν εἶπεν ἔχω, ἀλλὰ «βαστάζω», ὅπως κανεὶς καυχᾶται διὰ τρόπαια ἢ βασιλικὰ σημάδια· ἂν καὶ φαίνεται καὶ αὐτὸ πάλιν ὅτι εἶναι ἐντροπή. Ἀλλ' αὐτὸς διὰ τὰ τραύματα καυχᾶται· καὶ ὅπως οἱ σημαιοφόροι ἀπὸ τοὺς στρατιώτας, ἔτσι καὶ αὐτὸς ἀγάλλεται νὰ φέρῃ τραύματα. Διατί δὲ λέγει αὐτό; Λαμπρότερον ἀπὸ κάθε λόγον, ἀπὸ κάθε φωνὴν ἀπολογοῦμαι δι' αὐτῶν, λέγει. Διότι αὐτὰ ἐκβάλλουν φωνὴν ἰσχυροτέραν ἀπὸ τὴν φωνὴν τῆς σάλπιγγος πρὸς ἐκείνους οἱ ὁποῖοι ἀντιλέγουν καὶ λέγουν ὅτι ὑποκρίνομαι ὡς πρὸς τὴν πίστιν καὶ ὅτι λέγω κάτι διὰ νὰ ἀρέσω εἰς τοὺς ἀνθρώπους. Διότι οὔτε ἐὰν κανεὶς ἔβλεπε στρατιώτην νὰ ἐξέρχεται τῆς παρατάξεως αἱματωμένος καὶ νὰ ἔχῃ ἀμέτρητα τραύματα θὰ ἠνείχετο νὰ κατηγορῇ αὐτὸν ὡς δειλὸν καὶ προδότην ἐνῷ φέρει εἰς τὸ σῶμα του τὴν ἀπόδειξιν τῆς ἀνδραγαθίας.

Καὶ ἀπὸ ἐμὲ λοιπόν, αὐτὰς τὰς ἀποδείξεις νὰ ἔχετε, λέγει. Καὶ ἐὰν κανεὶς θέλῃ ν' ἀκούσῃ τὴν ἀπολογίαν μου καὶ νὰ μάθῃ τὴν γνώμην μου, ἂς βλέπῃ τὰ τραύματα, τὰ ὁποῖα δίδουν μεγαλυτέραν ἀπόδειξιν τῶν λεχθέντων καὶ γραφέντων ἐδῶ. Ἀρχίζων τὴν ἐπιστολήν, ἀπὸ τὴν ἄμεσον μεταστροφήν του, ἔδειξε σαφῶς τὴν ἀνυπόκριτον πρόθεσίν του·

καὶ τῶν γραμμάτων πλείονα παρεχόμενα τὴν ἀπόδειξιν. Ἀρχόμενος μὲν τῆς ἐπιστολῆς, ἀπὸ τῆς ἀθρόας αὐτοῦ μεταβολῆς τὴν ἀνυπόκριτον αὐτοῦ σαφῶς ἔδειξε γνώμην· τελευτῶν δὲ ἀπὸ τῶν ταύτης κινδύνων. Ἵνα γὰρ μή τις λέγῃ, ὅτι μετέστη μὲν ἀπὸ διανοίας ὀρθῆς, οὐκ ἔμεινε δὲ ἐπὶ τῆς αὐτῆς προαιρέσεως, ὅτι καὶ ἔμεινε μάρτυρας παράγει τοὺς πειρασμούς, τοὺς κινδύνους, τὰς πληγάς.

Εἶτα ἀπολογησάμενος διὰ πάντων σαφῶς, καὶ δείξας ὡς οὐδὲν εἶπε τῶν εἰρημένων θυμῷ καὶ ἀπεχθείᾳ, ἀλλ' ἀκίνητον ἔχει τὴν πρὸς αὐτοὺς φιλοστοργίαν, πάλιν αὐτὸ τοῦτο κατασκευάζει, εἰς εὐχὴν μυρίων γέμουσαν ἀγαθῶν κατακλείων τὸν λόγον, καὶ οὕτω λέγων· «Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ μετὰ τοῦ Πνεύματος ὑμῶν, ἀδελφοί. Ἀμήν». Τῷ ἐσχάτῳ ῥήματι τούτῳ πάντα τὰ ἔμπροσθεν ἐπεσφράγισεν. Οὐ γὰρ ἁπλῶς, μεθ' ὑμῶν, ὡς ἐπὶ τῶν ἄλλων, ἀλλά, «μετὰ τοῦ Πνεύματος ὑμῶν» ἀπάγων αὐτοὺς τῶν σαρκικῶν καὶ πανταχοῦ δεικνὺς τοῦ Θεοῦ τὴν εὐεργεσίαν. καὶ ἀναμιμνήσκων τῆς χάριτος ἧς ἀπέλαυσαν, δι' ἧς πάσης αὐτοὺς ἱκανὸς ἦν Ἰουδαϊκῆς πλάνης ἀπαγαγεῖν. Τό τε γὰρ Πνεῦμα λαβεῖν, οὐ τῆς νομικῆς ἦν πτωχείας, ἀλλὰ τῆς κατὰ τὴν πίστιν δικαιοσύνης· τό τε κατασχεῖν λαβόντας, οὐκ ἀπὸ περιτομῆς, ἀλλ' ἀπὸ χάριτος ἐγένετο πάλιν. Διὰ τοῦτο τὴν παραίνεσιν εὐχῇ κατέκλεισε, καὶ χάριτος καὶ Πνεύματος ἀναμνήσας, ὁμοῦ καὶ ἀδελφοὺς προσειπών, καὶ παρακαλέσας τὸν Θεὸν τούτων αὐτοὺς διηνεκῶς ἀπολαύειν, καὶ διπλῷ τοὺς ἀνθρώπους ἀσφαλισάμενος τρόπῳ. Τὸ γὰρ αὐτὸ καὶ εὐχή, καὶ διδασκαλία ἦν τῶν εἰρημένων ὁλόκληρος, ἀντὶ τείχους αὐτοῖς διπλοῦ γινομένη. Ἥ τε γὰρ διδασκαλία ἀναμιμνήσκουσα αὐτοὺς ὅσων ἀπέλαυσαν ἀγαθῶν, μᾶλλον κατέσχεν ἐν τοῖς τῆς Ἐκκλησίας δόγμασιν· ἥ τε εὐχὴ καλοῦσα τὴν χάριν, καὶ παραμένειν αὐτοῖς πείθουσα, οὐκ ἠφίει τὸ Πνεῦμα αὐτῶν ἐπαναστῆναι. Τούτου δὲ ἐν αὐτοῖς ὄντος, πᾶσα, ὥσπερ κόνις, ἀπεσοβεῖτο τῶν τοιούτων δογμάτων ἡ ἀπάτη.

---

18. Γαλ. 6, 18.

τελειώνων δέ, ἀπὸ τοὺς κινδύνους τοὺς προελθόντας ἀπὸ αὐτήν. Διότι, διὰ νὰ μὴ λέγῃ κανεὶς ὅτι μετεστράφη μὲν ἀπὸ ὀρθὴν σκέψιν, ἀλλὰ δὲν παρέμεινεν εἰς τὴν αὐτὴν προαίρεσιν, διὰ τὸ ὅτι καὶ παρέμεινε φέρει μάρτυρας τοὺς πειρασμούς, τοὺς κινδύνους, τὰς πληγάς.

Ὕστερον, ἀφοῦ ἀπελογήθη σαφῶς δι' ὅλα, καὶ ἀφοῦ ἔδειξεν ὅτι τίποτε δὲν εἶπεν ἀπὸ θυμὸν καὶ μῖσος, ἀλλ' ὅτι ἔχει ἀμετακίνητον τὴν πρὸς αὐτοὺς ἀγάπην, πάλιν ἀποδεικνύει αὐτό, κατακλείων τὸν λόγον εἰς εὐχὴν ἡ ὁποία εἶναι πλήρης μυρίων ἀγαθῶν καὶ λέγων· «Ἡ χάρις τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ ἂς εἶναι μὲ τὸ πνεῦμα σας ἀδελφοί. Ἀμήν»[18]. Μὲ τὸν τελευταῖον αὐτὸν λόγον ἐπεσφράγισεν ὅλα τὰ μέχρι τώρα. Διότι δὲν εἶπεν ἁπλῶς, μαζί σας, ὅπως εἰς τὰς ἄλλας ἐπιστολάς, ἀλλὰ «μὲ τὸ πνεῦμα σας», ἀπομακρύνων αὐτοὺς ἀπὸ τὰ σαρκικά, καὶ δεικνύων παντοῦ τὴν εὐεργεσίαν τοῦ Θεοῦ, καὶ ὑπενθυμίζων τὴν χάριν τὴν ὁποίαν ἀπήλαυσαν, διὰ τῆς ὁποίας ἦτο ἱκανὸς νὰ τοὺς ἀπομακρύνῃ ἀπὸ κάθε Ἰουδαϊκὴν πλάνην. Διότι, ἀφοῦ ἔλαβον τὸ Πνεῦμα, δὲν ηὑρίσκοντο πλέον εἰς τὴν πτωχείαν τοῦ νόμου, ἀλλ' εἰς τὴν δικαίωσιν τὴν προερχομένην ἀπὸ τὴν πίστιν· καὶ τὸ ὅτι διετηρήθησαν εἰς αὐτήν, ὄχι ἀπὸ τὴν περιτομήν, ἀλλ' ἀπὸ τὴν χάριν ἔγινε πάλιν. Διὰ τοῦτο κατέκλεισε τὴν παραίνεσιν μὲ εὐχήν, καὶ ἀφοῦ προηγουμένως τοὺς ἐθύμισε τὴν χάριν καὶ τὸ Πνεῦμα, καὶ συγχρόνως τοὺς εἶπεν ἀδελφούς, καὶ παρεκάλεσε τὸν Θεὸν ν' ἀπολαμβάνουν αὐτὰ εἰς τὸ διηνεκὲς καὶ ἠσφάλισε τοὺς ἀνθρώπους μὲ διπλοῦν τρόπον. Διότι τὸ ἴδιον καὶ εὐχὴ καὶ ὁλόκληρος διδασκαλία ἦτο τῶν ὅσων ἐλέχθησαν, ἡ ὁποία ἔγινε δι' αὐτοὺς ὡσὰν διπλοῦν τεῖχος. Διότι καὶ ἡ διδασκαλία, ὑπενθυμίζουσα εἰς αὐτοὺς ὅσα ἀγαθὰ ἀπήλαυσαν, περισσότερον τοὺς ἐστερέωνεν τὰ δόγματα τῆς ἐκκλησίας· καὶ ἡ εὐχὴ καλοῦσα τὴν χάριν καὶ πείθουσα αὐτοὺς νὰ παραμένουν, δὲν ἄφηνε τὸ πνεῦμα των νὰ μετατεθῇ. Αὐτοῦ δὲ ὑπάρχοντος εἰς αὐτούς, ὁλόκληρος ἡ πλάνη ἀπεδιώκετο σὰν σκόνη.

ΥΠΟΜΝΗΜΑ
ΕΙΣ ΤΗΝ ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ ΕΠΙΣΤΟΛΗΝ

ΥΠΟΘΕΣΙΣ

Ἡ Ἔφεσός ἐστι μὲν τῆς Ἀσίας μητρόπολις, ἐτελεῖτο δὲ τῇ Ἀρτέμιδι, καὶ μάλιστα ταύτην ἐκεῖ ἔσεβον τὴν δῆθεν θεόν· καὶ τοσαύτῃ δεισιδαιμονίᾳ ἐκέχρηντο, ὡς μηδὲ τοὔνομα τοῦ τὸν ναὸν αὐτῆς ἐμπρήσαντος ποιῆσαι φανερόν· ἐνεπρήσθη γάρ. Καὶ ὁ μακάριος δὲ Ἰωάννης ὁ εὐαγγελιστὴς τὰ πολλὰ ἐνδιέτριψεν ἐκεῖ καὶ γὰρ καὶ ἐξωρίσθη ἐκεῖ, καὶ ἐτελεύτησε. Καὶ τὸν Τιμόθεον δὲ ἐκεῖ κατέλιπεν ὁ Παῦλος, καθὼς γράφων πρὸς αὐτόν φησι· «Καθὼς παρεκάλεσά σε προσμεῖναι ἐν Ἐφέσῳ».

Καὶ τῶν φιλοσόφων οἱ πολλοὶ οἱ μάλιστα ἀνθήσαντες περὶ τὴν Ἀσίαν ἦσαν. Λέγεται μὲν γὰρ καὶ Πυθαγόρας ἐκεῖθεν εἶναι, τέως δὲ ἡ Ἰωνικὴ πᾶσα ἡ περὶ Παρμενίδην καὶ ἢ Ζήνωνα καὶ Δημόκριτον. Καὶ πολλοὺς ἔτι καὶ νῦν εὕροι τις ἂν φιλοσόφους ἐκεῖ. Ταῦτα δὲ ἡμῖν οὐχ ἁπλῶς εἴρηται, ἀλλ' ὥστε δεῖξαι, ὅτι πολλῆς ἔδει τῷ Παύλῳ σπουδῆς πρὸς ἐκείνους γράφοντι. Λέγεται δὲ καὶ τὰ βαθύτερα τῶν νοημάτων αὐτοῖς ἐμπιστεῦσαι, ἅτε ἤδη κατηχημένοις.

Ἔστι δὲ νοημάτων μεστὴ ἡ ἐπιστολὴ ὑψηλῶν, καὶ δογμάτων. Γράφει δὲ τὴν ἐπιστολὴν ἀπὸ Ῥώμης δεδεμένος, καθὼς καὶ αὐτός φησι· «Προσεύχεσθε ὑπὲρ ἐμοῦ, ἵνα μοι δοθῇ λόγος ἐν ἀνοίξει τοῦ στόματός μου, ἐν παρρησίᾳ γνωρίσαι τὸ μυστήριον τοῦ εὐαγγελίου, ὑπὲρ οὗ ἐγὼ πρεσβεύω ἐν ἁλύσει».

---

1. Α΄ Τιμ. 1, 3.
2. Ἐφεσ. 6. 19, 20.

ΥΠΟΘΕΣΙΣ

Ἡ Ἔφεσος εἶναι μὲν μητρόπολις τῆς Ἀσίας, ἦτο δὲ ἀφιερωμένη εἰς τὴν Ἀρτέμιδα, καὶ ἐσέβοντο πάρα πολὺ ἐκεῖ αὐτὴν τὴν δῆθεν θεόν· καὶ ἀπὸ τόσην δεισιδαιμονίαν κατείχοντο, ὥστε οὔτε τὸ ὄνομα ἐκείνου ὁ ὁποῖος ἔκαψε τὸν ναόν της νὰ κάνουν φανερόν· διότι ἐκάη. Καὶ ὁ μακάριος Ἰωάννης ὁ εὐαγγελιστὴς ἔζησε ἐπὶ πολλὰ ἔτη ἐκεῖ· διότι καὶ ἐξωρίσθη ἐκεῖ καὶ ἀπέθανε. Καὶ τὸν Τιμόθεον ἐκεῖ ἄφησεν ὁ Παῦλος, ὅπως λέγει γράφων πρὸς αὐτόν· «Ὅταν ἐπήγαινα εἰς τὴν Μακεδονίαν, σὲ παρεκάλεσα νὰ παραμείνῃς εἰς τὴν Ἔφεσον»[1].

Καὶ ἀπὸ τοὺς φιλοσόφους οἱ περισσότεροι ἀπὸ αὐτοὺς ποὺ ἤκμασαν πολύ, ἔζησαν ἐκεῖ γύρω εἰς τὴν Ἀσίαν. Διότι λέγεται ὅτι καὶ ὁ Πυθαγόρας ἀπὸ ἐκεῖ κατήγετο, ἄλλοτε δὲ ὁλόκληρος ἡ Ἰωνικὴ ἡ περὶ τὸν Παρμενίδην καὶ τὸν Ζήνωνα καὶ τὸν Δημόκριτον. Καὶ ἀκόμη καὶ τώρα πολλοὺς φιλοσόφους θὰ εὕρῃ κανεὶς ἐκεῖ. Αὐτὰ βεβαίως δὲν ἐλέχθησαν τυχαίως, ἀλλὰ διὰ νὰ φανῇ ὅτι μὲ πολλὴν σπουδὴν ἔγραφεν ὁ Παῦλος πρὸς ἐκείνους. Λέγεται δὲ ὅτι ἐνεπιστεύθη εἰς αὐτοὺς καὶ τὰ βαθύτερα ἀπὸ τὰ νοήματα τῆς πίστεως, ἐπειδὴ εἶχον ἤδη κατηχηθῆ.

Ἡ δὲ ἐπιστολὴ εἶναι γεμάτη ἀπὸ ὑψηλὰ νοήματα καὶ δόγματα. Γράφει δὲ τὴν ἐπιστολὴν ἀπὸ τὴν Ρώμην, εὑρισκόμενος εἰς τὴν φυλακήν, καθὼς ὁ ἴδιος λέγει· «Καὶ ἰδιαιτέρως νὰ προσεύχεσθε ὑπὲρ ἐμοῦ, διὰ νὰ μοῦ δοθῇ ἀπὸ τὸν Θεὸν σοφία διὰ νὰ ὁμιλῶ καταλλήλως καὶ πρεπόντως· νὰ ἀνοίξῃ δηλαδὴ ὁ Θεὸς τὸ στόμα μου διὰ νὰ γνωστοποιήσω μὲ παρρησίαν τὴν μέχρι πρὸ ὀλίγου κρυμμένην, φανερωθεῖσαν δὲ τώρα ὑπὸ τοῦ Θεοῦ, ἀλήθειαν τοῦ Εὐαγγελίου, διὰ τὴν ὁποίαν εἶμαι πρεσβευτὴς ἀπεσταλμένος ἀπὸ τὸν Θεόν»[2].

Καὶ ὑψηλῶν σφόδρα γέμει τῶν νοημάτων καὶ ὑπερόγκων. Ἃ γὰρ μηδαμοῦ σχεδὸν ἐφθέγξατο, ταῦτα ἐνταῦθά φησιν, ὡς ὅταν λέγῃ· «Ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ»· καὶ πάλιν, «Συνήγειρε καὶ συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις»· καί, «Ὃ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη, ὡς νῦν ἀπεκαλύφθη τοῖς ἀποστόλοις τοῖς ἁγίοις αὐτοῦ καὶ προφήταις ἐν τῷ Πνεύματι, εἶναι τὰ ἔθνη συγκληρονόμα, καὶ σύσσωμα, καὶ συμμέτοχα τῆς κληρονομίας αὐτοῦ ἐν τῷ Χριστῷ».

---

3. Ἐφεσ. 3, 10.
4. Ἐφεσ. 2, 6.
5. Ἐφεσ. 3. 5, 6.

Εἶναι λοιπὸν γεμάτη ἡ ἐπιστολὴ ἀπὸ ὑψηλὰ καὶ μεγάλα νοήματα. Διότι αὐτὰ τὰ ὁποῖα πουθενὰ σχεδὸν δὲν εἶπεν, αὐτὰ λέγει ἐδῶ, ὅπως ὅταν γράφῃ· «Καὶ ἐφυλάττετο κρυμμένη, διὰ νὰ γνωσθῇ τώρα εἰς τὰς οὐρανίους ἀρχὰς καὶ ἐξουσίας διὰ μέσου τῆς Ἐκκλησίας ἡ σοφία τοῦ Θεοῦ, ποὺ ἐμφανίζεται ὑπὸ πολλὰς καὶ ποικίλας μορφάς»[3]· καὶ πάλιν· «καὶ μᾶς ἀνέστησε μαζὶ μὲ τὸν Χριστὸν καὶ μᾶς ἔβαλε νὰ καθήσωμεν μαζί του εἰς τὰ ἐπουράνια»[4]· καί· «Αὐτὴ ἡ ἀλήθεια ἦτο μυστήριον εἰς ἄλλας γενεὰς καὶ ἐποχὰς· καὶ δὲν ἐγνωστοποιήθη εἰς τοὺς ἀνθρώπους, ὅπως ἐφανερώθη τώρα μὲ ἀποκάλυψιν εἰς τοὺς ἁγίους ἀποστόλους του καὶ τοὺς Χριστιανοὺς προφήτας διὰ τοῦ ἁγίου Πνεύματος, ὅτι δηλαδὴ οἱ ἐθνικοὶ εἶναι κληρονόμοι μαζὶ μὲ ἐσᾶς καὶ συσσωματωμένοι καὶ συμμέτοχοι τῆς ὑποσχέσεώς του ἐν τῷ Χριστῷ διὰ τοῦ εὐαγγελίου»[5].

ΛΟΓΟΣ Α'
'Εφεσ. 1,1 — 10

«*Παῦλος ἀπόστολος Ἰησοῦ Χριστοῦ διὰ θελήματος Θεοῦ, τοῖς ἁγίοις τοῖς οὖσιν ἐν Ἐφέσῳ, καὶ πιστοῖς ἐν Χριστῷ Ἰησοῦ· χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ*».

1. Ἰδοὺ τό, διά, τῷ Πατρὶ δέδωκε. Τί οὖν; ἐλάττονα αὐτὸν ἐροῦμεν; Μηδαμῶς. «Τοῖς ἁγίοις», φησί, «τοῖς οὖσιν ἐν Ἐφέσῳ, καὶ πιστοῖς ἐν Χριστῷ Ἰησοῦ». Ἰδού, ἁγίους καλεῖ ἄνδρας ἔχοντας καὶ παιδία καὶ γυναῖκας καὶ οἰκέτας· Καὶ τοῦτο δῆλον ἀπὸ τοῦ τέλους τῆς ἐπιστολῆς, ὡς ὅταν λέγῃ· «Αἱ γυναῖκες, τοῖς ἰδίοις ἀνδράσιν ὑποτάσσεσθε»· καὶ πάλιν, «Τὰ τέκνα, ὑπακούετε τοῖς πατράσιν ὑμῶν»· καί, «Οἱ δοῦλοι, ὑπακούετε τοῖς δεσπόταις»· Ἐννοήσωμεν ὅση κατέχει νῦν ῥᾳθυμία, καὶ πῶς σπανίζει τὰ τῆς ἀρετῆς, καὶ ὅση τότε ἡ φορὰ ἦν τῶν ἐναρέτων, ὡς καὶ τοὺς κοσμικοὺς ἁγίους καὶ πιστοὺς λέγεσθε.

«Χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ Θεοῦ Πατρὸς ἡμῶν, καὶ Κυρίου Ἰησοῦ Χριστοῦ». Εἶπε χάριν, καὶ Πατέρα τὸν Θεὸν ἐκάλεσε· τῆς χάριτος γὰρ ἐκείνης τεκμήριον τοῦτο. Πῶς; Ἄκουσον αὐτοῦ ἑτέρωθι λέγοντος· «Ὅτι δέ ἐστε υἱοί, ἐξαπέστειλεν ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ, κρᾶζον, ἀββᾶ ὁ Πατήρ». «Καὶ Κυρίου Ἰησοῦ Χριστοῦ». Δι' ἡμᾶς γὰρ Χριστὸς γέγονε, καὶ ἐν σαρκὶ ὤφθη.

«Εὐλογητὸς ὁ Θεός», φησί, «καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Ἰδού, Θεὸς τοῦ σαρκωθέντος· εἰ

1. Ἐφεσ. 1, 1, 2.
2. Ἐφεσ. 5, 22.
3. Ἐφεσ. 6, 1.
4. Ἐφεσ. 6, 2.
5. Γαλ. 4, 6.
6. Ἐφεσ. 1, 3.

ΛΟΓΟΣ Α΄
Ἐφεσ. 1,1 — 10

«Ὁ Παῦλος, ἀπόστολος τοῦ Ἰησοῦ Χριστοῦ διὰ τοῦ θελήματος τοῦ Θεοῦ, πρὸς τοὺς ἁγίους, οἱ ὁποῖοι διαμένουν εἰς τὴν Ἔφεσον καὶ εἶναι πιστοὶ ἐν Χριστῷ Ἰησοῦ· χάρις καὶ εἰρήνη ἂς εἶναι εἰς ἐσᾶς ἀπὸ τὸν Θεὸν Πατέρα μας καὶ ἀπὸ τὸν Κύριον Ἰησοῦν Χριστόν»[1].

1. Ἰδού, τὸ «διά», εἰς τὸν Πατέρα ἀνέφερε. Τί λοιπόν; Θὰ εἴπωμεν αὐτὸν κατώτερον διὰ τοῦτο; Καθόλου. «Πρὸς τοὺς ἁγίους», λέγει, «οἱ ὁποῖοι εἶναι εἰς τὴν Ἔφεσον, καὶ εἶναι πιστοὶ ἐν Χριστῷ Ἰησοῦ». Κοίταξε πῶς ὀνομάζει ἁγίους ἄνδρας οἱ ὁποῖοι ἔχουν γυναῖκας καὶ παιδιὰ καὶ ὑπηρέτας. Καὶ τοῦτο φαίνεται ἀπὸ τὸ τέλος τῆς ἐπιστολῆς, ὅπως ὅταν λέγῃ· «Αἱ γυναῖκες νὰ ὑποτάσσεσθε εἰς τοὺς ἄνδρας σας»[2]· καὶ πάλιν, «Τὰ παιδιά, νὰ ὑπακούετε εἰς τοὺς γονεῖς σας ἐν Κυρίῳ»[3], καί· «Οἱ δοῦλοι, νὰ ὑπακούετε εἰς τοὺς κυρίους σας»[4]. Σκεφθῆτε πόση ραθυμία διὰ τὰ πνευματικὰ ἐπικρατεῖ καὶ πόσον σπανίζουν τὰ τῆς ἀρετῆς καὶ πόσον ὀλίγοι ἦσαν οἱ ἐνάρετοι, ὥστε καὶ οἱ κοσμικοὶ νὰ λέγωνται πιστοὶ καὶ ἅγιοι.

«Χάρις καὶ εἰρήνη ἂς εἶναι εἰς ἐσᾶς ἀπὸ τὸν Θεὸν Πατέρα μας καὶ ἀπὸ τὸν Κύριον Ἰησοῦν Χριστόν». Εἶπε χάριν, καὶ ὠνόμασε τὸν Θεὸν Πατέρα· διότι αὐτὸ εἶναι ἀπόδειξις ἐκείνης τῆς χάριτος. Πῶς; Ἄκουσε τὸν ἴδιον ποὺ λέγει ἀλλοῦ· «Καὶ ἐπειδὴ εἶσθε υἱοί, ὁ Θεὸς ἔστειλεν εἰς τὰς καρδίας σας τὸ Πνεῦμα τοῦ Υἱοῦ του, τὸ ὁποῖον κράζει Ἀββᾶ, δηλαδὴ Πάτερ»[5]. «Καὶ ἀπὸ τὸν Κύριον Ἰησοῦν Χριστόν». Διότι δι' ἐμᾶς ἔγινε Χριστὸς καὶ ἐφανερώθη ἐν σαρκί.

«Εὐλογητὸς ἂς εἶναι ὁ Θεός», λέγει, «καὶ Πατὴρ τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ»[6]. Νά, ὁ Θεὸς τοῦ σαρκωθέντος·

δὲ μὴ βούλει, ἀλλὰ τοῦ Θεοῦ Λόγου Πατὴρ «Ὁ εὐλογήσας ἡμᾶς ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ»; Τὴν Ἰουδαϊκὴν ἐνταῦθα αἰνίττεται· εὐλογία μὲν γὰρ ἦν, ἀλλ' οὐ πνευματική· οἷον, «Εὐλογήσαι σε ὁ Θεός», «Εὐλογήσει τὰ ἔκγονα τῆς κοιλίας σου, καὶ εὐλογήσει τὴν εἴσοδόν σου καὶ τὴν ἔξοδόν σου». Ἐνταῦθα δὲ οὐχ οὕτως, ἀλλὰ τί; «Ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ». Τί γὰρ ἔτι σοι λείπει; Γέγονας ἀθάνατος, γέγονας ἐλεύθερος, γέγονας υἱός, γέγονας δίκαιος, γέγονας ἀδελφός, γέγονας συγκληρονόμος, συμβασιλεύεις, συνδοξάζῃ· πάντα σοι κεχάρισται. «Πῶς οὐχὶ καὶ σὺν αὐτῷ», φησί, «τὰ πάντα ἡμῖν χαρίσεται;». Ἡ ἀπαρχή σου ὑπὸ ἀγγέλων προσκυνεῖται, ὑπὸ τῶν Χερουβίμ, τῶν Σεραφίμ· τί ἔτι λείπει;

«Ἐν πάσῃ εὐλογίᾳ πνευματικῇ». Οὐδὲν σαρκικὸν ἐνταῦθα. Διὰ τοῦτο πάντα ἐξεῖλεν ἐκεῖνα εἰπών, «Θλῖψιν ἕξετε ἐν τῷ κόσμῳ», πρὸς ταῦτα ἡμᾶς ἀγαγών. Ὥσπερ γὰρ οἱ τὰ σαρκικὰ ἔχοντες, τῶν πνευματικῶν ἀκοῦσαι οὐκ ἠδύναντο· οὕτως οἱ τῶν πνευματικῶν τυγχάνοντες, οὐ δύνανται αὐτῶν ἐπιτυγχάνειν, ἂν μὴ πρότερον τῶν σαρκικῶν ἀποστῶσι.

Τί ἐστιν, «εὐλογία πνευματικὴ ἐν τοῖς ἐπουρανίοις»; Οὐκ ἐν τῇ γῇ, φησί, καθάπερ παρὰ Ἰουδαίοις, «Τὰ ἀγαθὰ τῆς γῆς φάγεσθε», «Γῆν ῥέουσαν γάλα καὶ μέλι», «Εὐλογήσει ὁ Θεὸς τὴν γῆν σου». Ἐνταῦθα δὲ οὐδὲν τοιοῦτον, ἀλλὰ τί; «Ὁ ἀγαπῶν με, τὰς ἐντολάς μου τηρήσει, καὶ ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα πρὸς αὐτόν, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν». «Ὁ ἀκούων μου τοὺς λόγους τούτους, καὶ ποιῶν αὐ-

7. Ἀριθμ. 6, 24.
8. Δευτερ. 7, 13.
9. Ψαλμ. 120, 8.
10. Ρωμ. 8, 32.
11. Ἰωάν. 16, 33.
12. Ἠσ. 1, 19.
13. Ἐξ. 3, 8.
14. Δευτ. 7, 13.
15. Ἰωάν. 14, 23.

ἂν δὲ δὲν ἐπιθυμῇς ἔτσι, τότε Πατὴρ τοῦ Θεοῦ Λόγου. «Ὁ ὁποῖος μᾶς ηὐλόγησεν ἐν Χριστῷ μὲ κάθε εὐλογίαν πνευματικὴν εἰς τὰ ἐπουράνια». Ἐδῶ ὑπαινίσσεται τὴν εἰς τοὺς Ἰουδαίους εὐλογίαν· βεβαίως ἦτο μὲν εὐλογία, ἀλλ' ὄχι πνευματική· ὅπως δηλαδὴ «ὁ Κύριος νὰ σὲ εὐλογήσῃ»[7], «θὰ εὐλογῇ τὸν γόνον τοῦ σώματός σου»[8], καὶ «Ὁ Κύριος θὰ φυλάξῃ τὰς εἰσόδους καὶ τὰς ἐξόδους»[9]. Ἐδῶ ὅμως ὄχι ἔτσι, ἀλλὰ πῶς; «Μὲ κάθε εὐλογίαν πνευματικήν». Τί λοιπόν σοῦ λείπει ἀκόμη; Ἔγινες ἀθάνατος, ἔγινες ἐλεύθερος, ἔγινες υἱός, ἔγινες δίκαιος, ἔγινες ἀδελφός, ἔγινες συγκληρονόμος, συμβασιλεύεις, συνδοξάζεσαι· ὅλα σοῦ ἔχουν χαρισθῆ. «Ἐκεῖνος ποὺ δὲν ἐλυπήθη τὸν Υἱόν του, ἀλλὰ τὸν παρέδωσεν εἰς θάνατον πρὸς χάριν ὅλων μας, πῶς μαζί μὲ αὐτόν», λέγει, «δὲν θὰ μᾶς χαρίσῃ τὰ πάντα;»[10]. Ἡ ἀπαρχὴ τοῦ γένους σου, ὁ σαρκωθεὶς Χριστός, προσκυνεῖται ἀπὸ ἀγγέλους, ἀπὸ τὰ Χερουβὶμ καὶ τὰ Σεραφίμ· τί λείπει ἀκόμη;

«Μὲ κάθε εὐλογίαν πνευματικήν». Τίποτε σαρκικὸν ἐδῶ. Διὰ τοῦτο ὅλα ἐκεῖνα, τὰ σαρκικά, τὰ ἐξέβαλεν ὅταν εἶπεν, «Εἰς τὸν κόσμον θὰ ἔχετε θλῖψιν»[11], ἀφοῦ μᾶς ὡδήγησεν εἰς τὰ πνευματικά. Διότι ὅπως ἀκριβῶς ὅσοι κατέχονται ἀπὸ τὰ σαρκικὰ δὲν ἠδύναντο ν' ἀκούσουν τὰ πνευματικά, ἔτσι ὅσοι ἐπιτυγχάνουν τὰ πνευματικά, δὲν δύνανται νὰ τὰ ἐπιτύχουν, ἂν προηγουμένως δὲν ἀπομακρυνθοῦν ἀπὸ τὰ σαρκικά.

Τί σημαίνει «εὐλογία πνευματικὴ εἰς τὰ ἐπουράνια»; Ὄχι εἰς τὴν γῆν, λέγει, ὅπως εἰς τοὺς Ἰουδαίους, «θὰ φάγετε τ' ἀγαθὰ τῆς γῆς»[12], «εἰς γῆν, ὅπου τὸ μέλι καὶ τὸ γάλα τρέχουν ἀφθόνως»[13], «θὰ εὐλογήσῃ ὁ Θεὸς τὴν παραγωγὴν τῆς γῆς σου»[14]. Ἐδῶ ὅμως τίποτε τέτοιον, ἀλλὰ τί; «Ὅποιος μὲ ἀγαπᾷ, θὰ τηρήσῃ τὸν λόγον μου, καὶ ὁ Πατήρ μου θὰ τὸν ἀγαπήσῃ καὶ θὰ ἔλθωμεν εἰς αὐτὸν καὶ θὰ κατοικήσωμεν εἰς αὐτὸν μεταβάλλοντες τὴν καρδίαν του εἰς ναόν μας»[15]. «Καθένας λοιπὸν ποὺ ἀκούει τοὺς λόγους μου αὐ-

τούς, ὁμοιωθήσεται ἀνδρὶ φρονίμῳ, ὅστις ᾠκοδόμησε τὴν οἰκίαν αὐτοῦ ἐπὶ τὴν πέτραν· καὶ ἔπνευσαν οἱ ἄνεμοι, καὶ ἦλθον οἱ ποταμοί, καὶ προσέρρηξαν τῇ οἰκίᾳ ἐκείνῃ, καὶ οὐκ ἔπεσε· τεθεμελίωτο γὰρ ἐπὶ τὴν πέτραν». Ἡ πέτρα δὲ ποία ἐστίν, ἀλλ' ἢ τὰ οὐράνια πράγματα, τὰ πάσης μεταβολῆς ἀνώτερα; «Ὅστις γὰρ ἂν ὁμολογήσῃ με», φησίν, «ἔμπροσθεν τῶν ἀνθρώπων, ὁμολογήσω αὐτὸν κἀγὼ ἔμπροσθεν τοῦ Πατρός μου τοῦ ἐν τοῖς οὐρανοῖς»· καί, «Ὅστις ἀπαρνήσεταί με, ἀρνήσομαι αὐτὸν κἀγώ»· καὶ πάλιν, «Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται»· καὶ πάλιν, «Μακάριοι οἱ πτωχοὶ τῷ Πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν»· καὶ πάλιν, «Μακάριοί ἐστε οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι πολὺς ὁ μισθὸς ὑμῶν ἐν τοῖς οὐρανοῖς».

Ὁρᾷς πανταχοῦ τοὺς οὐρανούς, οὐδαμοῦ γῆν, οὐδὲ τὰ ἐν τῇ γῇ; Καὶ πάλιν, «Ἡμῶν γὰρ τὸ πολίτευμα ἐν οὐρανοῖς ὑπάρχει, ἐξ οὗ καὶ σωτῆρα ἀπεκδεχόμεθα Κύριον Ἰησοῦν»· καὶ πάλιν, «Μὴ τὰ ἐπίγεια φρονοῦντες, ἀλλὰ τὰ ἐν τοῖς οὐρανοῖς». «Ἐν Χριστῷ Ἰησοῦ». Τουτέστι, διὰ Χριστοῦ Ἰησοῦ, οὐ διὰ Μωϋσέως αὕτη ἦν ἡ εὐλογία· Ὥστε οὐ μόνον τῇ ποιότητι, ἀλλὰ καὶ τῷ μεσίτῃ διαφέρομεν ἡμεῖς, ὥσπερ καὶ ἐν τῇ πρὸς Ἑβραίους φησί· «Καὶ Μωϋσῆς μὲν πιστὸς ἐν ὅλῳ τῷ οἴκῳ αὐτοῦ, ὡς θεράπων, εἰς μαρτύριον τῶν λα-

16. Ματθ. 7, 24-25.
17. Ματθ. 10, 32-33.
18. Ματθ. 5, 8.
19. Ματθ. 5, 3.
20. Ματθ. 5, 10.
21. Φιλιπ. 3, 20.
22. Κολοσ. 3, 20.

τοὺς καὶ ἐφαρμόζει αὐτούς, θὰ τὸν παραβάλω πρὸς ἄνδρα φρόνιμον, ποὺ ἔκτισε τὸ σπίτι του ἐπάνω εἰς τὴν πέτραν. Καὶ κατέβη ἡ βροχὴ καὶ ἦλθον οἱ ποταμοὶ τῆς νεροποντῆς εἰς τὰ θεμέλιά του, καὶ ἐφύσηξαν οἱ ἄνεμοι εἰς τοὺς τοίχους του, καὶ ἔπεσαν ἐπάνω εἰς τὸ σπίτι αὐτὸ καὶ δὲν ἐκρημνίσθη, διότι ἦτο θεμελιωμένον ἐπάνω εἰς τὴν πέτραν»[16]. Ποία ὅμως εἶναι ἡ πέτρα, ἂν ὄχι τὰ οὐράνια πράγματα, τὰ ὁποῖα εὑρίσκονται ἐπάνω ἀπὸ κάθε μεταβολήν; Διότι «ὅποιος μὲ ὁμολογήσῃ ὡς Σωτῆρα του καὶ Θεόν του ἐμπρὸς εἰς τοὺς ἀνθρώπους», λέγει, «ποὺ καταδιώκουν τὴν πίστιν μου, θὰ τὸν ὁμολογήσω καὶ ἐγὼ ὡς πιστὸν ἀκόλουθόν μου ἐμπρὸς εἰς τὸν Πατέρα μου, ποὺ εἶναι εἰς τοὺς οὐρανούς»· καί, «ὅποιος θὰ μὲ ἀρνηθῇ, θὰ τὸν ἀρνηθῶ καὶ ἐγώ»[17]· καὶ πάλιν· «Μακάριοι εἶναι ἐκεῖνοι, ποὺ ἔχουν τὴν καρδίαν τους καθαρὰν ἀπὸ κάθε μολυσμὸν ἁμαρτίας, διότι αὐτοὶ θὰ ἴδουν τὸν Θεόν»[18]· καὶ πάλιν· «Μακάριοι εἶναι ἐκεῖνοι, ποὺ ταπεινῶς συναισθάνονται τὴν πνευματικὴν πτωχείαν των, διότι εἶναι ἰδική των ἡ βασιλεία τῶν οὐρανῶν»[19]· καὶ πάλιν· «Μακάριοι εἶναι ἐκεῖνοι, ποὺ ἐδιώχθησαν ἐξ αἰτίας τῆς ἀρετῆς, διότι εἶναι ἰδική των ἡ βασιλεία τῶν οὐρανῶν»[20].

Βλέπεις παντοῦ τοὺς οὐρανούς, πουθενὰ γῆν, οὔτε τὰ γήϊνα; Καὶ πάλιν· «Διότι ἡ ἰδική μας πατρὶς καὶ πολιτεία εἶναι εἰς τοὺς οὐρανούς, ἀπὸ τοὺς ὁποίους μὲ πολὺν πόθον περιμένομεν καὶ τὸν Σωτῆρα μας τὸν Κύριον Ἰησοῦν Χριστόν»[21]· καὶ πάλιν· «Πρὸς τὰ ἄνω διευθύνατε καὶ προσηλώσατε τὰς σκέψεις σας· ὄχι πρὸς τὰ γήϊνα»[22]. «Ἐν Χριστῷ Ἰησοῦ». Δηλαδή, αὐτὴ ἡ εὐλογία ἐδόθη διὰ Ἰησοῦ Χριστοῦ, ὄχι διὰ Μωϋσέως. Ὥστε, ὄχι μόνον εἰς τὴν ποιότητα, ἀλλὰ καὶ εἰς τὸν μεσίτην διαφέρομεν ἡμεῖς, ὅπως λέγει καὶ εἰς τὴν πρὸς Ἑβραίους· «Καὶ τὸν μὲν Μωϋσῆν ἔκαμεν ἔμπιστόν του ὁ Θεὸς εἰς ὅλον τὸν οἶκον του ὡσὰν ἐπιστάτην τῶν δούλων, διὰ νὰ παρέχεται ἀπὸ αὐτὸν ἔγκυρος μαρτυρία δι' ἐκεῖνα, ποὺ ἐπρόκειτο νὰ λαληθοῦν ἀπὸ τὸν Θεὸν εἰς τοὺς Ἰσραηλίτας. Ὁ Χριστὸς ὅμως ἔχει τὰ πιστὰ ὡσὰν υἱὸς ἐπά-

ληθησομένων· Χριστὸς δὲ ὡς Υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς».

2. «*Καθὼς καὶ ἐξελέξατο ἡμᾶς*», *φησίν*, «*ἐν αὐτῷ πρὸ καταβολῆς κόσμου, εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ*»| *Ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· δι' οὗ εὐλόγησεν ἡμᾶς, διὰ τούτου καὶ ἐξελέξατο. Αὐτὸς τοίνυν ἡμῖν ἐκεῖ δώσει ἐκεῖνα πάντα, αὐτός ἐστιν ὁ κριτής, καὶ ἐρεῖ·* «*Δεῦτε οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου*»· *καὶ πάλιν*, «*Ὅπου εἰμὶ ἐγώ, θέλω ἵνα καὶ οὗτοι ὦσι*». *Καὶ ἐν πάσαις σχεδὸν ταῖς ἐπιστολαῖς τοῦτο σπουδάζει δεικνύναι, ὅτι οὐ νεώτερα τὰ καθ' ἡμᾶς, ἀλλ' ἄνωθεν οὕτω τετύπωτο, οὐδ' ἐκ μεταμελείας ἀλλ' οὕτως ᾠκονόμητο καὶ προώριστο. Καὶ τοῦτο δὲ κηδεμονίας πολλῆς. Τί ἐστιν*, «*ἐν αὐτῷ ἐξελέξατο*»; *Διὰ τῆς εἰς αὐτὸν πίστεως ὁ Χριστὸς τοῦτο κατώρθωσε πρὶν ἢ γενέσθαι ἡμᾶς, μᾶλλον δὲ πρὶν ἢ τὸν κόσμον καταβληθῆναι. Καὶ καλῶς καταβολὴν εἶπεν, ὡς ἀπὸ τινος ὕψους μεγάλου καταβεβλημένον αὐτὸν δεικνύς. Καὶ γὰρ μέγα καὶ ἄφατον τὸ ὕψος τοῦ Θεοῦ, οὐ τῷ τόπῳ, ἀλλὰ τῷ ἀνακεχωρηκότι τῆς φύσεως, καὶ πολὺ τὸ μέσον κτίσματος καὶ κτίστου.*

Αἰσχυνέσθωσαν οἱ αἱρετικοὶ ταῦτα ἀκούοντες. Τί δὲ ἐξελέξατο; «*Ὥστε εἶναι ἡμᾶς ἁγίους καὶ ἀμώμους κατενώπιον αὐτοῦ*». *Ἵνα τοίνυν μή, ἀκούσας ὅτι ἐξελέξατο, τὴν πίστιν ἀρκεῖν νομίσῃς μόνον, καὶ τὸν βίον προστίθησι. Διὰ τοῦτο ἐξελέξατο, φησί, καὶ ἐπὶ τούτῳ, ἵνα ἅγιοι ὦμεν καὶ ἄμωμοι· Ἐξελέξατο καὶ Ἰουδαίους ποτέ·* «*Ποῖον ἔθνος*

---

23. Ἑβρ. 3, 5-6.
24. Ἐφεσ. 1, 4.
25. Ματθ. 25, 34.
26. Ἰωάν. 17, 24.

νω εἰς τὸν οἶκον τοῦ Θεοῦ, ὁ ὁποῖος εἶναι καὶ ἰδικός του οἶκος. Οἶκος δὲ τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ εἴμεθα τώρα ἡμεῖς οἱ Χριστιανοί»[23].

2. «Ὅπως καὶ μᾶς ἐξέλεξεν ἐν αὐτῷ πρὶν δημιουργηθῇ ὁ κόσμος, διὰ νὰ εἴμεθα ἅγιοι καὶ ἄμεμπτοι ἐνώπιόν του»[24]. Αὐτὸ δὲ τὸ ὁποῖον ἐννοεῖ, εἶναι τὸ ἑξῆς· μὲ ἐκεῖνον διὰ τοῦ ὁποίου μᾶς ηὐλόγησε, μὲ ἐκεῖνον καὶ μᾶς ἐξέλεξεν. Αὐτὸς λοιπὸν ἐκεῖ θὰ μᾶς δώσῃ ὅλα ἐκεῖνα, αὐτὸς εἶναι ὁ κριτὴς καὶ θὰ εἴπῃ· «Ἐλᾶτε σεῖς ποὺ εἶσθε εὐλογημένοι ἀπὸ τὸν Πατέρα μου, κληρονομήσατε τὴν βασιλείαν, ἡ ὁποία εἶναι ἑτοιμασμένη διὰ σᾶς ἀπὸ τὸν καιρὸν τῆς δημιουργίας τοῦ κόσμου»[25]· καὶ πάλιν· «θέλω ὅπου εἶμαι ἐγώ, νὰ εἶναι καὶ αὐτοὶ μαζί μου»[26]. Καὶ εἰς ὅλας σχεδὸν τὰς ἐπιστολὰς αὐτὸ προσπαθεῖ νὰ δείξῃ, ὅτι αὐτὰ τὰ ὁποῖα ἀναφέρονται εἰς ἐμᾶς δὲν εἶναι νεώτερα σχέδια, ἀλλ' ἄνωθεν ἔτσι ἔχουν διαμορφωθῆ, οὔτε ἀπὸ μεταβολὴν τοῦ ἀρχικοῦ σκοποῦ, ἀλλ' ἔτσι ἐξ ἀρχῆς οἰκονομήθησαν καὶ προωρίσθησαν. Καὶ τοῦτο εἶναι σημεῖον μεγάλης πατρικῆς φροντίδος. Τί σημαίνει δὲ «μᾶς ἐξέλεξεν ἐν αὐτῷ»; Αὐτὸ τὸ ἔκανεν ὁ Χριστὸς διὰ τῆς εἰς αὐτὸν πίστεως, πρὶν δημιουργηθοῦμεν ἐμεῖς, ἢ μᾶλλον πρὶν ἀπὸ τὴν δημιουργίαν ἀκόμη τοῦ κόσμου. Καὶ ὀρθῶς εἶπε «καταβολήν», ὡσὰν νὰ ἐδείκνυεν αὐτὸν καταβεβλημένον ἀπὸ κάποιο μεγάλο ὕψος. Διότι μέγα καὶ ἀπερίγραπτον εἶναι τὸ ὕψος τοῦ Θεοῦ, ὄχι ὡς πρὸς τὸν τόπον, ἀλλ' ὡς πρὸς τὴν φύσιν, ἡ ὁποία ἀπέχει πάρα πολύ, καὶ εἶναι ἄπειρος ἡ διαφορὰ μεταξὺ τοῦ κτίστου καὶ τοῦ κτίσματος.

Ἂς ἐντραποῦν οἱ αἱρετικοὶ εἰς τὸ ἄκουσμα αὐτῶν τῶν λόγων. Διατί δὲ μᾶς ἐξέλεξε; «Διὰ νὰ εἴμεθα ἅγιοι καὶ ἄμεμπτοι ἐνώπιόν του». Διὰ νὰ μὴ νομίσῃς λοιπόν, ἐπειδὴ ἤκουσες ὅτι μᾶς ἐξέλεξεν, ὅτι ἀρκεῖ μόνον ἡ πίστις, προσθέτει καὶ τὸν τρόπον τοῦ βίου. Διὰ τοῦτο μᾶς ἐξέλεξε, λέγει, καὶ πρὸς τοῦτο, διὰ νὰ εἴμεθα ἅγιοι καὶ ἄμεμπτοι. Ἐξέλεξε καὶ τοὺς Ἰουδαίους κάποτε. «Διότι σᾶς ἐξέλεξεν ὁ Θεός»,

τοῦτο», φησίν, «ἐξελέξατο ἐκ τῶν ἐθνῶν;». Εἰ δὲ ἄνθρωποι ἐκλεγόμενοι, τὰ κάλλιστα ἐκλέγονται, πολλῷ μᾶλλον ὁ Θεός. Καὶ τὸ ἐκλεγῆναι δέ, καὶ τῆς τοῦ Θεοῦ φιλανθρωπίας τεκμήριον καὶ τῆς αὐτῶν ἀρετῆς· πάντως γὰρ ἂν τοὺς δοκίμους ἐξελέξατο. Ἐποίησεν ἡμᾶς αὐτὸς ἁγίους, ἀλλὰ δεῖ μεῖναι ἁγίους. Ἅγιός ἐστιν ὁ τῆς πίστεως μετέχων, ἄμωμος, ὁ ἀνεπίληπτον βίον ἔχων. Ἀλλ' ἁγιότητα καὶ τὸ ἀνεπίληπτον οὐχ ἁπλῶς ζητεῖ, ἀλλὰ τὸ ἐνώπιον αὐτοῦ τοιούτους φαίνεσθαι. Εἰσὶ γὰρ ἅγιοι καὶ ἄμωμοι, ἀλλ' ἀνθρώποις οὕτω νομιζόμενοι, οἱ τάφοις ἐοικότες κεκονιαμένοις, καθὼς οἱ τὰς δορὰς τῶν προβάτων ἔχοντες. Ἀλλ' οὐ τοιούτους ζητεῖ ἀλλ' οἵους ὁ προφήτης φησί, «Καὶ κατὰ τὴν καθαρότητα τῶν χειρῶν μου»· ποίαν; «τὴν ἐνώπιον τῶν ὀφθαλμῶν αὐτοῦ». Ἁγιωσύνην ζητεῖ, ἣν ὁ τοῦ Θεοῦ ὀφθαλμὸς ὁρᾷ.

Εἶπε καὶ τούτων τὰ κατορθώματα, καὶ πάλιν ἐπὶ τὴν χάριν αὐτοῦ ἄνεισιν. Οὐ γὰρ ἀπὸ πόνων οὐδὲ κατορθωμάτων τοῦτο γίνεται, ἀλλ' ἀπὸ ἀγάπης· οὔτε ἀπὸ ἀγάπης μόνον, οὔτε ἀπὸ τῆς ἡμετέρας ἀρετῆς. Εἰ γὰρ δὴ ἀπὸ ἀγάπης μόνης, ἐχρῆν ἅπαντας σωθῆναι· εἰ δὲ ἀπὸ τῆς ἡμετέρας ἀρετῆς πάλιν μόνης, περιττὴ ἡ παρουσία αὐτοῦ, καὶ πάντα τὰ οἰκονομηθέντα. Ἀλλ' οὔτε ἀπὸ ἀγάπης μόνης, οὔτε ἀπὸ τῆς ἡμετέρας ἀρετῆς ἀλλ' ἐξ ἀμφοτέρων. «Ἐξελέξατο γὰρ ἡμᾶς», φησίν· ὁ δὲ ἐκλεγόμενος οἶδεν ὅπερ ἐκλέγεται. «Ἐν ἀγάπῃ», φησί, «προορίσας ἡμᾶς».

Ἀλλ' οὐδένα ἂν ἔσωσεν ἡ ἀρετή, τῆς ἀγάπης μὴ οὔσης. Εἰπέ γάρ μοι, τί Παῦλος ἂν ὠφελήθη, ποῦ δὲ ἂν ἐπεδείξατο ἅπερ ἐπεδείξατο, εἰ μὴ καὶ ἄνωθεν αὐτὸν ἐκάλεσε, καὶ ἀγα-

---

27. Δευτ. 14, 2.
28 Ψαλμ. 17, 25.

λέγει, «μεταξὺ ὅλων τῶν λαῶν τῆς γῆς, διὰ νὰ γίνητε ἰδικός του λαός»[27]. Ἐὰν δὲ οἱ ἄνθρωποι, ὅταν ἐκλέγουν, ἐκλέγουν τὰ κάλλιστα, πολὺ περισσότερον ὁ Θεός. Καὶ τὸ ὅτι ἐξελέγησαν εἶναι ἀπόδειξις καὶ τῆς φιλανθρωπίας τοῦ Θεοῦ καὶ τῆς ἰδικῆς των ἀρετῆς· διότι τοὺς ἐναρέτους ὁπωσδήποτε τοὺς ἐξέλεξεν. Αὐτὸς μᾶς ἔκανεν ἁγίους, ἀλλὰ πρέπει νὰ μείνωμεν ἅγιοι. Ἅγιος εἶναι αὐτὸς ὁ ὁποῖος μετέχει τῆς πίστεως, ὁ ἄμεμπτος, ὁ ἔχων βίον ἀνεπίληπτον. Ἀλλὰ δὲν ζητεῖ ἁπλῶς τὴν ἁγιότητα καὶ τὸ ἀνεπίληπτον, ἀλλὰ καὶ τὸ νὰ δεικνύωμεν εἰς ἐκεῖνον ὅτι εἴμεθα τέτοιοι. Διότι ὑπάρχουν ἅγιοι καὶ ἄμεμπτοι, ἀλλὰ νομιζόμενοι τέτοιοι ἀπὸ τοὺς ἀνθρώπους, οἱ ὁποῖοι ὁμοιάζουν μὲ τάφους ποὺ ἔχουν τὴν ἐμφάνισιν μόνον καλήν, ὅπως ἐκεῖνοι οἱ ὁποῖοι ἐνδύονται μὲ δέρματα προβάτων. Δὲν ζητεῖ ὅμως τέτοιους, ἀλλ' ὡσὰν ἐκείνους ποὺ λέγει ὁ προφήτης· «Διὰ τοῦτο ὁ Κύριος μοῦ ἀνταπέδωκε συμφώνως πρὸς τὴν καθαρότητα τῶν χειρῶν μου»[28]· ποίαν; «τὴν ἐνώπιον τῶν ὀφθαλμῶν του»[28]. Ζητεῖ ἁγιότητα, τὴν ὁποίαν βλέπει ὁ ὀφθαλμὸς τοῦ Θεοῦ.

Ἀνέφερε καὶ αὐτῶν τὰ κατορθώματα, καὶ πάλιν εἰς τὴν χάριν ἐπιστρέφει. Διότι ὄχι ἀπὸ κόπους, οὔτε ἀπὸ κατορθώματα γίνεται αὐτό, ἀλλ' ἀπὸ ἀγάπην· οὔτε μόνον ἀπὸ τὴν ἀγάπην τοῦ Θεοῦ, οὔτε μόνον ἀπὸ τὴν ἰδικήν μας ἀρετήν. Διότι ἐὰν ἐγίνετο μόνον ἀπὸ τὴν ἀγάπην, ἔπρεπε νὰ σωθῶμεν ὅλοι· ἂν πάλιν ἐγίνετο μόνον ἀπὸ τὴν ἰδικήν μας ἀρετήν, θὰ ἦτο περιττὴ ἡ παρουσία τοῦ Κυρίου καὶ ὅλα τὰ τῆς θείας οἰκονομίας. Δὲν γίνεται ὅμως οὔτε ἀπὸ τὴν ἀγάπην μόνον, οὔτε ἀπὸ τὴν ἰδικήν μας ἀρετήν, ἀλλὰ καὶ ἀπὸ τὰ δύο. Διότι λέγει, «μᾶς ἐξέλεξεν»· ὁ δὲ ἐκλεγόμενος γνωρίζει αὐτὸ διὰ τὸ ὁποῖον ἐκλέγεται. «Διὰ τῆς ἀγάπης», λέγει, «μᾶς προώρισε νὰ εἴμεθα υἱοί του».

Ἀλλὰ κανένα δὲν θὰ ἔσωζεν ἡ ἀρετή, ἐὰν δὲν ὑπῆρχεν ἡ ἀγάπη. Διότι εἰπέ μου, τί θὰ ὠφελεῖτο ὁ Παῦλος, καὶ πῶς θὰ ἐπεδείκνυεν ὅσα ἐπέδειξεν, ἐὰν δὲν τὸν ἐκάλει

πήσας εἵλκυσε πρς πρὸς ἑαυτόν; Ἄλλως δέ, καὶ τὸ τοσούτων ἀξιῶσαι, ἀγάπης ἦν, οὐ τῆς ἡμετέρας ἀρετῆς. Τὸ γὰρ ἐναρέτους γενέσθαι καὶ πιστεῦσαι καὶ προσελθεῖν, καὶ τοῦτο μὲν αὐτοῦ ἦν τοῦ καλέσαντος, πλὴν ἀλλὰ καὶ ἡμέτερον· τὸ δὲ προσελθόντας τοσούτων ἀξιῶσαι τιμῶν, ὥστε εὐθέως ἀπὸ ἔχθρας εἰς υἱοθεσίαν ἀγαγεῖν, ὑπερβαλλούσης ὄντως ἀγάπης.

3. «Ἐν ἀγάπῃ», φησί, «προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ Ἰησοῦ Χριστοῦ εἰς αὐτόν». Ὁρᾷς πῶς οὐδὲν ἄνευ Χριστοῦ; πῶς οὐδὲν ἄνευ τοῦ Πατρός; Ἐκεῖνος προώρισεν, οὗτος προσήγαγε. Καὶ ταῦτα τίθησιν ἐπαίρων τὰ γεγενημένα, καθάπερ καὶ ἑτέρωθί φησιν· «Οὐ μόνον δέ, ἀλλὰ καὶ καυχώμεθα διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ». Μεγάλα μὲν γὰρ τὰ δοθέντα, πολλῷ δὲ μείζονα γίνεται τῷ διὰ τοῦ Χριστοῦ δοθῆναι· ὅτι οὐκ ἔπεμψέ τινα τῶν δούλων πρὸς τοὺς δούλους ἀλλ' αὐτὸν τὸν μονογενῆ.

«Κατὰ τὴν εὐδοκίαν», φησί, «τοῦ θελήματος αὐτοῦ»· τουτέστι, διὰ τὸ σφοδρῶς θελῆσαι. Ἡ ἐπιθυμία αὐτοῦ, ὡς ἄν τις εἴποι, αὕτη ἐστί· πανταχοῦ γὰρ εὐδοκία τὸ θέλημά ἐστι τὸ προηγούμενον. Ἔστι γὰρ καὶ ἄλλο θέλημα· οἷον, θέλημα πρῶτον, τὸ μὴ ἀπολέσθαι ἡμαρτηκότας· θέλημα δεύτερον, τὸ γενομένους κακοὺς ἀπολέσθαι. Οὐ γὰρ δὴ ἀνάγκῃ αὐτοὺς κολάζει, ἀλλὰ θέλων. Τοιοῦτον καὶ ἐπὶ Παύλου ἔστιν ἰδεῖν, οἷον ὡς ὅταν λέγῃ· «Θέλω πάντας ἀνθρώπους εἶναι, ὡς καὶ ἐμαυτόν»· «Θέλω πάλιν νεωτέρας γαμεῖν, τεκνογονεῖν». Εὐδοκίαν οὖν τὸ πρῶτον θέλημά φασι, τὸ σφοδρὸν θέλημα, τὸ μετὰ ἐπιθυμίας θέλημα, ὃ ἐφ' ἡμῶν· οὐ γὰρ παραιτήσομαι

---

29. Α΄ Κορ. 7, 7.
30. Α΄ Τιμ. 5, 14.

ἄνωθεν, καί, ἀφοῦ τὸν ἠγάπησε, δὲν τὸν προσείλκυεν ὁ Κύριος πρὸς τὸν ἑαυτόν του; Ἄλλως τε δέ, καὶ τὸ ὅτι μᾶς ἠξίωσε τόσων ἀγαθῶν, ἦτο ἀποτέλεσμα ἀγάπης, ὄχι τῆς ἰδικῆς μας ἀρετῆς. Διότι καὶ τὸ νὰ γίνωμεν ἐνάρετοι καὶ νὰ πιστεύσωμεν καὶ νὰ προσέλθωμεν, καὶ τοῦτο μὲν ἦτο ἔργον τοῦ ἰδίου τοῦ καλέσαντος, πλὴν ὅμως καὶ ἰδικόν μας· τὸ ὅτι δὲ μᾶς ἠξίωσε, ὅταν προσήλθομεν, τόσων τιμῶν, ὥστε ἀμέσως νὰ μᾶς ὁδηγήσῃ ἀπὸ τὴν ἔχθραν εἰς τὴν υἱοθεσίαν, εἶναι ἔργον ὑπερβολικῆς πράγματι ἀγάπης.

3. «Ἀφοῦ δι' ἀγάπης μᾶς προώρισε νὰ εἴμεθα υἱοί του διὰ τοῦ Ἰησοῦ Χριστοῦ». Βλέπεις πῶς τίποτε δὲν ἔγινε χωρὶς τὸν Χριστόν; Πῶς τίποτε δὲν ἔγινε χωρὶς τὸν Πατέρα; Ὁ Πατὴρ προώρισεν, ὁ Χριστὸς προσήγαγε. Καὶ αὐτὰ ἐκθέτει ἐξυψώνων τὰ ὅσα ἔγιναν, ὅπως ἀκριβῶς καὶ ἀλλοῦ λέγει· «Ὄχι μόνον θὰ σωθῶμεν, ἀλλὰ καὶ καυχώμεθα διὰ τὸν Θεὸν διὰ τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ. Διότι μεγάλα εἶναι μὲν τὰ δοθέντα, ἀλλὰ πολὺ μεγαλύτερα γίνονται ἀπὸ τὸ ὅτι ἐδόθησαν διὰ τοῦ Χριστοῦ· διότι δὲν ἀπέστειλε κανένα ἀπὸ τοὺς δούλους πρὸς τοὺς δούλους, ἀλλ' αὐτὸν τὸν ἴδιον τὸν μονογενῆ.

«Συμφώνως πρὸς τὴν εὐαρέσκειαν», λέγει, «τοῦ θελήματός του»· δηλαδή, διὰ τὸ ὅτι τὸ ἠθέλησε πάρα πολύ. Θὰ ἠμποροῦσε κανεὶς νὰ εἴπῃ ὅτι αὐτὴ εἶναι ἡ ἐπιθυμία του· διότι παντοῦ εὐαρέσκεια εἶναι τὸ ἐπικρατοῦν θέλημα. Διότι ὑπάρχει καὶ ἄλλο θέλημα· ὅπως, θέλημα πρῶτον, τὸ νὰ μὴ καταστρέψῃ τοὺς ἁμαρτωλούς· θέλημα δεύτερον, τὸ νὰ τοὺς καταστρέψῃ ἀφοῦ ἔγιναν κακοί. Διότι ὁπωσδήποτε δὲν κολάζει αὐτοὺς ἀπὸ ἀνάγκην, ἀλλ' ἐπειδὴ θέλει. Αὐτὸ θὰ ἴδωμεν καὶ εἰς τὸν Παῦλον, ὅπως ὅταν λέγῃ· «Θὰ ἤθελον ὅλοι οἱ ἄνθρωποι νὰ εἶναι ὅπως εἶμαι ἐγώ»[29]· «Θέλω πάλιν αἱ νεώτεραι χῆραι νὰ ὑπανδρεύωνται καὶ νὰ γεννοῦν παιδιά»[30]. Εὐαρέσκειαν λοιπὸν ὀνομάζει τὸ πρῶτον θέλημα, τὸ σφοδρὸν θέλημα, τὸ μὲ ἐπιθυμίαν θέλημα, ὅπως γίνεται καὶ εἰς ἐμᾶς· διότι δὲν θὰ παραιτηθῶ ἀπὸ τοῦ νὰ χρησιμοποιήσω

καὶ κοινοτέρᾳ λέξει χρήσασθαι σαφηνείας ἕνεκεν τῶν ἀφελεστέρων· ὃ λέγομεν ἡμεῖς πεῖσμα, καί, κατὰ τὸ πεῖσμα ἡμῶν· τουτέστι, σφόδρα ἐφίεται, σφόδρα ἐπιθυμεῖ τῆς σωτηρίας τῆς ἡμετέρας·

Τίνος οὖν ἕνεκεν οὕτως ἡμᾶς ἀγαπᾷ; τίνος ἕνεκεν οὕτω φιλεῖ; Ἀπὸ ἀγαθότητος μόνης· ἡ γὰρ χάρις ἀγαθότητός ἐστι. Διὰ τοῦτο, φησίν, εἰς υἱοθεσίαν ἡμᾶς προώρισε, θέλων καὶ σφόδρα τοῦτο βουλόμενος, ἵνα ἡ τῆς χάριτος αὐτοῦ δόξα δειχθῇ. «Κατὰ τὴν εὐδοκίαν τοῦ θελήματος αὐτοῦ, φησίν, εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ, ἐν ᾗ ἐχαρίτωσεν ἡμᾶς ἐν τῷ ἠγαπημένῳ». Ἵνα ἡ τῆς χάριτος αὐτοῦ δόξα δειχθῇ, φησίν, ἐν ᾗ ἐχαρίτωσεν ἡμᾶς. Οὐκοῦν εἰ εἰς τοῦτο ἐχαρίτωσεν, εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ, καὶ ἵνα δείξῃ τὴν χάριν αὐτοῦ, μένωμεν ἐν αὐτῇ.

«Εἰς ἔπαινον δόξης», φησίν. Ἵνα τίς αὐτὸν ἐπαινέσῃ; ἵνα τίς αὐτὸν δοξάσῃ; ἡμεῖς; ἀλλ' ἄγγελοι; ἀλλ' ἀρχάγγελοι; ἀλλὰ πᾶσα ἡ κτίσις; Καὶ τί τοῦτο; Οὐδέν· ἀνενδεὲς γὰρ τὸ θεῖον. Τίνος οὖν ἕνεκεν βούλεται ἐπαινεῖσθαι καὶ δοξάζεσθαι παρ' ἡμῶν; Ὥστε τὴν πρὸς αὐτὸν ἀγάπην θερμοτέραν ἡμῖν ἐγγενέσθαι. Οὐδενὸς γὰρ ἐφίεται τῶν παρ' ἡμῶν, ἀλλ' ἢ τῆς σωτηρίας μόνης, οὐ διακονίας, οὐ δόξης, οὐκ ἄλλου οὐδενός, καὶ πάντα διὰ τοῦτο ποιεῖ. Ὁ γὰρ ἐπαινῶν καὶ θαυμάζων τὴν εἰς αὐτὸν χάριν γεγενημένην, προσεκτικώτερος ἔσται καὶ σπουδαιότερος.

«Ἧς ἐχαρίτωσεν ἡμᾶς», φησίν. Οὐκ εἶπεν, ἧς ἐχαρίσατο, ἀλλ', «ἐχαρίτωσεν ἡμᾶς»· τουτέστιν, οὐ μόνον ἁμαρτημάτων ἀπήλλαξεν, ἀλλὰ καὶ ἐπεράστους ἐποίησε. Καθάπερ γὰρ εἴ τις λαβὼν ψωραλέον τινὰ καὶ λοιμῷ καὶ νόσῳ διεφθαρμένον καὶ γήρᾳ καὶ πενίᾳ καὶ λιμῷ, εὐθέως εὔμορφον νεώτερον ἐργάσαιτο, πάντας ἀνθρώπους νικῶντα τῷ κάλλει, σφοδρὰν μὲν τὴν αὐγὴν ἀφιέντα ἀπὸ τῶν παρειῶν, καὶ τὰς

καὶ τὴν πλέον κοινὴν λέξιν, διὰ νὰ γίνω σαφὴς καὶ εἰς τοὺς πιὸ ἁπλοῦς· αὐτὸ τὸ ὁποῖον ἐμεῖς ὀνομάζομεν πεῖσμα καί, συμφώνως πρὸς τὸ πεῖσμα μας· δηλαδή, πάρα πολὺ ποθεῖ, πάρα πολὺ ἐπιθυμεῖ τὴν σωτηρίαν μας.

Ἐξ αἰτίας τίνος μᾶς ἀγαπᾷ τόσον πολύ; Διατί μᾶς ἐπιθυμεῖ τόσον; Ἀπὸ ἀγαθότητα μόνον· διότι ἡ χάρις εἶναι ἀγαθότης. Διὰ τοῦτο, λέγει, μᾶς προώρισε νὰ εἴμεθα υἱοί του, θέλων καὶ ποθῶν πάρα πολὺ αὐτό, διὰ νὰ δειχθῇ ἡ δόξα τῆς χάριτός του. «Συμφώνως πρὸς τὴν εὐαρέσκειαν τοῦ θελήματός του», λέγει, «πρὸς ἔπαινον τῆς ἐνδόξου χάριτός του, διὰ τῆς ὁποίας μᾶς ἐχάρισε πλούσια δῶρα διὰ τοῦ ἠγαπημένου του». Διὰ νὰ φανερωθῇ ἡ δόξα τῆς χάριτός του, λέγει, διὰ τῆς ὁποίας μᾶς ἐπροίκισε πλουσίως. Λοιπόν, ἐὰν πρὸς τὸν σκοπὸν αὐτὸν μᾶς ἐπροίκισε μὲ τὴν χάριν του, πρὸς ἔπαινον τῆς δόξης τῆς χάριτός του καὶ διὰ νὰ φανερώσῃ τὴν χάριν του, ἂς μένωμεν τότε εἰς αὐτήν.

«Πρὸς ἔπαινον τῆς δόξης», λέγει. Διὰ νὰ τὸν ἐπαινέσῃ ποῖος; διὰ νὰ τὸν δοξάσῃ ποῖος; ἐμεῖς; ἢ οἱ ἄγγελοι; ἢ μήπως οἱ ἀρχάγγελλοι; ἢ μήπως ὅλη ἡ κτίσις; Καὶ τί εἶναι αὐτό; Τίποτε· διότι ὁ Θεὸς δὲν ἔχει καμμίαν ἀνάγκην. Διατί λοιπὸν θέλει νὰ ἐπαινῆται καὶ νὰ δοξάζεται ἀπὸ ἐμᾶς; Διὰ νὰ γίνῃ θερμοτέρα μέσα μας ἡ πρὸς αὐτὸν ἀγάπη. Διότι τίποτε δὲν ἐπιθυμεῖ ἀπὸ ἐμᾶς, παρὰ μόνον τὴν σωτηρίαν μας, ὄχι ὅμως ὑπηρεσίαν, οὔτε δόξαν, οὔτε τίποτε ἄλλο, καὶ τὰ πάντα κάνει διὰ τὴν σωτηρίαν μας. Διότι ἐκεῖνος ὁ ὁποῖος δοξολογεῖ καὶ θαυμάζει τὴν χάριν ἡ ὁποία τοῦ ἐδόθη, θὰ εἶναι προσεκτικώτερος καὶ καλύτερος.

«Διὰ τῆς ὁποίας μᾶς ἐπροίκισε πλουσίως». Δηλαδή, ὄχι μόνο μᾶς ἀπήλλαξε τῶν ἁμαρτημάτων, ἀλλὰ καὶ μᾶς ἔκανεν ἀξιαγαπήτους. Διότι ὅπως ἀκριβῶς ἂν κάποιος παραλαβὼν ἕνα ψωραλέον, ἐφθαρμένον ἀπὸ φοβερὰν νόσον καὶ τὸ γῆρας, τὴν πτωχείαν καὶ τὴν πεῖναν, τὸν ἔκαμνεν ἀμέσως αὐτὸν νέον, ὡραῖον, ὑπερβάλλοντα ὅλους τοὺς ἀνθρώπους εἰς τὸ κάλλος, καταυγάζοντα δυνατὸν φῶς ἀπὸ τὰς παρειὰς

μαρμαρυγὰς ἀποκρύπτοντα ταῖς τῶν ὀφθαλμῶν βολαῖς, εἶτα ἐν αὐτῷ καταστήσειε τῷ τῆς ἡλικίας ἄνθει, καὶ μετὰ τοῦτο ἁλουργίδα περιβάλοι καὶ διάδημα καὶ πάντα τὸν κόσμον· οὕτως ἐξήσκησεν ἡμῶν τὴν ψυχήν, καὶ καλὴν καὶ ποθεινὴν καὶ ἐπέραστον ἐποίησεν. Ἐπιθυμοῦσι γὰρ ἄγγελοι παρακύψαι πρὸς τοιαύτην ψυχήν, ἀρχάγγελοι, πάντες ἅγιοι. Οὕτως ἡμᾶς ἐπιχάριτας ἐποίησε, καὶ ἑαυτῷ ποθεινούς· «Ἐπιθυμήσει», γάρ, φησίν, «ὁ βασιλεὺς τοῦ κάλλους σου».

4. Ὅρα γὰρ οἷα πρὸ τούτου ἐπιβλαβῆ φθεγγόμενοι οἷα κεχαριτωμένα ῥήματα φθεγγόμεθα νῦν. Οὐκέτι πλοῦτον θαυμάζομεν, οὐκέτι τὰ ἐνταῦθα, ἀλλὰ τὰ οὐράνια καὶ τὰ ἐν τοῖς οὐρανοῖς. Οὐχὶ χαρίεν ἐκεῖνο τὸ παιδίον εἶναί φαμεν, ὅπερ ἂν μετὰ τῆς τοῦ σώματος ὥρας καὶ πολλὴν ἔχῃ τὴν ἐν τοῖς ῥήμασι χάριν; Τοιοῦτοί εἰσιν οἱ πιστοί. Ὅρα οἷα φθέγγονται οἱ μεμυημένοι. Τί γὰρ χαριέστερον ἐκείνου τοῦ στόματος γένοιτ' ἄν, τοῦ τὰ θαυμαστὰ ῥήματα ἀφιέντος, καὶ καθαρᾷ καρδίᾳ καὶ καθαροῖς χείλεσι μεταλαμβάνοντος τραπέζης μυστικῆς τοιαύτης μετὰ πολλῆς τῆς λαμπρότητος, τῆς παρρησίας; Τί χαριέστερον τῶν ῥημάτων, δι' ὧν ἀποτασσόμεθα τῷ διαβόλῳ; δι' ὧν συντασσόμεθα τῷ Χριστῷ; τῆς ὁμολογίας ἐκείνης τῆς πρὸ τοῦ λουτροῦ; τῆς μετὰ τὸ λουτρόν; Ἐννοήσωμεν ὅσοι διεφθείραμεν τὸ βάπτισμα, καὶ στενάξωμεν, ἵνα δυνηθῶμεν αὐτὸ πάλιν ἀναλαβεῖν.

«Διὰ τοῦ ἠγαπημένου», φησίν, «ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ». Πῶς; Οὐ μόνον ὅτι τὸν Υἱὸν ἔδωκε θαυμαστόν, ἀλλ' ὅτι καὶ τούτῳ τῷ τρόπῳ, ὥστε σφάξαι αὐτὸν τὸν ἀγαπώμενον. Πολλὴ ἡ ὑπερβολή· τὸν ἀγαπώμενον ὑπὲρ τῶν μισουμένων ἔδωκεν. Ὅρα πόσου ἡμᾶς τιμᾶται. Εἰ,

---

31. Ψαλμ. 44, 12.
32. Ἐφεσ. 1, 7.

καὶ ἐπισκιάζοντα τὴν ἀκτινοβολίαν διὰ τῶν βλεμμάτων τῶν ὀφθαλμῶν, ἀκολούθως ἐπανέφερεν αὐτὸν εἰς τὸ ἄνθος τῆς ἡλικίας καὶ μετὰ ἀπὸ αὐτὸ τὸν περιέβαλλε μὲ ἔνδυμα πορφυροῦν καὶ κάθε στολισμὸν καὶ τιμήν, ἔτσι ἐκαλλώπισε τὴν ψυχήν μας καὶ τὴν ἔκαμεν ὡραίαν καὶ ἀξιαγάπητον. Διότι ἐπιθυμοῦν νὰ εἰσέλθουν εἰς μίαν τέτοιαν ψυχὴν οἱ ἄγγελοι, οἱ ἀρχάγγελοι, καὶ ὅλοι οἱ ἅγιοι. Τόσον θελκτικοὺς καὶ ποθητοὺς διὰ τὸν ἑαυτόν του μᾶς ἔκανε. Διότι, λέγει, «θὰ ἐπιθυμήσῃ ὁ βασιλεὺς τὸ κάλλος σου»[31].

4. Κοίταξε λοιπὸν ποῖα ἐπιβλαβῆ λόγια ἐλέγομεν πρὶν ἀπὸ αὐτὸ καὶ ποῖα χαριτωμένα λόγια λέγομεν τώρα. Δὲν θαυμάζομεν τὸν πλοῦτον, οὔτε τὰ ἐδῶ, ἀλλὰ τὰ οὐράνια καὶ τὰ εἰς τοὺς οὐρανούς. Δὲν λέγομεν ὅτι εἶναι χαριτωμένον ἐκεῖνο τὸ παιδὶ τὸ ὁποῖον, μαζὶ μὲ τὴν φροντίδα τοῦ σώματος ἔχει καὶ πολλὴν χάριν εἰς τὸν λόγον; Τέτοιοι εἶναι οἱ πιστοί. Πρόσεξε τί λέγουν αὐτοὶ ποὺ ἔχουν μυηθῆ εἰς τὰ μυστήρια τῆς πίστεως. Διότι τί θὰ ἠδύνατο νὰ εἶναι χαριέστερον ἀπὸ ἐκεῖνο τὸ στόμα, τὸ ὁποῖον λέγει θαυμασίους λόγους, καὶ μὲ καθαρὰν καρδίαν καὶ καθαρὰ χείλη μεταλαμβάνει ἀπὸ τὴν μυστικὴν τράπεζαν μὲ πολλὴν λαμπρότητα καὶ παρρησίαν; Τί εἶναι περισσότερον χαριτωμένον ἀπὸ τοὺς λόγους μὲ τοὺς ὁποίους ἀποτασσόμεθα τὸν διάβολον; μὲ τοὺς ὁποίους συντασσόμεθα μὲ τὸν Χριστόν; ἀπὸ τὴν ὁμολογίαν ἐκείνην πρὶν καὶ μετὰ ἀπὸ τὸ βάπτισμα; Ἂς σκεφθῶμεν πόσοι ἐμολύναμεν τὸ βάπτισμα καὶ ἂς στενάζωμεν, διὰ νὰ ἠμπορέσωμεν νὰ τὸ ἀποκτήσωμεν καὶ πάλιν.

«Διὰ τοῦ ἠγαπημένου», λέγει, «διὰ τοῦ ὁποίου ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματός του»[32]. Μὲ ποῖον τρόπον; Δὲν εἶναι θαυμαστὸν μόνον τὸ ὅτι ἔδωσε τὸν Υἱόν, ἀλλὰ καὶ τὸ ὅτι τὸν ἔδωσε μὲ αὐτὸν τὸν τρόπον, ὥστε καὶ νὰ σφάξῃ αὐτὸν τὸν ἀγαπώμενον. Μεγίστη ἡ ὑπερβολή· ἔδωσε τὸν ἀγαπώμενον ὑπὲρ τῶν μισουμένων. Κοίταξε πόσον μᾶς τιμᾷ. Ἐάν, ὅταν τὸν ἐμισούσαμεν καὶ ἤμεθα ἐχθροί, ἔδωσε τὸν

ὅτε αὐτὸν ἐμισοῦμεν καὶ ἐχθροὶ ἦμεν, τὸν ἀγαπώμενον ἔδωκε, τί οὐ ποιήσει λοιπόν;

«Τὴν ἄφεσιν τῶν παραπτωμάτων». Ἄνωθεν κάτω κάτεισι· πρότερον υἱοθεσίαν εἰπὼν καὶ ἁγιασμὸν καὶ ἀμώμους, καὶ τότε τὸ πάθος, οὐ μειῶν, οὐδὲ ἀπὸ μεγάλων ἐπὶ τὰ μικρὰ κατάγων τὸν λόγον, ἀλλ' ἀπὸ τῶν μικρῶν ἐπὶ τὰ μεγάλα ἀνιών. Οὐδὲν γὰρ οὕτω μέγα, ὡς τὸ τὸ αἷμα ἐκχυθῆναι τοῦ Υἱοῦ ὑπὲρ ἡμῶν· καὶ τῆς υἱοθεσίας καὶ τῶν ἄλλων δωρεῶν τοῦτο μεῖζον, τὸ μηδὲ τοῦ Υἱοῦ φείσασθαι. Μέγα τὸ ἀφεθῆναι τῶν ἁμαρτημάτων, ἀλλὰ μεῖζον τὸ διὰ τοῦ αἵματος τοῦ δεσποτικοῦ. Ὅτι γὰρ τοῦτο πολλῷ μεῖζον ἁπάντων, ὅρα πῶς καὶ ἐνταῦθα ἀνεβόησε λέγων· «Κατὰ τὸν πλοῦτον τῆς χάριτος αὐτοῦ, ἧς ἐπερίσσευσεν εἰς ἡμᾶς». Πλοῦτος μὲν γὰρ κἀκεῖνο, πολλῷ δὲ πλέον οὗτος· «Ἧς ἐπερίσσευσε», φησίν, «εἰς ἡμᾶς». Καὶ πλοῦτος, καὶ ἐπερίσσευσε, τουτέστιν, ἀφάτως ἐξεχύθη. Οὐκ ἔνεστι λόγῳ παραστῆσαι, ὧν διὰ τῶν ἔργων ἐπειράθημεν· Πλοῦτος γάρ ἐστι, πλοῦτος περισσεύων, οὐκ ἀνθρώπων, ἀλλὰ Θεοῦ, ὥστε πανταχόθεν ἀμήχανον αὐτὸν λεχθῆναι.

5. «Ἐν πάσῃ σοφίᾳ καὶ φρονήσει γνωρίσας ἡμῖν τὸ μυστήριον τοῦ θελήματος αὐτοῦ»· τουτέστι, σοφοὺς καὶ φρονίμους ποιήσας τὴν ὄντως σοφίαν, τὴν ὄντως φρόνησιν. Βαβαί, πόση φιλία; τὰ γὰρ μυστήρια αὐτοῦ ἡμῖν λέγει. «Τοῦ θελήματος αὐτοῦ», φησίν· ὡς ἂν εἴποι τις, τὰ ἐν τῇ καρδίᾳ αὐτοῦ ἡμῖν ἐγνώρισε. Τοῦτο γάρ ἐστι τὸ μυστήριον τὸ πάσης σοφίας γέμον καὶ φρονήσεως. Τί γὰρ ταύτης τῆς σοφίας ἴσον ζητεῖς; τοὺς οὐδενὸς ἀξίους ὄντας, τούτους εὗρεν ὅπως

---

33. Ἐφεσ. 1, 8.
34. Ἐφεσ. 1, 9.

ἀγαπώμενον δι' ἐμᾶς, τί δὲν θὰ κάνῃ εἰς τὴν συνέχειαν διὰ νὰ σωθῶμεν;

«Τὴν ἄφεσιν τῶν ἁμαρτιῶν». Ἀπὸ τὰ ἀνώτερα καταβαίνει πρὸς τὰ κατώτερα· πρῶτον ἀφοῦ ὡμίλησε διὰ τὴν υἱοθεσίαν, τὸν ἁγιασμόν, τὸ ὅτι ἐγίναμεν ἄμεμπτοι, εἰς τὴν συνέχειαν ὁμιλεῖ διὰ τὸ πάθος, χωρὶς νὰ μειώνῃ τὸν λόγον καὶ νὰ τὸν μεταφέρῃ ἀπὸ τὰ μεγάλα εἰς τὰ μικρά, ἀλλ' ἀνερχόμενος ἀπὸ τὰ μικρὰ εἰς τὰ μεγάλα. Διότι τίποτε δὲν εἶναι τόσον μεγάλο, ὅσον τὸ ὅτι ἐχύθη τὸ αἷμα τοῦ Υἱοῦ ὑπὲρ ἡμῶν· αὐτὸ εἶναι μεγαλύτερον καὶ ἀπὸ τὴν υἱοθεσίαν καὶ ἀπὸ τὰς ἄλλας δωρεάς, τὸ ὅτι δὲν ἐλυπήθη οὔτε τὸν Υἱόν του. Μεγάλο πρᾶγμα ἡ ἄφεσις τῶν ἁμαρτιῶν, ἀλλὰ μεγαλύτερον τὸ ὅτι ἐδόθη διὰ τοῦ αἵματος τοῦ Κυρίου. Διὰ τὸ ὅτι δὲ αὐτὸ εἶναι μεγαλύτερον ἀπὸ ὅλα γενικῶς, κοίταξε πῶς ἀνεφώνησε καὶ ἐδῶ, λέγων· «συμφώνως πρὸς τὸν πλοῦτον τῆς χάριτός του, τὴν ὁποίαν ἐχάρισε πλουσίως εἰς ἐμᾶς»[23]. Βεβαίως πλοῦτος εἶναι μὲν καὶ ἐκεῖνο, ἀλλὰ πολὺ περισσότερον αὐτός. «Τὴν ὁποίαν ἐχάρισεν», λέγει, «πλουσίως εἰς ἐμᾶς». Καὶ πλοῦτος καὶ ἐπερίσσευσε, δηλαδὴ ἐξεχύθη κατὰ τρόπον ἀπερίγραπτον. Δὲν εἶναι δυνατὸν νὰ παραστήσῃ κανεὶς μὲ λόγον αὐτά, τῶν ὁποίων ἐλάβομεν πεῖραν ἐμπράκτως. Διότι πλοῦτος εἶναι ὁ πλοῦτος ὁ ὁποῖος περισσεύει, καὶ ἔδωσεν αὐτὸν ἐν ἀφθονίᾳ· πλοῦτος ὁ ὁποῖος περισσεύει, ποὺ δὲν εἶναι ἀπὸ ἀνθρώπους, ἀλλ' ἀπὸ τὸν Θεόν, ὥστε νὰ εἶναι ἀδύνατον νὰ περιγραφῇ.

5. «Μὲ κάθε σοφίαν καὶ φρόνησιν, καὶ μᾶς ἐγνώρισε τὸ μυστικὸν θέλημά του»[24]· ἀφοῦ δηλαδὴ μᾶς ἔκανε σοφοὺς καὶ φρονίμους κατὰ τὴν ἀληθινὴν σοφίαν, τὴν ἀληθινὴν φρόνησιν. Ἀλλοίμονον, πόση ἀγάπη! διότι τὰ μυστήριά του λέγει εἰς ἐμᾶς. «Τὸ μυστικὸν θέλημά του», λέγει· ὡσὰν νὰ ἔλεγε κανείς, ὅτι μᾶς ἐγνώρισε τὰ ἐντὸς τῆς καρδίας του. Διότι αὐτὸ εἶναι τὸ μυστήριον τὸ ὁποῖον εἶναι πλῆρες ἀπὸ κάθε σοφίαν καὶ φρόνησιν. Τί ζητεῖς λοιπὸν ἰσάξιον μὲ αὐτὴν τὴν σοφίαν; Ἐκείνους οἱ ὁποῖοι δὲν ἦσαν ἄξιοι διὰ

εἰς πλοῦτον ἀναγάγῃ. Τί ταύτης τῆς εὐμηχανίας ἴσον; ὁ ἐχθρός, ὁ μεμισημένος, οὗτος ἐξαίφνης ἄνω γέγονε. Καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τὸ ἐν τούτῳ τῷ καιρῷ, καὶ τοῦτο σοφίας ἦν, καὶ τὸ διὰ σταυροῦ.

Μακρὸς ἐνταῦθα δεῖξαι ὁ λόγος, πῶς σοφίας ἦν τοῦτο, καὶ πῶς σοφοὺς ἡμᾶς εἰργάσατο. Πάλιν, «Κατὰ τὴν εὐδοκίαν, αὐτοῦ», φησίν, «ἣν προέθετο ἐν αὐτῷ». Τουτέστι, τοῦτο ἐπεθύμει, τοῦτο ὤδινεν, ὡς ἂν τις εἴποι ἐξειπεῖν ἡμῖν τὸ μυστήριον. Ποῖον δὴ τοῦτο; Ὅτι ἄνθρωπον ἄνω καθίσαι βούλεται. Τοῦτο δὲ γέγονεν, «Εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν, ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ, τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, ἐν αὐτῷ». Ἀπέσχιστο, φησί, τὰ ἐπουράνια τῶν ἐπιγείων, οὐκ εἶχε μίαν κεφαλήν· Κατὰ μὲν γὰρ τὸν τῆς δημιουργίας λόγον εἷς Θεὸς ἦν· κατὰ δὲ τὸν τῆς οἰκειώσεως οὐκέτι, τῆς ἑλληνικῆς πλάνης κεχυμένης, ἀλλ', ἀπεσχισμένοι ἦσαν τῆς ὑπακοῆς αὐτοῦ.

«Εἰς οἰκονομίαν», φησί, «τοῦ πληρώματος τῶν καιρῶν»· Πλήρωμα τῶν καιρῶν αὐτὸ ἐκάλεσεν. Ὅρα πῶς ἀκριβῶς φθέγγεται. Καὶ τὴν μὲν ἀρχὴν ἀπὸ τοῦ Πατρὸς δείξας, τὴν πρόθεσιν, τὴν βουλήν, τὴν πρώτην ὁρμήν, τὴν δὲ διὰ τῶν ἔργων ἐκπλήρωσιν διὰ τοῦ Χριστοῦ, οὐδαμοῦ διάκονον αὐτὸν ὀνομάζει. «Ἐξελέξατο ἡμᾶς», φησίν, ἐν αὐτῷ, προορίσας ἡμᾶς εἰς υἱοθεσίαν διὰ «Ἰησοῦ Χριστοῦ εἰς αὐτὸν καὶ εἰς ἔπαινον δόξης τῆς χάριτος αὐτοῦ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματος αὐτοῦ, ἣν προέθετο ἐν αὐτῷ εἰς οἰκονομίαν τοῦ πληρώματος τῶν καιρῶν, ἀνακεφαλαιώσασθαι τὰ πάντα ἐν τῷ Χριστῷ. Καὶ οὐδαμοῦ διάκονον αὐτὸν εἶπεν. Εἰ δὲ τό, ἐν, καὶ τό, διά, διακόνου ἐστίν, ὅρα ποῦ τρέπει

---

25. Ἐφεσ. 1, 10.

τίποτε, αὐτοὺς εὑρῆκε διὰ νὰ τοὺς ἀνυψώσῃ εἰς πλοῦτον. Τί εἶναι ἴσον μὲ αὐτὸν τὸν πλοῦτον; Ὁ ἐχθρός, αὐτὸς ὁ ὁποῖος εἶχε μισηθῆ, αὐτὸς αἰφνιδίως εὑρέθη εἰς τὸν οὐρανόν. Καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ αὐτὸ ποὺ ἔγινεν κατ' αὐτὸν τὸν χρόνον, καὶ αὐτὸ ἦτο ἔργον σοφίας, ὅπως καὶ τὸ συντελεσθὲν διὰ τοῦ σταυροῦ.

Εἶναι μακρὸς ἐδῶ ὁ λόγος διὰ νὰ δείξῃ, πῶς αὐτὸ ἦτο ἔργον σοφίας καὶ πῶς μᾶς ἀνέδειξε σοφούς. Πάλιν· «κατὰ τὴν εὐαρέσκειάν του», λέγει, «τὴν ὁποίαν ἐσχεδίασεν ὁ ἴδιος». Δηλαδή, αὐτὸ ἐπεθύμει, δι' αὐτὸ ἐπονοῦσε ὑπερβολικά, ὅπως θὰ ἠμποροῦσε κανεὶς νὰ εἴπῃ, διὰ νὰ φανερώσῃ εἰς ἐμᾶς τὸ μυστήριον. Ποῖον λοιπὸν εἶναι αὐτό; Τὸ ὅτι θέλει νὰ ἀνυψώσῃ τὸν ἄνθρωπον εἰς τὸν οὐρανόν. Αὐτὸ δὲ ἔγινε «διὰ νὰ πραγματοποιηθῇ κατὰ τὸ πλήρωμα τῶν χρόνων, ὥστε τὰ πάντα, τὰ ἐπουράνια καὶ τὰ ἐπίγεια, νὰ ἑνωθοῦν δι' αὐτοῦ τοῦ ἰδίου τοῦ Χριστοῦ»[35]. Ἀπεσχίσθησαν, λέγει, τὰ ἐπουράνια ἀπὸ τὰ ἐπίγεια, δὲν εἶχον μίαν κεφαλήν. Διότι κατὰ τὴν ὥραν τῆς δημιουργίας ἕνας Θεὸς ἦτο, ἐνῷ κατὰ τὸν καιρὸν τῆς συμφιλιώσεως ὄχι, διότι εἶχεν ἐξαπλωθῆ ἡ ἑλληνικὴ πλάνη καὶ εἶχον ἀπομακρυνθῆ ἀπὸ τὴν ὑπακοὴν εἰς αὐτόν.

«Κατὰ τὸ πλήρωμα τῶν χρόνων», λέγει. Πλήρωμα τῶν χρόνων τὸ ὠνόμασεν αὐτό. Κοίταξε μὲ πόσην ἀκρίβειαν ὁμιλεῖ. Καὶ ἀφοῦ ἔδειξεν ὅτι ἡ ἀρχή, ὁ σκοπός, τὸ θέλημα, ἡ πρώτη κίνησις εἶναι τοῦ Πατρός, ἡ δὲ ἐκπλήρωσις τῶν ἔργων γίνεται διὰ τοῦ Χριστοῦ, πουθενὰ δὲν ὀνομάζει αὐτὸν ὑπηρέτην. «Μᾶς ἐξέλεξεν ἐν αὐτῷ», λέγει, «ἀφοῦ μᾶς προώρισε νὰ εἴμεθα υἱοί του διὰ τοῦ Ἰησοῦ Χριστοῦ, συμφώνως πρὸς τὴν εὐαρέσκειαν τοῦ θελήματός του, πρὸς ἔπαινον τῆς ἐνδόξου χάριτός του, διὰ τοῦ ὁποίου ἔχομεν τὴν ἀπολύτρωσιν διὰ τοῦ αἵματός του, τὴν ὁποίαν ἐσχεδίασεν ὁ ἴδιος διὰ νὰ πραγματοποιηθῇ κατὰ τὸ πλήρωμα τῶν χρόνων, ὥστε τὰ πάντα νὰ ἑνωθοῦν ἐν τῷ Χριστῷ». Καὶ πουθενὰ δὲν ὠνόμασεν αὐτὸν ὑπηρέτην. Ἐὰν δὲ ἀνήκῃ εἰς ὑπηρέ-

τὸ πρᾶγμα. Ἀρχόμενος γὰρ εὐθέως τῆς ἐπιστολῆς, «Διὰ τοῦ θελήματος», εἶπε, «τοῦ Πατρός». Ὁ Πατὴρ ἠθέλησε, φησίν, ὁ Υἱὸς ἐνήργησεν. Ἀλλ' οὔτε ἐπειδὴ ὁ Πατὴρ ἠθέλησε, τῆς θελήσεως ἐκτός ἐστιν ὁ Υἱός· οὔτε ἐπειδὴ ὁ Υἱὸς ἐνήργησε, τῆς ἐνεργείας ἀπεστέρηται ὁ Πατήρ, ἀλλὰ κοινὰ Πατρὸς καὶ Υἱοῦ πάντα. «Πάντα γὰρ τὰ ἐμὰ σά ἐστι», φησί, «καὶ τὰ σὰ ἐμά».

Πλήρωμα τῶν καιρῶν ἡ παρουσία αὐτοῦ ἦν. Ἐπεὶ οὖν πάντα ἔπραξε, καὶ δι' ἀγγέλων, καὶ διὰ προφητῶν καὶ διὰ νόμου, καὶ οὐδὲν πλέον ἐγένετο, ἀλλ' ἐκινδύνευεν εἰκῇ γεγενῆσθαι ὁ ἄνθρωπος, εἰκῇ παρῆχθαι, μᾶλλον δὲ καὶ ἐπὶ κακῷ, πάντων ἀπολλυμένων ἁπλῶς, καὶ μειζόνως ἢ ἐπὶ τοῦ κατακλυσμοῦ, εὗρε ταύτην τὴν οἰκονομίαν τὴν διὰ τῆς χάριτος, ὥστε μὴ εἰκῇ μηδὲ μάτην αὐτὸν γενέσθαι. Τὸ πλήρωμα τῶν καιρῶν τοῦτο λέγει, καὶ σοφίαν· ὅτι ὅτε μάλιστα ἔμελλον ἀπόλλυσθαι, τότε διεσώθησαν.

«Ἀνακεφαλαιώσασθαι», φησί· Τί ἐστιν, ἀνακεφαλαιώσασθαι; Συνάψαι. Πλὴν ἀλλὰ σπουδάσωμεν ἐγγὺς αὐτῆς γενέσθαι τῆς ἀληθείας. Παρὰ μὲν γὰρ ἡμῖν καὶ ἐν τῇ συνηθείᾳ ἀνακεφαλαίωσις λέγεται τὸ τὰ διὰ μακρῶν λεγόμενα εἰς βραχὺ συστεῖλαι, καὶ πάντα τὰ διὰ μακρῶν λεγόμενα συντόμως εἰπεῖν. Ἔστι μὲν γὰρ καὶ τοῦτο· τὰ γὰρ διὰ μακροῦ χρόνου οἰκονομούμενα ἀνακεφαλαιώσατο ἐν αὐτῷ, τουτέστι, συνέτεμε. «Λόγον γὰρ συντελῶν καὶ συντέμνων ἐν δικαιοσύνῃ», καὶ ἐκεῖνα περιέλαβε καὶ ἕτερα προσέθηκε. Τοῦτό ἐστιν ἀνακεφαλαίωσις. Ἔστι καὶ ἕτερόν τι δηλούμενον. Μίαν κεφαλὴν ἅπασιν ἐπέθηκε τὸ κατὰ σάρκα Χριστόν, καὶ ἀγγέλοις καὶ ἀνθρώποις· τουτέστι, καὶ ἀγγέλοις ἀρχὴν ἔδωκεν ἑτέραν, καὶ ἀνθρώποις, τοῖς μὲν τὸ κατὰ σάρκα, τοῖς δὲ τὸν Θεὸν Λόγον. Ὡς ἂν περὶ οἰκίας τις εἴποι τὰ

---

36. Ἰωάν. 17, 10.
37. Ρωμ. 9, 28.

την τὸ «ἐν» καὶ τὸ «διά», πρόσεξε ποῦ μεταφέρει τὸ πρᾶγμα. Διότι μόλις ἤρχισε τὴν ἐπιστολήν, εἶπε· «διὰ τοῦ θελήματος τοῦ Πατρός». Ὁ Πατὴρ ἠθέλησε, λέγει, ὁ Υἱὸς ἐνήργησεν. Ἀλλ' οὔτε ἐπειδὴ ἠθέλησεν ὁ Πατήρ, εἶναι ἐκτὸς θελήσεως ὁ Υἱός· οὔτε ἐπειδὴ ἐνήργησεν ὁ Υἱὸς ἀφαιρεῖται ἡ ἐνέργεια ἀπὸ τὸν Πατέρα, ἀλλὰ εἶναι κοινὰ ὅλα τὰ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ. Διότι «ὅλα τὰ ἰδικά μου εἶναι ἰδικά σου», λέγει, «καὶ τὰ ἰδικά σου ἰδικά μου»[26].

Πλήρωμα τῶν χρόνων ἦτο ἡ παρουσία του. Ἐπειδὴ λοιπὸν ἔκανε τὰ πάντα, καὶ μὲ ἀγγέλους καὶ μὲ προφήτας, καὶ μὲ τὸν νόμον, καὶ τίποτε δὲν ἐγίνετο, ἀλλ' ἐκινδύνευε νὰ φθάσῃ ὁ ἄνθρωπος εἰς τὸ νὰ εἶχε ἀσκόπως δημιουργηθῇ καὶ ματαίως νὰ παραχθῇ, μᾶλλον δὲ καὶ πρὸς κακόν, ἐπειδὴ τὰ πάντα γενικῶς ἐχάνοντο, καὶ περισσότερον ἀπὸ ὅσον εἰς τὸν κατακλυσμόν, εὑρῆκε αὐτὴν τὴν οἰκονομίαν, τὴν διὰ τῆς χάριτος, ὥστε νὰ μὴ ἀποβῇ ἄσκοπος ἡ δημιουργία του. Αὐτὸ ὀνομάζει πλήρωμα τῶν χρόνων καὶ σοφίαν· τὸ ὅτι τότε ἀκριβῶς ποὺ ἐπρόκειτο νὰ χαθοῦν, τότε ἐσώθησαν.

«Ν' ἀνακεφαλαιωθοῦν», λέγει. Τί σημαίνει ν' ἀνακεφαλαιωθοῦν; Νὰ ἑνωθοῦν. Ἀλλ' ἂς προσπαθήσωμεν νὰ κατανοήσωμεν τὸ νόημα αὐτῆς τῆς ἀληθείας. Διότι εἰς ἐμᾶς, καὶ ὅπως συνηθίζεται, ἀνακεφαλαίωσις λέγεται τὸ νὰ δίδῃ κανεὶς περίληψιν τῶν ὅσων ἐλέχθησαν διὰ μακρῶν λόγων, καὶ νὰ λέγῃ συντόμως ὅσα ἐλέχθησαν διὰ μακρῶν. Σημαίνει ὅμως καὶ αὐτό· ὅσα δηλαδὴ οἰκονομήθησαν εἰς μακρὸν χρόνον, ἀνεκεφαλαίωσεν εἰς αὐτόν, δηλαδὴ τὰ ἐσυντόμευσε. «Διότι ὁ Κύριος θὰ ἐκτελέσῃ συντόμως τὴν ἀπόφασίν του μὲ δικαιοσύνην»[27], καὶ ἐκεῖνα συμπεριέλαβε, καὶ ἄλλα προσέθεσε. Αὐτὸ εἶναι ἀνακεφαλαίωσις. Ὑπάρχει καὶ ἄλλο τὸ ὁποῖον σημαίνει. Μίαν κεφαλὴν ἔθεσεν εἰς ὅλους ἡ ἐνσάρκωσις τοῦ Χριστοῦ, καὶ εἰς τοὺς ἀγγέλους καὶ εἰς τοὺς ἀνθρώπους· δηλαδὴ καὶ εἰς τοὺς ἀγγέλους ἔδωσεν ἄλλην ἀρχήν, καὶ εἰς τοὺς ἀνθρώπους, εἰς μὲν τοὺς πρώτους τὸ κατὰ σάρκα, εἰς δὲ τοὺς δευτέρους τὸν Θεὸν Λόγον. Ὡσὰν νὰ

μὲν σαθρά, τὰ δὲ ἰσχυρὰ ἐχούσης, ἀνῳκοδόμησε τὴν οἰκίαν, τουτέστιν, ἰσχυροτέραν εἰργάσατο, ἰσχυροτέραν κρηπῖδι ὑπέθηκεν· οὕτω καὶ ἐνταῦθα πάντας ὑπὸ μίαν ἤγαγε κεφαλήν. Οὕτω γὰρ ἂν γένοιτο ἕνωσις οὕτως ἂν γένοιτο ἀκριβὴς συνάφεια, ὅταν ὑπὸ μίαν ἅπαντα ἀχθείη κεφαλήν, σύνδεσμόν τινα ἀναγκαῖον ἄνωθεν ἐπικείμενον ἔχοντα.

Τοσαύτης τοίνυν ἀξιωθέντες δωρεᾶς, τοσαύτης τιμῆς, τοσαύτης φιλανθρωπίας, μὴ καταισχύνωμεν τὸν εὐεργετήσαντα, μὴ εἰς κενὸν τὴν τοσαύτην χάριν ποιήσωμεν· ἀγγελικὸν βίον ἐπιδειξώμεθα, ἀγγελικὴν ἀρετὴν καὶ πολιτείαν. Ναὶ δέομαι καὶ ἀντιβολῶ, ἵνα μὴ εἰς κρῖμα μηδ' εἰς κατάκριμα γένηται ταῦτα πάντα ἡμῖν, ἀλλ' εἰς ἀπόλαυσιν ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι· δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἔλεγε κάποιος διὰ μίαν οἰκίαν ἡ ὁποία ἔχει ἄλλα μέρη μὲν σαθρά, ἄλλα δὲ ἰσχυρά, καὶ ὁ ὁποῖος ἀνοικοδόμησεν τὴν οἰκίαν, δηλαδὴ τὴν ἔκανεν ἰσχυροτέραν, ἔθεσεν εἰς αὐτὴν ἰσχυροτέραν βάσιν· ἔτσι καὶ ἐδῶ ἔθεσεν ὅλους κάτω ἀπὸ μίαν κεφαλήν. Διότι ἔτσι μόνον θὰ ἐγίνετο ἕνωσις, ἔτσι θὰ ἐγίνετο πλήρης συνένωσις, ὅταν τὰ πάντα ἐτίθεντο κάτω ἀπὸ μίαν κεφαλὴν καὶ εἶχον κάποιον σύνδεσμον ἀναγκαῖον ποὺ εἶχε τὴν ἀρχήν του εἰς τὸν οὐρανόν.

Ἀφοῦ ἠξιώθημεν λοιπὸν τόσον μεγάλης δωρεᾶς, τόσης τιμῆς, τόσης φιλανθρωπίας, ἂς μὴ ἐντροπιάσωμεν ἐκεῖνον ὁ ὁποῖος μᾶς εὐηργέτησεν, ἂς μὴ κάνωμεν ν' ἀποβῇ ματαία μία τόσον μεγάλη χάρις· ἂς ἐπιδείξωμεν ἀγγελικὸν βίον, ἀγγελικὴν ἀρετὴν καὶ πολιτείαν. Ναί, σᾶς ἱκετεύω καὶ σᾶς παρακαλῶ, διὰ νὰ μὴ γίνουν ὅλα αὐτὰ δι' ἡμᾶς αἰτία κατακρίσεως καὶ καταδίκης, ἀλλ' ἀπολαύσεως ἀγαθῶν· τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχωμεν ὅλοι, ἐν Χριστῷ Ἰησοῦ, ὁ ὁποῖος εἶναι Κύριός μας, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, δύναμις καὶ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Β΄
Ἐφεσ. 1, 11 — 14

«Ἐν ᾧ καὶ ἐκληρώθημεν προορισθέντες κατὰ πρόθεσιν τοῦ τὰ πάντα ἐνεργοῦντος κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ, εἰς τὸ εἶναι ἡμᾶς εἰς ἔπαινον τῆς δόξης αὐτοῦ, τοὺς προηλπικότας ἐν τῷ Χριστῷ· ἐν ᾧ καὶ ὑμεῖς ἀκούσαντες τὸν λόγον τῆς ἀληθείας, τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν, ἐν ᾧ καὶ πιστεύσαντες ἐσφραγίσθητε τῷ Πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ, ὅς ἐστιν ἀρραβὼν τῆς κληρονομίας ἡμῶν, εἰς ἀπολύτρωσιν τῆς περιποιήσεως, εἰς ἔπαινον τῆς δόξης αὐτοῦ».

1. Πανταχοῦ τὴν ἄφατον τοῦ Θεοῦ φιλανθρωπίαν ἐσπούδασεν ὁ Παῦλος τὴν περὶ ἡμᾶς δεῖξαι, ὡς αὐτῷ δυνατόν. Ὅτι γὰρ μετὰ ἀκριβείας οὐχ οἷόν τε, ἄκουσον τί φησιν αὐτός· «Ὦ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ· ὡς ἀνεξερεύνητα τὰ κρίματα αὐτοῦ, καὶ ἀνεξιχνίαστοι αἱ ὁδοὶ αὐτοῦ»· πλὴν ἀλλ' εἰς οἷόν τέ ἐστι, δείκνυσι.

Τί οὖν φησιν; «Ἐν ᾧ καὶ ἐκληρώθημεν προορισθέντες». Εἶπεν, «ἐξελέξατο ἡμᾶς», ἀνωτέρω· ἐνταῦθά φησιν, «ἐκληρώθημεν». Ἀλλ' ἐπειδὴ ὁ κλῆρος συντυχίας πρᾶγμά ἐστιν οὐ προαιρέσεως οὐδὲ ἀρετῆς· ἀγνοίας γὰρ καὶ ἐπιτυχίας ἔχεται, καὶ τοὺς ἐναρέτους πολλάκις ἀφεὶς, τοὺς οὐδενὸς ἀξίους λόγου, τούτους εἰς μέσον παρήγαγεν· ὅρα πῶς αὐτὸ διορθοῦται. «Προορισθέντες», φησί, «κατὰ πρόθεσιν τοῦ τὰ πάντα ἐνεργοῦντος». Τουτέστιν, οὐχ ἁπλῶς ἐκληρώθημεν,

---

1. Ἐφεσ. 1. 11-14.
2. Ρωμ. 11, 33.

ΛΟΓΟΣ Β΄
Ἐφεσ. 1, 11 — 14

«Διὰ τοῦ ὁποίου ἐγίναμεν κληρονόμοι ἐμεῖς οἱ ὁποῖοι προωρίσθημεν συμφώνως πρὸς τὸ σχέδιον ἐκείνου, ὁ ὁποῖος ἐνεργεῖ τὰ πάντα κατὰ τὴν ἀπόφασιν τοῦ θελήματός του, νὰ εἴμεθα εἰς ἔπαινον τῆς δόξης του, ἐμεῖς οἱ ὁποῖοι πρῶτοι ἠλπίσαμεν εἰς τὸν Χριστόν. Καὶ σεῖς, ἀφοῦ ἠκούσατε τὸν λόγον τῆς ἀληθείας, τὸ χαρμόσυνον ἄγγελμα τῆς σωτηρίας σας, καὶ τὸ ἐπιστέψατε, ἡνώθητε μὲ τὸν Χριστὸν καὶ ἐσφραγίσθητε μὲ τὸ Πνεῦμα τὸ ἅγιον, ποὺ ὑπεσχέθη ὁ Θεὸς καὶ τὸ ὁποῖον εἶναι ἀρραβὼν τῆς κληρονομίας μας μέχρι τῆς ἀπολυτρώσεως τοῦ λαοῦ ποὺ ὁ Θεὸς ἀπέκτησε πρὸς ἔπαινον τῆς δόξης του»[1].

1. Μὲ κάθε τρόπον ἐφρόντισεν ὁ Παῦλος, ὅσον τοῦ ἦτο δυνατόν, νὰ δείξῃ εἰς ἐμᾶς τὴν ἀπερίγραπτον φιλανθρωπίαν τοῦ Θεοῦ. Διὰ τὸ ὅτι δὲ δὲν εἶναι δυνατὸν νὰ φανερωθῇ ὁλόκληρος ἡ φιλανθρωπία τοῦ Θεοῦ, διότι εἶναι ἀπερίγραπτος, ἄκουσε τί λέγει ὁ ἴδιος· «Ὦ, βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως τοῦ Θεοῦ! Πόσον ἀνεξερεύνητοι εἶναι αἱ κρίσεις του, πόσον ἀνεξιχνίαστοι αἱ ὁδοί του!»[2]· πλὴν ὅμως φανερώνει αὐτήν, ὅσον τοῦ εἶναι δυνατόν.

Τί λοιπὸν λέγει; «Διὰ τοῦ ὁποίου ἐγίναμεν κληρονόμοι ἐμεῖς οἱ ὁποῖοι προωρίσθημεν». Πρὶν ἀπὸ αὐτὸ εἶπε «μᾶς ἐξέλεξεν»· ἐδῶ λέγει «ἐκληρώθημεν». Ἀλλ' ἐπειδὴ ὁ κλῆρος εἶναι ἀποτέλεσμα συμπτώσεως καὶ ὄχι προαιρέσεως, οὔτε ἀρετῆς, διότι περιλαμβάνει ἄγνοιαν καὶ τύχην, καὶ ἐνῷ πολλὰς φορὰς παραβλέπει τοὺς ἐναρέτους, ἀναδεικνύει τοὺς τελείως ἀναξίους, πρόσεξε πῶς τὸ διορθώνει. «Ἐμεῖς οἱ ὁποῖοι προωρίσθημεν», λέγει, «συμφώνως πρὸς τὸ σχέδιον ἐκείνου, ὁ ὁποῖος ἐνεργεῖ τὰ πάντα». Δηλαδὴ

ὥσπερ οὐδὲ ἁπλῶς ἐξελέγημεν· Θεὸς γὰρ ὁ ἐκλεξάμενος· οὐδὲ ἁπλῶς ἐκληρώθημεν· Θεὸς γὰρ ὁ κληρωσάμενος· ἀλλὰ κατὰ πρόθεσιν. Τοῦτο καὶ ἐν τῇ πρὸς Ρωμαίους γράφων φησί· «Τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν. Οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσεν, οὓς δὲ ἐδικαίωσε, τούτους καὶ ἐδόξασε».

Πρότερον εἰπών, «Τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν», ὁμοῦ καὶ τὸ ἐξαίρετον τὸ πρὸς τοὺς ἄλλους δηλῶσαι βουλόμενος, καὶ κλῆρον εἶπε, καὶ ὥστε τὸ αὐτεξούσιον μὴ ἀφελέσθαι, ὅπερ ἐστὶ μακαριότητος μᾶλλον αὐτὸ τίθησιν. Ὁ γὰρ κλῆρος οὐκ ἀρετῆς ἐστιν, ἀλλὰ συντυχίας, ὡς ἄν τις εἴποι. Ὡς ἂν εἰ ἔλεγε· κλήρου γενομένου ὑμᾶς ἐξελέξατο· τὸ δὲ ὅλον ἀπὸ τῆς προαιρέσεως. Προορισθέντας, φησί, τουτέστιν, ἑαυτῷ ἐκλεξάμενος ἀφώρισεν· οἷον, ἑώρα ἡμᾶς πρὶν ἢ γενέσθαι κεκληρωμένους. Θαυμαστὴ γὰρ ἡ τοῦ Θεοῦ πρόγνωσις, καὶ πάντα εἰδυῖα πρὶν γενέσεως αὐτῶν. Σὺ δὲ θέα πῶς πανταχοῦ σπουδὴν ποιεῖται δεῖξαι, ὅτι οὐκ ἐκ μετανοίας, ἀλλ' ἄνωθεν τὰ πράγματα οὕτω τετύπωτο, ὥστε μηδὲν ἡμᾶς ἔχειν τῶν Ἰουδαίων ἔλαττον κατὰ τοῦτο, καὶ διὰ τοῦτο πάντα ὑπὲρ τούτου ποιεῖ.

Πῶς οὖν φησιν αὐτὸς ὁ Χριστός, «Οὐκ ἀπεστάλην, εἰ μὴ εἰς τὰ πρόβατα τὰ ἀπολωλότα οἴκου Ἰσραήλ»; καὶ πάλιν τοῖς μαθηταῖς ἔλεγεν, «Εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ εἰσέλθητε»; καὶ αὐτὸς δὲ πάλιν ὁ Παῦλος ἔλεγεν, «Ὑμῖν ἦν ἀναγκαῖον πρῶτον λαληθῆναι τὸν λόγον τοῦ Θεοῦ· ἐπειδὴ δὲ ἀπωθεῖσθε αὐτόν, καὶ οὐκ ἀξίους κρίνετε ἑαυτοὺς τῆς αἰωνίου ζωῆς, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη». Διὰ γὰρ τοῦτο ταῦτα λέγεται, ἵνα μὴ ὡς ἐκ παρέρ-

---

3. Ρωμ. 8. 28, 30.
4. Ματθ. 15, 24.
5. Πράξ. 13, 46.

δὲν ἐκληρώθημεν τυχαίως, ὅπως οὔτε τυχαίως ἐξελέγημεν· διότι Θεὸς εἶναι ὁ ἐκλέξας· οὔτε ἐκληρώθημεν τυχαίως· διότι Θεὸς εἶναι ὁ κληρώσας· ἀλλὰ συμφώνως πρὸς σχέδιον. Αὐτὸ λέγει γράφων καὶ πρὸς τοὺς Ρωμαίους· «δι' ἐκείνους οἱ ὁποῖοι ἔχουν κληθῆ συμφώνως πρὸς τὴν πρόθεσιν τοῦ Θεοῦ. Αὐτοὺς δὲ ποὺ ἐκάλεσε, αὐτοὺς καὶ ἐδικαίωσεν, καὶ αὐτοὺς ποὺ ἐδικαίωσεν, αὐτοὺς καὶ ἐδόξασε»[3].

Ἀφοῦ εἶπε προηγουμένως «δι' ἐκείνους οἱ ὁποῖοι ἔχουν κληθῆ συμφώνως πρὸς τὴν πρόθεσιν τοῦ Θεοῦ», θέλων συγχρόνως νὰ δηλώσῃ καὶ τὴν ἐξαίρεσιν ἡ ὁποία ἔγινεν ὡς πρὸς τοὺς ἄλλους, εἶπε καὶ ὅτι ἐκληρώθημεν, καί, διὰ νὰ μὴ νομισθῇ ὅτι καταργεῖται τὸ αὐτεξούσιον, ἐκεῖνο τὸ ὁποῖον εἶναι περισσότερον σημεῖον μακαριότητος, αὐτὸ λέγει. Διότι ὁ κλῆρος δὲν εἶναι ἀποτέλεσμα ἀρετῆς, ἀλλὰ συμπτώσεως, θὰ ἠμποροῦσε κανεὶς νὰ εἴπῃ. Ὅπως ἐὰν ἔλεγεν· ἀφοῦ ἔγινε κλήρωσις τότε σᾶς ἐξέλεξεν· ἀλλὰ βάσις αὐτοῦ ἦτο ἡ προαίρεσις. Διότι, προωρίσθημεν, λέγει, δηλαδὴ μᾶς ἐξεχώρισεν ἀφοῦ μᾶς ἐξέλεξε διὰ τὸν ἑαυτόν του· ἤτοι, μᾶς ἐγνώριζε προτοῦ νὰ κληρωθῶμεν. Διότι εἶναι θαυμαστὴ ἡ πρόγνωσις τοῦ Θεοῦ καὶ γνωρίζει τὰ πάντα πρὶν γίνουν. Σὺ ὅμως πρόσεχε πῶς μὲ κάθε τρόπον προσπαθεῖ νὰ δείξῃ, ὅτι, ὄχι ἐπειδὴ ἤλλαξεν ἀπόφασιν ὁ Θεός, ἀλλ' ἔτσι εἶχε προσχεδιάσει τὰ πράγματα, ὥστε νὰ μὴ ἔχωμεν τίποτε ὀλιγώτερον ἐμεῖς ἀπὸ τοὺς Ἰουδαίους ὡς πρὸς τὴν ἀπὸ τοῦ Θεοῦ ἐκλογὴν καὶ δι' αὐτὸ κάνει τὰ πάντα πρὸς τὸν σκοπὸν αὐτόν.

Πῶς ὅμως λέγει ὁ ἴδιος ὁ Χριστός· «Δὲν ἀπεστάλην, παρὰ εἰς τὰ χαμένα πρόβατα τοῦ οἴκου τοῦ Ἰσραήλ»[4]; Καὶ πάλιν εἰς τοὺς μαθητάς του ἔλεγε· «Πρὸς τοὺς ἐθνικοὺς μὴ πηγαίνετε καὶ εἰς πόλιν τῶν Σαμαρειτῶν μὴ εἰσέλθετε»; Καὶ ὁ ἴδιος ὁ Παῦλος πάλιν ἔλεγεν· «Ἦτο ἀναγκαῖον νὰ κηρυχθῇ ὁ λόγος τοῦ Θεοῦ πρῶτον εἰς ἐσᾶς· ἐπειδὴ ὅμως τὸν ἀποκρούετε καὶ δὲν κρίνετε τοὺς ἑαυτούς σας ἀξίους τῆς αἰωνίου ζωῆς, στρεφόμεθα τώρα πρὸς τὰ ἔθνη»[5]. Διὰ

γου νομίση τις τοῦτο γεγενῆσθαι· «Κατὰ πρόθεσιν», φησί, «τοῦ τὰ πάντα ἐνεργοῦντος κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ». Τουτέστιν, οὐδὲν μετὰ ταῦτα ἐνήργησε· πάντα ἄνωθεν διατυπώσας, οὕτως αὐτὸς ἐπάγει πάντα κατὰ τὴν βουλὴν τοῦ θελήματος αὐτοῦ. Ὥστε οὐκ ἐπειδὴ Ἰουδαῖοι οὐ προσεῖχον, διὰ τοῦτο τὰ ἔθνη ἐκάλεσεν, οὐδὲ ἀναγκασθείς, οὐδὲ ἐξ ἐκείνων ὁρμηθείς.

«Εἰς τὸ εἶναι ἡμᾶς», φησίν, «εἰς ἔπαινον τῆς δόξης αὐτοῦ, τοὺς προηλπικότας ἐν τῷ Χριστῷ· ἐν ᾧ καὶ ὑμεῖς ἀκούσαντες τὸν λόγον τῆς ἀληθείας, τὸ εὐαγγέλιον τῆς σωτηρίας ὑμῶν»· τουτέστι, δι' οὗ. Ὅρα πανταχοῦ τὸν Χριστὸν αἴτιον πάντων γενόμενον, καὶ οὐδαμοῦ τὸ τοῦ ὑπουργοῦ ὄνομα, οὐδὲ τὸ τοῦ διακόνου· ὥσπερ καὶ ἀλλαχοῦ φησιν Ἑβραίοις γράφων, ὅτι «Πάλαι λαλήσας τοῖς πατράσιν ἡμῶν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐλάλησεν ἡμῖν ἐν Υἱῷ»· τουτέστι, δι' Υἱοῦ. «Τὸν λόγον», φησί, «τῆς ἀληθείας»· οὐκέτι τὸν τοῦ τύπου, οὐδὲ τὸν τῆς εἰκόνος. «Τὸ εὐαγγέλιον τῆς σωτηρίας ἡμῶν». Καὶ καλῶς εὐαγγέλιον αὐτὸ σωτηρίας καλεῖ, τὸ μὲν πρὸς τὸν νόμον αἰνιττόμενος, τὸ δὲ πρὸς τὴν μέλλουσαν κόλασιν. Οὐδὲν γὰρ ἄλλο ἐστὶ τὸ κήρυγμα, ἀλλ' ἢ σωτηρίας εὐαγγέλιον, ὅτι τοὺς ἀξίους ἀπόλλυσθαι οὐκέτι ἀπόλλυσιν.

2. «Ἐν ᾧ καὶ πιστεύσαντες ἐσφραγίσθητε ἐν τῷ Πνεύματι τῆς ἐπαγγελίας τῷ ἁγίῳ, ὅς ἐστιν ἀρραβὼν τῆς κληρονομίας ἡμῶν». Πάλιν πολλῆς προνοίας δεῖγμα τὸ σφραγισθῆναι, οὐ τὸ ἀφορισθῆναι, οὐδὲ τὸ κληρωθῆναι μόνον, ἀλλὰ καὶ τὸ σφραγισθῆναι. Καθάπερ γὰρ εἴ τις τοὺς λα-

6. Ἑβρ. 1. 1, 2.

τοῦτο βεβαίως λέγονται αὐτά, διὰ νὰ μὴ νομίσῃ κανεὶς ὅτι αὐτὸ ἔγινεν ὡσὰν πάρεργον. «Συμφώνως πρὸς τὸ σχέδιον ἐκείνου», λέγει, «ὁ ὁποῖος ἐνεργεῖ τὰ πάντα κατὰ τὴν ἀπόφασιν τοῦ θελήματός του». Δηλαδή, τίποτε δὲν ἐνήργησε μετὰ ἀπὸ αὐτά· ἀφοῦ ἐσχεδίασεν ἄνωθεν τὰ πάντα, ὁδηγεῖ αὐτὸς τὰ πάντα κατὰ τὸ θέλημά του. Ὥστε δὲν ἐκάλεσε τὰ ἔθνη ἐπειδὴ δὲν ἦσαν προσηλωμένοι εἰς αὐτὸν οἱ Ἰουδαῖοι, οὔτε ἐπειδὴ ἠναγκάσθη, οὔτε ἐπειδὴ παρωρμήθη ἀπὸ ἐκείνους.

«Νὰ εἴμεθα εἰς ἔπαινον τῆς δόξης του», λέγει, «ἐμεῖς οἱ ὁποῖοι πρῶτοι ἠλπίσαμεν εἰς τὸν Χριστόν, διὰ τοῦ ὁποίου καὶ σεῖς ἠκούσατε τὸν λόγον τῆς ἀληθείας, τὸ χαρμόσυνον ἄγγελμα τῆς σωτηρίας σας»· δηλαδή, 'διὰ τοῦ Χριστοῦ'. Κοίταξε πῶς ὁ Χριστὸς ἔγινεν αἴτιος ὅλων, καὶ πουθενὰ δὲν τίθεται τὸ ὄνομα τοῦ βοηθοῦ ἢ τοῦ ὑπηρέτου· ὅπως καὶ ἀλλοῦ λέγει, ὅταν γράφῃ εἰς τοὺς Ἑβραίους, ὅτι· «Ἀφοῦ ὁ Θεός, κατὰ πολλοὺς καὶ διαφόρους τρόπους ὡμίλησε κατὰ τὴν ἀρχαίαν ἐποχὴν εἰς τοὺς πατέρας μας διὰ τῶν προφητῶν, κατὰ τὰς τελευταίας αὐτὰς ἡμέρας ὡμίλησεν εἰς ἐμᾶς ἐν τῷ Υἱῷ»[6]· δηλαδή, 'διὰ τοῦ Υἱοῦ'. «Τὸν λόγον», λέγει, «τῆς ἀληθείας»· ὄχι τὸν λόγον τοῦ τύπου, οὔτε τὸν λόγον τῆς εἰκόνος. «Τὸ χαρμόσυνον ἄγγελμα τῆς σωτηρίας σας». Ὀρθῶς ὀνομάζει αὐτὸ χαρμόσυνον ἄγγελμα σωτηρίας, ὑπαινισσόμενος ἀφ' ἑνὸς μὲν τὸν νόμον, ἀφ' ἑτέρου δὲ τὴν κόλασιν. Διότι τίποτε ἄλλο δὲν εἶναι τὸ κήρυγμα, παρὰ χαρμόσυνον ἄγγελμα σωτηρίας, καθ' ὅσον ἐκείνους οἱ ὁποῖοι εἶναι ἄξιοι νὰ καταστραφοῦν, δὲν τοὺς καταστρέφει ἀκόμη.

2. «Καὶ ἀφοῦ ἐπιστέψατε, ἠνώθητε μὲ τὸν Χριστὸν καὶ ἐσφραγίσθητε μὲ τὸ Πνεῦμα τὸ ἅγιον, ποὺ ὑπεσχέθη ὁ Θεός, καὶ τὸ ὁποῖον εἶναι ἀρραβὼν τῆς κληρονομίας μας. Πάλιν εἶναι δεῖγμα πολλῆς προνοίας τὸ ὅτι ἐσφραγίσθησαν, τὸ ὅτι, ὄχι μόνον ἐξεχωρίσθησαν, ὄχι μόνον ἐκληρώθησαν, ἀλλὰ καὶ ἐσφραγίσθησαν. Ὅπως ἀκριβῶς δηλα-

χόντας αὐτῷ δήλους ποιήσειεν, οὕτω καὶ ὁ Θεὸς ἀφώρισεν εἰς τὸ πιστεῦσαι, ἐσφράγισεν εἰς τὸ κληρονομῆσαι τὰ μέλλοντα. Ὁρᾷς πῶς, προϊόντος τοῦ χρόνου, θαυμαστοὺς αὐτοὺς ποιεῖ; Ἕως μὲν γὰρ ἦσαν ἐν τῇ προγνώσει, οὐδενὶ ἦσαν δῆλοι· ἐπειδὴ δὲ ἐσφραγίσθησαν, δῆλοι γεγόνασιν, ἀλλ' οὐχ ὡς ὑμεῖς· ἔσονται γὰρ πλὴν ὀλίγων δῆλοι. Ἐσφραγίσθησαν καὶ οἱ Ἰσραηλῖται, ἀλλὰ περιτομῇ, καθάπερ τὰ βοσκήματα καὶ τὰ ἄλογα· ἐσφραγίσθημεν καὶ ἡμεῖς, ἀλλ' ὡς υἱοί, Πνεύματι.

Τί ἐστι, «Πνεύματι ἐπαγγελίας»; Ἤτοι ὅτι κατὰ ἐπαγγελίαν αὐτὸ ἐλάβομεν. Δύο γάρ εἰσιν ἐπαγγελίαι, μία μὲν διὰ τῶν προφητῶν, ἑτέρα δὲ ὑπὸ τοῦ Υἱοῦ· διὰ τῶν προφητῶν· ἄκουε τοῦ Ἰωὴλ λέγοντος, «Ἐκχεῶ ἀπὸ τοῦ Πνεύματός μου ἐπὶ πᾶσαν σάρκα, καὶ προφητεύσουσιν οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν, καὶ οἱ νεανίσκοι ὑμῶν ὁράσεις ὄψονται, καὶ οἱ πρεσβύτεροι ὑμῶν ἐνύπνια ἐνυπνιασθήσονται»· ἄκουε δὲ πάλιν τοῦ Χριστοῦ λέγοντος· «Καὶ λήψεσθε δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ' ὑμᾶς, καὶ ἔσεσθέ μοι μάρτυρες ἔν τε Ἱερουσαλήμ, καὶ ἐν πάσῃ τῇ Ἰουδαίᾳ καὶ Σαμαρείᾳ, καὶ ἕως ἐσχάτου τῆς γῆς». Καίτοι ἔδει, φησίν, αὐτὸν ὡς Θεὸν πιστευθῆναι· ἀλλ' οὐκ ἀπὸ τούτου διϊσχυρίζεται, ἀλλ' ὡς περὶ ἀνθρώπου ἐξετάζει, ὥσπερ ἐν τῇ πρὸς Ἑβραίους λέγων· «Ἵνα διὰ δύο πραγμάτων ἀμεταθέτων, ἐν οἷς ἀδύνατον ψεύσασθαι Θεόν, ἰσχυρὰν παράκλησιν ἔχωμεν». Οὕτω καὶ ἐνταῦθα τεκμήριον ποιεῖται τῆς τῶν μελλόντων ἐπαγγελίας τὰ ἤδη δεδομένα. Διὰ τοῦτο καὶ ἀρραβῶνα καλεῖ·

---

7. Ἰωὴλ 3, 1.
8. Πράξ. 1, 8.
9. Ἑβρ. 6, 18.

δή κάποιος πού θέλει νά διακρίνη διά σημείου αὐτούς πού τοῦ ἔτυχον διά κλήρου, ἔτσι καί ὁ Θεός ἐξεχώρισεν αὐτούς διά νά πιστεύσουν καί τούς ἐσφράγισε διά νά κληρονομήσουν τά μέλλοντα. Βλέπεις πῶς μέ τήν πάροδον τοῦ χρόνου, καθιστᾶ αὐτούς ἀξιοθαυμάστους; Ὅσον χρόνον δηλαδή ὑπῆρχον μόνον εἰς τήν πρόγνωσίν του, εἰς κανένα δέν ἦσαν γνωστοί, ὅταν ὅμως ἐσφραγίσθησαν, ἔγιναν γνωστοί, ἀλλ' ὄχι ὅπως ἐσεῖς· διότι, θά γίνουν γνωστοί, ἐκτός ὅμως ἀπό ὀλίγους. Ἐσφραγίσθησαν καί οἱ Ἰσραηλῖται, ἀλλά μέ περιτομήν, ὅπως ἀκριβῶς τά κατοικίδια καί τά ἄλογα ζῶα· ἐσφραγίσθημεν καί ἐμεῖς, ἀλλ' ὡσάν υἱοί, μέ τό ἅγιον Πνεῦμα.

Τί σημαίνει «μέ τό ἅγιον Πνεῦμα, πού ὑπεσχέθη ὁ Θεός»; Ὅτι ἐλάβομεν αὐτό συμφώνως πρός ὑπόσχεσιν. Διότι δύο εἶναι αἱ δοθεῖσαι ὑποσχέσεις, ἡ μία διά τῶν προφητῶν, ἡ ἄλλη ὑπό τοῦ Υἱοῦ. Διά τῶν προφητῶν· ἄκουε τόν Ἰωήλ ὁ ὁποῖος λέγει· «Θά ἐκχύσω τό Πνεῦμα μου εἰς κάθε ἄνθρωπον, οἱ υἱοί σας καί αἱ θυγατέραι σας θά προφητεύσουν, οἱ πρεσβύτεροί σας θά ἴδουν ὄνειρα προφητικά, οἱ νέοι σας θά βλέπουν ὁράσεις»[7]· ἄκουε δέ πάλι τόν Χριστόν, ὁ ὁποῖος λέγει· «Θά λάβετε δύναμιν, ὅταν ἔλθη τό ἅγιον Πνεῦμα ἐπάνω σας, καί θά εἶσθε μάρτυρές μου εἰς τήν Ἱερουσαλήμ καί εἰς ὁλόκληρον τήν Ἰουδαίαν καί Σαμάρειαν καί μέχρι τά πέρατα τῆς γῆς»[8]. Καί βέβαια, λέγει, ἔπρεπε νά πιστευθῆ αὐτός ὡς Θεός· δέν τό λέγει ὅμως αὐτό κατ' αὐτόν τόν τρόπον, ἀλλ' ἐξετάζει τό θέμα ὡσάν νά πρόκειται περί ἀνθρώπου, ὅπως εἰς τήν ἐπιστολήν πρός Ἑβραίους, ὅπου λέγει· «ὥστε, διά δύο πραγμάτων ἀμεταβλήτων, διά τά ὁποῖα εἶναι ἀδύνατον ν' ἀποδειχθῆ ὁ Θεός ψεύτης, ἐμεῖς, πού κατεφύγαμεν εἰς αὐτόν, νά ἔχωμεν μεγάλην ἐνθάρρυσιν νά κρατήσωμεν σταθερῶς τήν ἐλπίδα πού εἶναι ἐνώπιόν μας»[9]. Ἔτσι καί ἐδῶ παρουσιάζει ὡς ἀπόδειξιν τῆς πραγματοποιήσεως τῆς ὑποσχέσεως διά τά μέλλοντα, αὐτά πού ἔχουν ἤδη δοθῆ. Διά τοῦτο καί

ὁ γὰρ ἀρραβὼν μέρος ἐστὶ τοῦ παντός. Ἠγόρασε παρ' ἡμῶν τὴν σωτηρίαν τὴν ἡμετέραν, καὶ ἔδωκεν ἡμῖν ἀρραβῶνα τέως.

Διὰ τί οὖν μὴ τὸ ὅλον εὐθέως ἔδωκεν; Ἐπειδὴ μηδὲ ἡμεῖς τὸ ὅλον εἰργασάμεθα· Ἐπιστεύσαμεν· τοῦτο ἀρχή· ἔδωκε καὶ αὐτὸς ἀρραβῶνα. Ὅταν τὴν πίστιν διὰ τῶν ἔργων δείξωμεν τότε τὸ πᾶν προστίθησι. Μᾶλλον δὲ καὶ ἄλλην ἔδωκε τιμήν, τὸ ἴδιον αἷμα, καὶ πάλιν ἄλλην ὑπέσχετο. Καθάπερ εἰ πόλεμος εἴη ἔθνεσι πρὸς ἔθνη, διδόασιν ὁμήρους, οὕτω καὶ ὁ Θεὸς ἔδωκε τὸν Υἱὸν αὐτοῦ, τῆς εἰρήνης καὶ τῶν σπουδῶν ἐνέχυρον, καὶ τὸ Πνεῦμα τὸ ἅγιον τὸ ἐξ αὐτοῦ. Οἱ γὰρ ὄντως Πνεύματος μετέχοντες, ἴσασιν ὅτι ἀρραβὼν τῆς κληρονομίας ἡμῶν ἐστι· Τοιοῦτος ὁ Παῦλος ἦν, ἐντεῦθεν ἤδη τῶν ἐκεῖ γεγευμένος· διὸ καὶ ἠπείγετο καὶ ὤδινε καὶ ἐνθάδε ἀφεῖναι, καὶ ἔστενεν· ἑτέροις γὰρ ὀφθαλμοῖς ἑώρα, πάντα τὸν νοῦν μεταστήσας ἐκεῖ. Οὐ μετέχεις τῶν πραγμάτων· διὰ τοῦτο καὶ τῶν ῥημάτων ἐκπίπτεις. Εἰ μετείχομεν πάντες Πνεύματος, ὡς μετέχειν ἔδει, καὶ τοὺς οὐρανοὺς ἑωρῶμεν καὶ τὴν ἐκεῖ κατάστασιν.

Ἀρραβὼν τίνος ἐστί; Τῆς ἀπολυτρώσεως, τῆς περιποιήσεως· ἡ γὰρ καθαρὰ ἀπολύτρωσις τότε γίνεται. Νῦν μὲν γὰρ καὶ ἐν κόσμῳ ἀναστρεφόμεθα, καὶ πολλὰ ἡμῖν ἀνθρώπινα συμπίπτει, καὶ μετὰ ἀσεβῶν ἐσμεν· ἡ δὲ καθαρὰ ἀπολύτρωσις, ὅταν μήτε ἁμαρτήματα ᾖ, μήτε πάθη ἀνθρώπινα, μήτε ἀναμὶξ ὦμεν μετὰ πάντων, τότε ἐστί. Νῦν δὲ ἀρραβών. Καὶ γὰρ καὶ νῦν αὐτῶν ἀπέστημεν· οὐ γάρ ἐστιν ἡμῶν τὸ πολίτευμα ἐπὶ τῆς γῆς· καὶ νῦν ἐκτός ἐσμεν· πάροικοι γάρ ἐσμεν· καὶ

τὰ ὀνομάζει ἀρραβῶνα· διότι ὁ ἀρραβὼν εἶναι μέρος τοῦ ὅλου. Ἀγόρασε τὴν ἰδικήν μας σωτηρίαν καὶ μᾶς ἔδωσεν προηγουμένως ἀρραβῶνα.

Διατί λοιπὸν δὲν ἔδωσεν ἀμέσως τὸ ὅλον; Ἐπειδὴ οὔτε καὶ ἐμεῖς εἰργάσθημεν διὰ τὸ ὅλον. Ἐπιστεύσαμεν· αὐτὸ εἶναι ἡ ἀρχή· ἔδωσε καὶ αὐτὸς ἀρραβῶνα. Ὅταν δείξωμεν τὴν πίστιν διὰ τῶν ἔργων, τότε θὰ δώσῃ τὸ ὅλον. Μάλιστα δὲ ἔδωσεν ἐπὶ πλέον καὶ ἄλλην τιμήν, δηλαδὴ τὸ ἰδικόν του αἷμα, καὶ πάλιν ὑπεσχέθη καὶ ἄλλην. Ὅπως ὅταν γίνεται πόλεμος μεταξὺ ἐθνῶν, δίδουν ὁμήρους, ἔτσι καὶ ὁ Θεὸς ἔδωσε τὸν Υἱόν του, ὡς ἐνέχυρον τῆς εἰρήνης καὶ τῆς συμμαχίας, καὶ τὸ ἅγιον Πνεῦμα τὸ ὁποῖον ἐκπορεύεται ἀπὸ αὐτὸν (τὸν Πατέρα). Διότι ἐκεῖνοι οἱ ὁποῖοι μετέχουν πράγματι τοῦ Πνεύματος, γνωρίζουν ὅτι εἶναι ἀρραβὼν τῆς ἰδικῆς μας κληρονομίας. Τέτοιος ἦτο ὁ Παῦλος, ὁ ὁποῖος ἐγεύθη ἀπὸ αὐτὴν τὴν ζωὴν τὰ τῆς αἰωνίου· διὰ τοῦτο καὶ ἠπείγετο καὶ ᾐσθάνετο πόνους δυνατοὺς καὶ ἐστέναζε διὰ νὰ ἐγκαταλείψῃ τὰ τῆς ἐδῶ ζωῆς· διότι ἔβλεπε μὲ ἄλλους ὀφθαλμούς, μεταθέσας ἐξ ὁλοκλήρου τὸν νοῦν του ἐκεῖ. Δὲν μετέχεις εἰς τὰ πράγματα· διὰ τοῦτο ἐκπίπτεις καὶ ἀπὸ τοὺς λόγους. Ἐὰν μετείχομεν ὅλοι τοῦ ἁγίου Πνεύματος, ὅπως ἔπρεπε νὰ μετέχωμεν, καὶ τοὺς οὐρανοὺς θὰ ἐβλέπομεν καὶ τὴν ἐκεῖ κατάστασιν.

Τίνος πράγματος ἀρραβὼν εἶναι; Τῆς ἀπολυτρώσεως, τῆς σωτηρίας· καθ' ὅσον ἡ ἀληθὴς ἀπολύτρωσις τότε γίνεται. Διότι τώρα μὲν καὶ μὲ κόσμον συναναστρεφόμεθα, καὶ πολλὰ ἀνθρώπινα συμβαίνουν εἰς ἐμᾶς, καὶ μαζὶ μὲ ἀσεβεῖς εἴμεθα· ἀλλ' ἡ καθαρὰ ἀπολύτρωσις ὑπάρχει τότε, ὅταν οὔτε ἁμαρτήματα ὑπάρχουν, οὔτε ἀνθρώπινα πάθη, οὔτε εἴμεθα ἀναμιγμένοι μαζὶ μὲ ὅλους. Τώρα ὅμως εἶναι ἀρραβών. Ἀλλὰ καὶ τώρα ἔχομεν ἀπομακρυνθῆ ἀπὸ αὐτά· διότι τὸ πολίτευμά μας δὲν εἶναι ἐπὶ τῆς γῆς· καὶ τώρα εἴμεθα ἐκτὸς αὐτῶν· διότι προσωρινῶς εὑρισκόμεθα ἐδῶ· καὶ

νῦν χωρὶς ἁμαρτημάτων, οἱ ὄντες «εἰς ἔπαινον τῆς δόξης αὐτοῦ».

Συνεχῶς τοῦτο τίθησι. Τί δήποτε; Ἱκανὸν ὂν πληροφορῆσαι τοὺς ἀκούοντας. Εἰ μὲν γὰρ ἡμῶν ἕνεκεν, φησί, ταῦτα ἐποίει, οὐκ ἂν ἦν ἀναμφίβολον· εἰ δὲ δι' ἑαυτόν, καὶ ὥστε δεῖξαι τὴν ἀγαθωσύνην αὐτοῦ, ὥσπερ τινὰ μαρτυρίαν, αἰτίαν τίθησι τοῦ μὴ ἂν ἄλλως ταῦτα γενέσθαι· ἅπερ καὶ ἐπὶ τῶν Ἰσραηλιτῶν ἄνω καὶ κάτω ὁρῶμεν λεγόμενα· «Ποίησον ἡμῖν διὰ τὸ ὄνομά σου»· καὶ πάλιν αὐτὸς ὁ Θεὸς ἔλεγε, «Ποιῶ ἕνεκεν ἐμοῦ»· καὶ ὁ Μωϋσῆς, «Ποίησον ἡμῖν διὰ τὸ ὄνομά σου, εἰ καὶ μηδενὸς ἕνεκεν ἑτέρου». Πληροφορεῖ γὰρ τοῦτο τοὺς ἀκούοντας καὶ ἀνίησι, μαθόντας ὅτι διὰ τὴν οἰκείαν ἀγαθότητα πάντως ποιήσει, ἅπερ ἐπαγγέλλεται.

3. Ἀλλὰ μὴ ῥαθυμῶμεν ἀκούοντες· εἰ γὰρ καὶ δι' ἑαυτὸν ποιεῖ, ἀλλ' ὅμως καὶ τὰ παρ' ἡμῶν ἀπαιτεῖ. Εἰ γάρ, «Τοὺς δοξάζοντάς με δοξάσω», φησί, «καὶ οἱ ἐξουθενοῦντές με ἐξουθενήσονται»· ἐννοήσωμεν, ὅτι καὶ τὰ παρ' ἡμῶν ἐπιζητεῖ. Ἔπαινός ἐστι τῆς δόξης αὐτοῦ τὸ τοὺς ἐχθροὺς σῶσαι, ἀλλ' ἐκείνους τοὺς μετὰ τὸ γενέσθαι φίλους μείναντας φίλους· ὡς εἰ πάλιν ἐπὶ τὴν προτέραν ἔχθραν ἐπανέλθοιεν, πάντα εἰκῇ καὶ μάτην. Ἕτερον γὰρ οὐκ ἔστι λουτρόν, οὐδὲ καταλλαγὴ πάλιν δευτέρα, ἀλλὰ «Φοβερά τις ἐκδοχὴ κρίσεως, καὶ πυρὸς ζῆλος ἐσθίειν μέλλοντος τοὺς ὑπεναντίους». Εἰ γὰρ μέλλοιμεν ἀεὶ ἐχθραίνοντες αὐτῷ ἀξιοῦσθαι παρ' αὐτοῦ συγγνώμης, οὐ παυσόμεθα ἐχθραίνοντες καὶ θρυπτόμενοι καὶ

---

10. Ψαλμ. 108, 21.
11. Ἡσ. 48, 11.
12. Α' Βασ. 2, 30.
13. Ἑβρ. 10, 27.

τώρα εἶναι ἀπηλλαγμένοι ἀπὸ τὴν ἁμαρτίαν, ἐκεῖνοι οἱ ὁποῖοι προωρίσθησαν νὰ εἶναι «πρὸς ἔπαινον τῆς δόξης του».

Συνεχῶς αὐτὸ λέγει. Διατί ἆρά γε; Διότι ἦτο ἀρκετὸν διὰ νὰ πείσῃ τοὺς ἀκούοντας. Διότι ἐάν, λέγει, ἔκαμνεν αὐτὰ δι' ἐμᾶς, δὲν θὰ ἦτο ἀναμφισβήτητον· ἐὰν ὅμως κάμνῃ αὐτὰ διὰ τὸν ἑαυτόν του καὶ διὰ νὰ δείξῃ τὴν ἀγαθότητά του, ὡσὰν κάποιαν μαρτυρίαν, θέτει αὐτὸ ὡς αἰτίαν τοῦ ὅτι δὲν ἦτο δυνατὸν αὐτὰ νὰ γίνουν ἄλλως· πράγματα ποὺ καὶ διὰ τοὺς Ἰουδαίους βλέπομεν νὰ λέγωνται εἰς πολλὰς περιπτώσεις· «Φρόντισε δι' ἐμένα χάριν τοῦ ὀνόματός σου»[10]· καὶ πάλιν ὁ ἴδιος ὁ Θεὸς ἔλεγε· «πρὸς χάριν μου κάμνω τοῦτο»[11]· καὶ ὁ Μωϋσῆς, «Δεῖξε πρόνοιαν δι' ἡμᾶς πρὸς δόξαν τοῦ ὀνόματός σου, ἂν ὄχι πρὸς χάριν τίποτε ἄλλου». Διότι τοῦτο καταπείθει καὶ παρακινεῖ τοὺς ἀκούοντας, ὅταν μάθουν ὅτι ἐξ αἰτίας τῆς ἰδικῆς του ἀγαθότητος θὰ πραγματοποιήσῃ ὁπωσδήποτε ὅσα ὑπόσχεται.

3. Ἀλλ' ἂς μὴ δείχνωμεν ἀδιαφορίαν ἀκούοντες αὐτά· διότι ἂν καὶ πραγματοποιεῖ αὐτὰ ἀπὸ τὴν ἀγαθότητά του, ἀπαιτεῖ ὅμως καὶ τὰ ὅσα εἶναι δυνατὸν νὰ γίνουν ἀπὸ ἐμᾶς. Διότι ἐάν, λέγει, «ἐκείνους οἱ ὁποῖοι μὲ τιμοῦν θὰ τοὺς τιμήσω, καὶ ἐκεῖνοι οἱ ὁποῖοι μὲ καταφρονοῦν θὰ καταφρονηθοῦν»[12], πρέπει νὰ καταλάβωμεν, ὅτι ἀπαιτεῖ καὶ ἀπὸ ἐμᾶς τὰ ὅσα δυνάμεθα. Ἔπαινος τῆς δόξης τοῦ Θεοῦ εἶναι τὸ νὰ σώζῃ τοὺς ἀνθρώπους, οἱ ὁποῖοι εἶχον γίνει ἐχθροί του, ἀλλ' ὅταν ἐκεῖνοι, ἀφοῦ ἔγιναν φίλοι του, παραμείνουν φίλοι του, διότι ἐὰν πάλιν ἐπανέλθουν εἰς τὴν προηγουμένην ἔχθραν, ὅλα ἀποβαίνουν ἀνωφελῆ καὶ μάταια. Καθ' ὅσον δὲν ὑπάρχει ἄλλο λουτρὸν καθαρισμοῦ, οὔτε πάλιν δευτέρα συναλλαγή, ἀλλὰ «μᾶς ἀναμένει φοβερὰ κρίσις καὶ φρικτὸν πῦρ ποὺ θὰ καταφάγῃ ἐκείνους ποὺ εἶναι ἐνάντιοι τοῦ Θεοῦ»[13]. Διότι ἐὰν συμβῇ, ἐνῷ θὰ εἴμεθα πάντοτε ἐχθροί του, νὰ ζητῶμεν συγγνώμην ἀπὸ τὸν Θεόν, δὲν θὰ παύσωμεν νὰ εἴμεθα ἐχθροί του καὶ νὰ ὑπερηφανευώμεθα καὶ νὰ ζῶμεν μὲ τρυφὴν καὶ νὰ γινώ-

χείρους γινόμενοι, καὶ πεπηρωμένοι τοῦ ἡλίου τῆς δικαιοσύνης παραγενομένου. Οὐχ ὁρᾷς τὴν ἀκτῖνα ἀνοίγουσάν σου τοὺς ὀφθαλμούς; Καλοὺς αὐτοὺς ἔργασαι, ὑγιεῖς, ὀξυδερκεῖς· Ἔδειξέ σοι τὸ φῶς τὸ ἀληθινόν· ἂν πάλιν αὐτὸ φυγών, τῷ σκότει προσδράμῃς, τίς ἔσται ἀπολογία, ποία συγγνώμη; Οὐδεμία λοιπόν· μίσους ἀρρήτου γάρ ἐστι τοῦτο σημεῖον. Ὅτε μὲν γὰρ οὐκ ᾔδεις τὸν Θεόν, ἐχθραίνων αὐτῷ, ὁπωσδήποτέ τινα συγγνώμην εἶχες· ἐπειδὴ δὲ ἐγεύσω τῆς χρηστότητος καὶ τοῦ μέλιτος, ἂν πάλιν ἀφεὶς ἐπὶ τὸν ἔμετον ἔλθῃς τὸν σαυτοῦ, οὐδὲν ἕτερον ἀλλ' ἢ μεγάλου μίσους καὶ καταφρονήσεως ἐκφέρεις σημεῖα.

Οὔ, φησίν, ἀλλ' ὑπὸ τῆς φύσεως ἀναγκάζομαι· φιλῶ μὲν οὖν τὸν Χριστόν, ἀναγκάζομαι δὲ ὑπὸ τῆς φύσεως. Εἰ ἀνάγκην καὶ βίαν ὑπομένεις ἕξεις συγγνώμην· εἰ δὲ ἀπὸ ῥᾳθυμίας καταπίπτεις, οὐκέτι. Φέρε οὖν, αὐτὸ δὴ τοῦτο ἐξετάσωμεν, πότερον ἐξ ἀνάγκης καὶ βίας τὰ ἁμαρτήματα γίνεται, ἢ ἀπὸ ῥᾳθυμίας καὶ ὀλιγωρίας πολλῆς. «Οὐ φονεύσεις», φησί. Ποία τοῦτο ἀνάγκη, ποία βία; Βία μὲν οὖν ἐστι τὸ φονεύειν. Τίς γὰρ ἂν ἡμῶν ἕλοιτο βαπτίσαι ξίφος εἰς τὸν λαιμὸν τοῦ πλησίον, καὶ αἱμάξαι τὴν δεξιάν; Οὐδὲ εἷς. Ὁρᾷς ὅτι τοὐναντίον, ἀνάγκη τὸ ἁμαρτάνειν μᾶλλόν ἐστι καὶ βία; Ἐνέθηκε γὰρ ὁ Θεὸς τῇ φύσει φίλτρον τῇ ἡμετέρᾳ, ὥστε ἀλλήλους ἀγαπᾶν· «Πᾶν γάρ», φησί, «ζῶον ἀγαπᾷ τὸ ὅμοιον αὐτοῦ, καὶ ἄνθρωπος τὸν πλησίον αὐτοῦ». Ὁρᾷς ὅτι πρὸς τὴν ἀρετὴν ἔχομεν ἀπὸ τῆς φύσεως σπέρματα; τὰ δὲ τῆς κακίας παρὰ φύσιν ἐστίν· εἰ δὲ ταῦτα μᾶλλον κρατεῖ, τῆς πολλῆς ἡμῶν νωθείας τοῦτο τεκμήριον.

Τί δέ; ἐπὶ τὸ μοιχεύειν ποία ἀνάγκη ἄγει; Ναί, φησίν, ἡ τῆς ἐπιθυμίας τυραννίς. Διὰ τί, εἰπέ μοι; οὐ γὰρ ἔνεστι

14. Σοφ. Σειρ. 13, 15.

μεθα χειρότεροι καὶ νὰ εὑρεθῶμεν τυφλοὶ ὅταν θὰ ἔλθῃ ὁ ἥλιος τῆς δικαιοσύνης. Δὲν βλέπεις τὴν ἀκτῖνα ἡ ὁποία σοῦ ἀνοίγει τοὺς ὀφθαλμούς; Φρόντισε αὐτοὺς ὥστε νὰ γίνουν καλοί, ὑγιεῖς, ὀξυδερκεῖς. Σοῦ ἔδειξε τὸ φῶς τὸ ἀληθινόν· ἐάν, ἀφοῦ ἀποφύγῃς αὐτό, προστρέξῃς πάλιν εἰς τὸ σκότος, ποία ἀπολογία θὰ ὑπάρχῃ, ποία συγγνώμη; Καμμία λοιπόν· διότι τοῦτο εἶναι ἀπόδειξις ἀπεριγράπτου μίσους. Διότι ὅταν μὲν δὲν ἐγνώριζες τὸν Θεόν, ἐχθρευόμενος αὐτόν, εἶχες ὁπωσδήποτε κάποιαν συγγνώμην· ἐφ' ὅσον ὅμως ἐγεύθης τὴν χρηστότητα καὶ τὸ μέλι, ἄν, ἀφοῦ τὰ ἐγκαταλείψῃς, ἔλθῃς πάλιν εἰς τὸν ἐμετόν σου, δὲν παρουσιάζεις τίποτε ἄλλο, παρὰ ἀποδείξεις μεγάλου μίσους καὶ καταφρονήσεως.

Ὄχι, λέγει, ἀλλ' ἀναγκάζομαι ἀπὸ τὴν φύσιν μου· ἀγαπῶ μὲν τὸν Χριστόν, ἀλλ' ἐξαναγκάζομαι ἀπὸ τὴν φύσιν. Ἐὰν ὑπομένῃς ἀνάγκην καὶ βίαν θὰ ἔχῃς συγγνώμην· ἐὰν ὅμως ἀπὸ ἀδιαφορίαν καταπίπτῃς, δὲν θὰ ἔχῃς καμμίαν συγγνώμην. Ἐμπρὸς λοιπόν, ἂς ἐξετάσωμεν αὐτὸ ἀκριβῶς, ποῖον ἀπὸ τὰ δύο, ἀπὸ ἐξαναγκασμὸν καὶ βίαν γίνονται τὰ ἁμαρτήματα, ἢ ἀπὸ ραθυμίαν καὶ μεγάλην ἀδιαφορίαν. «Μὴ φονεύσῃς», λέγει. Ποία ἀνάγκη εἶναι αὐτό, ποία βία; Βία λοιπὸν εἶναι τὸ νὰ φονεύῃς. Διότι ποῖος ἀπὸ ἐμᾶς θὰ ἤθελε νὰ βυθίσῃ ξίφος εἰς τὸν λαιμὸν τοῦ πλησίον καὶ νὰ βάψῃ τὸ χέρι του μὲ αἷμα; Κανείς. Βλέπεις ὅτι τὸ ἀντίθετον συμβαίνει, ὅτι δηλαδὴ τὸ ν' ἁμαρτάνῃ κανεὶς εἶναι μᾶλλον ἀνάγκη καὶ βία; Διότι ὁ Θεὸς ἔθεσε μέσα εἰς τὴν φύσιν μας φίλτρον, ὥστε ν' ἀγαπώμεθα· διότι «κάθε ζῶον», λέγει, «ἀγαπᾷ τὸ ὅμοιόν του, καὶ ὁ ἄνθρωπος τὸν πλησίον του»[14]. Βλέπεις ὅτι ἀπὸ τὴν φύσιν μας ἔχομεν σπέρματα ἀρετῆς; ἐνῷ τὰ τῆς κακίας εἶναι παρὰ φύσιν· ἐὰν δὲ αὐτὰ κατ' ἐξοχὴν ἐπικρατοῦν, αὐτὸ εἶναι ἀπόδειξις τῆς ἰδικῆς μας μεγάλης ὀκνηρίας.

Τί δέ; Εἰς τὴν μοιχείαν ποία ἀνάγκη ὁδηγεῖ; Ναί, λέγει. Ἡ τυραννία τῆς ἐπιθυμίας. Εἰπέ μου, διατί; Δὲν εἶναι

τῇ οἰκείᾳ κεχρῆσθαι γυναικί, καὶ παῦσαι τὴν τυραννίδα; Ἀλλ' ἔρως μέ τις λαμβάνει τῆς τοῦ πλησίον, φησί, γυναικός. Οὐκέτι τοῦτο ἀνάγκης ἐστίν· ἔρως γὰρ οὐκ ἔστιν ἀνάγκης· οὐδεὶς ἀνάγκῃ φιλεῖ, ἀλλὰ προαιρέσει καὶ ἑκοντί. Τὸ μὲν οὖν μίγνυσθαι ἀνάγκη ἴσως· τὸ δὲ τήνδε φιλεῖν ἢ τήνδε, οὐκ ἀνάγκης· οὐδὲ ἐπιθυμία μίξεως τὸ πρᾶγμά ἐστιν, ἀλλὰ κενοδοξία καὶ ὕβρις καὶ πέρα τοῦ μέτρου τρυφή.

Ποῖον γάρ, εἰπέ μοι, κατὰ λόγον ἐστί; τὴν κατεγγυηθεῖσαν, τὴν κοινωνὸν οὖσαν παιδοποιΐας, ταύτην ἔχειν, ἢ τὴν οὐκ ἐγνωσμένην; Οὐκ ἴστε, ὅτι αἱ συνήθειαι τὰς φιλίας τίκτουσιν; Ὥστε οὐ τῆς φύσεώς ἐστι. Μὴ αἰτιῶ τὴν ἐπιθυμίαν· διὰ γάμον ἐδόθη, διὰ παιδοποιΐαν παρεσχέθη, οὐ διὰ μοιχείαν οὐδὲ διὰ φθοράν. Ἴσασι καὶ οἱ νόμοι τοῖς ἐξ ἀνάγκης συγγινώσκειν ἁμαρτήμασι· μᾶλλον δὲ οὐδέν ἐστιν ἁμάρτημα ἐξ ἀνάγκης γινόμενον, ἀλλὰ πάντα ἀπὸ ὕβρεως. Οὐ γὰρ οὕτως ὁ Θεὸς τὴν φύσιν ἐδημιούργησεν, ὡς ἀνάγκην ἔχειν ἁμαρτάνειν· ἐπεὶ εἰ τοῦτο ἦν, κόλασις οὐκ ἦν. Τῶν γὰρ κατὰ ἀνάγκην καὶ βίαν οὐδὲ ἡμεῖς ἀπαιτοῦμεν λόγον, μήτιγε ὁ Θεὸς ὁ οὕτω φιλάνθρωπος καὶ ἀγαθός.

Ἀλλὰ τί; τὸ κλέπτειν ἀνάγκη ἐστί; Ναί, φησίν· ἡ γὰρ πενία τοῦτο ποιεῖ. Ἡ πενία ἐργάζεσθαι μᾶλλον ἀναγκάζει, οὐ κλέπτειν. Ἡ πενία τοίνυν τοὐναντίον ποιεῖ· τὸ γὰρ κλέπτειν, ἀργίας ἐστίν, ἡ δὲ πενία οὐκ ἀργίαν, ἀλλὰ φιλοπονίαν τίκτειν εἴωθεν. Ὥστε καὶ τοῦτο ῥᾳθυμίας ἐστί. Καὶ ἵνα μάθῃς· τί γάρ, εἰπέ μοι, δυσκολώτερον, τί δὲ ἀηδέστερον,

μήπως ἐπιτρεπτὸν νὰ συνέλθῃς μὲ τὴν ἰδικήν σου γυναῖκα καὶ νὰ παύσῃς τὴν τυραννίαν; Ἀλλὰ κάποιος ἔρως, λέγει, μὲ κατακυριεύει διὰ τὴν γυναῖκα τοῦ πλησίον μου. Οὔτε αὐτὸ προέρχεται ἀπὸ ἀνάγκην· διότι ὁ ἔρως δὲν εἶναι γέννημα ἀνάγκης· κανεὶς δὲν ἀγαπᾷ ἀναγκαστικῶς, ἀλλ' ἐκ προαιρέσεως καὶ μὲ τὴν θέλησίν του. Τὸ νὰ συνέρχεται λοιπὸν κανεὶς μὲ γυναῖκα, εἶναι ἴσως ἀνάγκη, ἀλλὰ τὸ ν' ἀγαπᾷς αὐτὴν ἢ ἐκείνην, δὲν εἶναι ἀποτέλεσμα ἀνάγκης· οὔτε αὐτὸ εἶναι ἐπιθυμία πρὸς σαρκικὴν ἕνωσιν, ἀλλὰ κενοδοξία καὶ ἀκολασία καὶ πέραν τοῦ μέτρου ἡδονή.

Ποῖον, λοιπόν, εἰπέ μου, εἶναι σύμφωνον πρὸς τὴν λογικήν; Τὴν σύζυγον, αὐτὴν ἡ ὁποία εἶναι κοινωνὸς εἰς τὴν παιδοποιΐαν, αὐτὴν νὰ ἔχῃ κανείς, ἢ ἐκείνην ἡ ὁποία δὲν εἶναι σύζυγός; Δὲν γνωρίζετε ὅτι ἡ ἀγάπη γεννᾶται ἀπὸ τὴν συνήθειαν; Ὥστε δὲν ὀφείλεται εἰς τὴν φύσιν. Μὴ προβάλλῃς ὡς αἰτίαν τὴν ἐπιθυμίαν· αὐτὴ σοῦ ἐδόθη διὰ γάμον, σοῦ ἐχορηγήθη διὰ τεκνογονίαν, ὄχι διὰ μοιχείαν, οὔτε δι' ἀτιμίαν. Γνωρίζουν καὶ οἱ νόμοι νὰ συγχωροῦν τὰ ἁμαρτήματα τὰ ὁποῖα γίνονται ἀπὸ ἀνάγκην· μᾶλλον δὲ κανὲν ἁμάρτημα δὲν ὑπάρχει τὸ ὁποῖον νὰ γίνεται ἀπὸ ἀνάγκην, ἀλλὰ ὅλα γίνονται ἀπὸ ἀκολασίαν. Διότι δὲν ἐδημιούργησεν ὁ Θεὸς τὴν φύσιν ἔτσι, ὥστε νὰ ἔχῃ ἀνάγκην νὰ ἁμαρτάνῃ· διότι, ἐὰν συνέβαινεν αὐτό, δὲν θὰ ὑπῆρχε κόλασις. Διότι δι' ὅσα γίνονται ἀπὸ ἀνάγκην καὶ βίαν, οὔτε ἐμεῖς ζητοῦμεν λόγον, οὔτε ὁ Θεὸς ὁ τόσον φιλάνθρωπος καὶ ἀγαθός.

Ἀλλὰ τί; τὸ νὰ κλέπτῃ κανεὶς εἶναι ἀνάγκη; Ναί, λέγει· διότι ἡ πτωχεία ὁδηγεῖ εἰς αὐτό. Ἀλλ' ἡ πτωχεία ἀναγκάζει εἰς τὸ νὰ ἐργάζεσαι, ὄχι εἰς τὸ νὰ κλέπτῃς. Ἡ πτωχεία λοιπὸν τὸ ἀντίθετον κάνει· ἄρα ἡ κλοπὴ εἶναι γέννημα ὀκνηρίας, ἐνῷ ἡ πτωχεία ὄχι ἀργίαν, ἀλλὰ συνήθως γεννᾷ ὄρεξιν δι' ἐργασίαν. Ὥστε καὶ αὐτὸ εἶναι ἀποτέλεσμα ἀδιαφορίας. Καὶ διὰ νὰ μάθῃς· Εἰπέ μου, λοιπόν· Τί εἶναι δυσκολώτερον, τί ἀηδέστερον, τὸ νὰ περνᾷ κανεὶς τὰς νύ-

τὰς νύκτας ἀγρυπνοῦντα περιϊέναι, καὶ τοίχους διορύττειν, καὶ ἐν σκότῳ βαδίζειν, καὶ τὴν ψυχὴν ἔχειν ἐν χερσί, καὶ πρὸς φόνον παρατετάχθαι, καὶ τρέμειν καὶ τεθνηκέναι ἀπολαύειν μετὰ ἀδείας; Τοῦτο εὔκολον· καὶ ὅτι τοῦτο εὔκολον, οἱ πλείους τοῦτο πράττουσιν ἢ ἐκεῖνο.

4. Ὁρᾷς ὅτι κατὰ φύσιν μὲν ἡ ἀρετή, παρὰ φύσιν δὲ ἡ κακία, καθάπερ ἡ νόσος καὶ ἡ ὑγεία; Τί δέ; τὸ ψεύδεσθαι καὶ ἐπιορκεῖν ποίαν ἀνάγκην ἂν ἔχοι; Οὐδεμίαν, οὐδὲ βίαν, ἀλλ' ἑκόντες ἐπὶ τοῦτο ἐρχόμεθα. Ἀπιστούμεθα, φησίν. Ἐπειδὴ βουλόμεθα· ἐξῆν γὰρ ἡμᾶς ἀπὸ τοῦ τρόπου πιστεύεσθαι μᾶλλον, ἢ ἀπὸ τῶν ὅρκων. Διὰ τί γάρ, εἰπέ μοι, τοῖς μὲν οὐδὲ ὀμνύουσι πιστεύομεν, τοὺς δὲ καὶ χωρὶς ὅρκων πιστοὺς ἡγούμεθα; Ὁρᾷς ὅτι οὐδαμοῦ χρεία ὅρκων; Ἂν ὁ δεῖνα εἴπῃ, φησί, καὶ χωρὶς ὅρκων πιστεύω· σοὶ δὲ οὐδὲ μεθ' ὅρκων. Ἄρα περιττὸν ὁ ὅρκος, καὶ τοῦτο μᾶλλον ἀπιστίας ἢ πίστεως τεκμήριον. Τὸ γὰρ εὔκολον εἶναι πρὸς τὸ ὀμόσαι οὐκ ἀφίησι δόξαν εὐλαβείας ἔχειν. Ὥστε ὁ μάλιστα τῷ ὅρκῳ συνεχῶς κεχρημένος, οὗτος οὐδαμοῦ τοῦ ὅρκου τὴν χρείαν ἔχει ἀναγκαίαν· ὁ δὲ μηδαμοῦ κεχρημένος, οὗτος αὐτοῦ τῆς χρείας ἀπολαύει. Χρεία ὅρκου πρὸς τὸ πιστεύεσθαι, φησίν· ὁρῶμεν δέ, ὅτι οἱ μὴ ὀμνύοντες, οὗτοι μᾶλλον πιστεύονται.

Ἀλλὰ τί; τὸ ὑβριστὴν εἶναι ἀνάγκης ἐστί; Ναί, φησίν· ὁ γὰρ θυμὸς ἐξάγει καὶ φλέγει, καὶ οὐκ ἀφίησι τὴν ψυχὴν ἠρεμεῖν. Οὐ τοῦ θυμοῦ ἐστιν, ἄνθρωπε, ἀλλὰ τῆς μικροψυχίας τὸ ὑβρίζειν· εἰ δὲ θυμοῦ ἦν, πάντες ἄνθρωποι ὀργιζόμενοι,

κτας ἄγρυπνος καὶ διατρυπῶν τοίχους καὶ βαδίζων εἰς τὸ σκότος καὶ ζῶν μὲ τὴν ψυχὴν εἰς τὸ στόμα καὶ μὲ τὴν ἀπόφασιν νὰ φονευθῇ, καὶ νὰ τρέμῃ καὶ νὰ πεθαίνῃ ἀπὸ τὸν φόβον, ἢ νὰ εἶναι προσηλωμένος εἰς τοὺς καθημερινοὺς κόπους καὶ ν' ἀπολαμβάνῃ ἀσφάλειαν χωρὶς φόβον; Αὐτὸ εἶναι τὸ εὔκολον. Καὶ ἀπόδειξις διὰ τὸ ὅτι αὐτὸ εἶναι εὔκολον, εἶναι ὅτι οἱ περισσότεροι αὐτὸ πράττουν, παρὰ ἐκεῖνο.

4. Βλέπεις ὅτι ἡ μὲν ἀρετὴ εἶναι σύμφωνος πρὸς τὴν φύσιν, ἐνῷ ἡ κακία εἶναι παρὰ φύσιν, ὅπως ἀκριβῶς καὶ ἡ ἀσθένεια καὶ ἡ ὑγεία; Τί δέ; Τὸ νὰ ψεύδεσαι καὶ νὰ ἐπιορκῇς ἀπὸ ποίαν ἀνάγκην ἐπιβάλλονται; Ἀπὸ καμμίαν, οὔτε ἀπὸ βίαν, ἀλλὰ μὲ τὴν θέλησίν μας τὸ πράττομεν αὐτό. Δὲν γινόμεθα πιστευτοί, λέγει. Ἐπειδὴ θέλομεν· διότι ἦτο δυνατὸν νὰ γινώμεθα πιστευτοὶ περισσότερον ἀπὸ τὸν τρόπον, παρὰ ἀπὸ τοὺς ὅρκους. Διότι εἰπέ μου· διατί τοὺς μὲν οὔτε ὅταν ὁρκίζωνται πιστεύομεν, ἐνῷ ἄλλους θεωροῦμεν ἀξιοπίστους καὶ χωρὶς νὰ ὁρκισθοῦν; Βλέπεις ὅτι δὲν ὑπάρχει καθόλου ἀνάγκη ὅρκων; Ἂν τὸ εἴπῃ ὁ τάδε, λέγει, καὶ χωρὶς ὅρκους πιστεύω· ἐσένα ὅμως, οὔτε μὲ ὅρκους. Ἄρα εἶναι περιττὸς ὁ ὅρκος, καὶ τοῦτο εἶναι ἀπόδειξις ἀπιστίας μᾶλλον, παρὰ πίστεως. Τὸ νὰ εἶναι λοιπὸν κανεὶς εὔκολος εἰς τὸ νὰ ὁρκίζεται δὲν τοῦ ἐπιτρέπει νὰ ἔχῃ φήμην εὐλαβοῦς. Ὥστε ἐκεῖνος ὁ ὁποῖος συνεχῶς χρησιμοποιεῖ τὸν ὅρκον, αὐτὸς πουθενὰ δὲν ἔχει κατ' ἀνάγκην ὠφέλειαν ἀπὸ τὸν ὅρκον· ἐνῷ ἐκεῖνος ὁ ὁποῖος δὲν χρησιμοποιεῖ καθόλου τὸν ὅρκον, αὐτὸς ἀπολαμβάνει τὴν ὠφέλειάν του. Ἡ χρῆσις τοῦ ὅρκου ἐδόθη διὰ νὰ γινώμεθα πιστευτοί, λέγει. Ἀλλὰ βλέπομεν ὅτι ἐκεῖνοι οἱ ὁποῖοι δὲν ὁρκίζονται, αὐτοὶ γίνονται περισσότερον πιστευτοί.

Ἀλλὰ τί; Τὸ νὰ εἶναι κανεὶς ὑβριστὴς εἶναι ἀνάγκη; Ναί, ἀπαντᾷ· διότι ὁ θυμὸς σὲ ὁδηγεῖ ἐκτὸς ἑαυτοῦ καὶ σὲ ἀνάπτει καὶ δὲν ἀφήνει τὴν ψυχήν σου νὰ ἠρεμῇ. Δὲν εἶναι γέννημα τοῦ θυμοῦ τὸ νὰ ὑβρίζῃ κανείς, ἄνθρωπέ μου, ἀλλὰ τῆς μικροψυχίας του· ἐὰν ἦτο τοῦ θυμοῦ, ὅλοι οἱ ἄν-

οὐκ ἂν διέλιπον ὑβρίζοντες. Θυμὸν ἔχομεν, οὐχ ἵνα ὑβρίζωμεν τοὺς πλησίον, ἀλλ' ἵνα τοὺς ἁμαρτάνοντας ἐπιστρέφωμεν, ἵνα διανιστώμεθα, ἵνα μὴ νωθεῖς ὦμεν. Ὥσπερ τι κέντρον ἔγκειται ἡμῖν ὁ θυμός, ἵνα κατὰ τοῦ διαβόλου βρύχωμεν τοὺς ὀδόντας, ἵνα σφοδροὶ ὦμεν πρὸς αὐτόν, οὐχ ἵνα κατ' ἀλλήλων στῶμεν. Ὅπλα ἔχομεν, οὐχ ἵνα ἡμᾶς αὐτοὺς πολεμῶμεν, ἀλλ' ἵνα κατὰ τοῦ πολεμίου χρώμεθα τῇ πανιευχίᾳ. Ὀργίλος εἶ; Ἔσο κατὰ τῶν ἁμαρτημάτων τῶν σαυτοῦ τοιοῦτος, ἐπίπληττε τῇ ψυχῇ, μάστιζε τὸ συνειδός, σφοδρὸς ἔσο κριτὴς καὶ πικρὸς δικαστὴς τοῖς οἰκείοις ἁμαρτήμασι. Τοῦτο τῆς ὀργῆς τὸ κέρδος ἐστί· διὰ τοῦτο ἡμῖν αὐτὴν ἐνέθηκεν ὁ Θεός.

Ἀλλ' ἡ ἁρπαγὴ ἐξ ἀνάγκης ἐστίν; Οὐδαμῶς· ποία γὰρ ἀνάγκη τὸ ἁρπάζειν, εἰπέ μοι; ποία βία; Πενία, φησί, ποιεῖ, καὶ τὸ δέος τῶν ἀναγκαίων. Διὰ τοῦτο μὲν οὖν οὐκ ὀφείλεις ἁρπάζειν· οὐ γὰρ ἀσφαλὴς ὁ τοιοῦτος πλοῦτος. Σὺ δὲ ταὐτὸν ποιεῖς, ὥσπερ ἂν εἴ τις ἐρωτηθείς, τί δήποτε εἰς ἄμμον τὰ θεμέλια τῆς οἰκίας καταβάλλεις; εἴποι ὅτι διὰ τὸν κρυμόν, διὰ τὸν ὑετόν. Διὰ τοῦτο μὲν οὖν εἰς ἄμμον οὐκ ἐχρῆν καταβάλλειν· ἀναστρέφει γὰρ αὐτὰ ταχέως καὶ ὑετὸς καὶ πνεύματα καὶ ἄνεμος· Ὥστε εἰ πλουτεῖν θέλεις, μὴ πλεονέκτει. Εἰ παισὶ βούλει παραδοῦναι πλοῦτον, δίκαιον κτῆσαι, εἴγε τίς ἐστι τοιοῦτος· οὗτος γὰρ μένει, καὶ βέβαιος ἕστηκεν· ὁ δὲ μὴ τοιοῦτος ταχέως ἀπόλλυται καὶ διαφθείρεται.

Πλουτεῖν θέλεις, εἰπέ μοι, καὶ τὰ τῶν ἄλλων λαμβάνεις; Καὶ μὴν τοῦτο οὐκ ἔστι πλοῦτος, ἀλλὰ τὸ τὰ ἴδια κατέχειν· ὁ δὲ τὰ ἀλλότρια ἔχων, οὐκ ἂν εἴη πλούσιος· Ἐπεὶ οὕτω γε ἂν

θρωποι ὅταν ὀργίζωνται δὲν θὰ ἀπέφευγον νὰ ὑβρίζουν. Ἔχομεν τὸν θυμόν, ὄχι διὰ νὰ ὑβρίζωμεν τοὺς πλησίον, ἀλλὰ διὰ νὰ ἐπιστρέφωμεν εἰς τὸν δρόμον τοῦ Θεοῦ τοὺς ἁμαρτάνοντας, διὰ νὰ σηκωνώμεθα ὅταν πίπτωμεν, διὰ νὰ μὴ εἴμεθα νωθροί. Ὁ θυμὸς δίδεται εἰς ἐμᾶς ὡσὰν κεντρί, διὰ νὰ τρίζωμεν τοὺς ὀδόντας ἐναντίον τοῦ διαβόλου, διὰ νὰ εἴμεθα ὁρμητικοὶ ἐναντίον του, ὄχι διὰ νὰ ἐπαναστατῶμεν ὁ ἕνας ἐναντίον τοῦ ἄλλου. Ἔχομεν ὅπλα, ὄχι διὰ νὰ πολεμῶμεν τοὺς ἑαυτούς μας τοὺς ἰδίους, ἀλλὰ διὰ νὰ χρησιμοποιῶμεν τὴν πανοπλίαν ἐναντίον τοῦ ἐχθροῦ. Εἶσαι ὀξύθυμος; Νὰ εἶσαι τέτοιος ἐναντίον τῶν ἁμαρτημάτων σου, νὰ ἐπιπλήττῃς τὴν ψυχήν σου, νὰ μαστίζῃς τὴν συνείδησίν σου, νὰ εἶσαι αὐστηρὸς κριτὴς καὶ πικρὸς δικαστὴς εἰς τὰ ἰδικά σου ἁμαρτήματα. Αὐτὸ εἶναι τὸ κέρδος τῆς ὀργῆς· διὰ τοῦτο ἔθεσεν αὐτὴν ὁ Θεὸς μέσα μας.

Ἀλλὰ μήπως γίνεται ἀπὸ ἀνάγκην ἡ ἁρπαγή; Καθόλου· διότι, εἰπέ μου, ποία ἀνάγκη εἶναι τὸ νὰ ἁρπάζῃς; Ποία βία; Ἡ πτωχεία, λέγει, κάνει αὐτό, καὶ ἡ ἔλλειψις τῶν ἀναγκαίων. Διὰ τοῦτο λοιπὸν δὲν πρέπει νὰ ἁρπάζῃς· διότι δὲν εἶναι ἀσφαλὴς αὐτὸς ὁ πλοῦτος. Σὺ δὲ κάμνεις τὸ ἴδιον, ὅπως ἀκριβῶς ἐὰν κάποιος ἐρωτηθείς, διατί τοποθετεῖς τὰ θεμέλια τῆς οἰκίας εἰς τὴν ἄμμον; ἀπαντᾷ ὅτι κάνει τοῦτο διὰ τὸ πολὺ ψῦχος, διὰ τὴν βροχήν. Διὰ τοῦτο λοιπὸν δὲν ἔπρεπε νὰ θέσῃ τὰ θεμέλια εἰς τὴν ἄμμον· διότι τ' ἀναποδογυρίζουν αὐτὰ ταχέως καὶ ἡ βροχὴ καὶ οἱ ἄνεμοι. Ὥστε, ἐὰν θέλῃς νὰ πλουτῇς, μὴ πλεονεκτῇς. Ἐὰν θέλῃς νὰ παραδώσῃς πλοῦτον εἰς τὰ τέκνα σου, ἀπόκτησε δίκαιον πλοῦτον, ἐὰν βεβαίως ὑπάρχῃ κανεὶς τέτοιος· διότι αὐτὸς μένει καὶ εἶναι ἀσφαλής· ἐνῷ ὁ ἄδικος πλοῦτος γρήγορα χάνεται καὶ καταστρέφεται!

Εἰπέ μου· θέλεις νὰ πλουτῇς καὶ παίρνεις τὰ τῶν ἄλλων; Πλοῦτος ὅμως δὲν εἶναι αὐτό, ἀλλὰ τὸ νὰ κατέχῃς τὰ ἰδικά σου· ἐκεῖνος δὲ ὁ ὁποῖος κατέχει τὰ ξένα δὲν εἶναι πλούσιος. Διότι ἔτσι βεβαίως καὶ ἐκεῖνοι οἱ ὁποῖοι πωλοῦν τὰ

καὶ οἱ τὰ σηρικὰ πωλοῦντες ἱμάτια, παρ' ἑτέρων λαμβάνοντες, καὶ εὐπορώτεροι καὶ πλουσιώτεροι πάντων λέγοιντο ἄν· καίτοιγε αὐτῶν ἐστι τέως· ἀλλ' ὅμως αὐτοὺς οὐ καλοῦμεν πλουσίους. Τί δήποτε; Ὅτι τὰ ἀλλότρια ἔχουσιν. Εἰ γὰρ καὶ τὰ ἱμάτια αὐτῶν τυγχάνει, ἀλλ' ἡ τιμὴ οὐκ αὐτῶν· εἰ δὲ καὶ ἡ τιμὴ αὐτῶν, ἀλλ' οὗτος πλοῦτος οὐκ ἔστιν. Εἰ δὲ τὰ συμβόλαια διδόμενα οὐ ποιεῖ πλουσίους, διὰ τὸ ταχέως ἡμᾶς αὐτῶν ἀφίστασθαι, τὰ ἐξ ἁρπαγῆς πῶς ποιεῖ πλουσίους; Εἰ δὲ ὅλως καὶ ἐπιθυμεῖς πλουτεῖν· οὐ γὰρ ἀνάγκης τὸ πρᾶγμα· τίνος ἀπολαῦσαι βουλόμενος πλείονος; ἄρα ζωῆς μακροτέρας; Καὶ μὴν οἱ τοιοῦτοι ταχέως ὀλιγοχρόνιοι γίνονται. Πολλάκις γὰρ δίκην διδόασι τῆς ἁρπαγῆς καὶ τῆς πλεονεξίας τὸν ἄωρον θάνατον, καὶ τὸ τῶν κτημάτων μὴ ἀπολαῦσαι, ἀλλὰ μικρὸν καὶ τὴν γέενναν ἀπελθεῖν λαβόντας· πολλάκις δὲ καὶ ἀπὸ τῆς τρυφῆς καὶ ἀπὸ τῶν πόνων καὶ ἀπὸ τῶν φροντίδων νόσους τεκόντες ἀπώλλοντο.

Ἠβουλόμην μαθεῖν τίνος ἕνεκεν ὁ πλοῦτος διεσπούδασται τοῖς ἀνθρώποις. Καίτοι ὁ Θεὸς διὰ τοῦτο τῇ φύσει μέτρον καὶ ὅριον ἔθηκεν, ἵνα μηδεμίαν ἔχωμεν ἀνάγκην τοῦ τὸν πλοῦτον ἐπιζητεῖν· οἷον ἑνὶ ἱματίῳ ἢ καὶ δευτέρῳ περιβάλλεσθαι τὸ σῶμα ἐκέλευσε, καὶ περιττοῦ οὐ χρεία πρὸς τὴν σκέπην· τίνος ἕνεκεν τὰ μυρία ἱμάτια, καὶ τὰ σητόβρωτα; Μέτρον ὡρισμένον ἐστὶ τῆς γαστρός, καὶ πέρα τούτου δοθὲν ἐξ ἀνάγκης διέφθειρε τὸ πᾶν ζῶον· τίνος ἕνεκεν αἱ ἀγέλαι καὶ τὰ ποίμνια καὶ αἱ τῶν κρεῶν κατακοπαί; Μιᾶς στέγης χρῄζομεν· τίνος ἕνεκεν οἱ περίβολοι, καὶ τὰ πολυτελῆ τῶν οἰκημάτων; ἵνα γῦπες καὶ κολοιοὶ κατοικῶσι, τοὺς πένητας ἀποδύεις; Πόσης οὐκ ἄξια ταῦτα γεέννης; Καὶ εἰς τόπους πολλάκις, οὓς οὐδὲ εἶδον, κίοσι καὶ λίθοις πολυτίμοις οἰκοδο-

μεταξωτὰ ὑφάσματα, ἐνῷ τὰ παίρνουν ἀπὸ ἄλλους, θὰ ἐλέγοντο καὶ εὐπορώτεροι καὶ πλουσιώτεροι ὅλων· διότι τὰ μεταξωτὰ εἰς αὐτοὺς ἀνῆκον πρὶν πωληθοῦν· ἀλλὰ δὲν ὀνομάζομεν αὐτοὺς πλουσίους. Διατί ἆρά γε; Διότι τὰ ξένα κατέχουν. Διότι ἂν καὶ τὰ ἔχουν αὐτοὶ τὰ ἐνδύματα, ἡ τιμὴ ὅμως δὲν ἀνήκει εἰς αὐτούς· ἀλλὰ καὶ ἐὰν ἀκόμη ἡ τιμὴ ἐδίδετο εἰς αὐτούς, πάλιν αὐτὸς δὲν εἶναι πλοῦτος. Διότι ἐὰν ἐκεῖνα τὰ ὁποῖα ἀποκτῶνται νομίμως δὲν μᾶς κάνουν πλουσίους, ἀφοῦ ταχέως ἀποχωριζόμεθα ἀπὸ αὐτά, πῶς εἶναι δυνατὸν νὰ μᾶς κάνουν πλουσίους ὅσα προέρχονται ἀπὸ ἁρπαγήν; Δὲν πρέπει λοιπὸν καθόλου νὰ ἐπιθυμῇς νὰ πλουτῇς· διότι δὲν εἶναι ἀνάγκη· τί θέλεις ν' ἀπολαύσῃς μὲ τὸ νὰ ἐπιθυμῇς ν' ἀποκτήσῃς περισσότερα; Μήπως μακροτέραν ζωήν; Καὶ ὅμως ὅσοι εἶναι τέτοιοι ζοῦν ὀλίγον. Διότι πολλὰς φορὰς καταδικάζονται ἐξ αἰτίας τῆς ἁρπαγῆς καὶ τῆς πλεονεξίας των εἰς πρόωρον θάνατον, καὶ χωρὶς νὰ ἀπολαύσουν τὰ κτήματα, παρὰ ὀλίγον μόνον, ὁδηγοῦνται εἰς τὴν γέενναν· πολλὰς φορὰς δὲ καὶ ἀπὸ τὰς ἡδονὰς καὶ ἀπὸ τοὺς κόπους διὰ τὴν ἀπόκτησιν καὶ ἀπὸ τὰς φροντίδας, ἀφοῦ ἀπέκτησαν ἀσθενείας, ἀπέθανον.

Ἤθελον νὰ μάθω διατί οἱ ἄνθρωποι ἀγωνίζονται μὲ κάθε τρόπον ν' ἀποκτήσουν πλοῦτον. Καὶ ὅμως ὁ Θεὸς ἔθεσεν ὅριον κάποιο μέτρον διὰ τοῦτο εἰς τὴν φύσιν, διὰ νὰ μὴ ἔχωμεν καμμίαν ἀνάγκην νὰ ἐπιζητῶμεν τὸν πλοῦτον· ὅπως ὥρισε νὰ περιβάλλεται μὲ ἕνα ἔνδυμα ἢ καὶ δεύτερον τὸ σῶμα, καὶ δὲν ὑπάρχει ἀνάγκη τοῦ περιττοῦ διὰ σκέπασμα· πρὸς τί τὰ μύρια ἐνδύματα καὶ τὰ σκωληκόβρωτα; Ὑπάρχει μέτρον ὡρισμένον εἰς τὴν κοιλίαν, καὶ ὅταν τῆς δίδεται περισσότερον ἀπὸ αὐτό, καταστρέφεται· πρός τί αἱ ἀγέλαι καὶ τὰ ποίμνια καὶ αἱ σφαγαὶ τῶν κρεάτων; Μιᾶς στέγης ἔχομεν ἀνάγκην· πρὸς τί οἱ κῆποι καὶ τὰ πολυτελῆ τῶν οἰκιῶν; Διὰ νὰ κατοικοῦν οἱ γῦπες καὶ αἱ καρακάξαι καὶ ἀφήνεις γυμνοὺς τοὺς πτωχούς; Πόσης κολάσεως δὲν εἶναι ἄξια αὐτά; Καὶ πολλὰς φορὰς εἰς τόπους, τοὺς ὁποίους οὔτε

μήματα ἐξαστράπτοντα κατεργάζονται· τί γὰρ οὐκ ἐμηχανήσαντο; καὶ οὐδὲ αὐτοὶ ἀπέλαυσαν, οὐδὲ ἄλλοι τινές· ἡ γὰρ ἐρημία οὐκ ἀφίησιν αὐτοὺς ἀπελθεῖν· καὶ οὐδὲ οὕτως ἀφίστανται.

Ὁρᾷς ὅτι οὐδὲ χρηματισμοῦ ἕνεκεν ταῦτα γίνεται, ἀλλὰ πάντων τούτων ἄνοια καὶ ἀλογία καὶ κενοδοξία αἰτία; ἣν παρακαλῶ φυγεῖν, ἵνα καὶ τὰ ἄλλα φυγεῖν δυνηθῶμεν κακά, καὶ τῶν ἐπηγγελμένων ἀγαθῶν τοῖς ἀγαπῶσιν αὐτὸν τυχεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

γνωρίζουν, μὲ κίονας καὶ πολυτίμους λίθους κατασκευάζουν λαμπρὰ οἰκοδομήματα· τί δὲν ἐμηχανεύθησαν; Καὶ οὔτε αὐτοὶ τὰ ἀπήλαυσαν, οὔτε κάποιοι ἄλλοι· διότι ἡ ἐρημία δὲν ἀφήνει αὐτοὺς νὰ μεταβοῦν ἐκεῖ· καὶ οὔτε ἔτσι σταματοῦν.

Βλέπεις ὅτι δὲν γίνονται αὐτὰ πρὸς κάποιαν ὠφέλειαν, ἀλλ' αἰτία ὅλων αὐτῶν εἶναι ἀλαζονεία καὶ παραλογισμὸς καὶ κενοδοξία; τὴν ὁποίαν παρακαλῶ ν' ἀποφύγωμεν, διὰ νὰ ἠμπορέσωμεν ν' ἀποφύγωμεν καὶ τὰ ἄλλα κακά, καὶ νὰ τύχωμεν τῶν ἀγαθῶν τὰ ὁποῖα ἔχει ὑποσχεθῆ εἰς ὅσους τὸν ἀγαποῦν, διὰ τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Γ΄

Ἐφεσ. 1, 15 — 23

«Διὰ τοῦτο κἀγὼ ἀκούσας τὴν καθ' ὑμᾶς πίστιν ἐν Χριστῷ Ἰησοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους, οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν, μνείαν ὑμῶν ποιούμενος ἐπὶ τῶν προσευχῶν μου, ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης, δώῃ ὑμῖν Πνεῦμα σοφίας καὶ ἀποκαλύψεως, ἐν ἐπιγνώσει αὐτοῦ πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὑμῶν, εἰς τὸ εἰδέναι ὑμᾶς τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ, καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις, καὶ τί τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας».

[1] Οὐδὲν ἦν ἴσον τῶν σπλάγχνων τῶν ἀποστολικῶν, οὐδὲν ὅμοιον τῆς συμπαθείας, τῆς φιλοστοργίας ἐγένετο τῆς τοῦ μακαρίου Παύλου, ὃς πάσας αὐτοῦ τὰς εὐχὰς ὑπὲρ πόλεων ὁλοκλήρων ἐποιεῖτο καὶ δήμων, καὶ πᾶσι τοῦτο γράφει, ὅτι «Εὐχαριστῶ τῷ Θεῷ ὑπὲρ ὑμῶν, μνείαν ὑμῶν ποιούμενος ἐπὶ τῶν προσευχῶν μου». Ἐννοήσατε ὅσους εἶχεν ἐν τῇ διανοίᾳ, ὧν καὶ μνησθῆναι ἔργον ἦν· ὅσων ἐμέμνητο ἐν ταῖς εὐχαῖς, ὑπὲρ ἁπάντων εὐχαριστῶν τῷ Θεῷ, ὡς αὐτὸς τὰ μέγιστα εὐεργετούμενος.

«Διὰ τοῦτο», φησί· τουτέστι, διὰ τὸ μέλλον, καὶ τὰ ἀποκείμενα ἀγαθὰ τοῖς ὀρθῶς πιστεύουσι καὶ βιοῦσιν. Ἄξιον μὲν οὖν εὐχαριστεῖν τῷ Θεῷ καὶ ὑπὲρ πάντων τῶν ὑπηργμένων παρ' αὐτοῦ τῷ τῶν ἀνθρώπων γένει, καὶ πρὸ τούτου καὶ μετὰ ταῦτα· ἄξιον δὲ εὐχαριστεῖν αὐτῷ καὶ ὑπὲρ τῆς

1. Ἐφεσ. 1. 15-19.

ΛΟΓΟΣ Γ'

Ἐφεσ. 1, 15—23

«Διὰ τοῦτο καὶ ἐγώ, ἀφ' ὅτου ἤκουσα διὰ τὴν πίστιν σας πρὸς τὸν Κύριον Ἰησοῦν καὶ διὰ τὴν ἀγάπην ποὺ ἔχετε πρὸς ὅλους τοὺς ἁγίους, δὲν παύω νὰ εὐχαριστῶ τὸν Θεὸν δι' ἐσᾶς, ὅταν σᾶς ἐνθυμοῦμαι εἰς τὰς προσευχάς μου, καὶ ζητῶ νὰ σᾶς δώσῃ ὁ Θεὸς τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης, Πνεῦμα σοφίας καὶ ἀποκαλύψεως διὰ νὰ τὸν γνωρίσετε βαθέως καὶ νὰ φωτίσῃ τοὺς ὀφθαλμοὺς τῆς καρδίας σας, ὥστε νὰ γνωρίσετε ποία εἶναι ἡ ἐλπίς, ἡ ὁποία εἶναι συνδεδεμένη μὲ τὴν πρόσκλησίν του, καὶ ποῖος εἶναι ὁ πλοῦτος τῆς ἐνδόξου κληρονομίας του μεταξὺ τῶν ἁγίων, καὶ πόσον πολὺ μεγάλη εἶναι ἡ δύναμίς του εἰς ἐμᾶς οἱ ὁποῖοι πιστεύομεν, συμφώνως πρὸς τὴν ἐνέργειαν τῆς ἰσχυρᾶς δυνάμεώς του»[1].

1. Τίποτε δὲν ὑπῆρχεν ἴσον πρὸς τὴν ἀποστολικὴν εὐσπλαγχνίαν, τίποτε ὅμοιον τῆς συμπαθείας καὶ τῆς φιλοστοργίας τοῦ μακαρίου Παύλου, ὁ ὁποῖος προσηύχετο ὑπὲρ πόλεων ὁλοκλήρων καὶ δήμων, καὶ γράφει εἰς ὅλους τοῦτο· «εὐχαριστῶ τὸν Θεὸν δι' ἐσᾶς, ὅταν σᾶς ἐνθυμοῦμαι εἰς τὰς προσευχάς μου». Σκεφθῆτε πόσους εἶχεν εἰς τὸν νοῦν του, τοὺς ὁποίους καὶ μόνον νὰ τοὺς ἐνθυμηθῇ κανεὶς θὰ ἦτο δύσκολον· πόσους ἐνεθυμεῖτο εἰς τὰς προσευχάς του, εὐχαριστῶν τὸν Θεὸν δι' ὅλους, ὡσὰν νὰ εὐηργετεῖτο αὐτὸς τα μέγιστα.

«Διὰ τοῦτο», λέγει· δηλαδή, διὰ τὸ μέλλον καὶ τὰ ἀγαθὰ τὰ ὁποῖα ἀναμένουν ὅσους πιστεύουν καὶ ζοῦν ὀρθῶς. Ἄξιον λοιπὸν εἶναι νὰ εὐχαριστῇ μὲν τὸν Θεὸν δι' ὅλα ὅσα συνετελέσθησαν ὑπ' αὐτοῦ πρὸς χάριν τοῦ ἀνθρωπίνου γένους, καὶ πρὶν καὶ μετὰ ἀπὸ αὐτά· ἄξιον εἶναι ὅμως νὰ

πίστεως τῶν πιστευόντων. «Ἀκούσας», φησίν, «τὴν πίστιν τὴν καθ' ὑμᾶς διὰ τοῦ Χριστοῦ, καὶ τὴν ἀγάπην τὴν εἰς πάντας τοὺς ἁγίους». Πανταχοῦ συνάπτει καὶ συγκολλᾷ τὴν πίστιν καὶ τὴν ἀγάπην, θαυμαστήν τινα ξυνωρίδα. Οὐ τοὺς ἐπιχωρίους, φησί, μόνον, ἀλλὰ καὶ πάντας. «Οὐ παύομαι εὐχαριστῶν ὑπὲρ ὑμῶν, μνείαν ὑμῶν ποιούμενος ἐπὶ τῶν προσευχῶν μου». Τί δέῃ, καὶ τί παρακαλεῖς; «Ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης, δῴη ὑμῖν Πνεῦμα σοφίας καὶ ἀποκαλύψεως». Δύο ἀξιοῖ αὐτοὺς μαθεῖν, ἐπὶ τίσιν ἐκλήθησαν, καὶ πῶς ἀπηλλάγησαν τῶν προτέρων. Φησὶ δὲ αὐτὸς αὐτὰ τρία εἶναι.

Πῶς οὖν ἐστι τρία; Περὶ τῶν μελλόντων ἵνα μάθωμεν. Ἀπὸ μὲν γὰρ τῶν ἀποκειμένων ἀγαθῶν τὸν ἄρρητον καὶ ὑπερφυῆ πλοῦτον αὐτοῦ εἰσόμεθα· ἀπὸ δὲ τοῦ μαθεῖν τίνες ὄντες πῶς ἐπιστεύσαμεν, τὴν δύναμιν αὐτοῦ καὶ τὴν αὐθεντίαν, τῷ τοὺς ἐπὶ τοσούτῳ χρόνῳ ἀλλοτριωθέντας ἐπιστρέψαι. «Τὸ γὰρ ἀσθενὲς τοῦ Θεοῦ ἰσχυρότερον τῶν ἀνθρώπων ἐστί». Ἀπὸ γὰρ τῆς αὐτῆς δυνάμεως, ἀφ' ἧς τὸν Χριστὸν ἤγειρε, καὶ ἡμᾶς εἵλκυσε πρὸς ἑαυτόν. Καὶ οὐ μέχρι τῆς ἀναστάσεως ἡ δύναμις, ἀλλὰ τὸ πολλῷ πλέον.

«Καὶ ἐκάθισεν ἐν δεξιᾷ αὐτοῦ, ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος καὶ παντὸς ὀνόματος ὀνομαζομένου· καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ Ἐκκλησίᾳ, ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ, τὸ πλήρωμα τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου». Μεγάλων ὄντως μυστηρίων καὶ ἀπορρήτων ἡμᾶς ἐποίησε κοινωνούς. Καὶ ταῦτα ἄλλως οὐκ ἔνι μαθεῖν,

---

2. Α΄ Κορ. 1, 25.
8. Ἐφεσ. 1. 20-23.

εὐχαριστῇ τὸν Θεὸν καὶ διὰ τὴν πίστιν τῶν πιστευόντων. «Ἀφ' ὅτου ἤκουσα», λέγει, «διὰ τὴν πίστιν σας πρὸς τὸν Κύριον Ἰησοῦν καὶ διὰ τὴν ἀγάπην ποὺ ἔχετε πρὸς ὅλους τοὺς ἁγίους». Παντοῦ συνάπτει καὶ συνδέει τὴν πίστιν καὶ τὴν ἀγάπην, ὡσὰν ἓν θαυμαστὸν ζεῦγος. Ὄχι μόνον τοὺς ἐντοπίους, λέγει, ἀλλὰ καὶ ὅλους. «Δὲν παύω νὰ εὐχαριστῶ τὸν Θεὸν δι' ἐσᾶς, ὅταν σᾶς ἐνθυμοῦμαι εἰς τὰς προσευχάς μου». Τί ζητεῖς καὶ τί παρακαλεῖς; «Νὰ σᾶς δώσῃ ὁ Θεὸς τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης, πνεῦμα σοφίας καὶ ἀποκαλύψεως». Δύο πράγματα εὔχεται νὰ γνωρίσουν, ὅπως πρέπει νὰ γνωρίσουν, διὰ ποῖα πράγματα ἐκλήθησαν, καὶ πῶς ἀπηλλάγησαν ἀπὸ τὰ προηγούμενα. Αὐτὸς ὅμως λέγει ὅτι αὐτὰ εἶναι τρία.

Πῶς λοιπὸν εἶναι τρία; Διὰ νὰ γνωρίσωμεν τὰ μέλλοντα ἀγαθά. Διότι ἀπὸ μὲν τὰ ἀγαθὰ τὰ ὁποῖα μᾶς ἀναμένουν θὰ γνωρίσωμεν τὸν ἀπερίγραπτον καὶ ὑπερφυσικὸν πλοῦτον τοῦ Θεοῦ, ἐνῷ ἀπὸ τοῦ νὰ μάθωμεν πῶς ἐπιστεύσαμεν ἐνῷ εἴμεθα ἀνάξιοι, γνωρίζομεν τὴν δύναμιν καὶ τὴν ἀπεριόριστον κυριαρχίαν του, καὶ ἐκ τοῦ ὅτι μᾶς ἐπέστρεψεν εἰς συμφιλίωσιν ἐμᾶς οἱ ὁποῖοι ἐπὶ τόσον χρόνον εἴμεθα ἐχθροί του. «Διότι ἐκεῖνο τὸ ὁποῖον θεωρεῖται ἀδυναμία τοῦ Θεοῦ εἶναι δυνατώτερον ἀπὸ τὴν δύναμιν τῶν ἀνθρώπων»[2]. Καθ' ὅσον μὲ τὰν ἰδίαν δύναμιν μὲ τὴν ὁποίαν ἀνέστησε τὸν Χριστόν, προσείλκυσε καὶ ἐμᾶς πρὸς τὸν ἑαυτόν του. Καὶ δὲν σταματᾷ μέχρι τὴν ἀνάστασιν ἡ δύναμίς του, ἀλλὰ προχωρεῖ πολὺ περισσότερον.

«Καὶ τὸν ἐκάθισεν εἰς τὰ δεξιά του, ὑπεράνω ἀπὸ κάθε ἀρχὴν καὶ ἐξουσίαν καὶ δύναμιν καὶ κυριότητα καὶ ἀπὸ κάθε ὄνομα ποὺ ὀνομάζεται ὄχι μόνον εἰς τὸν κόσμον τοῦτον, ἀλλὰ καὶ εἰς τὸν μέλλοντα. Καὶ ὅλα ὑπέταξε κάτω ἀπὸ τὰ πόδια του καὶ αὐτὸν ἔκανε κεφαλὴν ὑπεράνω ὅλων εἰς τὴν ἐκκλησίαν, ἡ ὁποία εἶναι τὸ σῶμά του, τὸ συμπλήρωμα ἐκείνου ποὺ γεμίζει τὰ πάντα ἐν πᾶσι»[3]. Πράγματι, μεγάλων καὶ κρυφῶν μυστηρίων μᾶς κατέστησε κοινωνούς. Καὶ αὐτὰ δὲν

ἀλλ' ἢ Πνεύματος μετέχοντας ἁγίου, καὶ πολλῆς ἀπολαύοντας χάριτος· Διὰ τοῦτο καὶ Παῦλος εὔχεται. «Ὁ Πατὴρ τῆς δόξης», φησί· τουτέστιν, ὁ μεγάλα ἡμῖν δεδωκὼς ἀγαθά. Ἀπὸ γὰρ τῶν ὑποκειμένων ἀεὶ αὐτὸν καλεῖ, ὡς ὅταν λέγῃ· «Ὁ Πατὴρ τῶν οἰκτιρμῶν, καὶ Θεὸς πάσης παρακλήσεως»· καὶ πάλιν ὁ προφήτης, «Κύριος ἰσχύς μου, καὶ βοήθειά μου». «Ὁ Πατὴρ τῆς δόξης». Οὐκ ἔχει ἐπ' ὀνόματος αὐτὰ παραστῆσαι, καὶ πανταχοῦ δόξαν καλεῖ, ὅπερ πάσης ἐστὶ λαμπρότητος παρ' ἡμῖν ὄνομα καὶ προσηγορία. Ἰδοὺ τῆς δόξης Πατήρ, τοῦ δὲ Χριστοῦ Θεός.

Τί οὖν; ἐλάττων τῆς δόξης ὁ Υἱός; Ἀλλ' οὐδεὶς οὐδ' ἂν οὐδὲ μαινόμενος εἴποι τοῦτο. «Δῴη ὑμῖν», τουτέστιν, ἐπάραι τὴν διάνοιαν ὑμῶν καὶ ἀναπτερώσειεν· οὐ γάρ ἐστιν ἄλλως ταῦτα μαθεῖν. «Ψυχικὸς γὰρ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ Πνεύματος· μωρία γὰρ αὐτῷ ἐστιν». Ἄρα πνευματικῆς δεῖ σοφίας, ἵνα τὰ πνευματικὰ νοήσωμεν, ἵνα τὰ κρυπτόμενα ἴδωμεν· αὐτὸ τὰ πάντα ἀποκαλύπτει. Μυστήρια μέλλει διηγεῖσθαι Θεοῦ· τῶν δὲ μυστηρίων τοῦ Θεοῦ τὴν γνῶσιν τὸ Πνεῦμα οἶδε μόνον, τὸ καὶ τὰ βάθη αὐτοῦ ἐρευνῶν, οὐκ ἄγγελος, οὐκ ἀρχάγγελος, οὐκ ἄλλη τις κτιστὴ δύναμις· Τουτέστι χάρισμα ὑμῖν παράσχοι. Εἰ δὲ ἀποκαλύψεως τοῦτό ἐστι, οὐκ ἔστι λογισμῶν εὕρεσις. Ὁ γὰρ τὸν Θεὸν μαθών, καὶ τὸν Θεὸν γνούς, οὐκέτι περὶ οὐδενὸς ἀμφισβητήσει· οὐκ ἐρεῖ, τόδε ἀδύνατον, καὶ τόδε δυνατόν, καὶ πῶς τόδε ἐγένετο. Ἂν τὸν Θεὸν μάθωμεν, ὡς εἰδέναι χρή, ἂν τὸν Θεὸν μάθωμεν, παρ' οὗ μαθεῖν δεῖ, παρ' αὐτοῦ τοῦ Πνεύματος, οὐκέτι περὶ οὐ-

4. Β' Κορ. 1, 3.
5. Ψαλμ. 17, 2-3.
6. Α' Κορ. 2, 14.

ἦτο δυνατὸν νὰ τὰ μάθωμεν μὲ ἄλλον τρόπον, παρὰ μόνον μετέχοντες τοῦ ἁγίου Πνεύματος καὶ ἀπαλομβάνοντες πολλῆς χάριτος. Διὰ τοῦτο προσεύχεται καὶ ὁ Παῦλος. «Ὁ Πατὴρ τῆς δόξης», λέγει· δηλαδή, αὐτὸς ὁ ὁποῖος μᾶς ἔχει δώσει μεγάλα ἀγαθά. Διότι ἀπὸ ὅσα εὑρίσκονται ὑποκάτω αὐτοῦ ὀνομάζει πάντοτε αὐτόν, ὅπως ὅταν λέγῃ· «ὁ φιλεύσπλαγχνος Πατὴρ καὶ Θεὸς κάθε παρηγορίας»[4]· καὶ ἐπίσης ὁ προφήτης· «Σὺ εἶσαι, Κύριε, ἡ δύναμίς μου καὶ ὁ λυτρωτής μου»[5]. «Ὁ Πατὴρ τῆς δόξης». Δὲν δύναται νὰ ἐκφράσῃ αὐτὰ μὲ λόγον, καὶ παντοῦ τὰ ὀνομάζει δόξαν, πρᾶγμα τὸ ὁποῖον εἶναι σύμβολον καὶ ὀνομασία κάθε λαμπρότητος εἰς τὴν ἀνθρωπίνην γλῶσσαν. Ἰδού, Πατὴρ τῆς δόξης, τοῦ δὲ Χριστοῦ Θεός.

Τί λοιπόν; Εἶναι κατώτερος τῆς δόξης ὁ Υἱός; Ἀλλ' εἴθε ποτὲ κανείς, οὔτε καὶ παράφρων ἀκόμη, νὰ μὴ εἴπῃ αὐτὸ τὸ πρᾶγμα. «Νὰ σᾶς δώσῃ», δηλαδὴ ν' ἀνυψώσῃ τὸν νοῦν σας καὶ νὰ τὸν ἀναπτερώσῃ· διότι ἄλλως δὲν εἶναι δυνατὸν νὰ γνωρίσετε αὐτά. «Διότι ὁ μὴ πνευματικὸς ἄνθρωπος ὁ ὁποῖος στερεῖται τῆς χάριτος, δὲν δέχεται ὅσα προέρχονται ἀπὸ τὸ Πνεῦμα τοῦ Θεοῦ, διότι δι' αὐτὸν εἶναι μωρία»[6]. Ἄρα ἔχομεν ἀνάγκην πνευματικῆς σοφίας διὰ νὰ ἐννοήσωμεν τὰ πνευματικά, διὰ νὰ ἴδωμεν τὰ κρυπτόμενα· τὸ ἅγιον Πνεῦμα ἀποκαλύπτει τὰ πάντα. Θὰ διηγηθῇ μυστήρια τοῦ Θεοῦ· τῶν δὲ μυστηρίων τοῦ Θεοῦ τὴν γνῶσιν γνωρίζει μόνον τὸ ἅγιον Πνεῦμα, τὸ ὁποῖον καὶ ἐρευνᾷ τὰ βάθη αὐτοῦ, καὶ ὄχι ἄγγελος, οὔτε ἀρχάγγελος, οὔτε κάποια ἄλλη κτιστὴ δύναμις. Δηλαδή, θὰ χορηγήσῃ εἰς ἐμᾶς χάρισμα. Ἐφ' ὅσον δὲ αὐτὸ εἶναι ἀποτέλεσμα ἀποκαλύψεως, δὲν εἶναι εὕρεσις σκέψεως. Ἐκεῖνος λοιπὸν ὁ ὁποῖος ἔμαθε τὸν Θεὸν καὶ ἐγνώρισε τὸν Θεόν, ποτὲ δὲν θὰ ἀμφιβάλλῃ διὰ τίποτε· δὲν θὰ εἴπῃ, αὐτὸ εἶναι ἀδύνατον καὶ αὐτὸ δυνατόν, καὶ πῶς ἔγινεν αὐτό. Ἐὰν μάθωμεν τὸν Θεὸν ὅπως πρέπει νὰ τὸν γνωρίσωμεν, ἐὰν μάθωμεν τὸν Θεὸν ἀπὸ ἐκεῖνον τὸν ὁποῖον πρέπει νὰ τὸν μάθωμεν, δηλαδὴ ἀπὸ τὸ ἴδιον τὸ

δενὸς ἀμφισβητήσομεν. Διὰ τοῦτό φησιν, «Ἐν ἐπιγνώσει αὐτοῦ πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὑμῶν». Ὁ μαθὼν τί ἐστι Θεός, οὐχ ὑπὲρ τῶν ἐπαγγελιῶν ἀμφισβητήσει, οὐχ ὑπὲρ τῶν ἤδη γενομένων ἀπιστήσει.

2. Εὔχεται μὲν οὖν δοθῆναι αὐτοῖς Πνεῦμα σοφίας καὶ ἀποκαλύψεως· πλὴν καὶ αὐτὸς ἀπὸ λογισμῶν, ὅσα δύναται, κατασκευάζει, καὶ τῶν ἤδη ὑπαρξάντων. Ἐπειδὴ γὰρ τὰ μὲν ἤδη γενόμενα ἔμελλε λέγειν, τὰ δὲ οὔπω συμβάντα, ἀπὸ τῶν γενομένων τὰ μὴ γενόμενα πιστοῦται. Οἷόν τι λέγω· «Εἰς τὸ εἰδέναι ὑμᾶς», φησί, «τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ». Ἔτι ἄδηλός ἐστι, φησίν, ἀλλ' οὐ τοῖς πιστοῖς. «Καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις». Ἔτι καὶ τοῦτο ἄδηλον. Τί δὲ δῆλον; Ὅτι ἐπιστεύσαμεν ἀπὸ τῆς δυνάμεως τῆς αὐτοῦ ὅτι ἤγειρε τὸν Χριστόν· τοῦ γὰρ ἀναστῆσαι νεκρὸν πολλῷ θαυμασιώτερον τὸ πεῖσαι ψυχάς. Καὶ ἐγὼ τοῦτο πειράσομαι ποιῆσαι φανερόν. Ἄκουε γάρ·

Εἶπεν ὁ Χριστὸς τῷ τεθνεῶτι, «Λάζαρε, δεῦρο ἔξω», καὶ εὐθέως ὑπήκουσεν· εἶπεν ὁ Πέτρος, «Ταβιθᾶ, ἀνάστηθι», καὶ οὐκ ἀντεῖπεν. Ἐρεῖ αὐτὸς ἐν τῇ τελευταίᾳ ἡμέρᾳ, καὶ πάντες ἀναστήσονται, καὶ μετὰ τοσούτου τάχους, ὡς τοὺς ἔτι ζῶντας μὴ φθάσαι τοὺς κοιμηθέντας, ὡς ἐν ἀτόμῳ, ἐν ῥιπῇ ὀφθαλμοῦ πάντα γενέσθαι καὶ συνδραμεῖν. Ἐπὶ δὲ τοῦ πιστεῦσαι, οὐχ οὕτως· ἀλλ' ἄκουε αὐτοῦ πάλιν λέγοντος, «Ποσάκις ἠθέλησα ἐπισυναγαγεῖν τὰ τέκνα ὑμῶν, καὶ οὐκ ἠθελήσατε;». Ὁρᾷς ὅτι τοῦτο δυσκολώτερον; Ὥστε ἀπὸ τούτου τὸ πᾶν κατασκευάζει. Πολλῷ γάρ ἐστι λογισμοῖς ἀνθρωπίνοις δυσκολώτερον προαίρεσιν πεῖσαι τοῦ φύσιν ἐργάσασθαι.

---

7. Λουκᾶ 13, 34.

ἅγιον Πνεῦμα, ποτὲ δὲν θὰ ἀμφιβάλλωμεν διὰ τίποτε. Διὰ τοῦτο λέγει, «διὰ νὰ τὸν γνωρίσετε βαθέως καὶ νὰ φωτίσῃ τοὺς ὀφθαλμοὺς τῆς καρδίας σας». Ἐκεῖνος ὁ ὁποῖος ἐγνώρισε τί εἶναι ὁ Θεός, δὲν θὰ ἀμφισβητήσῃ τὰς ὑποσχέσεις του, οὔτε διὰ τὰ ὅσα ἤδη ἔγιναν θ' ἀπιστήσῃ.

2. Εὔχεται μὲν λοιπὸν νὰ δοθῇ εἰς αὐτοὺς πνεῦμα σοφίας καὶ ἀποκαλύψεως· ἀλλὰ καὶ ὁ ἴδιος ἀποδεικνύει διὰ συλλογισμῶν, ὅσα δύναται, καὶ διὰ τῶν ὅσων ἤδη ἔγιναν. Διότι ἐπειδὴ ἐπρόκειτο νὰ εἴπῃ ὅτι τὰ μὲν ἔγιναν ἤδη, τὰ δὲ ἀκόμη δὲν συνέβησαν, ἀπὸ τὰ ὅσα ἔγιναν βεβαιώνει τὰ ὅσα ἀκόμη δὲν ἔγιναν. Τί θέλω νὰ εἴπω· «ὥστε νὰ γνωρίσετε», λέγει, «ποία εἶναι ἡ ἐλπίς, ἡ ὁποία εἶναι συνδεδεμένη μὲ τὴν πρόσκλησίν του». Ἀκόμη δὲν εἶναι φανερά, λέγει, ἀλλ' ὄχι εἰς τοὺς πιστούς. «Καὶ ποῖος ὁ πλοῦτος τῆς ἐνδόξου κληρονομίας του μεταξὺ τῶν ἁγίων». Καὶ αὐτὸ δὲν εἶναι ἀκόμη φανερόν. Τί εἶναι ὅμως φανερόν; Τὸ ὅτι ἐπιστεύσαμεν ἀπὸ τὴν δύναμίν του διὰ τῆς ὁποίας ἀνέστησε τὸν Χριστόν· διότι εἶναι πολὺ θαυμαστότερον τὸ νὰ πείσῃ κανεὶς ψυχὰς ἀπὸ τοῦ νὰ ἀναστήσῃ νεκρόν. Καὶ θὰ ἐπιχειρήσω ἐγὼ νὰ καταστήσω τοῦτο φανερόν. Ἄκουε λοιπόν.

Εἶπεν ὁ Χριστὸς εἰς τὸν ἀποθανόντα, «Λάζαρε, ἐλθὲ ἔξω», καὶ ἀμέσως ὑπήκουσεν· εἶπεν ὁ Πέτρος, «Ταβιθᾶ, σήκω ἐπάνω», καὶ δὲν ἀντεῖπεν. Θὰ εἴπῃ ὁ Κύριος εἰς τὴν τελευταίαν ἡμέραν, καὶ ὅλοι θ' ἀναστηθοῦν, καὶ τόσον ταχέως, ὥστε ὅσοι ἀκόμη ζοῦν νὰ μὴ προφθάσουν τοὺς ἀποθανόντας, εἰς ἐλαχιστότατον χρόνον, εἰς ριπὴν ὀφθαλμοῦ θὰ γίνουν τὰ πάντα καὶ θὰ συντελεσθοῦν. Ἐνῷ εἰς τὸ νὰ πιστεύσῃ κάποιος, δὲν εἶναι ἔτσι· ἀλλ' ἄκουσε τὸν ἴδιον τὸν Κύριον, ὁ ὁποῖος λέγει πάλιν· «Πόσας φορὰς ἠθέλησα νὰ συγκεντρώσω τὰ τέκνα σας, καὶ δὲν ἠθελήσατε;»[7]. Βλέπεις ὅτι αὐτὸ εἶναι δυσκολώτερον; Ἀπὸ αὐτὸ λοιπὸν ἀποδεικνύει τὸ πᾶν. Διότι εἶναι πολὺ δυσκολώτερον μὲ ἀνθρωπίνους συλλογισμοὺς νὰ πείσῃς τὴν προαίρεσιν, παρὰ τὸ νὰ κατασκευάσῃς

Τὸ δὲ αἴτιον, ἐπειδὴ αὐτὸς οὕτω βούλεται ἑκόντας ἡμᾶς γενέσθαι ἀγαθούς.

Ὄντως εἰκότως εἶπε, «Τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας». Ὅτε γὰρ προφῆται οὐδὲν ἤνυσαν, ὅτε ἄγγελοι καὶ ἀρχάγγελοι, ὅτε πᾶσα ἡ κτίσις ἡ ὁρατὴ καὶ ἀόρατος, ὁρατὴ μὲν εἰς μέσον προκειμένη, καὶ μὴ ἰσχύουσα χειραγωγῆσαι, ἀόρατος δὲ πολλή, ᾠκονόμησε τὴν αὐτοῦ παρουσίαν τότε, δεικνὺς ὅτι θείας ἔχρῃζε τὸ πρᾶγμα δυνάμεως. «Πλοῦτον δόξης». Τουτέστιν, ἄφατον δόξαν. Ποῖος γὰρ λόγος τὴν δόξαν ἐκείνην παραστῆσαι δυνήσεται, ἧς οἱ ἅγιοι τότε μεθέξουσι; ποῖος λόγος; Οὐδείς· ἀλλὰ χάριτος ὄντως δεῖ πρὸς τὸ τὴν διάνοιαν μαθεῖν, καὶ ὅλως ἀκτῖνα μικρὰν γοῦν τινα δέξασθαι. Τινὰ δὲ ᾔδεσαν μὲν καὶ πρότερον, ἐβούλετο δὲ πλέον αὐτοὺς μαθεῖν καὶ σαφέστερον γνῶναι.

Ὁρᾷς ὅσα εἰργάσατο; Ἤγειρε τὸν Χριστόν· μικρὸν τοῦτο; ἀλλ' ὅρα καὶ πάλιν· Ἐκάθισεν ἐν δεξιᾷ αὐτοῦ· ἄρα τίς λόγος τοῦτο παραστῆσαι δυνήσεται; Τὸν ἀπὸ τῆς γῆς, τὸν τῶν ἰχθύων ἀφωνότερον, τὸν παίγνιον τῶν δαιμόνων γενόμενον, ὅρα ποῦ ἀνήγαγεν. Ὄντως ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ. Καὶ θέα ποῦ ἀνήγαγεν. «Ἐν τοῖς ἐπουρανίοις»· πάσης κτιστῆς φύσεως ἀνώτερον ἐποίησεν· «ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας». «Ὑπεράνω πάσης ἀρχῆς» φησίν. Ὄντως Πνεύματος χρεία, διανοίας σοφῆς ἐν τῇ ἐπιγνώσει αὐτοῦ· ὄντως ἀποκαλύψεως χρεία. Ἐννόησον ὅσον ἐστὶν ἀνθρώπου καὶ Θεοῦ φύσεως τὸ μέσον· καὶ ἀπὸ ταύτης τῆς εὐτελείας εἰς ἐκείνην αὐτὸν ἀνήγαγε τὴν τιμήν· οὐχ ἕνα βαθμὸν ὑπερέ-

τὴν φύσιν. Ἡ δὲ αἰτία διὰ τοῦτο εἶναι ὅτι ἔτσι θέλει ὁ ἴδιος ὁ Θεός, μὲ τὴν θέλησίν μας νὰ γίνωμεν ἀγαθοί.

Πράγματι ὀρθῶς εἶπε, «καὶ πόσον πολὺ μεγάλη εἶναι ἡ δύναμίς του εἰς ἐμᾶς οἱ ὁποῖοι πιστεύομεν, συμφώνως πρὸς τὴν ἐνέργειαν τῆς ἰσχυρᾶς του δυνάμεως». Διότι, ὅταν οἱ προφῆται τίποτε δὲν ἠδυνήθησαν, ὅταν οἱ ἄγγελοι καὶ οἱ ἀρχάγγελοι, ὅταν ὅλη ἡ κτίσις ἡ ὁρατὴ καὶ ἡ ἀόρατος, ἡ μὲν ὁρατὴ εὑρισκομένη ἐνώπιον ὅλων, καὶ μὴ δυναμένη νὰ τοὺς χειραγωγήσῃ, ἡ δὲ ἀόρατος πολλή, τότε ἐπραγματοποίησε συμφώνως πρὸς τὴν οἰκονομίαν του τὴν παρουσίαν του, δεικνύων ὅτι αὐτὸ τὸ πρᾶγμα ἐχρειάζετο θείαν δύναμιν. «Πλοῦτον δόξης». Δηλαδή, ἀπερίγραπτον δόξαν. Διότι ποῖος λόγος θὰ δυνηθῇ νὰ ἐκφράσῃ ἐκείνην τὴν δόξαν, εἰς τὴν ὁποίαν θὰ μετάσχουν τότε οἱ ἅγιοι; ποῖος λόγος; Κανείς· ἀλλ' ἀπαιτεῖται πράγματι χάρις διὰ νὰ γνωρίσῃ ὁ νοῦς τοῦ ἀνθρώπου, ἔστω καὶ μίαν μόνον μικρὰν ἀκτῖνα νὰ δεχθῇ. Μερικὰ δὲ τὰ ἐγνώρισαν μὲν καὶ προηγουμένως, ἤθελεν ὅμως περισσότερον νὰ μάθουν αὐτοὶ καὶ νὰ γνωρίσουν σαφέστερον.

Βλέπεις πόσα ἔκανε; Ἀνέστησε τὸν Χριστόν· εἶναι μικρὸν αὐτό; Ἀλλὰ κοίταξε καὶ πάλι. Ἐκάθισε τὸν Χριστὸν εἰς τὴν δεξιάν του· ἆρά γε ποῖος λόγος θὰ δυνηθῇ νὰ παραστήσῃ τοῦτο; Τὸν προελθόντα ἀπὸ τὴν γῆν, τὸν ἀφωνότερον καὶ ἀπὸ τοὺς ἰχθῦς, ἐκεῖνον ὁ ὁποῖος ἔγινε παιχνίδι τῶν δαιμόνων, κοίταξε ποῦ τὸν ἀνύψωσε. Πράγματι εἶναι ἀνυπέρβλητον τὸ μέγεθος τῆς δυνάμεώς του. «Εἰς τὰ ἐπουράνια» τὸν ἀνέδειξεν ἀνώτερον ἀπὸ κάθε κτιστὴν φύσιν· «ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας». «Ὑπεράνω πάσης ἀρχῆς», λέγει. Πράγματι εἶναι ἀπαραίτητον τὸ ἅγιον Πνεῦμα καὶ τὸ νὰ ἔχῃ κανεὶς σοφὴν διάνοιαν, διὰ νὰ γνωρίσῃ ἀληθῶς τὸν Χριστόν· πράγματι εἶναι ἀναγκαία ἡ ἀποκάλυψις. Ἀναλογίσου πόση εἶναι ἡ ἀπόστασις μεταξὺ θείας φύσεως καὶ ἀνθρώπου· καὶ ἀπὸ αὐτὴν τὴν εὐτέλειαν τὸν ἀνύψωσεν εἰς ἐκείνην τὴν τιμήν· δὲν ὑπερέβη ἕνα βαθμὸν καὶ δεύτε-

βη καὶ δεύτερον καὶ τρίτον. Βαβαί, οὐχ ἁπλῶς εἶπεν, ἄνω, ἀλλ', «ὑπεράνω». Τῶν γὰρ ἄνω δυνάμεων ἀνώτερός ἐστιν ὁ Θεός. Ὥστε ἐκεῖ αὐτὸν ἀνήγαγε, τὸν ἐξ ἡμῶν, ἀπὸ τῆς ἐσχάτης νύσσης εἰς τὴν ἐσχάτην ἤγαγεν ἀρχήν, μεθ' ἣν οὐκ ἔστιν ἑτέρα τιμή.

«Πάσης ἀρχῆς», φησίν· οὐ τῆς μέν, τῆς δὲ οὔ, ἀλλά, «πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος, καὶ παντὸς ὀνόματος ὀνομαζομένου»· εἴ τί ἐστιν ἐν τῷ οὐρανῷ, πάντων ἀνώτερος γέγονε. Τοῦτο περὶ τοῦ ἐκ νεκρῶν ἐγερθέντος, ὅπερ ἄξιον θαυμάσαι· περὶ γὰρ τοῦ Θεοῦ Λόγου, οὐδαμῶς. Ὅπερ γάρ εἰσι κώνωπες πρὸς ἀνθρώπους, τοῦτο πᾶσα ἡ κτίσις πρὸς τὸν Θεόν. Εἰ πάντες ἄνθρωποι ὡς σίελος λογισθήσονται, καὶ ὡς ῥοπὴ ζυγοῦ ἐλογίσθησαν, θὲς τὰς ἀοράτους δυνάμεις ὡς κώνωπας. Ἀλλὰ περὶ τοῦ ἐξ ἡμῶν τοῦτο μέγα ὄντως καὶ θαυμαστόν· ἀπὸ γὰρ τῶν κατωτάτων τῆς γῆς αὐτὸν ἀνήγαγεν. Εἰ πάντα τὰ ἔθνη ὡς σταγών, εἷς ἄνθρωπος πόσον ἄρα μέρος τῆς σταγόνος; Ἀλλὰ τοῦτον πάντων ἀνώτερον ἐποίησεν, «οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι». Ἄρα ἐστὶ δυνάμεών τινων ὀνόματα ἡμῖν ἄσημα, καὶ οὐ γνωριζόμενα.

«Καὶ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ». Οὐχ ἁπλῶς ἀνώτερον ἐποίησεν, ὡς προτιμᾶσθαι αὐτῶν, οὐδὲ κατὰ σύγκρισιν, ἀλλ' ὡς δούλων. Βαβαί, φρικτὰ ὄντως τὰ πράγματα· ἀνθρώπου γέγονε δούλη πᾶσα ἡ κτιστὴ δύναμις διὰ τὸν ἐνοικοῦντα Θεὸν Λόγον. Ἔστι γάρ τινα ἐπάνω εἶναι οὐκ ἔχοντα ὑπακούοντας, ἀλλὰ προτιμώμενον· ἐνταῦθα δὲ οὐχ οὕτως,

8. Ἡσ. 40, 15.

ρον καὶ τρίτον. Ὤ, δὲν εἶπεν ἁπλῶς ἄνω, ἀλλ' «ὑπεράνω». Διότι ἀπὸ τὰς ἄνω δυνάμεις εἶναι ἀνώτερος ὁ Θεός. Ἐκεῖ λοιπὸν ἀνύψωσεν αὐτόν, τὸν ἑκουσίως προελθόντα ἀπὸ τὸ ἰδικόν μας γένος, ἀπὸ τὸ κατώτατον σημεῖον, τὸν ὡδήγησεν εἰς τὴν ἀνωτάτην ἀρχήν, μετὰ τὴν ὁποίαν δὲν ὑπάρχει ἄλλη τιμή.

«Πάσης ἀρχῆς», λέγει· ὄχι τῆς μὲν ναί, τῆς δὲ ὄχι, ἀλλὰ «πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος καὶ παντὸς ὀνόματος τὸ ὁποῖον ὀνομάζεται»· ἀπὸ ὅ,τι ὑπάρχει εἰς τὸν οὐρανὸν ἔγινεν ἀνώτερος. Αὐτὸ διὰ τὸν ἐκ νεκρῶν ἀναστάντα, πρᾶγμα τὸ ὁποῖον εἶναι ἀξιοθαύμαστον· διότι διὰ τὸν Θεὸν Λόγον δὲν εἶναι καθόλου ἄξιον θαυμασμοῦ. Διότι ὅ,τι εἶναι οἱ κώνωπες ἐν σχέσει πρὸς τοὺς ἀνθρώπους, αὐτὸ εἶναι ὅλη ἡ κτίσις ἐν σχέσει πρὸς τὸν Θεόν. Ἐὰν ὅλοι οἱ ἄνθρωποι λογίζωνται ὡσὰν σίελος καὶ ὡς κόνις λεπτὴ εἰς τὴν πλάστιγγα[8], θεώρησον τὰς ἀοράτους δυνάμεις ὡσὰν κώνωπας. Ἀλλὰ τὸ ὅτι τὸν ἀνύψωσεν ἀπὸ τὴν ἰδικήν μας φύσιν αὐτὸ εἶναι πράγματι μέγα καὶ θαυμαστόν· διότι τὸν ἀνύψωσεν ἀπὸ τὰ κατώτατα τῆς γῆς. Ἐὰν ὅλα τὰ ἔθνη εἶναι ὡσὰν μία σταγών, ἆρά γε εἷς ἄνθρωπος πόσον μέρος τῆς σταγόνος εἶναι; Ἀλλ' αὐτὸν ἔκανε ἀνώτερον ἀπὸ ὅλους «ὄχι μόνον εἰς τὸν κόσμον τοῦτον, ἀλλὰ καὶ εἰς τὸν μέλλοντα». Ἑπομένως ὑπάρχουν ὀνόματα ὡρισμένων δυνάμεων, τὰ ὁποῖα εἶναι ἄγνωστα εἰς ἐμᾶς.

«Καὶ ὑπέταξε τὰ πάντα κάτω ἀπὸ τοὺς πόδας του». Ὄχι ἁπλῶς ἀνώτερον τὸν ἔκανεν, ὥστε νὰ τιμᾶται περισσότερον ἀπὸ ὅλους, οὔτε μὲ τέτοιον τρόπον, ὥστε νὰ ὑπάρχῃ σύγκρισις μεταξὺ αὐτοῦ καὶ ὅλων, ἀλλὰ ὡσὰν νὰ εἶναι δοῦλοι. Ὤ, πόσον φρικτὰ πράγματι εἶναι αὐτὰ τὰ πράγματα! Δούλη τοῦ ἀνθρώπου ἔγινε κάθε κτιστὴ δύναμις, χάρις εἰς τὸν Θεὸν Λόγον ὁ ὁποῖος κατοικεῖ μέσα εἰς τὴν ἀνθρωπίνην φύσιν. Διότι ὑπάρχουν περιπτώσεις, κατὰ τὰς ὁποίας εἶναι κανεὶς ἐπάνω καί, παρ' ὅ,τι δὲν ἔχει ἄλλους νὰ τὸν ὑπακούουν, τιμᾶται περισσότερον· ἐδῶ ὅμως δὲν ἔγινεν ἔτσι,

ἀλλὰ πάντα ὑπέταξεν ὑπὸ τοὺς πόδας αὐτοῦ· καὶ οὐχ ἁπλῶς ὑπέταξεν, ἀλλὰ τὴν ἐσχάτην ὑποταγήν, καὶ μεθ' ἣν ἑτέρα οὐκ ἔστι. Διὰ τοῦτο εἶπεν, «ὑπὸ τοὺς πόδας».

«Καὶ αὐτὸν ἔδωκε κεφαλὴν ὑπὲρ πάντα τῇ ἐκκλησίᾳ». Βαβαὶ πάλιν, ποῦ καὶ τὴν ἐκκλησίαν ἀνήγαγεν; Ὥσπερ διά τινος ἕλκων μηχανῆς, εἰς ὕψος αὐτὴν ἀνήγαγε μέγα, καὶ αὐτὴν ἐκάθισεν εἰς ἐκεῖνον τὸν θρόνον. Ἔνθα γὰρ ἡ κεφαλή, ἐκεῖ καὶ τὸ σῶμα· καὶ εἰ κεφαλὴ καὶ σῶμα, οὐδενὶ μέσῳ διείργεται τόπῳ· εἰ δὲ διείργεται, οὐκ ἂν εἴη σῶμα, οὐκ ἂν εἴη κεφαλή.

«Ὑπὲρ πάντα», φησί. Τί ἐστιν, «ὑπὲρ πάντα»; Οὐκ ἄγγελον, οὐκ ἀρχάγγελον, οὐκ ἄλλον οὐδένα ἀφῆκεν ἀνώτερον. Οὐ ταύτῃ δὲ μόνον ἡμᾶς ἐτίμησε, τὸ ἐξ ἡμῶν ἀναγαγών, ἀλλ' ὅτι καὶ τὸ κοινὸν γένος ἅπαν ἐκείνῳ ἕπεσθαι παρεσκεύασεν, ἐκείνου ἔχεσθαι, ἐκείνῳ ἀκολουθεῖν. «Ἥτις ἐστὶ τὸ σῶμα αὐτοῦ». Ἵνα γὰρ μὴ ἀκούσας κεφαλήν, τὴν ἀρχὴν μόνον νομίσῃς, ἀλλὰ καὶ τὴν βεβαιότητα, οὐχ ὡς ἄρχοντα μόνον, ἀλλὰ ὡς σώματος κεφαλήν. «Τὸ πλήρωμα», φησί, «τοῦ τὰ πάντα ἐν πᾶσι πληρουμένου». Εἶτα ὡς οὐκ ἀρκούντως τούτου δεῖξαι τὴν συγγένειαν καὶ τὴν ἐγγύτητα τί φησι; Τὸ πλήρωμα τοῦ Χριστοῦ ἡ Ἐκκλησία. Καὶ γὰρ πλήρωμα κεφαλῆς σῶμα, καὶ πλήρωμα σώματος κεφαλή.

Ὅρα πόσῃ τάξει κέχρηται Παῦλος, πῶς οὐδενὸς φείδεται ῥήματος, ὥστε παραστῆσαι τοῦ Θεοῦ τὴν δόξαν. Πλήρωμα, φησίν· οἷον κεφαλὴ πληροῦται παρὰ τοῦ σώματος· τουτέστι, διὰ πάντων τὸ σῶμα συνέστηκε, καὶ ἑνὸς ἑκάστου, οὐχὶ

ἀλλὰ τὰ πάντα ὑπέταξε κάτω ἀπὸ τοὺς πόδας του· καὶ ὄχι ἁπλῶς ὑπέταξεν, ἀλλὰ τὴν ἐσχάτην ὑποταγήν, μετὰ τὴν ὁποίαν δὲν ὑπάρχει ἄλλη. Διὰ τοῦτο εἶπε «κάτω ἀπὸ τοὺς πόδας του».

«Καὶ αὐτὸν ἔκανε κεφαλὴν ὑπεράνω ὅλων εἰς τὴν ἐκκλησίαν». Ὤ, πόσον θαυμαστὸν καὶ τοῦτο! ποῦ ἀνύψωσε καὶ τὴν ἐκκλησίαν; Σύρων αὐτὴν ὡσὰν μὲ κάποιαν μηχανήν, τὴν ὡδήγησεν εἰς μέγα ὕψος, καὶ ἐκάθισεν αὐτὴν εἰς ἐκεῖνον τὸν θρόνον. Διότι ὅπου εὑρίσκεται ἡ κεφαλή, ἐκεῖ εὑρίσκεται καὶ τὸ σῶμα· καὶ ἐφ' ὅσον εἶναι κεφαλὴ καὶ σῶμα, μὲ καμμίαν ἐνδιάμεσον ἀπόστασιν δὲν χωρίζονται· διότι ἐὰν χωρίζωνται, δὲν θὰ ὑπῆρχε σῶμα, δὲν θὰ ὑπῆρχε κεφαλή.

«Ὑπεράνω ὅλων», λέγει. Τί σημαίνει «ὑπεράνω ὅλων»; Οὔτε ἄγγελον, οὔτε ἀρχάγγελον, οὔτε κανένα ἄλλον ἄφησεν ἀνώτερον. Δὲν μᾶς ἐτίμησε δὲ μόνον μὲ αὐτό, διὰ τοῦ ὅτι δηλαδὴ ὑπερύψωσε τὸν προελθόντα ἀπὸ ἐμᾶς, ἀλλὰ καὶ διὰ τοῦ ὅτι ὁλόκληρον τὸ γένος μας ἔκαμεν ὥστε εἰς ἐκεῖνον νὰ εἶναι συναρμοσμένον, μὲ ἐκεῖνον νὰ συνδέεται, ἐκεῖνον νὰ ἀκολουθῇ. «Ἡ ὁποία ἐκκλησία εἶναι τὸ σῶμά του». Τοῦτο λέγει διὰ νὰ μὴ νομίσῃς, ὅταν ἀκούσῃς τὴν λέξιν κεφαλή, ὅτι ἐννοεῖ τὸν Χριστὸν μόνον ὡς ἀρχὴν τῆς ἐκκλησίας, ἀλλὰ διὰ νὰ σὲ βεβαιώσῃ ὅτι, ὄχι μόνον ὡς ἄρχοντα, ἀλλὰ καὶ ὡς κεφαλὴν τοῦ σώματος τὸν ἐννοεῖ. «Τὸ συμπλήρωμα», λέγει, «ἐκείνου ὁ ὁποῖος γεμίζει τὰ πάντα ἐν πᾶσι». Ὕστερον, ὡσὰν νὰ μὴ ἦτο ἀρκετὸν τοῦτο νὰ δείξῃ τὴν συγγένειαν καὶ τὴν ἐγγύτητα, τί λέγει; Τὸ συμπλήρωμα τοῦ Χριστοῦ εἶναι ἡ ἐκκλησία. Διότι συμπλήρωμα τῆς κεφαλῆς εἶναι τὸ σῶμα, καὶ συμπλήρωμα τοῦ σώματος ἡ κεφαλή.

Κοίταξε πόσην τάξιν χρησιμοποιεῖ ὁ Παῦλος, πῶς καμμίαν λέξιν δὲν παραλείπει, διὰ νὰ παραστήσῃ τὴν δόξαν τοῦ Θεοῦ. Συμπλήρωμα, λέγει· ὅπως ἡ κεφαλὴ συμπληροῦται ἀπὸ τὸ σῶμα· δηλαδὴ συνέστησε τὸ σῶμα δι' ὅλων, καὶ δι' ἑνὸς ἑκάστου, καὶ δὲν τὸν παρουσιάζει ὡς μόνον ἀνα-

κοινῇ μόνον αὐτὸν χρήζοντα εἰσάγει. Ἂν γὰρ μὴ ὦμεν πολλοί, καὶ ὁ μὲν χείρ, ὁ δὲ πούς, ὁ δὲ ἄλλο τι μέρος, οὐ πληροῦται ὅλον τὸ σῶμα· Διὰ πάντων οὖν πληροῦται τὸ σῶμα αὐτοῦ. Τότε πληροῦται ἡ κεφαλή, τότε τέλειον σῶμα γίνεται, ὅταν ὁμοῦ πάντες ὦμεν συνημμένοι καὶ συγκεκολλημένοι.

3. Εἶδες πλοῦτον δόξης κληρονομίας; εἶδες ὑπερβάλλον μέγεθος δυνάμεως εἰς τοὺς πιστεύοντας; εἶδες ἐλπίδα κλήσεως; Αἰδεσθῶμεν ἡμῶν τὴν κεφαλήν, ἐννοήσωμεν τίνος ἐσμὲν σῶμα κεφαλῆς, ᾗ πάντα ὑποτέτακται. Καὶ τῶν ἀγγέλων κατὰ τοῦτο τὸ ὑπόδειγμα βελτίους ἡμᾶς εἶναι χρή, καὶ τῶν ἀρχαγγέλων μείζους, ὡς πάντων αὐτῶν προτετιμημένους. «Οὐκ ἀγγέλων ἐπελάβετο ὁ Θεός», καθὼς γράφων Ἑβραίοις φησίν, «ἀλλὰ σπέρματος Ἀβραάμ»· οὐκ ἀρχῆς, οὐδὲ ἐξουσίας, οὐδὲ κυριότητος, οὐδὲ ἄλλης οὐδεμιᾶς δυνάμεως, ἀλλὰ τὴν ἡμετέραν φύσιν ἀνέλαβε, καὶ ἐκάθισεν ἐν δεξιᾷ αὐτοῦ· Καὶ τί λέγω, ἐκάθισεν; ἱμάτιον αὐτοῦ ἐποίησεν, καὶ οὐχ ἁπλῶς, ἀλλ' ὑπὸ τοὺς πόδας αὐτοῦ πάντα ὑπέταξε. Πόσους βούλει θεῖναι θανάτους; πόσας ψυχάς; μυρίους καὶ πολλαπλασίους; Ἀλλ' οὐδὲν ἴσον ἐρεῖς.

Δύο γὰρ τὰ μέγιστα πεποίηκεν, αὐτός τε εἰς ἔσχατον ταπεινότητος ἦλθε, καὶ τὸν ἄνθρωπον εἰς μέγα ὑψηλότητος ἀνήγαγε τῷ αἵματι αὐτοῦ ἔσωσεν. Εἶπεν ἐκεῖνο πρῶτον, ὅτι ἑαυτὸν ἐταπείνωσε τοσοῦτον· λέγει τὸ τούτου στερρότερον, τὸ μέγα καὶ τὸ κεφάλαιον. Καίτοι εἰ καὶ μηδενὸς ἠξιώθημεν, ἤρκει· εἰ καὶ χωρὶς τούτου ἠξιώθημεν, χωρὶς τοῦ σφάξαι, ἤρκει· ὅταν δὲ τὰ δύο ᾖ, τίνα οὐκ ἂν ὑπερβολὴν λόγου νικήσειε καὶ ὑπερβαίη; Οὐ μέγα ἡ ἀνάστασις, ὅταν ταῦτα λογί-

9. Ἑβρ. 2, 16.

γκαῖον δι' ὅλους. Διότι, ἐὰν δὲν εἴμεθα πολλά, καὶ ὁ μὲν ἕνας νὰ εἶναι χέρι, ὁ δὲ ἄλλος πόδι, καὶ ἄλλος κάποιο ἄλλο μέλος, δὲν συμπληροῦται ὁλόκληρον τὸ σῶμα. Μὲ ὅλους λοιπὸν συμπληροῦται τὸ σῶμά του. Τότε συμπληροῦται ἡ κεφαλή, τότε γίνεται τέλειον τὸ σῶμα, ὅταν ὅλοι μαζὶ εἴμεθα συνηνωμένοι καὶ συνδεδεμένοι.

3. Εἶδες πλοῦτον ἐνδόξου κληρονομίας; Εἶδες πόσον μεγάλη εἶναι ἡ δύναμίς του εἰς τοὺς πιστεύοντας; Εἶδες πόσον μεγάλη ἐλπὶς εἶναι ἡ πρόσκλησις; Ἂς σεβασθῶμεν τὴν κεφαλήν μας, ἂς ἀναλογισθῶμεν ποίας κεφαλῆς εἴμεθα σῶμα, εἰς τὴν ὁποίαν ἔχουν ὑποταγῆ τὰ πάντα. Συμφώνως πρὸς τοῦτο τὸ παράδειγμα πρέπει ἐμεῖς νὰ εἴμεθα καλύτεροι καὶ ἀπὸ τοὺς ἀγγέλους, καὶ ἀπὸ τοὺς ἀρχαγγέλους μεγαλύτεροι, διότι ἀπὸ ὅλους αὐτοὺς ἐτιμήθημεν περισσότερον. «Δὲν ἔρχεται νὰ βοηθήσῃ ἀγγέλους ὁ Θεός», ὅπως λέγει γράφων εἰς τοὺς Ἑβραίους, «ἀλλ' ἀπογόνους τοῦ Ἀβραάμ»· οὔτε ἀρχήν, οὔτε ἐξουσίαν, οὔτε κυριότητα, οὔτε καμμίαν ἄλλην δύναμιν· ἀλλὰ τὴν ἰδικήν μας φύσιν ἀνέλαβε καὶ ἐκάθισεν εἰς τὴν δεξιάν του. Τί λέγω, ἐκάθισεν; Ἔκαμεν αὐτὴν ἱμάτιόν του, καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ ὑπέταξε κάτω ἀπὸ τοὺς πόδας του τὰ πάντα. Πόσους θανάτους θέλεις νὰ εἴπωμεν ὅτι ἐπλήρωσε; Πόσας ζωάς; Χιλιάδας καὶ μυριάδας; Ἀλλὰ τίποτε ἴσον τούτου, δὲν θὰ εἴπῃς.

Δύο λοιπὸν πράγματα μέγιστα ἔκανε, καὶ ὁ ἴδιος κατῆλθε εἰς τὸ ἔσχατον σημεῖον ταπεινότητος, καὶ ἀνύψωσε τὴν ἀνθρωπίνην φύσιν εἰς τὸ μέγιστον ὕψος, τὴν ἔσωσε διὰ τοῦ αἵματός του. Εἶπε πρῶτον ἐκεῖνο, ὅτι ἐταπείνωσε τόσον τὸν ἑαυτόν του· λέγει μετὰ καὶ αὐτό, τὸ ὁποῖον εἶναι δυνατώτερον τούτου, τὸ μέγα καὶ οὐσιῶδες. Ἂν καὶ θὰ ἦτο ἀρκετόν, ἀκόμη καὶ ἂν δὲν εἴχομεν ἀξιωθῆ κανενὸς πράγματος, ἐὰν καὶ χωρὶς αὐτὸ ἠξιώθημεν τόσων, καὶ ἤρκει καὶ χωρὶς νὰ θυσιασθῇ, ὅταν ὅμως καὶ τὰ δύο ἔχουν γίνει, ποῖον ὑπερβολικὸν λόγον δὲν θὰ ἐνίκων καὶ δὲν θὰ ὑπερέβαινον αὐτά; Δὲν εἶναι μέγα γεγονὸς ἡ ἀνάστασις ὅταν ἀναλογισθῶ αὐτά.

σωμαι. Περὶ τούτου φησίν, «Ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, οὐ περὶ τοῦ Θεοῦ Λόγου.

Αἰδεσθῶμεν τὴν ἐγγύτητα, τὴν συγγένειαν, φοβηθῶμεν μή τις ἀποκοπῇ τοῦ σώματος τούτου, μή τις ἐκπέσῃ, μή τις ἀνάξιος φανῇ. Εἰ διάδημά τις ἡμῶν περιέθηκε τῇ κεφαλῇ, στέφανον χρυσοῦν, ἆρα οὐκ ἂν πάντα ἐπράξαμεν, ὥστε τῶν ἀψύχων λίθων ὀφθῆναι ἄξιοι; Νῦν δὲ οὐ διάδημα ἡμῶν περίκειται τῇ κεφαλῇ, ἀλλὰ κεφαλὴ ἡμῶν γέγονεν ὁ Χριστός, ὅπερ ἐστὶ μεῖζον, καὶ οὐδένα λόγον ποιούμεθα; ἀλλ' ἄγγελοι μὲν αὐτὴν αἰδοῦνται, καὶ ἀρχάγγελοι, καὶ πᾶσαι ἐκεῖναι αἱ δυνάμεις· ἡμεῖς δέ, καὶ σῶμα αὐτοῦ ὄντες, οὔτε διὰ τοῦτο, οὔτε δι' ἐκεῖνο αἰδεσθησόμεθα; καὶ τίς ἡμῖν ἔσται σωτηρίας ἐλπίς;

Ἐννόει τὸν θρόνον τὸν βασιλικόν, ἐννόει τῆς τιμῆς τὴν ὑπερβολήν· τοῦτο καὶ γεέννης, εἴγε βουλοίμεθα, μᾶλλον ἡμᾶς φοβῆσαι δυνήσεται. Εἰ γὰρ μὴ γέεννα ἦν, τὸ τιμηθέντας τοσαύτην τιμήν, ἀναξίους εὑρεθῆναι καὶ κακούς, τίνα οὐκ ἂν ἔχοι κόλασιν, τίνα τιμωρίαν; Ἐννόησον τίνος ἐγγὺς ἡ κεφαλή σου κάθηται τοῦτο μόνον, καὶ ἀπόχρη πρὸς πᾶν ὁτιοῦν· τίνος ἐν δεξιᾷ ἵδρυται, ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως· τὸ δὲ ταύτης σῶμα καὶ ὑπὸ δαιμόνων πατεῖται.

Ἀλλὰ μὴ γένοιτο· οὐκ ἂν εἴη τὸ τοιοῦτον σῶμα λοιπόν. Τὴν κεφαλήν σου καὶ οἱ εὐδοκιμοῦντες τῶν δούλων πεφρίκασι, καὶ τὸ σῶμα τοῖς προσκεκρουκόσιν ὑποβάλλεις; καὶ πόσης οὐκ ἔσῃ κολάσεως ἄξιος; Εἴ τις τοὺς πόδας τοῦ βασιλέως κλοιοῖς περιβάλλοι καὶ πέδαις, ἆρα οὐχὶ τῆς ἐσχάτης δίκης ὑπεύθυνοι ἔσται; Σὺ ὅλον τὸ σῶμα θηρίοις παραβάλλεις χαλεποῖς, καὶ οὐ φρίττεις; Ἀλλ' ἐπειδὴ περὶ σώματος κυρια-

Περὶ αὐτοῦ λέγει, «ὁ Θεὸς τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ» καὶ ὄχι περὶ τοῦ Λόγου τοῦ Θεοῦ.

Ἂς ἐντραπῶμεν τὴν ἐγγύτητα, τὴν συγγένειαν, ἂς φοβηθῶμεν μήπως κανεὶς ἀποκοπῇ ἀπὸ αὐτὸ τὸ σῶμα, μήπως κανεὶς ἐκπέσῃ, μήπως φανῇ ἀνάξιος. Ἐὰν κάποιος εἶχε τοποθετήσει εἰς τὴν κεφαλήν μας ὡς διάδημα, χρυσοῦν στέφανον, ἆρά γε δὲν θὰ ἐκάμναμε τὰ πάντα διὰ νὰ φανῶμεν ἄξιοι τῶν ἀψύχων λίθων; Τώρα δὲν εὑρίσκεται εἰς τὴν κεφαλήν μας διάδημα, ἀλλὰ κεφαλή μας ἔγινεν ὁ Χριστός, πρᾶγμα τὸ ὁποῖον εἶναι πολὺ μεγαλύτερον, καὶ δὲν τὸν θεωροῦμεν κἂν ἄξιον λόγου; Ἀλλ' αὐτὴν τὴν κεφαλὴν τὴν ἐντρέπονται οἱ ἄγγελοι καὶ οἱ ἀρχάγγελοι καὶ ὅλαι ἐκεῖναι αἱ δυνάμεις, ἐμεῖς ὅμως, ἂν καὶ εἴμεθα σῶμά του, οὔτε διὰ τοῦτο, οὔτε δι' ἐκεῖνο θὰ ἐντραπῶμεν; Καὶ ποία ἐλπὶς σωτηρίας θὰ ὑπάρξῃ δι' ἐμᾶς;

Νὰ ἀναλογίζεσαι τὸν βασιλικὸν θρόνον, νὰ σκέπτεσαι τὸ ὑπερβολικὸν μέγεθος τῆς τιμῆς· αὐτὸ θὰ ἠμπορέσῃ νὰ μᾶς φοβήσῃ περισσότερον καὶ ἀπὸ τὴν γέενναν, ἐὰν βεβαίως θὰ ἠθέλαμεν. Διότι καὶ ἐὰν δὲν ὑπῆρχε γέεννα, τὸ νὰ φανῶμεν κακοὶ καὶ ἀνάξιοι, ἐνῷ ἐτιμήθημεν μὲ τόσην τιμήν, ποίας κολάσεως ἄξιον δὲν θὰ ἦτο τοῦτο, ποίας τιμωρίας; Ἀναλογίσου ποίου ἡ κεφαλὴ εὑρίσκεται πλησίον σου, αὐτὸ μόνον, καὶ ἀρκεῖ τοῦτο δι' ὁ,τιδήποτε· εἰς τὴν δεξιὰν τίνος ἔχει ὑψωθῇ αὐτὴ ἡ κεφαλή, ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως· τὸ σῶμα ὅμως αὐτῆς καταπατεῖται καὶ ἀπὸ δαίμονας.

Ἀλλ' εἴθε νὰ μὴ συμβῇ αὐτό· δὲν θὰ ἦτο δυνατὸν αὐτὸ εἰς τὸ ἑξῆς νὰ εἶναι σῶμα. Τὴν κεφαλήν σου φρίττουν ἀκόμη καὶ οἱ εὐδοκιμοῦντες ἀπὸ τοὺς δούλους, καὶ ἐσὺ ἐκθέτεις τὸ σῶμα κάτω ἀπὸ τὰς προσβολὰς τῶν ἐχθρῶν; Καὶ πόσης κολάσεως ἄξιος δὲν θ' ἀποδειχθῇς; Ἐὰν κάποιος περιβάλλῃ τοὺς πόδας τοῦ βασιλέως μὲ κλοιοὺς καὶ δεσμά, ἆρά γε δὲν θὰ εἶναι ὑπεύθυνος τῆς ἐσχάτης ποινῆς; Ἀλλ' ἐπειδὴ ὁ λό-

κοῦ ὁ λόγος, φέρε, καὶ περὶ ἐκείνου μνημονεύσωμεν, τοῦ σταυρωθέντος, τοῦ προσηλωθέντος, τοῦ θυομένου.

Εἰ σῶμα εἶ τοῦ Χριστοῦ, φέρε τὸν σταυρόν· καὶ γὰρ ἐκεῖνος ἤνεγκε· φέρε ἐμπτύσματα, φέρε ῥαπίσματα, φέρε ἥλους· Τοιοῦτον ἐκεῖνο τὸ σῶμα ἦν. Τὸ σῶμα ἐκεῖνο ἁμαρτίαν οὐκ ἐποίησεν, οὐδὲ δόλος ἐν τῷ στόματι αὐτοῦ εὑρέθη»· αἱ χεῖρες αὐτοῦ πρὸς εὐεργεσίαν ἅπαντα ἔπραττον τῶν δεόντων· οὐδὲν τὸ στόμα ἐξέβαλλε τῶν οὐ προσηκόντων· «Δαιμόνιον ἔχεις», ἤκουε, καὶ οὐδὲν ἔλεγε. Περὶ σώματος ἡμῖν ὁ λόγος, καὶ τούτου οὐδὲν ἐκείνου διαφέροντος, οὐδὲ διεστῶτος, ὅσοι μετέχομεν τοῦ σώματος, ὅσοι τοῦ αἵματος ἀπογευόμεθα. Ἐννοεῖτε ὅτι ἐκείνου τοῦ ἄνω καθημένου, τοῦ προσκυνουμένου παρὰ ἀγγέλων, τοῦ τῆς ἀκηράτου δυνάμεως ἐγγύς, τούτου ἀπογευόμεθα·

Οἴμοι, πόσαι πρὸς σωτηρίαν ἡμῖν ὁδοί. Σῶμα ἡμᾶς ἑαυτοῦ ἐποίησε, σῶμα ἡμῖν τὸ ἑαυτοῦ μετέδωκε, καὶ οὐδὲν τούτων ἡμᾶς ἀποτρέπει τῶν κακῶν. Ὦ τοῦ σκότους καὶ τοῦ βυθοῦ τοῦ πολλοῦ· ὢ τῆς ἀναλγησίας. «Τὰ ἄνω», φησί, «φρονεῖτε, οὗ ὁ Χριστός ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ καθήμενος»· καὶ μετὰ ταῦτα πάντα χρημάτων φροντίζουσί τινες, ἔρωτος, ὑπὸ τῶν παθῶν ἁλίσκονται. Οὐχ ὁρᾶτε, ὅτι καὶ ἐν τῷ σώματι τῷ ἡμετέρῳ, ὅσα μὲν ἂν ᾖ περιττὰ καὶ ἄχρηστα, ἀποτέμνεται, περικόπτεται; καὶ οὐδὲν κέρδος, ὅτι γέγονε τοῦ σώματος, ὅταν πεπηρωμένον ᾖ, ὅταν νενεκρωμένον, ὅταν σεσηπός, ὅταν καὶ τῷ λοιπῷ λυμαίνηται;

Μὴ τοίνυν θαρρῶμεν, ὅτι γεγόναμεν ἅπαξ τοῦ σώματος. Εἰ δὲ τὸ σῶμα τοῦτο φυσικὸν ὄν, ὅμως ἀποτέμνεται, τὰ τῆς προαιρέσεως ἂν μὴ μένῃ, τί οὐ πείσεται δεινόν; Ὅταν μὴ

---

10. Α' Πέτρ. 2, 22.
11. Ἰωάν. 7, 20.
12. Κολ. 3, 1-2.

γος γίνεται διὰ τὸ σῶμα τοῦ Κυρίου, περίμενε, καὶ θὰ μνημονεύσωμεν ἐκεῖνον, ὁ ὁποῖος ἐσταυρώθη, ὁ ὁποῖος προσηλώθη, ὁ ὁποῖος θυσιάζεται.

Ἐὰν εἶσαι σῶμα τοῦ Χριστοῦ, ὑπόφερε τὸν σταυρόν· διότι καὶ ἐκεῖνος ὑπέμεινεν· ὑπόφερε ἐμπτύσματα, ὑπόφερε κτυπήματα, ὑπόφερε πληγάς. Τέτοιο ἦτο ἐκεῖνο τὸ σῶμα. Τὸ σῶμα ἐκεῖνο «ἁμαρτίαν δὲν διέπραξεν, οὔτε εὑρέθη δόλος εἰς τὸ στόμά του»[10]· αἱ χεῖρές του, ὅ,τι ἔπραττον, τὸ ἔπραττον διὰ νὰ εὐεργετήσουν τοὺς ἔχοντας ἀνάγκην· τίποτε ἀπρεπὲς δὲν ἐξέβαλλε τὸ στόμά του· «Δαιμόνιον ἔχεις»[11] ἤκουε, καὶ τίποτε δὲν ἔλεγε. Διὰ τὸ σῶμα κάνομεν λόγον, καὶ τοῦτο εἰς τίποτε δὲν διαφέρει, οὔτε διακρίνεται ἀπὸ ἐκεῖνο, δι' ὅσους μετέχομεν τοῦ σώματος καὶ ἀπογευόμεθα τοῦ αἵματος. Σκεφθῆτε ὅτι ἐκείνου, ὁ ὁποῖος κάθηται ἄνω, ὁ ὁποῖος προσκυνεῖται ἀπὸ ἀγγέλους, ὁ ὁποῖος εὑρίσκεται πλησίον τῆς ἀφθάρτου καὶ ἀπείρου δυνάμεως, αὐτοῦ ἀπογευόμεθα.

Ὤ, πόσαι ὁδοὶ ὑπάρχουν διὰ τὴν σωτηρίαν μας! Κατέστησεν ἐμᾶς σῶμα ἰδικόν του, μετέδωσεν εἰς ἐμᾶς τὸ ἰδικόν του σῶμα, καὶ τίποτε ἀπὸ αὐτὰ δὲν μᾶς ἀποτρέπει ἀπὸ τὰ κακά! Ὤ, τί σκότος καὶ τί μεγάλη κατάπτωσις! Ὤ, τί ἀναισθησία! «Νὰ σκέπτεσθε τὰ ἐπάνω», λέγει, «ὅπου κάθεται ὁ Χριστὸς εἰς τὰ δεξιὰ τοῦ Θεοῦ»[12]· καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ μερικοὶ φροντίζουν διὰ χρήματα, ἔρωτα, κυριεύονται ἀπὸ πάθη. Δὲν βλέπετε ὅτι καὶ εἰς τὸ ἰδικόν μας σῶμα ὅσα εἶναι περιττὰ καὶ ἄχρηστα ὅτι ἀποτέμνονται, ὅτι περικόπτονται; Καὶ κανὲν κέρδος δὲν ὑπάρχει ἀπὸ τὴν συμμετοχὴν εἰς τὸ σῶμα αὐτοῦ, ὅταν αὐτὸ τὸ ἴδιο τὸ σῶμα μας εἶναι κατεστραμμένον, νεκρόν, σάπιον, ὅταν βλάπτῃ καὶ τὸ ὑπόλοιπον σῶμα;

Ἂς μὴ ἐπαναπαυώμεθα λοιπὸν λαμβάνοντες θάρρος ἀπὸ τὸ ὅτι ἐγίναμεν μέλη τοῦ σώματος. Ἐὰν δὲ καὶ αὐτὸ τὸ ἴδιο τὸ σῶμα, μολονότι εἶναι φυσικόν, ὅμως ἀποκόπτεται, τότε ὅσα ἀνήκουν εἰς τὴν προαίρεσιν, ἂν δὲν μένουν ὅπως πρέπει, τί φοβερὸν δὲν θὰ πάθουν; Ὅταν τὸ σῶμα δὲν λαμ-

μετέχῃ τῆς τροφῆς ταύτης τὸ σῶμα, ὅταν οἱ πόροι ἐμφραγῶσι, τότε νεκροῦται· ὅταν οἱ ὀχετοί, τότε πηροῦται. Οὕτω καὶ ἡμεῖς ὅταν ἀποφράξωμεν τὰς ἀκοάς, πηροῦται ἡμῶν ἡ ψυχή· ὅταν μὴ μετέχωμεν τῆς πνευματικῆς τροφῆς, ὅταν πονηρίαι τινὲς ἀντὶ χυμῶν διεφθαρμένων λυμαίνωνται, πάντα ταῦτα τίκτει τὴν νόσον, νόσον χαλεπήν, νόσον σηπεδόνα ἐργαζομένην· καὶ δεήσεται τοῦ πυρὸς ἐκείνου λοιπόν, δεήσεται τοῦ διχοτομηθῆναι. Οὐ γὰρ ἀνέχεται μετὰ τοιούτου σώματος εἰσελθεῖν εἰς τὸν νυμφῶνα ὁ Χριστός. Εἰ τὸν ἱμάτια ῥυπαρὰ ἐνδεδυμένον ἀπήγαγε καὶ ἐξέβαλε, τὸν τῷ σώματι τὸν ῥύπον προστιθέντα τί οὐκ ἐργάσεται; τί οὐ διαθήσει;

Πολλοὺς ὁρῶ τοῦ σώματος τοῦ Χριστοῦ μετέχοντας ἁπλῶς καὶ ὡς ἔτυχε, καὶ συνηθείᾳ μᾶλλον καὶ νόμῳ, ἢ λογισμῷ καὶ διανοίᾳ. Ἂν ἐπιστῇ, φησίν, ὁ τῆς ἁγίας τεσσαρακοστῆς καιρός, οἷος ἐὰν ᾖ τις, μετέχει τῶν μυστηρίων, ἂν ἐπιστῇ τῶν ἐπιφανίων ἡ ἡμέρα. Καίτοι καιρὸς προσόδου οὐκ ἐπιφάνια, οὐδὲ τεσσαρακοστή, ἀλλὰ ψυχῆς εἰλικρίνεια καὶ καθαρότης. Μετὰ ταύτης ἀεὶ πρόσιθι, χωρὶς ταύτης μηδέποτε. «Ὁσάκις γάρ», φησί, «τοῦτο ποιεῖτε, τὸν θάνατον τοῦ Κυρίου καταγγέλλετε»· τουτέστιν, ὑπόμνησιν ποιεῖτε τῆς σωτηρίας τῆς ὑπὲρ ὑμῶν, τῆς εὐεργεσίας τῆς ἐμῆς. Ἐννόησον, οἱ τῆς θυσίας μετέχοντες τῆς παλαιᾶς πόσῃ ἐκέχρηντο τῇ φειδοῖ· τί οὐκ ἔπραττον; τί οὐκ ἐποίουν; πάντοτε ἐκαθαίροντο. Σὺ δὲ θυσίᾳ προσιών, ἣν καὶ ἄγγελοι φρίττουσι, καιρῶν περιόδοις τὸ πρᾶγμα ὁρίζεις; Καὶ πῶς παραστήσῃ τῷ βήματι τοῦ Χριστοῦ, μιαραῖς χερσὶ καὶ χείλεσι, καιατολμῶν αὐτοῦ τοῦ σώματος; Καὶ βασιλέα μὲν οὐκ ἂν ἕλοιο καταφιλῆ-

---

18. Α' Κορ. 11, 26.

θάνῃ τροφήν, ὅταν οἱ πόροι του ἀποκλεισθοῦν, τότε νεκροῦται· ὅταν κλεισθοῦν οἱ ἀγωγοί, καταστρέφεται. Ἔτσι καὶ ἐμεῖς, ὅταν ἀποφράξωμεν τὴν ἀκοὴν εἰς ὅσα ὠφελοῦν, καταστρέφεται ἡ ψυχή μας· ὅταν δὲν λαμβάνωμεν πνευματικὴν τροφήν, ὅταν ὡρισμέναι πονηρίαι διεφθαρμένων ἀντὶ διὰ ζωογόνους χυμοὺς μᾶς μολύνουν, ὅλα αὐτὰ γεννοῦν τὴν νόσον, νόσον φοβεράν, ἡ ὁποία ἀπεργάζεται σῆψιν· καὶ θὰ χρειασθῇ ἐκεῖνο τὸ πῦρ, θὰ χρειασθῇ νὰ χωρισθῇ εἰς τὰ δύο. Διότι δὲν ἀνέχεται ὁ Χριστὸς νὰ εἰσέλθῃ εἰς τὸν νυμφῶνα μὲ τέτοιο σῶμα. Ἐὰν ἐκεῖνον ὁ ὁποῖος εἶχε ρυπαρὰ ἐνδύματα ἀπεμάκρυνε καὶ ἐξέβαλεν ἀπὸ τὸν νυμφῶνα, τί δὲν θὰ κάνῃ εἰς ἐκεῖνον ὁ ὁποῖος μολύνει τὸ σῶμα; Τί δὲν θὰ τοῦ ἐπιβάλῃ;

Πολλοὺς βλέπω νὰ μεταλαμβάνουν ἀπὸ τὸ σῶμα τοῦ Χριστοῦ ἁπλῶς καὶ ὡς ἔτυχε, καὶ μᾶλλον ἀπὸ συνήθειαν καὶ ὑποχρέωσιν, παρὰ ἀπὸ στοχασμὸν καὶ γνῶσιν. Ὅταν ἔλθῃ, λέγει, ὁ καιρὸς τῆς ἁγίας τεσσαρακοστῆς, ἡ ἡμέρα τῶν Θεοφανείων, ὅποιος καὶ ἂν εἶναι κανείς, μετέχει τῶν μυστηρίων. Καὶ ὅμως, καιρὸς διὰ νὰ προσέλθῃς δὲν εἶναι τὰ Θεοφάνεια, οὔτε ἡ τεσσαρακοστή, ἀλλ' ἡ εἰλικρίνεια καὶ ἡ καθαρότης τῆς ψυχῆς. Ὅταν ἔχῃς αὐτήν, πάντοτε νὰ προσέρχεσαι, χωρὶς αὐτὴν ποτέ. «Διότι κάθε φορὰν ποὺ τρώγετε τὸν ἄρτον τοῦτον καὶ πίνετε ἀπὸ τὸ ποτήριον τοῦτο, διακηρύσσετε τὸν θάνατον τοῦ Κυρίου ἕως ὅτου ἔλθῃ»[18]. Δηλαδὴ κάμνετε ὑπόμνησιν τῆς σωτηρίας ποὺ ἐδόθη εἰς ἐσᾶς, τῆς ἰδικῆς μου εὐεργεσίας. Σκέψου, ἐκεῖνοι οἱ ὁποῖοι μετεῖχον εἰς τὴν θυσίαν εἰς τὴν παλαιὰν ἐκκλησίαν, μὲ πόσην φειδὼ προσήρχοντο· τί δὲν ἔκαμνον; Τί παρέλειπον; Πάντοτε ἐκαθαρίζοντο. Ἐνῷ ἐσὺ προσερχόμενος εἰς θυσίαν, τὴν ὁποίαν καὶ οἱ ἄγγελοι φρίττουν, θεωρεῖς ὅτι τὸ πρᾶγμα ἐξαρτᾶται ἀπὸ τὰς χρονικὰς περιόδους. Καὶ πῶς θὰ παραστῇς εἰς τὸ βῆμα τοῦ Χριστοῦ τολμῶν νὰ ἐγγίσῃς μὲ μιαρὰ χέρια καὶ χείλη αὐτὸ τὸ σῶμα; Καὶ τὸν μὲν βασιλέα δὲν θὰ ἤθελες νὰ φιλήσῃς εἰς μίαν στιγμὴν κατὰ τὴν ὁποίαν θὰ

σαι, ὀδωδότος σου τοῦ στόματος· τὸν δὲ βασιλέα τοῦ οὐρανοῦ ψυχῇ καταφιλεῖς ὀδωδυίᾳ; Ὕβρις τὸ πρᾶγμά ἐστιν.

Εἰπέ μοι, ἆρα ἂν ἕλοιο χερσὶν ἀνίπτοις τῇ θυσίᾳ προσελθεῖν; Οὐκ ἔγωγε οἶμαι· ἀλλ' ἐθέλοις ἂν μηδὲ ὅλως προσελθεῖν, ἢ ῥυπαραῖς χερσίν. Εἶτα ἐν τῷ μικρῷ οὕτως ὢν εὐλαβής, ψυχὴν ἔχων ῥυπαρὰν προσέρχῃ, καὶ ἅπτεσθαι τολμᾷς; Καίτοι ὑπὸ μὲν τῶν χειρῶν πρὸς καιρὸν κατέχεται, εἰς δὲ ἐκείνην ὁλόκληρον ἀναλύεται. Τί δέ; οὐχ ὁρᾷς τὰ σκεύη οὕτω περικλιζόμενα, οὕτως ἀπολάμποντα; Τούτων καθαρωτέρας ἡμῖν εἶναι δεῖ τὰς ψυχάς, τούτων ἁγιωτέρας καὶ λαμπροτέρας. Τί δήποτε; Ὅτι ἐκεῖνα δι' ἡμᾶς τοιαῦτα γίνεται. Ἐκεῖνα οὐ μετέχει τοῦ ἐνόντος, οὐκ αἰσθάνεται· ἡμεῖς δέ, ναί. Νῦν δὲ ῥυπαρῷ μὲν οὐκ ἂν ἕλοιο χρήσασθαι σκεύει, ῥυπαρᾷ δὲ ψυχῇ προσέρχῃ; Πολλὴν ὁρῶ τοῦ πράγματος ἀνωμαλίαν. Ἐν μὲν τοῖς ἄλλοις καιροῖς οὐδὲ καθαροὶ πολλάκις ὄντες προσέρχεσθε, ἐν δὲ τῷ πάσχα, κἂν ᾖ τι τετολμημένον ὑμῖν, πρόσιτε. Ὢ τῆς συνηθείας, ὢ τῆς προλήψεως· εἰκῇ θυσία καθημερινή, εἰκῇ παρεστήκαμεν τῷ θυσιαστηρίῳ, οὐδεὶς ὁ μετέχων.

4. Ταῦτα οὐχ ἵνα ἁπλῶς μετέχητε, ἀλλ' ἵνα ἀξίους ἑαυτοὺς κατασκευάζητε. Οὐκ εἶ τῆς θυσίας ἄξιος, οὐδὲ τῆς μεταλήψεως; Οὐκοῦν οὐδὲ τῆς εὐχῆς. Ἀκούεις ἑστῶτος τοῦ κήρυκος, καὶ λέγοντος, ὅσοι ἐν μετανοίᾳ, δεήθητε πάντες. Ὅσοι μὴ μετέχουσιν, ἐν μετανοίᾳ εἰσίν. Εἰ τῶν ἐν μετανοίᾳ εἶ, μετασχεῖν οὐκ ὀφείλεις· ὁ γὰρ μὴ μετέχων, τῶν ἐν μετανοίᾳ ἐστί. Τίνος οὖν ἕνεκεν λέγει, ἀπέλθετε οἱ μὴ δυ-

ἐμύριζε τὸ στόμα σου, τὸν δὲ βασιλέα τοῦ οὐρανοῦ καταφιλεῖς μὲ ψυχὴν ἡ ὁποία βρωμᾷ; Αὐτὸ τὸ πρᾶγμα ἀποτελεῖ ὕβριν.

Εἰπέ μου, ἆρά γε θὰ ἤθελες νὰ προσέλθῃς εἰς τὴν θυσίαν μὲ χέρια ἄνιπτα; Δὲν νομίζω· ἀλλὰ θὰ ἐπροτιμοῦσες νὰ μὴ προσέλθῃς καθόλου, παρὰ νὰ προσέλθῃς μὲ μολυσμένα χέρια. Ἐνῷ λοιπὸν εἶσαι εὐλαβὴς εἰς τοῦτο τὸ μικρὸν πρᾶγμα, τολμᾷς καὶ προσέρχεσαι καὶ ἐγγίζεις τὸ σῶμα τοῦ Χριστοῦ μὲ ψυχὴν μολυσμένην; Καὶ ὅμως, ἀπὸ τὰ μὲν χέρια κρατεῖται πρὸς στιγμήν, ἐνῷ εἰς τὴν ψυχὴν μένει καὶ διαλύεται ὁλόκληρον. Δὲν βλέπεις τὰ ἱερὰ σκεύη πόσον καθαρά, πόσον ἀπαστράπτοντα εἶναι; Ἀπὸ αὐτὰ πρέπει καθαρώτεραι νὰ εἶναι αἱ ψυχαί μας, ἁγιώτεραι καὶ λαμπρότεραι. Διὰ ποῖον λόγον; Διότι ἐκεῖνα δι' ἐμᾶς γίνονται τέτοια. Ἐκεῖνα δὲν μετέχουν ἐκείνου ὁ ὁποῖος εὑρίσκεται ἐντὸς αὐτῶν, δὲν αἰσθάνονται· ἐμεῖς ὅμως, ναί. Ἐδῶ λοιπὸν δὲν θὰ ἤθελες νὰ χρησιμοποιήσῃς ρυπαρὸν σκεῦος, ἐνῷ μὲ ρυπαρὰν ψυχὴν προσέρχεσαι; Πολλὴν ἀνωμαλίαν βλέπω εἰς τὸ πρᾶγμα. Κατὰ μὲν τὰς ἄλλας ἡμέρας, ἐνῷ πολλὰς φορὰς εἶσθε καθαροί, δὲν προσέρχεσθε, ἐνῷ κατὰ τὸ Πάσχα, ἀκόμη καὶ ἂν ἔχετε διαπράξει κάποιο μέγα ἁμάρτημα, προσέρχεσθε. Ὤ, τί συνήθεια, ὤ, τί πρόληψις! Εἰς μάτην γίνεται θυσία καθημερινῶς, εἰς μάτην παριστάμεθα εἰς τὸ θυσιαστήριον, διότι κανεὶς δὲν μετέχει.

4. Λέγω αὐτά, ὄχι διὰ νὰ μετέχετε ὅπως τύχῃ, ἀλλὰ διὰ νὰ προετοιμάζετε τοὺς ἑαυτούς σας, ὥστε νὰ γίνεσθε ἄξιοι. Δὲν εἶσαι ἄξιος τῆς θυσίας, οὔτε τῆς μεταλήψεως; Λοιπὸν δὲν εἶσαι ἄξιος οὔτε εἰς τὰς εὐχὰς τῆς μεταλήψεως νὰ παρίστασαι. Ἀκοῦς τὸν ἱερέα νὰ ἵσταται καὶ νὰ λέγῃ, ὅσοι εὑρίσκεσθε εἰς μετάνοιαν, προσευχηθῆτε ὅλοι. Ὅσοι δὲν μετέχουν, εὑρίσκονται εἰς μετάνοιαν. Ἐὰν ἀνήκῃς εἰς τοὺς μετανοοῦντας, δὲν πρέπει νὰ μετάσχῃς εἰς τὴν θείαν μετάληψιν· διότι ὅποιος δὲν μετέχει, ἀνήκει εἰς τοὺς μετανοοῦντας. Διατί, ἐνῷ λέγει νὰ ἀπέλθετε ὅσοι δὲν ἠμπορεῖτε νὰ προσ-

νάμενοι δεηθῆναι· σὺ δὲ ἕστηκας ἰταμῶς; Ἀλλ' οὐκ εἶ τούτων, ἀλλὰ τῶν δυναμένων μετέχειν, καὶ οὐδὲν φροντίζεις, οὐδὲν ἡγῇ τὸ πρᾶγμα; Σκόπει, παρακαλῶ· τράπεζα πάρεστι βασιλική, ἄγγελοι διακονούμενοι τῇ τραπέζῃ, αὐτὸς πάρεστιν ὁ βασιλεύς, καὶ σὺ ἕστηκας χασμώμενος; ῥυπαρά σοι τὰ ἱμάτια, καὶ οὐδείς σοι λόγος; Ἀλλὰ καθαρά ἐστιν; Οὐκοῦν ἀνάπεσαι, καὶ μέτεχε. Ἔρχεται καθ' ἑκάστην ἰδεῖν τοὺς ἀνακειμένους, πᾶσι διαλέγεται· καὶ νῦν ἐν τῷ συνειδότι ἐρεῖ, ἑταῖροι, πῶς ἑστήκατε ὧδε, μὴ ἔχοντες ἔνδυμα γάμου; Οὐκ εἶπε, διὰ τί ἀνέπεσες; ἀλλὰ πρὸ τῆς κατακλίσεως, καὶ τῆς εἰσόδου ἀνάξιον αὐτὸν εἶναί φησιν· οὐ γὰρ εἶπε, διὰ τί κατεκλίθης; ἀλλά, τί εἰσῆλθες;

Ταῦτα καὶ νῦν πρὸς ἅπαντας ἡμᾶς διαλέγεται τοὺς ἀναισχύντως καὶ ἰταμῶς ἑστῶτας. Πᾶς γὰρ ὁ μὴ μετέχων τῶν μυστηρίων, ἀναίσχυντος καὶ ἰταμὸς ἑστηκώς. Οἱ ἐν ἁμαρτήμασι διὰ τοῦτο πρότεροι ἐκβάλλονται. Καθάπερ γὰρ ἐπὶ τραπέζης παραγενομένου τοῦ δεσπότου οὐ δεῖ τοὺς προσκεκρουκότας τῶν οἰκετῶν παρεῖναι, ἀλλ' ἐκποδὼν γίνονται· οὕτω δὴ καὶ ἐνταῦθα, ἐκφερομένης τῆς θυσίας, καὶ τοῦ Χριστοῦ τεθυμένου, καὶ τοῦ προβάτου τοῦ δεσποτικοῦ, ὅταν ἀκούσῃς, δεηθῶμεν πάντες κοινῇ, ὅταν ἴδῃς ἀνελκόμενα τὰ ἀμφίθυρα, τότε νόμισον διαστέλλεσθαι τὸν οὐρανὸν ἄνωθεν, καὶ κατιέναι τοὺς ἀγγέλους. Ὥσπερ τοίνυν τῶν ἀμυήτων οὐδένα χρὴ παρεῖναι, οὕτως οὐδὲ τῶν μεμυημένων καὶ ῥυπαρῶν·

Εἰπέ μοι, εἴ τις εἰς ἑστίασιν κληθείς, τὰς χεῖρας νίψαιτο καὶ κατακλιθείη, καὶ ἕτοιμος γένοιτο πρὸς τὴν τράπεζαν, εἶτα μὴ μετέχοι, οὐχ ὑβρίζει τὸν καλέσαντα; οὐ βέλτιον τὸν

φέρετε δέησιν, σὺ ἵστασαι μὲ θρασύτητα; Δὲν εἶσαι ὅμως ἀπὸ τοὺς μετανοοῦντας, ἀλλὰ δύνασαι νὰ μετάσχῃς, καὶ δὲν φροντίζεις καθόλου, θεωρεῖς τὸ πρᾶγμα ὡς ἀσήμαντον; Πρόσεχε, παρακαλῶ· ἑτοιμάζεται τράπεζα βασιλική, ὑπηρετοῦν εἰς τὴν τράπεζαν ἄγγελοι, παρευρίσκεται αὐτὸς ὁ ἴδιος ὁ βασιλεύς, καὶ σὺ ἵστασαι καὶ χασμουρεῖσαι; εἶναι ρυπαρὰ τὰ ἐνδύματά σου καὶ δὲν ὑπάρχει διὰ σὲ δικαιολογία; Ἀλλ' εἶναι καθαρά; Λοιπόν, κάθησε εἰς τὴν τράπεζαν καὶ μέτεχε. Ἔρχεται κάθε φορὰν διὰ νὰ ἴδῃ ὅσους μετέχουν, συνομιλεῖ μὲ ὅλους· καὶ τώρα εἰς τὴν συνείδησιν θὰ εἴπῃ, φίλοι, πῶς εὑρέθητε ἐδῶ, ἀφοῦ δὲν ἔχετε ἔνδυμα γάμου; Δὲν εἶπε, διατί ἐκάθησες εἰς τὴν τράπεζαν; ἀλλὰ πρὶν καθήσῃ, λέγει εἰς αὐτὸν ὅτι εἶναι ἀνάξιος καὶ νὰ εἰσέλθῃ ἀκόμη. Διότι δὲν εἶπε, διατί ἐκάθησες, ἀλλά, διατί εἰσῆλθες;

Αὐτὰ καὶ τώρα λέγει πρὸς ὅλους ἐμᾶς, οἱ ὁποῖοι μὲ ἀναισχυντίαν καὶ μὲ θράσος ἱστάμεθα ἐδῶ. Διότι ὅποιος δὲν μετέχει εἰς τὰ μυστήρια, εἶναι ἀναίσχυντος καὶ θρασὺς ὅταν ἵσταται εἰς τὸν ναόν. Διὰ τοῦτο ἐκβάλλονται ἀπὸ τὸν ναὸν ὅσοι εὑρίσκονται εἰς κατάστασιν ἁμαρτωλότητος. Διότι ὅπως ἀκριβῶς ὅταν παρευρίσκεται εἰς τὴν τράπεζαν ὁ οἰκοδεσπότης δὲν πρέπει νὰ παρίστανται ἀπὸ τοὺς ὑπηρέτας ἐκεῖνοι οἱ ὁποῖοι ἔγιναν ἐχθροί του, ἀλλ' ἀπομακρύνονται, ἔτσι λοιπὸν καὶ ἐδῶ, ὅταν προσφέρεται ἡ θυσία καὶ ὁ Χριστὸς θυσιάζεται καὶ τὸ δεσποτικὸν πρόβατον, μόλις ἀκούσῃς, ἂς προσευχηθῶμεν ὅλοι ἀπὸ κοινοῦ, ὅταν ἴδῃς τὰς θύρας τοῦ ἱεροῦ νὰ σύρωνται ἐπάνω, τότε σκέψου ὅτι ἀνοίγει ὁ οὐρανὸς καὶ κατέρχονται οἱ ἄγγελοι. Ὅπως ἀκριβῶς λοιπὸν κανεὶς ἀπὸ τοὺς ἀμυήτους δὲν ἐπιτρέπεται νὰ παρίσταται, ἔτσι δὲν ἐπιτρέπεται νὰ παρευρίσκεται κανεὶς μυημένος καὶ ρυπαρός.

Εἰπέ μου, ἐὰν κάποιος προσκεκλημένος εἰς τράπεζαν, ἀφοῦ νίψῃ τὰς χεῖρας καὶ καθήσῃ καὶ ἑτοιμασθῇ διὰ τὸ φαγητόν, ὕστερον ὅμως δὲν μετέχει, δὲν προσβάλλει ἐκεῖνον ὁ ὁποῖος τὸν ἐκάλεσε; Δὲν ἦτο καλύτερον αὐτὸς νὰ μὴ

τοιοῦτον μηδὲ παραγενέσθαι; Οὕτω δὴ καὶ σὺ παραγέγονας, τὸν ὕμνον ᾖσας μετὰ πάντων, ὡμολόγησας εἶναι τῶν ἀξίων τῷ μὴ μετὰ τῶν ἀναξίων ἀνακεχωρηκέναι· πῶς ἔμεινας, καὶ οὐ μετέχεις τῆς τραπέζης; Ἀνάξιός εἰμι, φησίν. Οὐκοῦν καὶ τῆς κοινωνίας ἐκείνης τῆς ἐν ταῖς εὐχαῖς. Οὐ γὰρ διὰ τῶν προκειμένων μόνον, ἀλλὰ καὶ διὰ τῶν ᾠδῶν ἐκείνων τὸ Πνεῦμα πάντοθεν κάτεισιν. Οὐχ ὁρᾷς τῇ σπογγιᾷ τὴν τράπεζαν περιπλύνοντα, καὶ τὸν οἶκον καθαίροντα, καὶ τοὺς πίνακας τιθέντα; Τοῦτο γίνεται διὰ τῶν εὐχῶν, διὰ τῆς βοῆς τοῦ κήρυκος· ὥσπερ σπογγιᾷ περιπλύνομεν τὴν Ἐκκλησίαν, ἵνα ἐν καθαρᾷ τῇ Ἐκκλησίᾳ πάντα προτεθῇ, ἵνα μηδεὶς ᾖ σπῖλος, μηδὲ ῥυτίς. Ἀνάξιοι καὶ ὀφθαλμοὶ τῶν θεαμάτων τούτων, ἀνάξιοι καὶ ἀκοαί. «Κἂν θηρίον», φησί, «θίγῃ τοῦ ὄρους, λιθοβοληθήσεται». Οὕτως οὐδὲ τῆς ἐπιβάσεως ἄξιοι ἦσαν· καίτοιγε μετὰ ταῦτα καὶ προσῆλθον, καὶ εἶδον ποῦ ἑστήκει ὁ Θεός. Ἔξεστι μετὰ ταῦτα προσελθεῖν καὶ ἰδεῖν· ὅταν μέντοι παρῇ, ἄπιθι· οὐκ ἔξεστί σοι μᾶλλον, ἢ τῷ κατηχουμένῳ. Οὐ γάρ ἐστιν ἴσον μηδέπω τυχεῖν μυστηρίων, καὶ μετὰ τὸ τυχεῖν προσκρούσαντα καταφρονεῖν καὶ ἀνάξιον ἑαυτὸν καταστῆσαι τοῦ πράγματος.

Ἐνῆν καὶ πλείονα λέγειν καὶ φοβερώτερα, ἀλλ' ὥστε μὴ βαρῆσαι τὴν διάνοιαν ὑμῶν, ἀρκεῖ καὶ ταῦτα· οἱ γὰρ μὴ τούτοις σωφρονιζόμενοι, οὐδὲ τοῖς πλείοσιν. Ἵν' οὖν μὴ μεῖζον ὑμῖν τὸ κρῖμα ἐργασώμεθα, παρακαλοῦμεν ὑμᾶς, οὐχ ἵνα

14. Ἐξ. 19, 13.

ἔλθῃ; Ἔτσι λοιπὸν καὶ σὺ ἦλθες, ἔψαλες τὸν ὕμνον μαζὶ μὲ ὅλους, ὡμολόγησες ὅτι εἶσαι ἄξιος καθ' ὅσον δὲν ἔφυγες μαζὶ μὲ τοὺς ἀναξίους· πῶς ἔμεινες καὶ δὲν μετέχεις εἰς τὴν τράπεζαν; Ἀνάξιος εἶμαι, λέγει. Λοιπόν, εἶσαι ἀνάξιος καὶ τῆς κοινωνίας ἐκείνης ἡ ὁποία πραγματοποιεῖται εἰς τὰς εὐχὰς τοῦ μυστηρίου. Διότι, ὄχι μόνον διὰ τῶν ὅσων ἔχουν ἑτοιμασθῆ εἰς τὴν τράπεζαν, ἀλλὰ καὶ διὰ τῶν ὕμνων ἐκείνων κατέρχεται πάντοτε τὸ ἅγιον Πνεῦμα. Δὲν βλέπεις ὅτι ἡ τράπεζα πλύνεται ἀπὸ παντοῦ διὰ τοῦ σπόγγου, καὶ τὸν ναὸν νὰ καθαρίζεται, καὶ τὸν ἅγιον δίσκον νὰ τίθεται ἐπὶ τῆς τραπέζης; Αὐτὸ γίνεται διὰ τῶν εὐχῶν, διὰ τῆς φωνῆς τοῦ ἱερέως· κατὰ τὸν ἴδιο τρόπον πλύνομεν παντοῦ τὴν ἐκκλησίαν, διὰ νὰ τοποθετηθοῦν ὅλα εἰς καθαρὰν τὴν ἐκκλησίαν, διὰ νὰ μὴ ὑπάρχῃ κηλίς, οὔτε ρυτίς. Ἀνάξιοι εἶναι καὶ οἱ ὀφθαλμοὶ αὐτῶν τῶν θεαμάτων, καὶ αἱ ἀκοαί. «Οὐδεμία χεὶρ θὰ ἐγγίσῃ τὸ ὄρος», λέγει, «διότι θὰ λιθοβοληθῆ, εἴτε ζῶον εἶναι, εἴτε ἄνθρωπος, δὲν θὰ ζήσῃ»[14]. Ἔτσι δὲν ἦσαν ἄξιοι οὔτε ν' ἀνέλθουν· ἂν καί, βεβαίως, μετὰ ἀπὸ τὴν ἐμφάνισιν τοῦ Θεοῦ, προσῆλθον εἰς τὸ Σινᾶ καὶ εἶδον ποῦ εἶχε σταθῆ ὁ Θεός. Ἐπιτρέπεται μετὰ ἀπὸ αὐτὰ νὰ προσέλθῃς καὶ νὰ ἴδῃς· ὅταν ὅμως παρευρίσκεσαι κατὰ τὴν ὥραν τοῦ μυστηρίου, φύγε ἔξω· διότι δὲν ἐπιτρέπεται εἰς σὲ νὰ παραμένῃς περισσότερον ἀπὸ ὅσον ἕνας κατηχούμενος. Διότι δὲν εἶναι τὸ ἴδιον τὸ νὰ μὴ μετάσχῃς καθόλου εἰς τὸ μυστήριον, καὶ ἀφοῦ μετάσχῃς, νὰ προσβάλλῃς μὲ τὴν περιφρόνησιν καὶ νὰ καταστήσῃς τὸν ἑαυτόν σου ἀνάξιον τοῦ πράγματος.

Θὰ ἦτο δυνατὸν νὰ εἴπω καὶ περισσότερα καὶ φοβερώτερα, ἀλλὰ διὰ νὰ μὴ βαρύνω τὸν νοῦν σας, ἀρκοῦν καὶ αὐτά· διότι ὅσοι δὲν σωφρονίζονται μὲ αὐτά, οὔτε μὲ περισσότερα θὰ σωφρονισθοῦν. Διὰ νὰ μὴ κάνω λοιπὸν μεγαλυτέραν τὴν ἁμαρτίαν σας, σᾶς παρακαλῶ, ὄχι νὰ μὴ ἔρχεσθε, ἀλλὰ νὰ καταστήσετε τοὺς ἑαυτούς σας ἀξίους καὶ τῆς πα-

μὴ παραγίνησθε, ἀλλ' ἵνα καὶ τῆς παρουσίας καὶ τῆς προσόδου ἀξίους ἑαυτοὺς καταστήσητε.

Εἰπέ μοι, εἰ βασιλεύς τις ἐπέταξε, καὶ εἶπεν, εἴ τις τόδε πράττει, τῆς τραπέζης μετεχέτω τῆς ἐμῆς, ἆρα ὑπὲρ τούτου οὐκ ἂν πάντα ἐπράξατε; Εἰς τοὺς οὐρανοὺς ἡμᾶς ἐκάλεσεν, εἰς τὴν τράπεζαν τοῦ βασιλέως τοῦ μεγάλου καὶ θαυμαστοῦ, καὶ ἀναδυόμεθα καὶ μέλλομεν, καὶ οὐ σπεύδομεν οὐδὲν ἐπιτρέχομεν τῷ πράγματι; καὶ τίς ἡμῖν ἐστιν ἐλπὶς σωτηρίας; Οὐκ ἔστιν αἰτιάσασθαι ἀσθένειαν, οὐκ ἔστιν αἰτιάσασθαι φύσιν· ῥαθυμία μόνον ἀναξίους ἡμᾶς καθίστησι.

Ταῦτα μὲν παρ' ἡμῶν εἴρηται· ὁ δὲ κατανύσσων καρδίας, ὁ διδοὺς Πνεῦμα κατανύξεως, κατανύξαι τὰς καρδίας ὑμῶν, καὶ ἐνθείη εἰς βάθος τὰ σπέρματα, ὥστε ἀπὸ τοῦ φόβου αὐτοῦ λαβεῖν ἐν γαστρὶ καὶ τεκεῖν Πνεῦμα σωτηρίας, καὶ μετὰ παρρησίας παραγενέσθαι. «Οἱ υἱοί σου» γάρ, φησίν, «ὡς νεόφυτα ἐλαιῶν κύκλῳ τῆς τραπέζης σου». Μηδὲν παλαιόν, μηδὲν ἀνήμερον, μηδὲν ὠμόν. Τοιαῦτα γὰρ τὰ νεόφυτα, πρὸς καρπόν ἐστιν ἐπιτήδεια, καρπὸν θαυμαστόν, τὸν τῆς ἐλαίας λέγω, καὶ ἰσχυρά, ὥστε πάντας γενέσθαι κύκλῳ τῆς τραπέζης, καὶ μὴ εἰκῇ μηδὲ ὡς ἔτυχεν ἐνταῦθα συνέρχεσθαι, ἀλλὰ μετὰ φόβου καὶ δέους. Οὕτω γὰρ καὶ αὐτὸν ὄψεσθε ἐκεῖ τὸν Χριστὸν μετὰ παρρησίας· ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

15. Ψαλμ. 127, 3.

ρουσίας σας εἰς τὸν ναόν, καὶ τῆς συμμετοχῆς σας εἰς τὴν θείαν μετάληψιν.

Εἰπέ μου, ἐὰν κάποιος βασιλεὺς εἶχε προστάξει καὶ ἔλεγεν, ἐὰν κάποιος κάνῃ τὸ τάδε πρᾶγμα, ἂς συμμετέχῃ εἰς τὴν ἰδικήν μου τράπεζαν, δὲν θὰ ἔκαμνες τὰ πάντα διὰ τοῦτο; Μᾶς ἐκάλεσεν εἰς τοὺς οὐρανούς, εἰς τὴν τράπεζαν· τοῦ μεγάλου καὶ θαυμαστοῦ βασιλέως, καὶ ἀποφεύγομεν καὶ ἀναβάλλομεν, καὶ δὲν σπεύδομεν, οὔτε τρέχομεν ἐκεῖ ὅπου ἐκλήθημεν; Καὶ ποία ἐλπὶς σωτηρίας θὰ ὑπάρξῃ δι' ἐμᾶς; Δὲν ἠμποροῦμεν νὰ κατηγορῶμεν τὴν ἀδυναμίαν, οὔτε τὴν φύσιν· μόνον ἡ ραθυμία μᾶς κάμνει ἀναξίους.

Αὐτὰ μὲν ἐλέχθησαν ἀπὸ ἐμέ· ἐκεῖνος δὲ ὁ ὁποῖος κατανύσσει τὰς καρδίας, ὁ ὁποῖος δίδει πνεῦμα κατανύξεως, εἴθε νὰ κατανύξῃ τὰς καρδίας σας καὶ νὰ σπείρῃ εἰς τὸ βάθος τῆς ψυχῆς σας σπέρματα, ὥστε ἀπὸ τὸν φόβον του νὰ συλλάβετε εἰς τὴν κοιλίαν καὶ νὰ γεννήσετε πνεῦμα σωτηρίας, καὶ νὰ ἔρχεσθε μὲ παρρησίαν καὶ θάρρος. Διότι «οἱ υἱοί σου», λέγει, «θὰ παρακάθηνται ὡσὰν φυτὰ ἐλαιῶν γύρω ἀπὸ τὴν τράπεζαν τοῦ φαγητοῦ σου»[15]. Τίποτε παλαιόν, τίποτε ἄγριον, τίποτε ὠμόν. Διότι τέτοια εἶναι τὰ νεαρὰ φυτά, εἶναι δηλαδὴ πρόσφορα διὰ νὰ δώσουν καρπόν, καρπὸν θαυμαστόν, ἐννοῶ τὸν τῆς ἐλαίας, καὶ ἰσχυρά, ὥστε ὅλοι νὰ προσέρχωνται γύρω ἀπὸ τὴν τράπεζαν καὶ ὄχι ὅπως τύχῃ νὰ συγκεντρώνωνται ἐδῶ, ἀλλὰ μὲ φόβον καὶ δέος. Διότι ἔτσι θὰ ἀντικρύσετε καὶ τὸν ἴδιον τὸν Χριστὸν ἐκεῖ μὲ παρρησίαν, τὴν ὁποίαν εἴθε νὰ τύχωμεν ὅλοι ἐμεῖς, διὰ τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ Κυρίου μας, μετὰ τοῦ ὁποίου εἰς τὸν Πατέρα μαζὶ καὶ εἰς τὸ ἅγιον Πνεῦμα, ἀνήκει δόξα, δύναμις καὶ τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Δ′

Κεφ. 2, 1—10

«Καὶ ὑμᾶς ὄντας νεκροὺς τοῖς παραπτώμασι καὶ ταῖς ἁμαρτίαις, ἐν αἷς ποτε περιεπατήσατε κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου, κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος τοῦ Πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, ἐν οἷς καὶ ἡμεῖς πάντες ἀνεστράφημέν ποτε ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν, ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν, καὶ ἦμεν τέκνα φύσει ὀργῆς, ὡς καὶ οἱ λοιποί».

1. Ἔστι μὲν νέκρωσις σωματική, ἔστι δὲ καὶ ψυχική. Ἀλλ' ἐκείνης μὲν οὔτε ἔγκλημα μετέχειν, οὔτε κίνδυνος, ἐπειδὴ μήτε ἔγκλημα· φύσεως γάρ, οὐ προαιρέσεως τὸ πρᾶγμά ἐστι. Γέγονε μὲν γὰρ ἀπὸ τῆς τοῦ πρωτοπλάστου παραβάσεως, λοιπὸν δὲ εἰς φύσιν τὸ πρᾶγμα ἐξέπεσεν, ἄλλως δὲ καὶ ταχέως λυθήσεται. Αὕτη δὲ ἡ νέκρωσις ἡ ψυχική, προαιρέσεως οὖσα, ἔγκλημα ἔχει, καὶ λύσιν οὐδεμίαν. Ὅρα τοίνυν πῶς μέγα σφόδρα ὁ Παῦλος δείξας ἤδη, ὅτι τοῦ νεκροὺς ἀνιστᾶν τὸ ψυχὴν νενεκρωμένην ἰάσασθαι πολλῷ μεῖζόν ἐστι, καὶ νῦν, ὥσπερ μέγα, οὕτως αὐτὸ τίθησι. «Καὶ ὑμᾶς ὄντας», φησί, «νεκροὺς τοῖς παραπτώμασι καὶ ταῖς ἁμαρτίαις, ἐν αἷς ποτε περιπατήσατε κατὰ τὸν αἰῶνα τοῦ κόσμου τούτου, κατὰ τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος τοῦ Πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας».

«Ὁρᾷς τὸ προσηνὲς τοῦ Παύλου, καὶ πῶς πανταχοῦ παραμυθεῖται τὸν ἀκροατήν, οὐ βαρῶν αὐτόν; Ἐπειδὴ γὰρ

1. Ἐφεσ. 2, 1-3

ΛΟΓΟΣ Δ΄
Κεφ. 2, 1 — 10

«Καὶ σᾶς, οἱ ὁποῖοι ἤσασθε νεκροὶ ἕνεκα τῶν παραπτωμάτων καὶ τῶν ἁμαρτιῶν, μέσα εἰς τὰς ὁποίας ἐζήσατε κάποτε συμφώνως πρὸς τὴν πορείαν τοῦ κόσμου τούτου, ἀκολουθοῦντες τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τὸ πνεῦμα τὸ ὁποῖον τώρα ἐνεργεῖ μεταξὺ τῶν ἀπειθῶν ἀνθρώπων, μεταξὺ τῶν ὁποίων καὶ ὅλοι ἐμεῖς κάποτε ἐζήσαμεν μέσα εἰς τὰς ἐπιθυμίας τῆς σαρκὸς καὶ τῶν διανοιῶν μας καὶ ἤμεθα ἐκ φύσεως τέκνα ὀργῆς, ὅπως καὶ οἱ λοιποί»[1].

1. Ὑπάρχει μὲν θάνατος σωματικός, ὑπάρχει ὅμως καὶ ψυχικός. Ἀλλὰ τὸ νὰ μετέχῃ κανεὶς εἰς τὸν σωματικόν, οὔτε ἔγκλημα εἶναι, οὔτε κίνδυνος ὑπάρχει, ἀφοῦ δὲν εἶναι ἔγκλημα· διότι αὐτὸ τὸ πρᾶγμα ὀφείλεται εἰς τὴν φύσιν, ὄχι εἰς τὴν προαίρεσιν. Προῆλθε βέβαια ἀπὸ τὴν παράβασιν τοῦ πρωτοπλάστου καὶ ἐν συνεχείᾳ διεδόθη εἰς τὴν φύσιν ὁ σωματικὸς θάνατος, ἀλλὰ συντόμως θὰ καταργηθῇ. Αὐτὸς ὁ θάνατος ὅμως, ὁ ψυχικός, ἐπειδὴ ὀφείλεται εἰς τὴν προαίρεσιν, ἔχει κατάκρισιν, καὶ καμμίαν λύσιν. Κοίταξε λοιπόν, πῶς ὁ Παῦλος, ἀφοῦ ἔδειξεν ἤδη, ὅτι εἶναι πολὺ μεγαλύτερον πρᾶγμα τὸ νὰ ἰατρεύσῃ κανεὶς ψυχὴν ἡ ὁποία ἔχει νεκρωθῇ, παρὰ νὰ ἀνιστᾷ νεκρούς, ὡς μέγα παρουσιάζει αὐτὸ καὶ τώρα. «Καὶ σᾶς», λέγει, «οἱ ὁποῖοι ἤσασθε νεκροὶ ἕνεκα τῶν παραπτωμάτων καὶ τῶν ἁμαρτιῶν, μέσα εἰς τὰς ὁποίας ἐζήσατε κάποτε συμφώνως πρὸς τὴν πορείαν τοῦ κόσμου τούτου, ἀκολουθοῦντες τὸν ἄρχοντα τῆς ἐξουσίας τοῦ ἀέρος, τὸ πνεῦμα τὸ ὁποῖον τώρα ἐνεργεῖ μεταξὺ τῶν ἀπειθῶν ἀνθρώπων».

Βλέπεις τὴν πραότητα τοῦ Παύλου καὶ πῶς παρηγορεῖ παντοῦ τὸν ἀκροατήν, χωρὶς νὰ τὸν ἐνοχλῇ; Ἐπειδὴ

εἶπεν, ὅτι εἰς ἔσχατον κακίας ἠλάσατε· τοῦτο γάρ ἐστι νεκρωθῆναι· ὥστε μὴ σφόδρα βαρῦναι αὐτούς· αἰσχύνονται γὰρ οἱ ἄνθρωποι τῶν προτέρων κακῶν εἰς μέσον φερομένων, κἂν ἀπολλύμενα ᾖ καὶ κίνδυνον οὐκ ἔχοντα· δίδωσιν αὐτοῖς συνεργόν, ὥστε μὴ νομισθῆναι τὸ πᾶν αὐτῶν εἶναι, καὶ συνεργὸν ἰσχυρόν· Τίνα δὴ τοῦτον; Τὸν διάβολον. Οὕτω δὴ καὶ ἐν τῇ πρὸς Κορινθίους ποιεῖ· εἰπὼν γάρ «Μὴ πλανᾶσθε· οὔτε πόρνοι οὔτε εἰδωλολάτραι», καὶ τὰ λοιπὰ ἅπαντα καταλέξας, καὶ ἐπαγαγών, «βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι», τότε φησί· «Καὶ ταῦτά τινες ἦτε». Οὐκ εἶπεν ἁπλῶς, «ἦτε», ἀλλά, «τινὲς ἦτε»· τουτέστιν, οὕτω πως ἦτε.

Ἐνταῦθα ἡμῖν ἐπιφύονται οἱ αἱρετικοί· περὶ τοῦ Θεοῦ ταῦτα γὰρ εἰρῆσθαι λέγουσι, καὶ τὴν ἀχαλίνωτον γλῶσσαν ἐπὶ πολὺ ἐξάγοντες, ταῦτα ἁρμόζουσι τῷ Θεῷ, ἃ τοῦ διαβόλου μόνου ἐστί. Πῶς οὖν αὐτοὺς ἐπιστομίσομεν; Ἀπ' αὐτῶν τῶν ῥημάτων. Εἰ γὰρ δίκαιός ἐστιν, ὥσπερ φατέ, ταῦτα δὲ ἔπραξεν, οὐκέτι δικαίου τοῦτο, ἀλλὰ σφόδρα ἀδίκου καὶ μιαροῦ τὸ πρᾶγμα· μιαρὸς δὲ Θεὸς οὐκ ἂν εἴη ποτέ. Διὰ τί δὲ αὐτὸν ἄρχοντα τοῦ αἰῶνος τοῦ κόσμου τούτου φησίν; Ἐπειδὴ πᾶσα σχεδὸν ἡ ἀνθρωπίνη φύσις ἐκείνῳ δέδωκεν ἑαυτήν, καὶ πάντες αὐτῷ δουλεύουσιν ἑκόντες καὶ προαιρούμενοι. Καὶ τῷ μὲν Χριστῷ μυρία ἐπαγγελλομένῳ ἀγαθὰ οὐδὲ προσέχει τις· ἐκείνῳ δὲ οὐδὲν ὑπισχνουμένῳ τοιοῦτον, ἀλλ' εἰς γέενναν παραπέμποντι, πάντες ὑπείκουσι. Ἀλλ' εἰ ἄρχει ἐν τῷ αἰῶνι τούτῳ, καὶ πλείους οὗτος ἔχει τοῦ Θεοῦ, καὶ μᾶλλον αὐτῷ εἴκοντας ἢ τῷ Θεῷ, πλὴν ὀλίγων, διὰ τὴν ῥᾳθυμίαν τὴν ἡμετέραν.

---

2. Α' Κορ. 6, 9-11.

λοιπὸν εἶπεν, ὅτι ἐτρέξατε εἰς τὸ ἔσχατον σημεῖον τῆς κακίας — διότι αὐτὸ σημαίνει τὸ ὅτι ἦσασθε νεκροὶ — διὰ νὰ μὴ τοὺς ἐνοχλήσῃ πολύ, ἐπειδὴ ἐντρέπονται οἱ ἄνθρωποι ὅταν παρουσιάζωνται αἱ ἁμαρτίαι τοῦ παρελθόντος, καὶ ἂν ἀκόμη ἔχουν ἀφανισθῆ καὶ δὲν περικλείουν κίνδυνον, θέτει μαζί των συνεργόν, διὰ νὰ μὴ νομισθῇ ὅτι ὁλόκληρον τὸ κακὸν εἶναι ἰδικόν των, καὶ μάλιστα ἰσχυρὸν συνεργόν. Ποῖος λοιπὸν εἶναι αὐτός; Ὁ διάβολος. Ἔτσι κάμνει καὶ εἰς τὴν πρὸς Κορινθίους ἐπιστολήν· διότι ἀφοῦ εἶπε, «Μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε εἰδωλολάτραι», καὶ τὰ ὑπόλοιπα ὅλα ἀφοῦ κατωνόμασε, καὶ προσέθεσε «δὲν θὰ κληρονομήσουν τὴν βασιλείαν τοῦ Θεοῦ», τότε λέγει· «τέτοιοι ἦσασθε μερικοί»[2]. Δὲν εἶπεν ἁπλῶς, «ἦσασθε», ἀλλὰ «μερικοὶ ἦσασθε», δηλαδή, κάπως ἔτσι ἦσασθε.

Ἀπὸ αὐτὸ τὸ σημεῖον φυτρώνουν ἀνάμεσά μας οἱ αἱρετικοί· διότι λέγουν ὅτι αὐτὰ ἐγράφησαν διὰ τὸν Θεόν, καὶ ἀφοῦ ἐκβάλουν μὲ πολλὴν αὐθάδειαν τὴν ἀχαλίνωτον γλῶσσάν των, ἀποδίδουν εἰς τὸν Θεὸν αὐτά, τὰ ὁποῖα εἶναι μόνον τοῦ διαβόλου. Πῶς λοιπὸν θ' ἀποστομώσωμεν αὐτούς; Ἀπὸ αὐτοὺς τοὺς ἰδίους τοὺς λόγους. Διότι ἐὰν εἶναι δίκαιος, ὅπως λέγετε, ἔπραξεν ὅμως αὐτά, αὐτὸ δὲν εἶναι ἔργον δικαίου, ἀλλὰ πάρα πολὺ ἀδίκου καὶ μιαροῦ· ὁ Θεὸς ὅμως δὲν θὰ ἦτο ποτὲ δυνατὸν νὰ ὑπάρξῃ μιαρός. Διατί ὅμως λέγει αὐτὸν ἄρχοντα τοῦ αἰῶνος καὶ τοῦ κόσμου τούτου; Ἐπειδὴ ὁλόκληρος σχεδὸν ἡ ἀνθρωπίνη φύσις εἰς ἐκεῖνον παρέδωσε τὸν ἑαυτόν της, καὶ ὅλοι εἰς αὐτὸν εἶναι δοῦλοι ἑκουσίως καὶ μὲ τὴν προαίρεσίν των. Καὶ εἰς τὸν Χριστὸν μέν, ὁ ὁποῖος ὑπόσχεται ἄπειρα ἀγαθά, οὔτε προσέχει κανείς· ἐνῷ εἰς ἐκεῖνον, ὁ ὁποῖος τίποτε δὲν ὑπόσχεται, ἀλλὰ ἀποστέλλει εἰς κόλασιν, ὅλοι ὑπακούουν. Ἀλλ' ἐὰν ἄρχῃ εἰς αὐτὸν τὸν αἰῶνα καὶ ἔχῃ περισσοτέρους αὐτὸς ἀπὸ τὸν Θεόν, καὶ περισσότερον εἰς αὐτὸν ὑπακούουν, παρὰ εἰς τὸν Θεόν, ἐκτὸς ὀλίγων, τοῦτο συμβαίνει ἐξ αἰτίας τῆς ἰδικῆς μας ραθυμίας.

«Κατὰ τὴν ἐξουσίαν», φησί, «τοῦ ἀέρος τοῦ πνεύματος». Τοῦτο πάλιν φησίν, ὅτι τὸν ὑπουράνιον ἔχει τόπον, καὶ πνεύματα πάλιν ἀέρια αἱ ἀσώματοι δυνάμεις εἰσίν, αὐτοῦ ἐνεργοῦντος. Ὅτι γὰρ αἰώνιος αὐτοῦ ἡ ἀρχή, τουτέστι, τῷ παρόντι αἰῶνι συγκαταλυομένη, ἄκουσον ἐν τῷ τέλει τῆς ἐπιστολῆς λέγοντος αὐτοῦ· «Οὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς αἷμα καὶ σάρκα, ἀλλὰ πρὸς τὰς ἀρχάς, πρὸς τὰς ἐξουσίας, πρὸς τοὺς κοσμοκράτορας τοῦ σκότους τοῦ αἰῶνος τούτου». Ἵνα γὰρ μὴ κοσμοκράτορας ἀκούσας, καὶ ἄκτιστον αὐτὸν εἶναι φῇς, καὶ ἀλλαχοῦ αἰῶνα πονηρὸν καλεῖ τὸν καιρὸν τὸν διεστραμμένον, οὐ περὶ τῶν κτισμάτων λέγων. Ἐμοὶ γὰρ δοκεῖ γενόμενος ἄρχων ὑπὸ τὸν οὐρανὸν μὴ μεταπεπτωκέναι τῆς ἀρχῆς, καὶ μετὰ τὴν παράβασιν.

«Τοῦ νῦν ἐνεργοῦντος», φησίν, «ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας». Ὁρᾷς ὅτι οὐ βίᾳ οὐδὲ τυραννίδι, ἀλλὰ πειθοῖ προσάγεται; Ἀπείθειαν γὰρ εἶπεν, ὡς ἄν τις εἴποι, ἀπάτην· ἀπάτῃ γὰρ καὶ πειθοῖ τοὺς πάντας ἐφέλκεται. Καὶ οὐ τούτῳ μόνον αὐτοὺς παραμυθεῖται τῷ δοῦναι κοινωνόν, ἀλλὰ καὶ τῷ ἑαυτὸν τάξαι μετ' ἐκείνων. «Ἐν οἷς», φησί, «καὶ ἡμεῖς πάντες ἀνεστράφημέν ποτε». Πάντες· οὐκ ἔνι γὰρ εἰπεῖν, ὅτι ἐξῄρτό τις.

«Ἐν ταῖς ἐπιθυμίαις τῆς σαρκὸς ἡμῶν, ποιοῦντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν, καὶ ἦμεν τέκνα φύσει ὀργῆς, ὡς καὶ οἱ λοιποὶ πάντες». Τὸ «φύσει» τί ἐστι; Τὸ γνήσιον ἐνταῦθα παρίστησιν. «Ὡς καὶ οἱ λοιποὶ πάντες»· τουτέστιν, οὐδὲν πνευματικὸν φρονοῦντες. Ἀλλ' ἵνα μὴ τὴν σάρκα διαβάλῃ, μηδὲ μέγα νομίσῃ τις εἶναι τὸ πλημμέλημα, ὅρα πῶς ἀσφαλίζεται. «Τὰ θελήματα τῆς σαρκὸς ἡμῶν», φη-

8. Ἐφεσ. 6, 12.

«Ἀκολουθοῦντες», λέγει «τὸν ἄρχοντα τοῦ ἀέρος, τὸ πνεῦμα». Αὐτὸ πάλιν λέγει, διότι ἔχει τὸν κάτω ἀπὸ τὸν οὐρανὸν τόπον, καὶ διότι πνεύματα ἀέρια εἶναι αἱ ἀσώματοι δυνάμεις, ὅταν ἐνεργῇ αὐτός. Διότι διὰ τὸ ὅτι δὲν εἶναι αἰώνιος ἡ ἐξουσία του, διὰ τὸ ὅτι δηλαδὴ καταργεῖται μαζὶ μὲ τὸν παρόντα αἰῶνα, ἄκουσε τὸν Παῦλον εἰς τὸ τέλος τῆς ἐπιστολῆς, ὅπου λέγει· «Δὲν διεξάγομεν πάλην μὲ σάρκα καὶ αἷμα, ἀλλὰ μὲ τὰς ἀρχάς, τὰς ἐξουσίας, τοὺς κοσμοκράτορας τοῦ σκοτεινοῦ τούτου κόσμου, μὲ τὰ πονηρὰ πνεύματα εἰς τοὺς οὐρανούς»[8]. Διὰ νὰ μὴ λοιπὸν εἴπῃς αὐτὸν καὶ ἄκτιστον, ἐπειδὴ ἤκουσες κοσμοκράτορας, ὀνομάζει καὶ ἀλλοῦ πονηρὸν αἰῶνα τὸν καιρὸν τῆς διαστροφῆς τῶν ἀνθρώπων, χωρὶς φυσικὰ νὰ ἐννοῇ τὰ κτίσματα. Διότι ἐγὼ νομίζω ὅτι ἐὰν εἶχε γίνει ἄρχων κάτω ἀπὸ τὸν οὐρανόν, δὲν θὰ ἐξέπιπτεν ἀπὸ αὐτὴν τὴν ἐξουσίαν καὶ μετὰ ἀπὸ τὴν παράβασιν ἀκόμη.

«Τὸ ὁποῖον», λέγει, «ἐνεργεῖ τώρα μεταξὺ τῶν ἀπειθῶν ἀνθρώπων». Βλέπεις ὅτι προσελκύει ὄχι μὲ βίαν, οὔτε μὲ τυραννίαν, ἀλλὰ μὲ τὴν πειθώ; Διότι τὴν ὠνόμασαν ἀπείθειαν, ὅπως θὰ ἠμποροῦσε κανεὶς νὰ τὴν ὀνομάσῃ ἀπάτην· διότι μὲ ἀπάτην καὶ πειθὼ προσελκύει τοὺς πάντας. Καὶ ὄχι μόνον μὲ αὐτὸ παρηγορεῖ αὐτούς, μὲ τὸ ὅτι δίδει εἰς αὐτοὺς συνεργὸν εἰς τὴν ἁμαρτίαν, ἀλλὰ καὶ μὲ τὸ ὅτι συγκαταλέγει καὶ τὸν ἑαυτόν του μαζὶ μὲ ἐκείνους. «Μεταξὺ τῶν ὁποίων», λέγει, «καὶ ὅλοι ἐμεῖς ἐζήσαμεν κάποτε». Ὅλοι· διότι δὲν ἠμπορεῖ νὰ εἴπῃ ὅτι ἐξῃρέθη κάποιος.

«Μέσα εἰς τὰς ἐπιθυμίας τῆς σαρκός μας, κάμνοντες τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν μας καὶ ἤμεθα ἐκ φύσεως παιδιὰ ὀργῆς, ὅπως καὶ οἱ ὑπόλοιποι». Τί σημαίνει τὸ «ἐκ φύσεως»; Ἐδῶ ἐννοεῖ τὴν γέννησιν. «Ὅπως καὶ οἱ ὑπόλοιποι»· δηλαδή, χωρὶς νὰ φρονοῦμεν τίποτε πνευματικόν. Ἀλλὰ διὰ νὰ μὴ κατηγορήσῃ τὴν σάρκα καὶ διὰ νὰ μὴ νομίσῃ κανεὶς ὅτι εἶναι μέγα ἁμάρτημα, κοίταξε πῶς ἀσφαλίζει ἀπὸ αὐτό. «Κάμνοντες», λέγει, «τὰ θελήματα τῆς

οἱ, «καὶ τῶν διανοιῶν ποιοῦντες», τουτέστι, τὰ τῆς ἡδονῆς πάθη. Παρωξύναμεν τὸν Θεόν, καὶ παρωργίσαμεν· τουτέστιν, ὀργὴ ἦμεν, καὶ οὐδὲν ἕτερον. Ὥσπερ γὰρ ὁ ἀνθρώπου ὢν τέκνον φύσει ἄνθρωπός ἐστιν, οὕτω καὶ ἡμεῖς, ὡς καὶ οἱ λοιποί.

2. «Ὁ δὲ Θεὸς πλούσιος ὢν ἐν ἐλέει». Οὐχ ἁπλῶς ἐλεήμων ἀλλὰ πλούσιος, καθάπερ καὶ ἐν ἑτέρῳ φησίν· «Ἐν τῷ πλήθει τοῦ ἐλέους σου»· καὶ πάλιν, «Ἐλέησόν με κατὰ τὸ μέγα ἔλεός σου». «Διὰ τὴν πολλὴν ἀγάπην αὐτοῦ, ἣν ἠγάπησεν ἡμᾶς». Πόθεν ἡμᾶς ἠγάπησε; Ταῦτα γὰρ οὐκ ἀγάπης ἄξια, ἀλλ' ὀργῆς καὶ τιμωρίας τῆς ἐσχάτης. Καὶ τοῦτο οὖν ἀπὸ πολλοῦ ἐλέου. «Καὶ ὄντας ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι, συνεζωοποίησεν ἐν τῷ Χριστῷ». Πάλιν ὁ Χριστὸς μέσος, καὶ τὸ πρᾶγμα ἀξιόπιστον. Εἰ γὰρ ἡ ἀπαρχὴ ζῇ, καὶ ἡμεῖς· ἐζωοποίησε κἀκεῖνον, καὶ ἡμᾶς.

Ὁρᾷς ὅτι περὶ τοῦ κατὰ σάρκα πάντα εἴρηται; Εἶδες τὸ ὑπερβάλλον μέγεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας; τοὺς νεκρούς, τοὺς ὀργῆς υἱούς, τούτους ἐζωοποίησεν. Εἶδες τὴν ἐλπίδα τῆς κλήσεως; «Συνήγειρε καὶ συνεκάθισεν». Εἶδες τὴν δόξαν τῆς κληρονομίας αὐτοῦ; Τὸ μέν, «συνήγειρε», δῆλον· τὸ δέ, «συνεκάθισεν ἡμᾶς ἐν τοῖς ἐπουρανίοις ἐν Χριστῷ Ἰησοῦ», πῶς ἕστηκεν; Ὡς τό, «συνήγειρεν». Οὐδέπω γὰρ οὐδείς ἐστιν ἐγηγερμένος, εἰ μὴ ὅτι τῆς κεφαλῆς ἀναστάσης, καὶ ἡμεῖς ἠγέρθημεν, ὡς καὶ ἐκεῖ τοῦ Ἰακὼβ προσκυνήσαντος, καὶ ἡ γυνὴ προσεκύνησε τὸν Ἰωσήφ. Οὐκοῦν οὕτω καὶ συνεκάθισε· τῆς κεφαλῆς καθεζομένης καὶ τὸ σῶμα συγκάθηται. Διὰ τοῦτο γὰρ ἐπήγαγεν, «ἐν Χριστῷ Ἰησοῦ». Ἢ εἰ μὴ τοῦτο, ἀλλὰ συνήγειρε διὰ τοῦ

4. Ἐφεσ. 2, 4.
5. Ψαλμ. 68, 17.
6. Ψαλμ. 50, 1.
7. Ἐφεσ. 2, 5.
8. Ἐφεσ. 2, 6.

σαρκός μας καὶ τῶν διανοιῶν μας», δηλαδή, τὰ πάθη τῆς ἡδονῆς. Παρωξύναμεν καὶ παρωργίσαμεν τὸν Θεόν· δηλαδή· ἤμεθα ὀργὴ καὶ τίποτε ἄλλο. Διότι ὅπως ἐκεῖνος ποὺ εἶναι γέννημα ἀνθρώπου εἶναι ἐκ φύσεως ἄνθρωπος, ἔτσι καὶ ἐμεῖς, καθὼς καὶ οἱ ὑπόλοιποι.

2. «Ἀλλ' ὁ Θεός, ἐπειδὴ εἶναι πλούσιος εἰς εὐσπλαγχνίαν»[4]. Ὄχι ἁπλῶς εὔσπλαγχνος, ἀλλὰ πλούσιος εἰς εὐσπλαγχνίαν, ὅπως λέγει καὶ ἀλλοῦ· «Κατὰ τὴν μεγάλην σου εὐσπλαγχνίαν»[5], καὶ πάλιν, «Λυπήσου με, συμφώνως πρὸς τὸ μέγα ἔλεός Σου»[6]. «Ἐξ αἰτίας τῆς πολλῆς ἀγάπης μὲ τὴν ὁποίαν μᾶς ἠγάπησεν». Ἀπὸ ποὺ μᾶς ἠγάπησε; Διότι αὐτὰ δὲν ἦσαν ἄξια ἀγάπης, ἀλλὰ ὀργῆς καὶ μεγίστης τιμωρίας. Καὶ αὐτὸ λοιπὸν ἀπὸ πολλὴν εὐσπλαγχνίαν. «Καὶ ἐνῷ ἤμεθα νεκροὶ ἐξ αἰτίας τῶν παραπτωμάτων μας μᾶς ἐζωοποίησε μαζὶ μὲ τὸν Χριστόν»[7]. Πάλιν ὁ Χριστὸς μεσάζων, καὶ συνεπῶς εἶναι ἀξιόπιστον τὸ πρᾶγμα. Διότι ἐφ' ὅσον ζῇ ἡ ἀπαρχή, ἄρα καὶ ἐμεῖς· ἐζωοποίησε καὶ ἐκεῖνον, καὶ ἐμᾶς.

Βλέπεις ὅτι διὰ τὴν κατὰ σάρκα γέννησιν εἶπε τὰ πάντα; Εἶδες τὸ ἄπειρον μέγεθος τῆς δυνάμεώς του εἰς ἐμᾶς τοὺς πιστούς; Τοὺς νεκρούς, τοὺς υἱοὺς τῆς ὀργῆς, τοὺς ἐζωοποίησεν. Εἶδες πόσον μεγάλη εἶναι ἡ ἐλπὶς τῆς προσκλήσεως; «Καὶ μᾶς ἀνέστησε μαζὶ καὶ μᾶς ἐκάθισε μαζί»[8]. Εἶδες τὸν πλοῦτον τῆς ἐνδόξου κληρονομίας του; Τὸ μὲν «ἀνέστησε μαζί», εἶναι γνωστόν· ἀλλὰ τὸ «μᾶς ἐκάθισε μαζὶ εἰς τὰ ἐπουράνια ἐν Χριστῷ Ἰησοῦ», πῶς εἶναι βέβαιον; Ὅπως τὸ «μᾶς ἀνέστησε μαζί». Διότι κανεὶς δὲν ἀνεστήθη ποτέ, παρὰ μόνον ἀφοῦ ἀνεστήθη ἡ κεφαλή, ἀνεστήθημεν καὶ ἐμεῖς, ὅπως καὶ εἰς τὴν Παλαιὰν Διαθήκην, ἀφοῦ προσεκύνησεν ὁ Ἰακώβ, προσεκύνησε καὶ ἡ γυνὴ τὸν Ἰωσήφ. Λοιπόν, ἔτσι καὶ ἐκάθισε μαζί· ὅταν κάθεται ἡ κεφαλή, κάθεται καὶ τὸ σῶμα. Διὰ τοῦτο, λοιπόν, προσέθεσε «μαζὶ μὲ τὸν Χριστόν». Ἤ, ἐὰν ὄχι δι' αὐτό, τότε μᾶς ἀνέστησε μαζί του διὰ τοῦ λουτροῦ. Πῶς λοιπὸν μᾶς ἐκάθισε μαζί

λουτροῦ. Πῶς οὖν συνεκάθισεν; «Εἰ γὰρ ὑπομένομεν», φησί, «καὶ συμβασιλεύσομεν· εἰ ἀπεθάνομεν, καὶ συζήσομεν». Ὄντως Πνεύματος χρεία καὶ ἀποκαλύψεως, ὥστε τὸ βάθος νοῆσαι τῶν μυστηρίων τούτων.

Εἶτα ἵνα μὴ ἀπιστήσῃς, ὅρα τί ἐπάγει. «Ἵνα ἐνδείξηται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις τὸν ὑπερβάλλοντα πλοῦτον τῆς χάριτος αὐτοῦ ἐν χρηστότητι ἐφ' ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ». Ἐπειδὴ γὰρ εἶπε τὰ περὶ τοῦ Χριστοῦ, ταῦτα δὲ οὐδὲν ἦν πρὸς ἡμᾶς· τί γάρ, φησί, πρὸς ἡμᾶς, εἰ ἐκεῖνος ἀνέστη; ἔδειξε μὲν οὖν ὅτι καὶ πρὸς ἡμᾶς, εἴγε οὕτω ἡμῖν ἥνωται· πλὴν ἀλλὰ καὶ τὰ ἡμῶν κατ' ἰδίαν φησίν· «Ὄντας γὰρ ἡμᾶς νεκροὺς τοῖς παραπτώμασι συνήγειρε καὶ συνεκάθισεν». Ὥστε, ὅπερ ἔφην, μὴ ἀπίστει, ἀπό τε τῶν προτέρων, ἀπό τε τῆς κεφαλῆς, ἀπό τε τοῦ βούλεσθαι ἐνδείκνυσθαι αὐτὸν τὴν ἀγαθότητα λαβὼν τὴν ἀπόδειξιν. Πῶς γὰρ ἐνδείξεται, ἂν τοῦτο μὴ γένηται; καὶ ἐνδείξεται ἐν τοῖς αἰῶσι τοῖς ἐπερχομένοις; Τί; Ὅτι καὶ μεγάλα τὰ ἀγαθὰ ἦν, καὶ πάντων πιστότερα. Νῦν μὲν γὰρ λῆρος εἶναι δοκεῖ τοῖς ἀπίστοις τὰ λεγόμενα, τότε δὲ πάντες εἴσονται.

Βούλει μαθεῖν καὶ πῶς συνεκάθισεν; Ἄκουε αὐτοῦ τοῦ Χριστοῦ λέγοντος τοῖς μαθηταῖς· «Καθίσεσθε ἐπὶ δώδεκα θρόνους, κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ»· καὶ πάλιν, «Τὸ δὲ καθίσαι ἐκ δεξιῶν μου καὶ ἐξ εὐωνύμων οὐκ ἔστιν ἐμὸν δοῦναι, ἀλλ' οἷς ἡτοίμασται παρὰ τοῦ Πατρός».

---

9. Β' Τιμ. 2, 12.
10. Ἐφεσ. 2, 7.
11. Ματθ. 19, 28.

του; «Ἐὰν ὑπομένωμεν», λέγει, «θὰ βασιλεύσωμεν ἐπίσης μαζί του· ἐὰν ἔχωμεν ἀποθάνει μαζί του, θὰ ζήσωμεν ἐπίσης μαζί του»[9]. Πράγματι εἶναι ἀνάγκη τοῦ ἁγίου Πνεύματος καὶ ἀποκαλύψεως, διὰ νὰ ἐννοήσῃ κανεὶς τὸ βάθος αὐτῶν τῶν μυστηρίων.

Ὕστερον, διὰ νὰ μὴ ἀπιστήσῃς, κοίταξε τί προσθέτει. «Διὰ νὰ δείξῃ εἰς τοὺς μέλλοντας αἰῶνας τὸν ὑπερβολικὸν πλοῦτον τῆς χάριτός του εἰς καλωσύνην ποὺ ἔδειξεν εἰς ἐμᾶς διὰ τοῦ Ἰησοῦ Χριστοῦ»[10]. Διότι, ἐπειδὴ εἶπε τὰ διὰ τὸν Χριστόν, τὰ ὁποῖα ἐφαίνοντο ἄσχετα μὲ ἐμᾶς, διότι, θὰ εἴπῃ κάποιος, τί μᾶς ἐνδιαφέρει ἐμᾶς ἐὰν ἀνεστήθη ἐκεῖνος; ἔδειξε λοιπὸν ὅτι αὐτὸ ἀφορᾷ καὶ ἐμᾶς, ἐφ' ὅσον ὁ Χριστὸς ἡνώθη ἔτσι μὲ ἐμᾶς· ἀλλ' ἐπὶ πλέον καὶ διὰ τὰ ἰδικά μας ὁμιλεῖ ἰδιαιτέρως· «ἐνῷ ἤμεθα νεκροὶ ἕνεκα τῶν παραπτωμάτων, μᾶς ἀνέστησε μαζὶ καὶ μᾶς ἐκάθισε μαζὶ μὲ τὸν Χριστόν». Ὥστε, αὐτὸ τὸ ὁποῖον εἶπα, νὰ μὴ ἀπιστῇς, ἀφοῦ λάβῃς τὴν ἀπόδειξιν καὶ ἀπὸ τὰ προηγούμενα, καὶ ἀπὸ τὸ ὅτι εἶναι κεφαλὴ τοῦ σώματος, καὶ ἀπὸ τὸ ὅτι θέλει Καὶ θὰ δείξῃ εἰς τοὺς μέλλοντας αἰῶνας. Τί; Ὅτι καὶ μετον τῆς χάριτός του. Διότι πῶς θὰ δείξῃ, ἐὰν αὐτὸ δὲν γίνῃ; Καὶ θὰ δείξῃ εἰς τοὺς μέλλοντας αἰῶνας. Τί; Ὅτι καὶ μεγάλα ἦσαν τὰ ἀγαθὰ καὶ ἀξιοπιστότερα ἀπ' ὅλα. Διότι αὐτὰ μὲν τὰ ὁποῖα λέγονται τώρα εἰς τοὺς ἀπίστους φαίνονται ὡς ἀνοησία, τότε ὅμως ὅλοι θὰ τὰ γνωρίσουν.

Θέλεις νὰ μάθῃς καὶ πῶς μᾶς ἐκάθισε μαζί του; Ἄκουσε τὸν ἴδιον τὸν Χριστόν, ὁ ὁποῖος λέγει εἰς τοὺς μαθητάς· «Σεῖς θὰ καθήσετε εἰς δώδεκα θρόνους, διὰ νὰ κρίνετε τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ»[11]· καὶ πάλιν, «Τὸ νὰ σᾶς βάλω ὅμως νὰ καθήσετε εἰς τὰ δεξιά μου καὶ εἰς τὰ ἀριστερά μου δὲν ἔχω δικαίωμα νὰ τὸ δώσω, ἀλλὰ θὰ δοθῇ εἰς ἐκείνους διὰ τοὺς ὁποίους ἔχει ἑτοιμασθῇ ἀπὸ τὸν

Ὥστε ἡτοίμασται. Καὶ καλῶς εἶπεν, «Ἐν χρηστότητι ἐφ' ἡμᾶς ἐν Χριστῷ Ἰησοῦ». Τὸ γὰρ καθίσαι ἐκ δεξιῶν τιμῆς ἐστι τῆς ὑπὲρ πᾶσαν τιμήν, καὶ μεθ' ἣν ἑτέρα οὐκ ἔστι. Τοῦτο οὖν λέγει, ὅτι καὶ ἡμεῖς καθεδούμεθα. Ὄντως ὑπερβάλλων πλοῦτος, ὄντως ὑπερβάλλον τὸ μέγεθος τῆς δυνάμεως αὐτοῦ, μετὰ Χριστοῦ καθίσαι. Κἂν μυρίας ψυχὰς εἰ ἔχεις, οὐκ ἀπολλύεις αὐτὰς ἕνεκεν αὐτοῦ; Εἰ γὰρ εἰς πῦρ ἐμβῆναι ἔδει, τοῦτο οὐκ ἐχρῆν ἑτοίμως ὑπομεῖναι; Καὶ αὐτὸς δὲ πάλιν φησί· «Θέλω ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ οἱ διάκονοι ὦσιν οἱ ἐμοί». Εἰ γὰρ κατακόπτεσθαι ἔδει καθ' ἑκάστην ἡμέραν, ὑπὲρ τούτων οὐχ ἐχρῆν προθύμως καταδέχεσθαι; Ἐννόησον ποῦ ἐκάθισεν ἐκεῖνος· Ἐπάνω πάσης ἀρχῆς καὶ ἐξουσίας. Καὶ τίνι συγκάθησαι; Ἐκείνῳ. Τίς ὤν; Νεκρός, φύσει τέκνον ὀργῆς. Καὶ τί κατορθώσας; Οὐδέν. Ὄντως νῦν εὔκαιρον ἀναβοῆσαι, «Ὢ βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως Θεοῦ». «Τῇ γὰρ χάριτί ἐστε σεσωσμένοι», φησίν. Ἵνα γὰρ μὴ τὸ μέγεθος τῶν εὐεργεσιῶν ἐπάρῃ σε, ὅρα πῶς σε καταστέλλει· «Τῇ γὰρ χάριτί ἐστε σεσωσμένοι», φησί, «διὰ πίστεως».

Εἶτα ἵνα μὴ πάλιν τὸ αὐτεξούσιον λυμήνηται, ἔθηκε καὶ τὸ ἡμῶν· καὶ πάλιν αὐτὸ ἀνεῖλε, καί φησι· «Καὶ τοῦτο οὐκ ἐξ ἡμῶν». Οὐδὲ ἡ πίστις, φησίν, ἐξ ἡμῶν. Εἰ γὰρ μὴ ἦλθεν, εἰ γὰρ μὴ ἐκάλεσε, πῶς ἠδυνάμεθα πιστεῦσαι; «Πῶς γάρ», φησί, «πιστεύσουσιν, ἐὰν μὴ ἀκούσωσιν;». Ὥστε οὐδὲ τὸ τῆς πίστεως ἡμέτερον. «Θεοῦ», φησί, «τὸ δῶρον». Μὴ γὰρ ἤρκει ἡ πίστις σῶσαι, φησίν; Ἀλλ' ἵνα μὴ κενοὺς μη-

12. Ματθ. 20, 28.
13. Ἰωάν. 12, 26.
14. Ρωμ. 11, 33.
15. Ἐφεσ. 2, 8.
16. Ρωμ. 10, 14.

Πατέρα μου»[12]. Ὥστε ἔχει ἑτοιμασθῆ· Καὶ καλῶς εἶπεν «μὲ τὴν καλωσύνην τὴν ὁποίαν ἔδειξεν εἰς ἐμᾶς διὰ τοῦ Ἰησοῦ Χριστοῦ». Διότι τὸ νὰ καθήσῃ εἰς τὰ δεξιά, εἶναι δεῖγμα τιμῆς, ἡ ὁποία εἶναι ὑπεράνω πάσης τιμῆς, μετὰ ἀπὸ τὴν ὁποίαν δὲν ὑπάρχει ἄλλη. Αὐτὸ λοιπὸν τὸ λέγει, διότι καὶ ἐμεῖς θὰ καθήσωμεν. Πράγματι εἶναι ἄπειρος πλοῦτος, πράγματι εἶναι ἀνυπέρβλητον τὸ μέγεθος τῆς δυνάμεώς του, τὸ νὰ καθήσωμεν μαζὶ μὲ τὸν Χριστόν. Καὶ ἂν ἀκόμη ἔχῃς μυριάδας ζωάς, δὲν τὰς θυσιάζεις διὰ τὸν Θεόν; Ἐὰν λοιπὸν ἔπρεπε νὰ πέσῃς εἰς τὴν πυράν, δὲν ἔπρεπε νὰ ὑπομείνῃς τοῦτο προθύμως; Καὶ ὁ ἴδιος δὲ λέγει πάλιν· «Ἐὰν μὲ ὑπηρετῇ κανείς, πρέπει νὰ μὲ ἀκολουθῇ, καὶ ὅπου εἶμαι ἐγώ, ἐκεῖ θὰ εἶναι καὶ ὁ ὑπηρέτης μου»[13]. Ἐὰν λοιπὸν ἔπρεπε νὰ κατατεμαχιζώμεθα καθ' ἡμέραν δι' αὐτά, δὲν ἔπρεπε νὰ τὸ δεχώμεθα προθύμως; Ἀναλογίσου ποῦ ἐκάθησεν ἐκεῖνος. Ὑπεράνω ἀπὸ κάθε ἀρχὴν καὶ ἐξουσίαν. Καὶ μὲ ποῖον κάθεσαι μαζί; Μὲ ἐκεῖνον. Ἐνῷ ποῖος εἶσαι; Νεκρὸς καὶ ἐκ φύσεως τέκνον ὀργῆς. Καὶ τί ἔχεις κατορθώσει; Τίποτε. Πράγματι, τώρα εἶναι ἡ κατάλληλος στιγμὴ διὰ ν' ἀναφωνήσωμεν, «Ὢ, βάθος πλούτου καὶ σοφίας καὶ γνώσεως τοῦ Θεοῦ»[14]. «Διότι διὰ τῆς χάριτος ἔχετε σωθῆ»[15], λέγει. Διὰ νὰ μὴ σὲ ἀφήσῃ νὰ ὑπερηφανευθῇς κοίταξε πῶς σὲ ταπεινώνει. «Διότι διὰ τῆς χάριτος ἔχετε σωθῆ», λέγει, «διὰ τῆς πίστεως».

Ὕστερον πάλιν, διὰ νὰ μὴ καταστρέψῃ τὸ αὐτεξούσιον, προσέθεσε καὶ τὴν ἰδικήν μας συμβολήν, καὶ πάλιν ἀνήρεσεν αὐτὴν καὶ λέγει· «καὶ αὐτὸ δὲν προέρχεται ἀπὸ ἐμᾶς». Οὔτε ἡ πίστις, λέγει, εἶναι ἰδικόν μας ἔργον. Διότι ἐὰν δὲν ἤρχετο, ἐὰν δὲν προσεκάλει, πῶς θὰ ἠδυνάμεθα νὰ πιστεύσωμεν; Διότι «Πῶς», λέγει, «θὰ πιστεύσουν εἰς ἐκεῖνον διὰ τὸν ὁποῖον δὲν ἤκουσαν;»[16]. Ὥστε, οὔτε ἡ πίστις εἶναι ἰδικόν μας κατόρθωμα. «Τοῦ Θεοῦ εἶναι», λέγει «τὸ δῶρον αὐτό». Ἀλλὰ μήπως ἦτο ἀρκετὴ ἡ πίστις διὰ νὰ σώσῃ; λέγει. Ἀλλὰ διὰ νὰ μὴ μᾶς σώσῃ χωρὶς καθόλου νὰ

δὲ ἀργοὺς σώσῃ, ταύτην ἐζήτησεν ὁ Θεός, φησίν. Εἶπεν, ὅτι ἡ πίστις σώζει. Ἐπειδὴ ὁ Θεὸς ἠθέλησεν, ἡ πίστις ἔσωσεν. Ἐπεὶ ποῦ σώζει ἡ πίστις, εἰπέ μοι, ἄνευ ἔργων; Τοῦτο αὐτὸ Θεοῦ δῶρόν ἐστιν, «Ἵνα μή τις καυχήσηται», ἵνα εὐγνώμονας περὶ τὴν χάριν ποιήσῃ. Τί οὖν, φησίν; αὐτὸς ἐκώλυσεν ἐξ ἔργων δικαιωθῆναι; Οὐδαμῶς· ἀλλ' οὐδείς, φησίν, ἐξ ἔργων ἐδικαιώθη, ἵνα δειχθῇ τοῦ Θεοῦ ἡ χάρις καὶ ἡ φιλανθρωπία. Οὐχὶ ἔχοντας ἔργα ἀπώσατο, ἀλλὰ προδεδομένους ἀπὸ τῶν ἔργων χάριτι ἔσωσεν, ὥστε μηδένα λοιπὸν ἔχειν καυχᾶσθαι.

3. Εἶτα ἵνα μὴ ἀκούσας, ὅτι οὐκ ἐξ ἔργων, ἀλλὰ πίστει τὸ πᾶν κατωρθώθη, ἀργὸς γένῃ, ὅρα τί ἐπήγαγεν. «Αὐτοῦ γάρ ἐσμεν ποίημα, κτισθέντες ἐν Χριστῷ Ἰησοῦ ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεός, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν». Ὅρα αὐτὸν τί φησι· τὴν ἀναγέννησιν ἐνταῦθα αἰνίττεται. Ὄντως κτίσις ἑτέρα ἐστίν· ἐκ τοῦ μὴ ὄντος εἰς τὸ εἶναι παρήχθημεν. Ὅπερ ἦμεν πρότερον, ἀπεθάνομεν, τουτέστιν, ὁ παλαιὸς ἄνθρωπος· ὅπερ ἐγενόμεθα, οὐκ ἦμεν πρότερον. Ἄρα κτίσις τὸ πρᾶγμά ἐστι, καὶ τῆς ἑτέρας τιμιωτέρα· ἐξ ἐκείνης μὲν γὰρ τὸ ζῆν, ἐκ δὲ ταύτης τὸ καλῶς ζῆν ἡμῖν περιγέγονεν.

«Ἐπὶ ἔργοις ἀγαθοῖς, οἷς προητοίμασεν ὁ Θεός, ἵνα ἐν αὐτοῖς περιπατήσωμεν»· οὐχ ἵνα ἀρξώμεθα, ἀλλ', «ἵνα περιπατήσωμεν». Διαρκοῦς γὰρ ἡμῖν χρεία τῆς ἀρετῆς, καὶ ἐκτεταμένης εἰς τὴν τελευτὴν τὴν ἡμετέραν. Οὐδὲ γάρ, εἰ βαδίζειν ὁδὸν ἔδει εἰς πόλιν φέρουσαν βασιλικήν, εἶτα τὸ πλέον αὐτῆς ἀνύσαντες, περὶ τὸ τέλος αὐτὸ μαλακισθέντες ἐκαθίσαμεν, ὤνησεν ἂν ἡμᾶς. Αὕτη ἡ ἐλπὶς τῆς κλήσεως· «Ἐπὶ ἔργοις» γάρ, φησίν, «ἀγαθοῖς». Οὐδὲν οὖν ἂν ὤνησεν ἡμᾶς τὸ πρᾶγμα.

17. Ἐφεσ. 2, 9.
18. Ἐφεσ. 2, 10.

συμπράξωμεν, τελείως ἀπράκτους, αὐτὴν ἐζήτησεν ὁ Θεός, λέγει. Εἶπεν, ὅτι ἡ πίστις σώζει· Ἐπειδὴ ὁ Θεὸς ἠθέλησε, διὰ τοῦτο ἔσωσεν ἡ πίστις. Διότι, εἰπέ μου, ποῦ σώζει ἡ πίστις δίχως ἔργα; Τοῦτο εἶναι δῶρον τοῦ Θεοῦ. «Διὰ νὰ μὴ ἠμπορῇ κανεὶς νὰ καυχηθῇ»[17], διὰ νὰ μᾶς κάνῃ εὐγνώμονας διὰ τὴν χάριν. Τί δηλαδή; λέγει. Αὐτὸς ἠμπόδισε νὰ δικαιωθῶμεν ἀπὸ τὰ ἔργα; Καθόλου· ἀλλὰ κανείς, λέγει, δὲν ἐδικαιώθη ἀπὸ τὰ ἔργα, διὰ νὰ δειχθῇ ἡ χάρις καὶ ἡ φιλανθρωπία τοῦ Θεοῦ. Δὲν μᾶς ἀπεμάκρυνεν, ἐνῷ εἴχομεν ἔργα, ἀλλ' ἐπειδὴ ἐγκατελείφθημεν ἀπὸ τὰ ἔργα, μᾶς ἔσωσε διὰ τῆς χάριτος, ὥστε κανεὶς λοιπὸν νὰ μὴ ἠμπορῇ νὰ καυχᾶται.

3. Ὕστερον, διὰ νὰ μὴ γίνῃς ὀκνηρὸς καὶ δὲν φροντίζῃς δι' ἔργα, ἐπειδὴ ἤκουσες ὅτι ὄχι ἀπὸ ἔργα, ἀλλ' ἀπὸ τὴν πίστιν κατωρθώθη τὸ πᾶν, κοίταξε τί προσέθεσε. «Διότι εἴμεθα ἰδικόν του δημιούργημα, δημιουργηθέντες ἐν Χριστῷ Ἰησοῦ δι' ἔργα ἀγαθά, τὰ ὁποῖα ὁ Θεὸς προητοίμασε διὰ ν' ἀποτελέσουν τὸν τρόπον τῆς ζωῆς μας»[18]. Πρόσεξε τί λέγει· ἐδῶ ὑπαινίσσεται τὴν ἀναγέννησιν. Πράγματι εἶναι ἄλλη δημιουργία. Ἀπὸ τὸ μὴ εἶναι ὡδηγήθημεν εἰς τὸ εἶναι. Αὐτὸ τὸ ὁποῖον ἤμεθα πρίν, δηλαδὴ ὁ παλαιὸς ἄνθρωπος, ἀπέθανεν· αὐτὸ τὸ ὁποῖον ἐγίναμεν, δὲν εἴμεθα πρίν. Ἄρα εἶναι δημιουργία αὐτὸ τὸ πρᾶγμα, καὶ πολυτιμωτέρα ἀπὸ τὴν ἄλλην· διότι ἀπὸ ἐκείνην μὲν ἐλάβομεν ἁπλῶς τὴν ζωήν, ἐνῷ ἀπὸ αὐτὴν τὸ νὰ ζῶμεν ὅπως πρέπει.

«Δι' ἔργα ἀγαθά, τὰ ὁποῖα ὁ Θεὸς προητοίμασε, διὰ ν' ἀποτελέσουν τὸν τρόπον τῆς ζωῆς μας». Ἔχομεν ἀνάγκην λοιπὸν διαρκοῦς ἀρετῆς, ἡ ὁποία ν' ἀναπτύσσεται μέχρι τὸν θάνατόν μας. Διότι καθόλου δὲν θὰ μᾶς ἦτο ὠφέλιμον ἐὰν εἴχωμεν νὰ βαδίσωμεν μίαν ὁδὸν ἡ ὁποία ὁδηγεῖ εἰς πόλιν βασιλικὴν καὶ ἠθέλαμεν λόγῳ μαλθακότητος καθήσει πρὸς τὸ τέλος, τὴν στιγμὴν δηλαδὴ ποὺ εἴχομεν διανύσει τὸ μεγαλύτερον μέρος αὐτῆς. Διότι, λέγει, «δι' ἔργα ἀγαθά». Καθόλου δὲν θὰ μᾶς ὠφέλει τὸ πρᾶγμα.

Οὕτω δὴ καὶ ἐνταῦθα, οὐχ ἵνα ἓν ἔργον ἐργασώμεθα προστάττει, ἀλλ' ἵνα πάντα. Ὥσπερ γὰρ αἰσθήσεις ἡμῖν πέντε εἰσί, καὶ πάσαις εἰς δέον κεχρῆσθαι δεῖ, οὕτω καὶ πάσαις ταῖς ἀρεταῖς. Εἰ δέ τις σωφρονοίη μέν, ἀνελεήμων δὲ εἴη, ἢ ἐλεήμων μὲν εἴη, πλεονεκτοίη δέ, ἢ ἀπέχοιτο μὲν τῶν ἀλλοτρίων, τῶν δὲ αὐτοῦ μὴ μεταδιδοῖ, πάντα εἰκῇ γίνεται. Οὐ γὰρ ἀρκεῖ μία μόνον ἀρετὴ παραστῆσαι τῷ βήματι τοῦ Χριστοῦ μετὰ παρρησίας ἡμᾶς, ἀλλὰ πολλῆς δεῖ καὶ ποικίλης καὶ παντοδαπῆς, καὶ πάσης αὐτῆς. Ἄκουε γὰρ αὐτοῦ λέγοντος τοῖς μαθηταῖς· «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα, ὅσα ἐνετειλάμην ὑμῖν»· καὶ πάλιν, «Ὃς ἂν λύσῃ μίαν τῶν ἐντολῶν τούτων τῶν ἐλαχίστων, ἐλάχιστος κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν»· τουτέστιν, ἐν τῇ ἀναστάσει. Οὐ γὰρ δὴ εἰς βασιλείαν εἰσελεύσεται· οἶδε γὰρ καὶ αὐτὸν τὸν καιρὸν τῆς ἀναστάσεως βασιλείαν καλεῖν. Μίαν ἐὰν λύσῃ, φησίν, ἐλάχιστος κληθήσεται· ὥστε πασῶν ἡμῖν δεῖ.

Καὶ ὅρα πῶς οὐκ ἔνι χωρὶς ἐλεημοσύνης εἰσελθεῖν, ἀλλὰ κἂν αὕτη μόνη ἐλλείπῃ, εἰς τὸ πῦρ ἀπελευσόμεθα. «Ἀπέλθετε» γάρ, «οἱ κατηραμένοι εἰς τὸ πῦρ τὸ αἰώνιον τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ». Τίνος ἕνεκεν, καὶ διὰ τί; «Ὅτι ἐπείνασα, καὶ οὐκ ἐδώκατέ μοι φαγεῖν· ἐδίψησα, καὶ οὐκ ἐποτίσατέ με». Εἶδες πῶς οὐδὲν ἕτερον ἐγκληθέντες, διὰ τοῦτο μόνον ἀπώλλοντο; «Καὶ αἱ παρθένοι διὰ τοῦτο μόνον ἐξεβλήθησαν τοῦ νυμφῶνος, καίτοιγε σωφροσύνην εἶχον, καθώς φησιν ὁ Παῦλος, «Καὶ τὸν ἁγιασμόν, οὗ χωρὶς οὐδεὶς ὄψεται τὸν Κύριον». Ἐννόησον τοίνυν, ὅτι χωρὶς μὲν σωφροσύνης οὐκ ἔστιν ἰδεῖν τὸν Κύριον· οὐ πάν-

19. Ματθ. 28, 19.
20. Ματθ. 5, 19.
21. Ματθ. 25, 41-42.
22. Ἑβρ. 12, 14.

Ἔτσι, λοιπὸν καὶ ἐδῶ, δὲν προστάσσει νὰ τελειώσωμεν μόνον ἓν ἔργον, ἀλλ' ὅλα. Διότι ὅπως αἱ αἰσθήσεις μας εἶναι πέντε, καὶ πρέπει ὅλας νὰ τὰς χρησιμοποιοῦμεν ὅπως πρέπει, ἔτσι πρέπει νὰ ἀσκοῦμεν καὶ ὅλας τὰς ἀρετάς. Ἐὰν κάποιος φυλάττῃ μὲν τὴν σωφροσύνην, ἀλλ' εἶναι ἀνελεήμων, ἢ εἶναι μὲν ἐλεήμων, ἀλλὰ συγχρόνως καὶ πλεονέκτης, ἢ δὲν ἐπιθυμεῖ μὲν τὰ ἀγαθὰ τῶν ἄλλων, ἀλλ' οὔτε ἀπὸ τὰ ἰδικά του δίδει, τότε ὅλα εἰς μάτην γίνονται. Διότι δὲν ἀρκεῖ μία ἀρετὴ διὰ νὰ μᾶς κάνῃ νὰ παραστῶμεν μὲ παρρησίαν εἰς τὸ βῆμα τοῦ Χριστοῦ, ἀλλὰ χρειάζεται πολλὴ καὶ πολυποίκιλος καὶ ἀπὸ κάθε εἶδος καὶ ὁλόκληρος ἡ ἀρετή. Διότι ἄκουσε τὸν ἴδιον τὸν Κύριον ὁ ὁποῖος λέγει εἰς τοὺς μαθητάς του· «Πηγαίνετε καὶ κάνετε ὅλα τὰ ἔθνη μαθητάς μου, διδάσκοντες αὐτοὺς νὰ τηροῦν ὅλα ὅσα σᾶς διέταξα»[19]. Καὶ πάλιν· «Ἐκεῖνος ὁ ὁποῖος θὰ παραβῇ μίαν ἀπὸ τὰς ἐντολὰς αὐτὰς τὰς ἐλαχίστας, αὐτὸς θὰ ὀνομασθῇ ἐλάχιστος εἰς τὴν βασιλείαν τῶν οὐρανῶν»[20]. Δηλαδὴ εἰς τὴν ἀνάστασιν. Διότι δὲν θὰ εἰσέλθῃ εἰς τὴν βασιλείαν· καθ' ὅσον γνωρίζει νὰ ὀνομάζῃ βασιλείαν καὶ αὐτὸν τὸν καιρὸν τῆς ἀναστάσεως τῶν νεκρῶν. Μίαν ἐὰν παραβῇ, λέγει, ἐλάχιστος θὰ ὀνομασθῇ· ὥστε ἔχομεν ἀνάγκην ἀπὸ ὅλας.

Καὶ πρόσεχε πῶς δὲν εἶναι δυνατὸν χωρὶς ἐλεημοσύνην νὰ εἰσέλθωμεν, ἀλλὰ καὶ ἂν ἀκόμη λείπῃ μόνον αὐτή, θὰ ἀπέλθωμεν εἰς τὴν κόλασιν. Διότι λέγει· «Φύγετε ἀπὸ ἐμὲ κατηραμένοι, εἰς τὸ αἰώνιον πῦρ ποὺ ἔχει ἑτοιμασθῇ διὰ τὸν διάβολον καὶ τοὺς ἀγγέλους του»[21]. Ἐξ αἰτίας τίνος καὶ διὰ ποῖον λόγον; «Διότι ἐπείνασα καὶ δὲν μοῦ ἐδώσατε νὰ φάγω, ἐδίψασα καὶ δὲν μὲ ἐποτίσατε». Εἶδες πῶς, ἐνῷ δὲν ἐκατηγορήθησαν διὰ τίποτε ἄλλο, δι' αὐτὸ καὶ μόνον ἐχάθησαν; Καὶ αἱ παρθένοι εἰς τὴν παραβολήν, διὰ τοῦτο μόνον ἐξεβλήθησαν ἀπὸ τὸν νυμφῶνα, ἂν καὶ εἶχον σωφροσύνην, ὅπως λέγει ὁ Παῦλος. «Καὶ τὸν ἁγιασμόν, χωρὶς τὸν ὁποῖον κανεὶς δὲν θὰ ἴδῃ τὸν Κύριον»[22]. Σκέψου λοιπόν, ὅτι χωρὶς μὲν σωφροσύνην δὲν εἶναι δυνατὸν νὰ ἴδῃ κανεὶς τὸν Κύ-

τως δὲ μετὰ σωφροσύνης δυνατὸν ἰδεῖν· πολλάκις γὰρ ἕτερον ἐνεπόδισε. Πάλιν ἂν πάντα κατορθώσωμεν, τὸν δὲ πλησίον οὐδὲν ὠφελήσωμεν, οὐδὲ οὕτως εἰσελευσόμεθα εἰς τὴν βασιλείαν.

Πόθεν δῆλον; Ἀπὸ τῶν τὰ τάλαντα πιστευθέντων οἰκετῶν. Ἐκεῖ γὰρ ἡ ἀρετὴ πᾶσα ἀκέραιος ἦν, καὶ οὐδὲν ἐλέλειπτο· ἀλλ' ἐπειδὴ περὶ τὴν ἐργασίαν ὀκνηρὸς γέγονεν, εἰκότως ἐξεβάλλετο. Ἔστι καὶ ἀπὸ λοιδορίας μόνης εἰς γέενναν ἐμπεσεῖν. «Ὁ γὰρ λέγων», φησί, «τῷ ἀδελφῷ αὐτοῦ, μωρέ, ἔνοχος ἔσται εἰς τὴν γέενναν τοῦ πυρός». Κἂν ἅπαντά τις κατορθώσῃ, ὑβριστὴς δὲ ᾖ, οὐκ εἰσελεύσεται. Καὶ μή τις ὠμότητα κατογινωσκέτω τοῦ Θεοῦ, εἰ τοὺς τοῦτο ἐπταικότας ἐκβάλλει τῆς βασιλείας τῶν οὐρανῶν. Εἰ γὰρ ἐπ' ἀνθρώπων, κἂν ὁτιοῦν τῶν παρανόμων ἐργάσηταί τις, ἐξέπεσε τῆς τοῦ βασιλέως ὄψεως· κἂν ἕνα νόμον τῶν κειμένων παραβῇ, κἂν συκοφαντήσῃ κατηγορῶν, ἀπώλεσε τὴν ἀρχήν· κἂν μοιχεύσῃ καὶ ἁλῷ, ἀνάξιος γέγονε, κἂν μυρία ᾖ κατωρθωκώς, ἀπόλλυται· κἂν φόνον ἐργάσηται καὶ δειχθῇ, καὶ τοῦτο ἱκανὸν αὐτὸν διαφθεῖραι· εἰ οἱ τῶν ἀνθρώπων νόμοι τοσαύτης ἀπολαύουσι τῆς φυλακῆς, πολλῷ μᾶλλον οἱ τοῦ Θεοῦ.

Ἀλλ' ἀγαθός ἐστι, φησί. Μέχρι τίνος τὸν μωρὸν τοῦτον λόγον φθεγγόμεθα; Μωρὸν δὲ εἶπον, οὐχ ὅτι οὐκ ἀγαθός ἐστιν, ἀλλ' ὅτι τὴν ἀγαθότητα αὐτοῦ νομίζομεν εἰς ταῦτα χρησίμην ἡμῖν εἶναι, καίτοι μυρία πολλάκις διαλεχθέντων ἡμῶν περὶ τούτου. Ἄκουε γὰρ τῆς Γραφῆς λεγούσης· «Μὴ εἴπῃς, ὁ οἰκτιρμὸς αὐτοῦ πολύς, τὸ πλῆθος τῶν ἁμαρτιῶν μου ἐξιλάσεται». Οὐχὶ κωλύει λέγειν ἡμᾶς, ὁ οἰκτιρμὸς αὐτοῦ πολύς·

---

23. Ματθ. 5, 22.
24. Σοφ. Σειρ. 5, 6.

ριον· ἀλλὰ καὶ οὔτε ἐὰν ἔχῃ κανεὶς σωφροσύνην εἶναι δυνατὸν ὁπωσδήποτε νὰ τὸν ἴδῃ· διότι πολλὰς φορὰς κάτι ἄλλο ἠμπόδισεν εἰς αὐτό. Καὶ πάλιν ἐὰν κατορθώσωμεν τὰ πάντα, ἀλλὰ δὲν ὠφελήσωμεν τὸν πλησίον, οὔτε ἔτσι θὰ εἰσέλθωμεν εἰς τὴν βασιλείαν.

Ἀπὸ ποῦ φαίνεται αὐτό; Ἀπὸ τοὺς ὑπηρέτας εἰς τοὺς ὁποίους ἐνεπιστεύθησαν τὰ τάλαντα. Διότι ἐκεῖ ὅλη ἡ ἀρετὴ ἦτο πλήρης καὶ τίποτε δὲν ἔλειπεν· ἀλλ' ἐπειδὴ ἔγινεν ὀκνηρὸς εἰς τὴν ἐργασίαν, κατὰ φυσικὸν λόγον ἐξεβλήθη. Εἶναι δυνατὸν καὶ μόνον ἀπὸ κακολογίαν νὰ εἰσέλθῃ κανεὶς εἰς τὴν γέενναν. Διότι «ἐκεῖνος ποὺ ἀποκαλεῖ τὸν ἀδελφόν του 'μωρέ', αὐτὸς» λέγει «θὰ παραδοθῇ εἰς τὴν πυρίνην γέενναν»[23]. Καὶ ἂν ἀκόμη τὰ πάντα κατορθώσῃ κανείς, ἀλλ' εἶναι ὑβριστής, δὲν θὰ εἰσέλθῃ. Καὶ ἂς μὴ κατηγορῇ κανεὶς διὰ σκληρότητα τὸν Θεόν, ἐπειδὴ ἐκβάλλει ἀπὸ τὴν βασιλείαν τῶν οὐρανῶν ὅσους ἔπταισαν εἰς αὐτό. Διότι ἂν εἰς τοὺς ἀνθρώπους, ὁποιανδήποτε παρανομίαν καὶ ἂν κάνῃ κάποιος, γίνεται ἀνάξιος ν' ἀντικρύσῃ τὸ πρόσωπον τοῦ βασιλέως, καὶ ἂν ἀκόμη παραβῇ ἕνα νόμον ἀπὸ τοὺς ἰσχύοντας, εἴτε συκοφαντήσει κατηγορῶν, χάνει τὸ ἀξίωμά του, εἴτε μοιχεύσει καὶ κυριευθῇ ὑπὸ πάθους, ἔγινεν ἀνάξιος, καὶ ἂν ἀκόμη ἔχῃ κατορθώσει ἀμέτρητα πράγματα, χάνεται· καὶ ἂν κάνῃ φόνον καὶ ἀποδειχθῇ, καὶ αὐτὸ εἶναι ἀρκετὸν διὰ νὰ τὸν καταστρέψῃ· ἂν λοιπὸν οἱ νόμοι τῶν ἀνθρώπων φυλάσσωνται μὲ τόσην αὐστηρότητα καὶ ἀκρίβειαν, πολὺ περισσότερον οἱ νόμοι τοῦ Θεοῦ.

Ἀλλ' εἶναι ἀγαθός, λέγει. Ἕως πότε θὰ λέγωμεν αὐτὸν τὸν ἀνόητον λόγον; Ἀνόητον δὲ εἶπον, ὄχι διότι δὲν εἶναι ἀγαθός, ἀλλὰ διότι νομίζομεν ὅτι ἡ ἀγαθότης του εἶναι χρησίμη δι' ἡμᾶς εἰς αὐτά, ἂν καὶ πολλὰς φορὰς ἔχομεν εἴπει πάρα πολλὰ διὰ τοῦτο. Ἄκουε λοιπὸν τὴν Γραφήν, ἡ ὁποία λέγει· «Μὴ εἴπῃς ὅτι ἡ εὐσπλαγχνία του εἶναι μεγάλη, θὰ μὲ λυτρώσῃ ἀπὸ τὸ πλῆθος τῶν ἁμαρτιῶν μου»[24]. Δὲν ἐμποδίζει νὰ λέγωμεν, ὅτι ἡ εὐσπλαγχνία του εἶναι με-

οὐ τοῦτο παραινεῖ, ἀλλὰ βούλεται ἡμᾶς καὶ συνεχῶς λέγειν τοῦτο, καὶ διὰ τοῦτο πάντα κινεῖ Παῦλος· ἀλλὰ διὰ τὰ ἑξῆς. Μὴ ἐπὶ τούτῳ, φησί, θαύμαζε τοῦ Θεοῦ τὴν φιλανθρωπίαν, ἐπὶ τῷ ἁμαρτάνειν, καὶ λέγειν. «Τὸ πλῆθος τῶν ἁμαρτιῶν μου ἐξιλάσεται». Διὰ γὰρ τοῦτο τοσαῦτα περὶ ἀγαθότητος διαλεγόμεθα, οὐχ ἵνα ταύτῃ θαρροῦντες πάντα πράττωμεν, ἐπεὶ ἡ ἀγαθότης ἐπὶ λύμῃ τῆς ἡμετέρας ἔσται σωτηρίας, ἀλλ' ἵνα μὴ ἀπογινώσκωμεν ἐν τοῖς ἁμαρτήμασιν, ἀλλὰ μετανοῶμεν· «Τὸ γὰρ χρηστὸν τοῦ Θεοῦ εἰς μετάνοιάν σε ἄγει», οὐκ εἰς πλείονα κακίαν. Εἰ δὲ μοχθηρὸς γένῃ διὰ τὴν χρηστότητα, σὺ διαβάλλεις μᾶλλον αὐτὴν παρὰ τοῖς ἀνθρώποις. Πολλοὺς γὰρ ὁρῶ κατηγοροῦντας τῆς μακροθυμίας τοῦ Θεοῦ· Ὥστε δίκην δώσεις, οὐκ εἰς δέον αὐτῇ χρησάμενος.

4. Φιλάνθρωπος ὁ Θεός; ἀλλὰ καὶ δίκαιος κριτής. Συγχωρῶν ἁμαρτίας; ἀλλὰ ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Ὑπερβαίνει ἀδικίας, ἐξαιρεῖ ἀνομίας; ἀλλὰ καὶ ἐξέτασιν ποιεῖται. Πῶς οὖν οὐκ ἐναντία ταῦτα; Οὐκ ἐναντία, ἂν τοῖς χρόνοις αὐτὰ διέλωμεν. Ἐξαιρεῖ ἀνομίας ἐνταῦθα καὶ διὰ λουτροῦ καὶ διὰ μετανοίας· ἐξέτασιν ποιεῖται τῶν πεπραγμένων ἐκεῖ διὰ πυρὸς καὶ βασάνων. Ἂν τοίνυν, κἂν μυρία, φησίν, ἐργασάμενος κακά, κἂν ἓν ἐξ αὐτῶν, ἐκβάλλωμαι καὶ τῆς βασιλείας ἐκπίπτω, τίνος ἕνεκεν οὐκ ἐργάζομαι πάντα τὰ κακά; Ἀγνώμονος οἰκέτου ὁ λόγος· πλὴν ἀλλ' ὅμως καὶ τοῦτον ἐπιλυσόμεθα τὸν λόγον.

Μὴ ἐργάζου τὰ κακά, ἵνα σαυτὸν ὠφελήσῃς. Βασιλείας μὲν γὰρ πάντες ὁμοίως ἐκπεσούμεθα, ἐν δὲ γεέννῃ οὐ τὴν αὐτὴν δώσομεν δίκην πάντες, ἀλλ' ὁ μὲν μείζονα, ὁ δὲ ἡμερωτέραν. Εἰ μὲν γὰρ σὺ κἀκεῖνος καταφρονήσατε, καὶ ὁ τὰ

25. Ρωμ. 2, 14.

γάλη· δὲν προτρέπει εἰς αὐτό, παρ' ὅ,τι θέλει νὰ λέγωμεν συνεχῶς αὐτὸ τὸ πρᾶγμα, διὰ τὸ ὁποῖο καὶ ὁ Παῦλος κινεῖ τὰ πάντα· ἀλλὰ διὰ τὸν ἑξῆς λόγον. Μὴ θαυμάζῃς, λέγει, τὴν φιλανθρωπίαν τοῦ Θεοῦ διὰ ν' ἁμαρτάνῃς καὶ νὰ λέγῃς, «θὰ μὲ λυτρώσῃ ἀπὸ τὸ πλῆθος τῶν ἁμαρτιῶν μου». Διότι διὰ τοῦτο λέγομεν τόσον πολλὰ διὰ τὴν ἀγαθότητα τοῦ Θεοῦ, ὄχι διὰ νὰ πράττωμεν τὰ πάντα ἔχοντες θάρρος εἰς αὐτήν, διότι τότε ἡ ἀγαθότης θὰ γίνῃ αἰτία νὰ ἀπωλεσθῇ ἡ σωτηρία μας, ἀλλὰ διὰ νὰ μὴ ἀπελπιζώμεθα διὰ τὰς ἁμαρτίας μας καὶ διὰ νὰ μετανοῶμεν. Διότι «ἡ ἀγαθότης τοῦ Θεοῦ σὲ ὁδηγεῖ εἰς μετάνοιαν»[25], ὄχι εἰς περισσοτέραν κακίαν. Ἐὰν δὲ γίνῃς κακὸς ἐξ αἰτίας τῆς ἀγαθότητος τοῦ Θεοῦ, τότε σὺ πολὺ περισσότερον τὴν διαβάλλεις εἰς τοὺς ἀνθρώπους. Διότι βλέπω πολλοὺς νὰ κατηγοροῦν τὴν μακροθυμίαν τοῦ Θεοῦ. Ὥστε θὰ κατακριθῇς διότι δὲν ἐχρησιμοποίησες αὐτὴν ὅπως πρέπει.

4. Εἶναι φιλάνθρωπος ὁ Θεός; Ἀλλ' εἶναι καὶ δίκαιος κριτής. Συγχωρεῖ ἁμαρτίας; Ἀλλὰ καὶ ἀποδίδει εἰς τὸν καθένα συμφώνως πρὸς τὰ ἔργα του. Προσπερνᾷ ἀδικίας, ἀπαλλάσσει ἀπὸ τὸ βάρος τῶν ἀνομιῶν; Ἀλλὰ καὶ ἐξετάζει. Τί λοιπόν; δὲν εἶναι ἀντίθετα αὐτά; Δὲν εἶναι ἀντίθετα, ἂν διαστείλωμεν αὐτὰ ὡς πρὸς τὸν χρόνον πραγματοποιήσεώς των. Ἀπαλλάσσει ἀπὸ τὴν ἀνομίαν ἐδῶ καὶ διὰ τοῦ βαπτίσματος καὶ διὰ τῆς μετανοίας· ἐξετάζει τὰς πράξεις ἐκεῖ διὰ πυρὸς καὶ βασάνων. Ἂν λοιπόν, λέγει, ἐπειδὴ ἔπραξα κακά, ἐκβάλλωμαι καὶ ἐκπίπτω τῆς βασιλείας, εἴτε κάνω ἓν ἀπὸ αὐτά, εἴτε ἄπειρα, διατί νὰ μὴ κάνω ὅλα τὰ κακά; Αὐτὸ εἶναι λόγος ἀχαρίστου ὑπηρέτου· πλὴν ὅμως θὰ ἀπαντήσωμεν καὶ εἰς αὐτόν.

Μὴ πράττῃς τὰ κακά, διὰ νὰ ὠφελήσῃς τὸν ἑαυτόν σου. Διότι ὅλοι μὲν ὁμοίως θὰ ἐκπέσωμεν τῆς βασιλείας, εἰς τὴν γέενναν ὅμως δὲν θὰ καταδικασθῶμεν ἐξ ἴσου ὅλοι, ἀλλ' ὁ μὲν θὰ κολασθῇ πολύ, ὁ δὲ ὀλιγώτερον. Ἐὰν λοιπὸν καὶ σὺ καὶ ἐκεῖνος περιεφρονήσατε τὸν νόμον τοῦ Θεοῦ, καὶ ἐκεῖ-

πολλὰ καὶ ὁ τὰ ὀλίγα ὁμοίως ἐκπεσεῖσθε τῆς βασιλείας· εἰ δὲ οὐχ ὁμοίως κατεφρονήσατε, ἀλλ' ὁ μὲν μεῖζον, ὁ δὲ ἔλαττον, ἐν τῇ γεέννῃ τῆς διαφθορᾶς αἰσθήσεσθε.

Τί οὖν, φησίν, ἀπειλεῖ τοῖς ἐλεημοσύνην μὴ δεδωκόσιν, εἰς τὸ πῦρ ἀπελεύσεσθαι; καὶ οὐχ ἁπλῶς εἰς τὸ πῦρ, ἀλλ' εἰς τὸ ἡτοιμασμένον τῷ διαβόλῳ καὶ τοῖς ἀγγέλοις αὐτοῦ; τίνος ἕνεκεν, καὶ διὰ τί; Οὐδὲν οὕτω τὸν Θεὸν παροξύνει, ἀλλὰ πάντων αὐτὸ προτίθησι τῶν δεινῶν. Εἰ γὰρ τοὺς ἐχθροὺς φιλεῖν δεῖ, ὁ καὶ τοὺς φίλους διαφθείρων, καὶ τῶν Ἑλλήνων κατὰ τοῦτο χείρων ὤν, τίνος οὐκ ἔσται κολάσεως ἄξιος;

Ὥστε ἐνταῦθα τὸ μέγεθος τοῦ ἁμαρτήματος μετὰ τοῦ διαβόλου ἐποίησεν αὐτὸν ἀπελθεῖν. «Οὐαὶ γὰρ τῷ ἐλεημοσύνην μὴ ἐργαζομένῳ». Εἰ δὲ ἐπὶ τῆς Παλαιᾶς τοῦτο ἦν, πολλῷ μᾶλλον ἐπὶ τῆς Καινῆς· Εἰ ἔνθα συγκεχώρητο χρημάτων κτῆσις καὶ ἀπόλαυσις καὶ ἐπιμέλεια, τοσαύτη πρόνοια ἐγένετο τῆς εἰς τοὺς πένητας βοηθείας, πόσῳ μᾶλλον, ἔνθα κελευόμεθα πάντα ῥῖψαι; Τί γὰρ οὐκ ἐποίουν ἐκεῖνοι; Δεκάτας, καὶ πάλιν δεκάτας παρεῖχον, ὀρφανοῖς, χήραις, προσηλύτοις. Ἀλλά μοί τις θαυμάζων τινὰ ἔλεγε· δεκάτας δίδωσιν ὁ δεῖνα. Πόσης αἰσχύνης τοῦτο γέμει, εἰ ὃ ἐπὶ τῶν Ἰουδαίων οὐκ ἦν θαυμασμοῦ, τοῦτο ἐπὶ τῶν Χριστιανῶν θαυμαστὸν γέγονεν; Εἰ τότε κίνδυνος ἦν, τὸ δεκάτας ἀπολιπεῖν, ἐννόησον ὅσον ἐστὶ νῦν. Ἡ μέθη πάλιν οὐ κληρονομεῖ τὴν βασιλείαν.

Ἀλλὰ τίς ὁ τῶν πολλῶν λόγος; Οὐκοῦν εἰ κἀγὼ κἀκεῖνος ἐν τοῖς αὐτοῖς, οὐ μικρὰ παραμυθία. Τί οὖν; Μάλι-

---

26. Σοφ. Σειρ. 12, 3.

νος ὁ ὁποῖος διέπραξε πολλάς, καὶ ἐκεῖνος ὁ ὁποῖος διέπραξεν ὀλίγας ἁμαρτίας, ὁμοίως θὰ ἐκπέσετε τῆς βασιλείας· ἐὰν ὅμως δὲν περιεφρονήσατε ὁμοίως τὸν θεῖον νόμον, ἀλλ' ὁ μὲν περισσότερον, ὁ δὲ ὀλιγώτερον, θὰ αἰσθανθῆτε τὴν διαφορὰν εἰς τὴν γέενναν.

Τί λοιπόν, λέγει, ἀπειλεῖ ἐκείνους οἱ ὁποῖοι δὲν ἔδωσαν ἐλεημοσύνην, ὅτι θὰ ἀπέλθουν εἰς τὸ πῦρ; Καὶ ὄχι ἁπλῶς εἰς τὸ πῦρ, ἀλλ' εἰς ἐκεῖνο τὸ ὁποῖον ἡτοιμάσθη διὰ τὸν διάβολον καὶ τοὺς ἀγγέλους του; Καὶ διὰ ποῖον λόγον; Τίποτε δὲν παροργίζει τόσον τὸν Θεόν, ἀλλὰ ἀπὸ ὅλα τὰ κακὰ αὐτὸ θέτει πρῶτον. Διότι ἐὰν πρέπει ν' ἀγαπῶμεν καὶ τοὺς ἐχθρούς, ἐκεῖνος ὁ ὁποῖος βλάπτει καὶ τοὺς φίλους καὶ εἶναι ὡς πρὸς τοῦτο χειρότερος καὶ ἀπὸ τοὺς εἰδωλολάτρας ποίας κολάσεως δὲν θὰ εἶναι ἄξιος;

Ὥστε ἐδῶ τὸ μέγεθος τοῦ ἁμαρτήματος ἔκανεν αὐτὸν ν' ἀπέλθῃ μαζὶ μὲ τὸν διάβολον. Διότι, «ἀλλοίμονον εἰς ἐκεῖνον ὁ ὁποῖος δὲν δίδει ἐλεημοσύνην»[26]. Ἐὰν δὲ τοῦτο ἴσχυσεν εἰς τὴν Παλαιὰν Διαθήκην, πολὺ περισσότερον εἰς τὴν Καινήν. Ἐὰν ἐκεῖ ὅπου ἦτο ἀνεκτὴ ἡ ἀπόκτησις χρημάτων καὶ ἀπόλαυσις καὶ φροντὶς δι' αὐτά, ὑπῆρχε τόση πρόνοια διὰ βοήθειαν εἰς τοὺς πτωχούς, πόσον μᾶλλον ὅταν λαμβάνωμεν ὡς ἐντολὴν ν' ἀπορρίψωμεν ὅλα τὰ ὑλικά; Διότι τί δὲν ἔκαμνον ἐκεῖνοι; Ἔδιδον συνεχῶς τὸ ἓν δέκατον τῶν εἰσοδημάτων των εἰς ὀρφανά, χήρας, ξένους. Ἀλλ' ἴσως μοῦ ἔλεγε κάποιος μὲ θαυμασμὸν ὅτι καὶ ὁ τάδε δίδει τὸ ἓν δέκατον τῶν εἰσοδημάτων του. Πόση ἐντροπὴ ὑπάρχει εἰς αὐτό, ὅταν αὐτὸ τὸ ὁποῖον οὔτε εἰς τοὺς Ἰουδαίους ἦτο ἄξιον θαυμασμοῦ, αὐτὸ ἔχει γίνει ἀξιοθαύμαστον εἰς τοὺς Χριστιανούς; Ἐὰν τότε ἦτο ἐπικίνδυνον τὸ νὰ λησμονήσῃ κανεὶς τὰς δεκάτας, σκέψου πόσον μᾶλλον τώρα. Ἡ μέθη πάλιν δὲν κληρονομεῖ τὴν βασιλείαν.

Ἀλλὰ τί λέγουν οἱ πολλοί; Ἐὰν λοιπὸν καὶ ἐγὼ καὶ ἐκεῖνος εὑρισκώμεθα εἰς τὰ αὐτὰ ἁμαρτήματα, αὐτὸ εἶναι μεγάλη παρηγορία. Τί λοιπόν; Εἶναι ὀρθὸν τοῦτο· διότι

στα μέν, οὐ τῆς αὐτῆς σὺ κἀκεῖνος ἀπολαύσεις τιμωρίας· ἄλλως δέ, οὐδὲ παραμυθία τοῦτό ἐστι. Τότε γὰρ ἡ κοινωνία τῶν παθῶν ἔχει παραμυθίαν, ὅταν σύμμετρα ᾖ τὰ δεινά· ὅταν δὲ ὑπερβαίνῃ, καὶ ἐν ἐκστάσει ἡμᾶς ποιῇ, οὐκέτι ἀφίησι λαβεῖν παραμυθίαν. Εἰπὲ γὰρ τῷ καταικιζομένῳ καὶ εἰς τὴν πυρὰν ἐμβεβηκότι, ὅτι καὶ ὁ δεῖνα τοῦτο πάσχει· ἀλλ' οὐδὲ αἰσθήσεται τῆς παραμυθίας. Οὐχὶ πάντες ὁμοῦ ἀπώλοντο οἱ Ἰσραηλῖται; ποίαν τοῦτο αὐτοῖς παραμυθίαν ἔφερεν; οὐχὶ μᾶλλον αὐτὸ τοῦτο αὐτοὺς ἐλύπει; Διὸ καὶ ἔλεγον, «Ἀπολώλαμεν, ἐξολώλαμεν, παρανηλώμεθα».

Ποία τοίνυν αὕτη παραμυθία; Μάτην ἑαυτοὺς παραμυθούμεθα ταύταις ταῖς ἐλπίσι. Μία μόνη παραμυθία ἐστί, τὸ μὴ ἐμπεσεῖν εἰς τὸ πῦρ ἐκεῖνο τὸ ἄσβεστον· ἐμπεσόντα δὲ οὐκ ἔνι παραμυθίας τυχεῖν, ἔνθα ὁ βρυγμὸς τῶν ὀδόντων, ἔνθα ὁ κλαυθμός, ἔνθα σκώληξ ἀτελεύτητος, ἔνθα πῦρ ἄσβεστον. Ἐννοήσεις γὰρ ὅλως τινά, εἰπέ μοι, παραμυθίαν, ἐν θλίψει καὶ στενοχωρίᾳ ὤν; ἐν σαυτῷ γὰρ ἔσῃ λοιπόν; Μή, δέομαι καὶ παρακαλῶ, μὴ ἑαυτοὺς εἰκῇ ἀπατῶμεν, καὶ τούτοις τοῖς λόγοις παραμυθώμεθα, ἀλλὰ ταῦτα πράττωμεν, ἅπερ ἡμᾶς σῶσαι δυνήσεται. Συγκαθίσαι τῷ Χριστῷ πρόκειται, καὶ σὺ περὶ τούτων ἀκριβολογῇ; Εἰ γὰρ μηδὲν ἕτερον ἦν ἁμάρτημα, ὑπὲρ τῶν ῥημάτων τούτων πόσην κόλασιν ὑποστῆναι ἡμᾶς ἐχρῆν, ὅτι οὕτω νωθεῖς, ὅτι οὕτω ταλαίπωροι καὶ ῥᾴθυμοί ἐσμεν, ὡς προκειμένης τοσαύτης τιμῆς ταῦτα λέγειν; Ὅταν δὲ ἐννοήσῃς τότε τοὺς κατωρθωκότας, οὐ τήκῃ πλέον; ὅταν ἴδῃς ἀπὸ δούλων καὶ ἀπὸ δυσγενῶν ὀλίγα καμόντας ἐνταῦθα καὶ τοῦ θρόνου μετέχοντας ἐκεῖ τοῦ βα-

---

27. Ἀριθμ. 17, 27.

πράγματι δὲν θὰ λάβετε τὴν ἰδίαν τιμωρίαν σὺ καὶ ἐκεῖνος· ἄλλως τε δέ, οὔτε παρηγορία εἶναι αὐτό. Διότι ἡ συμμετοχὴ εἰς τὰ βάσανα τότε ἔχει παρηγορίαν, ὅταν αἱ συμφοραὶ εἶναι ἀνάλογοι τῶν δυνάμεών μας· ὅταν ὅμως τὰς ὑπερβαίνουν καὶ μᾶς προξενοῦν τρέλλαν καὶ λιποθυμίαν, δὲν ἀφήνουν νὰ λάβωμεν καμμίαν παρηγορίαν. Εἰπὲ λοιπὸν εἰς ἐκεῖνον τὸν ὁποῖον βασανίζουν καὶ ἔχει εἰσέλθει εἰς τὴν πυράν, ὅτι καὶ ὁ τάδε πάσχει αὐτό· ἀλλ' οὔτε κἂν θὰ αἰσθανθῇ τὴν παρηγορίαν. Μήπως δὲν ἐχάθησαν ὅλοι μαζὶ οἱ Ἰσραηλῖται; Ποίαν παρηγορίαν ἔφερεν αὐτὸ εἰς ἐκείνους; Μᾶλλον αὐτὸ δὲν ἦτο ἐκεῖνο τὸ ὁποῖον τοὺς ἐλύπει; Διὰ τοῦτο καὶ ἔλεγον, «Ἀφανιζόμεθα, κατεστράφημεν, εἴμεθα ὅλοι χαμένοι»[17].

Τί παρηγορία εἶναι λοιπὸν αὐτή; Ἄδικα παρηγοροῦμεν τοὺς ἑαυτούς μας μὲ αὐτὰς τὰς ἐλπίδας. Μία μόνον παρηγορία ὑπάρχει, τὸ νὰ μὴ πέσωμεν μέσα εἰς ἐκεῖνο τὸ ἄσβεστον πῦρ· δι' ἐκεῖνον δὲ ὁ ὁποῖος θὰ πέσῃ μέσα, δὲν εἶναι δυνατὸν νὰ τύχῃ παρηγορίας ἐκεῖ ὅπου ὁ βρυγμὸς τῶν ὀδόντων, ὅπου ὁ κλαυθμός, ὅπου ὁ σκώληξ ὁ ἀκοίμητος, ὅπου τὸ ἄσβεστον πῦρ. Εἰπέ μου, λοιπόν, σκέπτεσαι καθόλου κάποιαν παρηγορίαν, ἐνῷ εὑρίσκεσαι εἰς θλῖψιν καὶ συμφοράν; εἰς αὐτὸ λοιπὸν θὰ στηριχθῇς; Μή, παρακαλῶ καὶ ἱκετεύω, ἂς μὴ ἀπατῶμεν τοὺς ἑαυτούς μας ματαίως καὶ ἂς μὴ παρηγορούμεθα μὲ αὐτοὺς τοὺς λόγους, ἀλλ' ἂς πράττωμεν αὐτά, τὰ ὁποῖα θὰ δυνηθοῦν νὰ μᾶς σώσουν. Μαζὶ μὲ τὸν Χριστὸν πρόκειται νὰ καθίσῃς, καὶ σὺ ἀκριβολογεῖς δι' αὐτά; Ἐὰν λοιπὸν κανὲν ἄλλο ἁμάρτημα δὲν ὑπῆρχε, πόσην κόλασιν ἔπρεπε νὰ ὑποστῶμεν, μόνον διὰ τοὺς λόγους τούτους, διότι τόσον ὀκνηροί, τόσον ἄθλιοι καὶ ῥάθυμοι εἴμεθα, ὥστε, ἐνῷ μᾶς ἀναμένει τόση τιμή, νὰ λέγωμεν αὐτά; Ὅταν δὲ σκεφθῇς τότε ἐκείνους οἱ ὁποῖοι κατώρθωσαν νὰ εἰσέλθουν εἰς τὸν Παράδεισον, δὲν θὰ λειώσῃς περισσότερον; Ὅταν ἴδῃς ἀνθρώπους οἱ ὁποῖοι ἀπὸ δοῦλοι καὶ ἀπὸ χαμηλὴν καταγωγὴν προερχόμενοι, ἀφοῦ ἐκοπίασαν ὀλίγον

σιλικοῦ, οὐχὶ τῆς κολάσεώς σοι ταῦτα χείρονα ἔσται; Εἰ γὰρ νῦν ὁρῶν εὐδοκιμοῦντας, καὶ οὐδὲν πάσχων κακόν, πάσης τιμωρίας χεῖρον ὑπὸ τούτου μόνου διαφθείρῃ, καὶ πενθεῖς σαυτόν, καὶ δακρύεις, καὶ μυρίων εἶναι θανάτων κρίνεις ἄξιον, τί τότε ὑποστήσῃ; Εἰ γὰρ μὴ γέεννα ἦν, αὐτὴ ἡ ἔννοια τῆς βασιλείας οὐκ ἦν ἱκανὴ ἀπολέσαι καὶ διαφθεῖραι; Καὶ ὅτι τοῦτο οὕτως ἔξει, ἱκανὸν ἀπὸ τῆς πείρας τῶν πραγμάτων μαθεῖν.

Μὴ τοίνυν εἰκῇ ψυχαγωγῶμεν ἑαυτοὺς τοῖς τοιούτοις ῥήμασιν, ἀλλὰ προσέχωμεν, καὶ φροντίζωμεν τῆς ἑαυτῶν σωτηρίας, καὶ ἀρετῆς ἐπιμελώμεθα, καὶ πρὸς τὴν τῶν καλῶν ἐργασίαν ἑαυτοὺς διεγείρωμεν, ἵνα καταξιωθῶμεν τυχεῖν τῆς τοσαύτης δόξης, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ἐδῶ, νὰ μετέχουν ἐκεῖ εἰς τὸν βασιλικὸν θρόνον, δὲν θὰ εἶναι αὐτὰ χειρότερα ἀπὸ τὴν κόλασίν σου; Διότι ἐὰν τώρα, ὅταν βλέπῃς αὐτοὺς νὰ εὐτυχοῦν, καὶ ἐνῷ δὲν παθαίνεις κανὲν κακόν, ἀπὸ αὐτὸ μόνον βασανίζεσαι περισσότερον ἀπὸ κάθε τιμωρίαν, καὶ πενθεῖς τὸν ἑαυτόν σου καὶ δακρύζεις, καὶ τὸν κρίνεις ἄξιον μυρίων θανάτων, τί θὰ ὑποστῇς τότε; Διότι ἐὰν δὲν ὑπῆρχε γέεννα, αὐτὴ μόνον ἡ ἰδέα τῆς βασιλείας δὲν ἦτο ἀρκετὴ νὰ σὲ ἀφανίσῃ καὶ νὰ σὲ καταστρέψῃ; Καὶ ὅτι αὐτὸ ἔτσι θὰ εἶναι, ἠμπορεῖς νὰ τὸ μάθῃς ἀπὸ τὴν πεῖραν τῶν πραγμάτων.

Ἂς μὴ παρηγορῶμεν λοιπὸν ἄδικα τοὺς ἑαυτούς μας μὲ τέτοιους λόγους, ἀλλ' ἂς προσέχωμεν καὶ ἂς φροντίζωμεν διὰ τὴν σωτηρίαν μας, καὶ ἂς ἀσκοῦμεν τὴν ἀρετήν, καὶ ἂς διεγείρωμεν τοὺς ἑαυτούς μας διὰ τὴν πραγματοποίησιν τῶν καλῶν, διὰ ν' ἀξιωθῶμεν νὰ τύχωμεν τῆς ἀπείρου δόξης ἐν Χριστῷ Ἰησοῦ, τοῦ Κυρίου ἡμῶν, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ συγχρόνως εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Ε΄

Ἐφεσ. 2, 11—16

«Διὸ μνημονεύετε, ὅτι ὑμεῖς ποτε τὰ ἔθνη ἐν σαρκί, οἱ λεγόμενοι ἀκροβυστία ὑπὸ τῆς λεγομένης περιτομῆς ἐν σαρκὶ χειροποιήτου· ὅτι ἦτε ἐν τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραήλ, καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ».

1. Πολλὰ δείκνυσι τοῦ Θεοῦ τὴν φιλανθρωπίαν· πρῶτον, ὅτι δι' ἑαυτοῦ ἔσωσε, καὶ δι' ἑαυτοῦ τρόπῳ τοιούτῳ· δεύτερον, ὅτι τίνας ὄντας ἔσωσε· τρίτον, ὅτι ποῦ ἀνήγαγε. Ταῦτα γὰρ πάντα καὶ καθ' ἑαυτὰ μεγίστην ἔχει τὴν ἀπόδειξιν τῆς φιλανθρωπίας αὐτοῦ· καὶ ταῦτα πάντα κινεῖ νῦν γράφων ὁ Παῦλος. Εἶπεν, ὅτι νεκροὺς ὄντας τοῖς παραπτώμασι, καὶ τέκνα ὀργῆς, ἔσωσε· νῦν λέγει τίνων ἐποίησεν ἴσους. «Διό», φησί, «μνημονεύετε». Ἔθος γὰρ ἡμῖν ἅπασιν, ὅταν ἐκ τῆς πολλῆς εὐτελείας εἰς ἀντίρροπον, ἢ καὶ μείζονα τιμὴν ἀναχθῶμεν, μηδὲ μεμνῆσθαι τῶν προτέρων, ἐντρεφομένοις ἐκείνῃ τῇ δόξῃ. Διὰ τοῦτό φησι, «Διὸ μνημονεύετε». Διό, ποῖον; Ὅτι ἐκτίσθημεν ἐπ' ἔργοις ἀγαθοῖς. Τοῦτο δὲ ἱκανὸν ἡμᾶς πεῖσαι τῆς ἀρετῆς ἐπιμελεῖσθαι. «Μνημονεύετε». Ἱκανὴ γὰρ ἡ μνήμη ἐκείνη εὐγνώμονας περὶ τὸν εὐεργέτην ποιῆσαι.

«Ὅτι ὑμεῖς ποτε τὰ ἔθνη». Ὅρα πῶς τὰ πλεονεκτήματα τὰ Ἰουδαϊκὰ καθαιρεῖ, καὶ τὰ ἐλαττώματα τῶν ἐθνῶν

---

1. Ἐφεσ. 2, 11-12.

ΛΟΓΟΣ Ε΄
Ἐφεσ. 2, 11 — 16

«Διὰ τοῦτο νὰ ἐνθυμῆσθε ὅτι κάποτε σεῖς οἱ ἐθνικοὶ κατὰ τὴν σάρκα, οἱ λεγόμενοι ἀπερίτμητοι ἀπὸ τὴν λεγομένην περιτομήν, ποὺ γίνεται εἰς τὴν σάρκα μὲ χέρι ἀνθρώπινον, ὅτι ἤσασθε κατὰ τὸν καιρὸν ἐκεῖνον χωρὶς Χριστόν, ἀποξενωμένοι ἀπὸ τὸν τρόπον ζωῆς τοῦ Ἰσραὴλ καὶ ξένοι ἀπὸ τὰς διαθήκας τῆς ὑποσχέσεως, χωρὶς νὰ ἔχετε ἐλπίδα καὶ ἄθεοι εἰς τὸν κόσμον»[1].

1. Πολλὰ δεικνύουν τὴν φιλανθρωπίαν τοῦ Θεοῦ· πρῶτον, τὸ ὅτι μᾶς ἔσωσε διὰ τοῦ ἑαυτοῦ του καὶ μάλιστα μὲ τέτοιον τρόπον· δεύτερον, ὅτι μᾶς ἔσωσεν, ἐνῷ ἤμεθα τέτοιοι· τρίτον, τὸ ὅτι μᾶς ὡδήγησεν εἰς τόσον ὕψος. Αὐτὰ λοιπὸν ὅλα καὶ ἀπὸ μόνα των ἀποτελοῦν μεγίστην ἀπόδειξιν τῆς φιλανθρωπίας του· καὶ αὐτὰ ὅλα ἀνακινεῖ γράφων τώρα ὁ Παῦλος. Εἶπεν, ὅτι ἐνῷ ἤμεθα νεκροὶ ἐξ αἰτίας τῶν παραπτωμάτων μας καὶ τέκνα ὀργῆς, μᾶς ἔσωσε· τώρα λέγει μὲ ποίους μᾶς ἔκανε ἴσους. «Διὰ τοῦτο», λέγει, «νὰ ἐνθυμῆσθε». Διότι εἶναι συνήθεια εἰς ὅλους ἐμᾶς, ὅταν ἀπὸ τὴν πολλὴν περιφρόνησιν ἀνέλθωμεν εἰς ἀνάλογον ἢ καὶ μεγαλυτέραν τιμήν, οὔτε νὰ ἐνθυμώμεθα τὴν προηγουμένην κατάστασίν μας τρεφόμενοι ἀπὸ ἐκείνην τὴν δόξαν. Αὐτὸς εἶναι ὁ λόγος ποὺ λέγει, «Διὰ τοῦτο νὰ ἐνθυμῆσθε». Διὰ τοῦτο· διὰ ποῖο τοῦτο; Διὰ τὸ ὅτι ἐδημιουργήθημεν δι' ἔργα ἀγαθά. Τοῦτο δὲ εἶναι ἀρκετὸν νὰ μᾶς πείσῃ νὰ φροντίζωμεν διὰ τὴν ἀρετήν. «Νὰ ἐνθυμῆσθε». Διότι εἶναι ἀρκετὴ ἡ ἐνθύμησις ἐκείνη νὰ μᾶς κάνῃ εὐγνώμονας πρὸς τὸν εὐεργέτην.

«Ὅτι κάποτε σεῖς οἱ ἐθνικοί». Κοίταξε πῶς μειώνει τὰ Ἰουδαϊκὰ πλεονεκτήματα καὶ θαυμάζει τὰ ἐλαττώματα τῶν

θαυμάζει, ἅπερ οὐκ ἦν ἐλαττώματα, ἀλλ' ἀπὸ τῶν τρόπων καὶ τοῦ βίου ἑκατέρους πείθει. «Οἱ λεγόμενοι». Ἐν ῥήμασιν ἦν ἡ τιμή, ἐν σαρκὶ τὸ προτέρημα· οὐδὲν γάρ ἐστιν ἡ ἀκροβυστία, οὐδὲν ἡ περιτομή. «Ὑπὸ τῆς λεγομένης», φησί, «περιτομῆς ἐν σαρκὶ χειροποιήτου· ὅτι ἦτε τῷ καιρῷ ἐκείνῳ χωρὶς Χριστοῦ, ἀπηλλοτριωμένοι τῆς πολιτείας τοῦ Ἰσραήλ, καὶ ξένοι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, ἐλπίδα μὴ ἔχοντες, καὶ ἄθεοι ἐν τῷ κόσμῳ». Ὑμεῖς οἱ ὑπὸ Ἰουδαίων τοῦτο καλούμενοι.

Τί δήποτε δὲ μέλλων δεικνύναι τὴν εὐεργεσίαν αὐτῶν ἐν τούτῳ γενομένην, ἐν τῷ κοινωνῆσαι αὐτοὺς τῷ Ἰσραήλ, πάλιν τὸ ἀξίωμα τὸ Ἰσραηλιτικὸν καθαιρεῖ; Οὐ καθαιρεῖ, ἀλλ' ἐν τούτοις ἐπαίρει αὐτό, ἐν τοῖς ἀναγκαίοις, ἐν τούτοις δὲ καθαιρεῖ, ἐν οἷς οὐκ ἐκοινώνησαν. Προϊὼν γάρ φησι· «Συμπολῖται τῶν ἁγίων ἐστέ, καὶ οἰκεῖοι τοῦ Θεοῦ». Ὅρα πῶς οὐ καθαιρεῖ. Ταῦτα, φησίν, ἀδιάφορά ἐστι. Μὴ νομίσητε, φησίν, ὅτι περιτομῆς οὐκ ἐτύχετε καὶ ἐν ἀκροβυστίᾳ ἐστέ, διαφοράν τινα εἶναι. Τὸ γὰρ χαλεπὸν τοῦτο ἦν, τὸ χωρὶς τοῦ Χριστοῦ εἶναι, τὸ τῆς πολιτείας ἀπηλλοτριῶσθαι· τοῦτο δὲ οὐ πολιτεία· τὸ δὲ ξένους εἶναι τῶν διαθηκῶν τῆς ἐπαγγελίας, τὸ ἐλπίδα μὴ ἔχειν τὴν μέλλουσαν, τὸ ἀθέους εἶναι ἐν τῷ κόσμῳ τούτῳ, ταῦτα πάντα ἐκείνων ἦν.

Εἶπε περὶ τῶν οὐρανίων πραγμάτων· λέγει καὶ περὶ τῶν ἐπὶ γῆς, ἐπειδὴ μεγάλην εἶχον περὶ αὐτῶν δόξαν οἱ Ἰουδαῖοι. Οὕτω καὶ ὁ Χριστὸς παραμυθούμενος τοὺς μαθητάς, μετὰ τὸ εἰπεῖν ὅτι «Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν», τὸ ἔλαττον τίθησιν· «Οὕτω γάρ», φησίν, «ἐδίωξαν τοὺς προφήτας τοὺς πρὸ ὑμῶν». Τοῦτο γὰρ πρὸς μὲν τὸ μέγεθος ἔλαττόν ἐστι, πρὸς δὲ τὸ ἐγγὺς εἶναι καὶ πιστεῦσαι, μέγα καὶ ἱκανόν, καὶ πολλὴν ἔχει τὴν ἰσχύν. Ἄρα τοῦτο ἦν τὸ πολιτεύεσθαι.

---

2. Ματθ. 5, 10.
3. Ματθ. 5, 12.

ἐθνῶν, τὰ ὁποῖα δὲν ἦσαν ἐλαττώματα, ἀλλ' ἀπὸ τοὺς τρόπους καὶ τὸν βίον πείθει καὶ τοὺς δύο. «Οἱ λεγόμενοι». Εἰς τοὺς λόγους ἦτο ἡ τιμή, εἰς τὴν σάρκα τὸ προτέρημα· διότι τίποτε δὲν εἶναι ἡ ἀπεριτμησία, οὔτε ἡ περιτομή. «'Απόξενωμένοι», λέγει, «ἀπὸ τὸν τρόπον ζωῆς τοῦ 'Ισραὴλ καὶ ξένοι ἀπὸ τὰς διαθήκας τῆς ὑποσχέσεως, χωρὶς νὰ ἔχετε ἐλπίδα, καὶ ἄθεοι εἰς τὸν κόσμον». Σεῖς οἱ ὁποῖοι ἐκαλεῖσθε ἔτσι ἀπὸ τοὺς 'Ιουδαίους.

Διατί ἆρά γε, ἐνῷ πρόκειται νὰ δείξῃ ὅτι ἡ εὐργεσία τὴν ὁποίαν ἐδέχθησαν εἰς τοῦτο ὀφείλεται εἰς τὸ ὅτι ἔγιναν κοινωνοὶ τοῦ 'Ισραήλ, καταργεῖ πάλιν τὸ 'Ισραηλιτικὸν ἀξίωμα; Δὲν τὸ καταργεῖ ἀλλὰ τὸ ἐξυμνεῖ εἰς τὰ ἀναγκαῖα σημεῖα, τὸ καταργεῖ δὲ εἰς ἐκεῖνα εἰς τὰ ὁποῖα δὲν ἔγιναν κοινωνοὶ οἱ ἐθνικοί. Διότι προχωρῶν λέγει· «Εἶσθε συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ Θεοῦ». Κοίταξε πῶς δὲν τὸ καταργεῖ. Αὐτά, λέγει, εἶναι ἀδιάφορα. Μὴ νομίσετε, λέγει, διὰ τὸ ὅτι δὲν περιετμήθητε καὶ εἶσθε εἰς ἀκροβυστίαν, ὅτι ὑπάρχει κάποια διαφορά. Διότι τὸ φοβερὸν αὐτὸ ἦτο, τὸ νὰ ζῇ κανεὶς χωρὶς τὸν Χριστόν, τὸ νὰ ἔχῃ ἀποξενωθῆ ἀπὸ τὴν πολιτείαν ἐκείνου. 'Ενῷ αὐτὸ δὲν εἶναι πολιτεία. 'Αλλὰ τὸ νὰ εἶναι κανεὶς ξένος εἰς τὰς διαθήκας τῆς ὑποσχέσεως, τὸ νὰ μὴ ἔχῃ ἐλπίδα διὰ τὴν μέλλουσαν ζωήν, τὸ νὰ εἶναι ἄθεοι εἰς αὐτὸν τὸν κόσμον, ὅλα αὐτὰ ἦσαν γνωρίσματα ἐκείνων.

'Ωμίλησε διὰ τὰ οὐράνια πράγματα· ὁμιλεῖ τώρα καὶ διὰ τὰ ἐπίγεια, διότι εἰς μεγάλην τιμὴν εἶχον αὐτὰ οἱ 'Ιουδαῖοι. Ἔτσι καὶ ὁ Χριστὸς παρηγορῶν τοὺς μαθητάς του μετὰ τοὺς λόγους του, «Μακάριοι εἶναι ἐκεῖνοι ποὺ καταδιώκονται χάριν τῆς δικαιοσύνης, διότι ἡ βασιλεία τῶν οὐρανῶν εἶναι δική των»[1], προσθέτει καὶ τὸ μικρότερον ἀπὸ αὐτό· διότι «ἔτσι», λέγει, «κατεδίωξαν τοὺς προφήτας ποὺ ἔζησαν πρὶν ἀπὸ σᾶς»[2]. Αὐτὸ βεβαίως ὡς πρὸς τὸ μέγεθος εἶναι μικρότερον, ἀλλ' ὡς πρὸς τὸ ὅτι ὅμως εἶναι πλησίον εἰς τὴν πίστιν, μεγάλο καὶ ἀξιόλογον καὶ πολλὴν δύναμιν ἔχει.

Οὐκ εἶπε, κεχωρισμένοι, ἀλλ', «ἀπηλλοτριωμένοι τῆς πολιτείας». Οὐκ εἶπεν, οὐ προσέχοντες, ἀλλ', οὐδὲ μετέχοντες, καὶ ξένοι. Πολλὴ τῶν ρημάτων ἡ ἔμφασις, πολὺν δεικνῦσα τὸν χωρισμόν. Ἐπεὶ καὶ Ἰσραηλῖται τῆς πολιτείας ἦσαν ἐκτός, ἀλλ' οὐχ ὡς ἀλλότριοι, ἀλλ' ὡς ράθυμοι καὶ τῶν διαθηκῶν ἐξέπεσον, ἀλλ' οὐχ ὡς ξένοι, ἀλλ' ὡς ἀνάξιοι. Τίνες δὲ ἦσαν αἱ διαθῆκαι τῆς ἐπαγγελίας; «Σοὶ καὶ τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην», καὶ ὅσα ἕτερα ἐπηγγείλατο. «Ἐλπίδα», φησί, «μὴ ἔχοντες, καὶ ἄθεοι». «Καίτοι θεοὺς προσεκύνουν, ἀλλ' οὐκ ἦσαν· οὐ γάρ ἐστί τι εἴδωλον.

2. «Νυνὶ δὲ ἐν Χριστῷ Ἰησοῦ ὑμεῖς οἱ ποτὲ ὄντες μακράν, ἐγγὺς ἐγενήθητε ἐν τῷ αἵματι τοῦ Χριστοῦ. Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν, ὁ ποιήσας τὰ ἀμφότερα ἕν, καὶ τὸ μεσότοιχον τοῦ φραγμοῦ λύσας, τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ». Τοῦτο οὖν ἐστι τὸ μέγα, φησίν, ὅτι εἰς τὴν τῶν Ἰουδαίων πολιτείαν ἤλθομεν; Τί λέγεις; ἀνεκεφαλαιώσατο τὰ πάντα τὰ ἐν τοῖς οὐρανοῖς, καὶ τὰ ἐπὶ τῆς γῆς, καὶ νῦν περὶ Ἰσραηλιτῶν λέγεις; Ναί, φησίν. Ἐκεῖνα μὲν γὰρ τῇ πίστει χρὴ παραλαμβάνειν, ταῦτα δὲ καὶ τοῖς ἔργοις αὐτοῖς. «Νυνὶ δέ», φησίν, «ἐν Χριστῷ Ἰησοῦ ὑμεῖς οἱ ποτὲ ὄντες μακράν, ἐγγὺς ἐγενήθητε», πρὸς τὴν πολιτείαν. Τὸ γὰρ μακρὰν καὶ τὸ ἐγγύς, προαιρέσεώς ἐστι μόνης·

«Αὐτὸς γάρ ἐστιν ἡ εἰρήνη ἡμῶν ὁ ποιήσας τὰ ἀμφότερα ἕν». Τί ἐστι, «τὰ ἀμφότερα ἕν»; Οὐ τοῦτο λέγει, ὅτι εἰς ἐκείνην τὴν εὐγένειαν ἡμᾶς ἤγαγεν, ἀλλ' ὅτι καὶ ἡμᾶς κἀκείνους εἰς μείζονα· πλὴν ἡμῶν μείζων ἡ εὐεργεσία. Τοῖς μὲν γὰρ καὶ ἐπήγγελτο, καὶ ἐγγυτέρω ἦσαν· ἡμῖν δὲ οὐδὲ

---

4. Γεν. 13, 15.
5. Ἐφεσ. 2, 13-15.

῎Αρα αὐτὴ ἦτο ἡ πολιτεία των. Δὲν εἶπε, κεχωρισμένοι, ἀλλ' «ἀποξενωμένοι ἀπὸ τὴν πολιτείαν τοῦ 'Ισραήλ». Δὲν εἶπεν ὅτι δὲν προσεῖχον, ἀλλ' οὔτε κἂν μετεῖχον καὶ ἦσαν ξένοι. Εἶναι μεγάλη ἡ ἔμφασις εἰς τοὺς λόγους, ἡ ὁποία δεικνύει μεγάλον τὸν χωρισμόν. Διότι καὶ οἱ 'Ισραηλῖται ἦσαν ἐκτὸς τῆς πολιτείας, ὄχι ὅμως ὡς ξένοι, ἀλλ' ὡς ράθυμοι καὶ ἐπειδὴ ἐξέπεσον ἀπὸ τὰς διαθήκας, πάντως ὄχι ὡς ξένοι, ἀλλ' ὡς ἀνάξιοι. Ποῖαι δὲ ἦσαν αἱ διαθῆκαι τῆς ἐπαγγελίας; «῞Ολην τὴν γῆν ταύτην θὰ δώσω εἰς ἐσένα καὶ εἰς τοὺς ἀπογόνους σου»[4], καὶ ὅσα ἄλλα ὑπεσχέθη. «Χωρὶς νὰ ἔχετε ἐλπίδα», λέγει, «καὶ ἄθεοι». ῎Αν καὶ προσεκύνουν θεούς, ὅμως δὲν ὑπῆρχαν αὐτοί· διότι δὲν εἶναι τίποτε τὸ εἴδωλον.

2. «'Αλλὰ τώρα διὰ τοῦ 'Ιησοῦ Χριστοῦ σεῖς, ποὺ κάποτε ἤσασθε μακρυά, ἤλθατε πλησίον διὰ τοῦ αἵματος τοῦ Χριστοῦ. Διότι αὐτὸς εἶναι ἡ εἰρήνη μας, ὁ ὁποῖος συνήνωσε τὰ δύο μέρη καὶ κατέρριψε τὸ μεσότοιχον τοῦ φραγμοῦ, δηλαδὴ τὴν ἔχθραν, καταργήσας διὰ τῆς σαρκός του τὸν νόμον τῶν ἐντολῶν ποὺ συνίστατο εἰς διαταγάς»[5]. Αὐτὸ εἶναι λοιπὸν τὸ μεγάλο, λέγει, τὸ ὅτι ἤλθομεν δηλαδὴ εἰς τὴν πολιτείαν τῶν 'Εβραίων; Τί λέγεις; 'Ανεκεφαλαίωσε τὰ πάντα, ὅσα εἶναι εἰς τὸν οὐρανὸν καὶ εἰς τὴν γῆν, καὶ ὁμιλεῖς διὰ τοὺς 'Ισραηλίτας τώρα; Ναί, λέγει. Διότι ἐκεῖνα μὲν πρέπει νὰ τὰ παραλαμβάνωμεν μὲ τὴν πίστιν, ἐνῷ αὐτὰ καὶ μὲ τὰ ἴδια μας τὰ ἔργα. «Τώρα ὅμως», λέγει, «διὰ τοῦ 'Ιησοῦ Χριστοῦ σεῖς, ποὺ κάποτε ἤσασθε μακρυά, ἤλθατε πλησίον», πρὸς τὴν πολιτείαν. Διότι τὸ μακρὰν καὶ τὸ πλησίον ἐξαρτᾶται μόνον ἀπὸ τὴν προαίρεσιν.

«Διότι αὐτὸς εἶναι ἡ εἰρήνη μας, ὁ ὁποῖος συνήνωσε τὰ δύο μέρη». Τί σημαίνει «συνήνωσε τὰ δύο μέρη»; Δὲν λέγει αὐτό, ὅτι μᾶς ὡδήγησεν εἰς ἐκείνην τὴν εὐγένειαν, ἀλλ' ὅτι καὶ ἐμᾶς καὶ ἐκείνους μᾶς ὡδήγησεν εἰς μεγαλυτέραν εὐγένειαν· ἀλλ' ἡ εὐεργεσία εἰς ἐμᾶς εἶναι μεγαλυτέρα. Διότι εἰς μὲν τοὺς 'Ιουδαίους καὶ ὑπεσχέθη καὶ πλησιέστε-

ἐπήγγελτο, καὶ πορρωτέρω ἦμεν· Διό φησι· «Τὰ δὲ ἔθνη ὑπὲρ ἐλέους δοξάσαι τὸν Θεόν». Ἐπηγγείλατο μὲν τοῖς Ἰσραηλίταις, ἀλλὰ ἀνάξιοι ἦσαν· τούτοις δὲ οὐδὲ ἐπηγγείλατο, ἀλλὰ ξένοι ἦμεν, οὐδὲν κοινὸν εἴχομεν πρὸς αὐτούς· καὶ ἐποίησεν ἡμᾶς ἕν, οὐχ ἡμᾶς ἐκείνοις συνάψας, ἀλλὰ καὶ ἐκείνους καὶ ἡμᾶς εἰς ἓν συνάψας.

Ὑπόδειγμα δὲ ἐρῶ· ὑποθώμεθα εἶναι ἀνδριάντας δύο, τὸν μὲν ἐξ ἀργύρου, τὸν δὲ ἐκ μολύβδου, εἶτα ἀμφοτέρους καταχωνευθέντας, ἀνελθεῖν χρυσοῦς τοὺς δύο. Ἰδοὺ τοὺς δύο ἓν ἐποίησεν. Ἢ καὶ ἑτέρως· ἔστω ὁ μὲν δοῦλος, ὁ δὲ υἱοποίητος· ἀμφότεροι δὲ αὐτῷ προσκρουσάτωσαν, ὁ μὲν ἀποκήρυκτος ὢν παῖς, ὁ δὲ δραπέτης, καὶ οὐδὲ ἐγνωκὼς τὸν πατέρα· εἶτα ἀμφότεροι γινέσθωσαν κληρονόμοι καὶ γνήσιοι παῖδες. Ἰδοὺ εἰς μίαν ἤχθησαν τὴν τιμήν· οἱ δύο γεγόνασιν ἕν, ὁ μὲν πόρρωθεν ἐλθών, ὁ δὲ ἐγγύθεν, καὶ μᾶλλον ἢ πρὶν ἢ προσκροῦσαι γνησιώτερος.

«Τὸ μεσότοιχον», φησί, «τοῦ φραγμοῦ λύσας». Ποῖόν ἐστι τὸ μεσότοιχον; «Τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας». Τινὲς μέν φασιν, ὅτι μεσότοιχον τῶν Ἰουδαίων πρὸς τοὺς Ἕλληνας, ὅτι οὐκ ἀφίησιν αὐτοὺς ἀναμίγνυσθαι. Ἐμοὶ δὲ οὐ τοῦτο δοκεῖ· ἀλλὰ τὸ μεσότοιχον τοῦτο κοινὸν εἶναι, τὴν ἔχθραν ἐν τῇ σαρκί· τοῦτο μεσότοιχον ἦν διαφράσσον, καθὼς ὁ προφήτης φησίν· «Οὐχὶ αἱ ἁμαρτίαι ὑμῶν διϊστῶσιν ἀνὰ μέσον ὑμῶν καὶ ἐμοῦ;». Μεσότοιχον ἦν ἡ ἔχθρα, ἣν καὶ πρὸς Ἰουδαίους εἶχε καὶ πρὸς Ἕλληνας· τοῦ δὲ νόμου ὄντος, οὐ μόνον οὐκ ἐλύετο, ἀλλὰ καὶ ηὔξετο· «Ὁ γὰρ νόμος», φησίν, «ὀργὴν κατεργά-

6. Ρωμ. 15, 9.
7. Ἠσ. 59, 2.

ρον ἦσαν· ἐνῷ εἰς ἐμᾶς οὔτε ὑπεσχέθη οὔτε εἴμεθα πλησίον, ἀλλὰ μακρύτερον. Διὰ τοῦτο λέγει· «Τὰ δὲ ἔθνη νὰ δοξάσουν τὸν Θεὸν διὰ τὴν εὐσπλαγχνίαν του πρὸς αὐτά»[6]. Ὑπεσχέθη μὲν εἰς τοὺς Ἰσραηλίτας, ἀλλ' ἦσαν ἀνάξιοι· ἐνῷ εἰς ἡμᾶς οὔτε ὑπεσχέθη, ἀλλ' ἤμεθα ξένοι, τίποτε κοινὸν δὲν εἴχομεν πρὸς αὐτούς· καὶ μᾶς ἔκανε ἕν, ὄχι μὲ τὸ νὰ συνάψῃ ἐμᾶς μὲ ἐκείνους, ἀλλὰ ἀφοῦ συνήνωσε καὶ ἐκείνους καὶ ἐμᾶς εἰς ἕν.

Θ' ἀναφέρω δὲ ἕνα παράδειγμα· ἂς ὑποθέσωμεν ὅτι ὑπάρχουν δύο ἀγάλματα, τὸ μὲν ἀπὸ ἄργυρον, τὸ δὲ ἀπὸ μόλυβδον, ὕστερον, ἀφοῦ ἀνελύθησαν τελείως καὶ τὰ δύο εἰς τὸ χωνευτήριον, βγαίνουν ἀπὸ ἐκεῖ χρυσᾶ καὶ τὰ δύο. Ἰδού, ἔκανε τὰ δύο ἕνα. Ἢ καὶ ἀλλοιῶς· ἂς ὑποθέσωμεν ὅτι ὁ μὲν εἶναι δοῦλος, ὁ δὲ υἱοθετημένος· ἀφοῦ συνεκρούσθησαν δὲ καὶ οἱ δύο μὲ τὸν πατέρα, ὁ μέν, ἐνῷ ἦτο παιδί του, ἀποκηρύσσεται, ὁ δὲ ἄλλος ἐδραπέτευσε καὶ οὔτε ἐγνώρισε τὸν πατέρα· ὕστερον γίνονται καὶ οἱ δύο κληρονόμοι καὶ γνήσια τέκνα. Ἰδού, ὡδηγήθησαν εἰς τὴν αὐτὴν τιμήν· οἱ δύο ἔγιναν ἕν, ὁ μὲν ἀφοῦ ἦλθεν ἀπὸ μακρυά, ὁ δὲ ἀπὸ πλησίον, καὶ περισσότερον γνησιώτερος ἀπὸ ὅ,τι ἦτο πρὶν ἔλθῃ εἰς σύγκρουσιν.

«Καὶ κατέρριψε», λέγει, «τὸ μεσότοιχον τοῦ φραγμοῦ». Ποῖον εἶναι τὸ μεσότοιχον; «Δηλαδὴ τὴν ἔχθραν, καταργήσας διὰ τῆς σαρκός του τὸν νόμον τῶν ἐντολῶν ποὺ συνίστατο εἰς διαταγάς». Ὡρισμένοι ἰσχυρίζονται, ὅτι ἐννοεῖ τὸ μεσότοιχον μεταξὺ Ἰουδαίων καὶ Ἑλλήνων, ὅτι δὲν ἐπιτρέπει εἰς αὐτοὺς ν' ἀναμιχθοῦν. Ἐγὼ ὅμως δὲν νομίζω αὐτό· αὐτὸ τὸ μεσότοιχον ἦτο ἐκεῖνο τὸ ὁποῖο ἐχώριζε διὰ φραγμοῦ, ὅπως λέγει ὁ προφήτης· «Μήπως δὲν ὑπῆρξαν αἱ ἀνομίαι σας φραγμὸς ἀνάμεσα εἰς ἐσᾶς καὶ τὸν Θεόν;»[7]. Μεσότοιχον ἦτο ἡ ἔχθρα, τὴν ὁποίαν εἶχε καὶ πρὸς τοὺς Ἰουδαίους καὶ πρὸς τοὺς ἐθνικούς· ἐφ' ὅσον δὲ ὑπῆρχεν ὁ νόμος, ὄχι μόνον δὲν κατηργεῖτο, ἀλλὰ καὶ ηὔξανε. «Διότι ὁ νόμος»,

ζεται». Ὥσπερ οὖν ἐκεῖ λέγων, «Ὁ νόμος ὀργὴν κατεργάζεται», οὐκ αὐτῷ τὸ πᾶν ἐπιγράφει, ἀλλ', ἐπειδὴ παρέβημεν, ὑπακούεται· οὕτω καὶ ἐνταῦθα μεσότοιχον αὐτόν φησιν, ἐπειδὴ παρακουόμενος ἔχθραν ἐποίει.

Φραγμὸς ὁ νόμος ἦν, ἀλλ' οὗτος ἐγένετο μὲν ἀσφαλείας ἕνεκεν· διὸ καὶ φραγμὸς ὠνόμαστο, ἵνα περιφράττῃ· ἄκουε γὰρ πάλιν τοῦ προφήτου λέγοντος· «Καὶ φραγμὸν αὐτῷ περιέθηκε»· καὶ πάλιν, «Καθεῖλες τὸν φραγμὸν αὐτῆς, καὶ τρυγῶσιν αὐτὴν πάντες οἱ παραπορευόμενοι τὴν ὁδόν»· ἐκεῖ τὴν ἀσφάλειάν φησι· καὶ πάλιν, «Καθελῶ τὸν φραγμὸν αὐτοῦ, καὶ ἔσται εἰς καταπάτημα»· καὶ πάλιν, «Νόμον εἰς βοήθειαν ἔδωκε»· καὶ πάλιν, «Ποιῶν ἐλεημοσύνην καὶ κρίσιν ὁ Κύριος ἐγνώρισε τὰ δικαιώματα αὐτοῦ τῷ Ἰσραήλ»· γέγονε δὲ μεσότοιχον, οὐκέτι αὐτοὺς ἐν ἀσφαλείᾳ καθιστῶν, ἀλλὰ χωρίζον αὐτοὺς ἀπὸ τοῦ Θεοῦ. Τοιοῦτον γὰρ τὸ μεσότοιχον τὸ ἀπὸ τοῦ φραγμοῦ.

Ποῖον δὲ τοῦτό ἐστι; «Τὴν ἔχθραν ἐν τῇ σαρκὶ αὐτοῦ, τὸν νόμον τῶν ἐντολῶν ἐν δόγμασι καταργήσας». Πῶς; Σφαγείς, καὶ λύσας ἐκεῖ τὴν ἔχθραν. Οὐ τούτῳ δὲ μόνον, ἀλλὰ καὶ τὸ φυλάξαι αὐτόν. Τί οὖν, εἰ τῆς προτέρας παραβάσεως ἀπηλλάγμεθα, πάλιν δὲ αὐτὸν ἀναγκαζόμεθα φυλάττειν; Πάλιν τὸ αὐτὸ ἦν· ἀλλὰ καὶ αὐτὸν ἔλυσε. «Τὸν νόμον τῶν ἐντολῶν», φησίν, «ἐν δόγμασι καταργήσας». Βαβαὶ τῆς φιλανθρωπίας· ἔδωκεν ἡμῖν νόμον, ἵνα φυλάττωμεν· ἐπειδὴ οὐκ ἐφυλάξαμεν, δέον κολασθῆναι, τὸν νόμον κατέλυσεν· ὡς ἂν εἴ τις παιδίον παραδοὺς παιδαγωγῷ, ἐπειδὴ μὴ ὑπακούοι,

8. Ρωμ. 4, 15.
9. Ἠσ. 5, 2.
10. Ψαλμ. 79, 13.
11. Ἠσ. 5, 5.
12. Ἠσ. 8, 20.
13. Ψαλμ. 102, 6-7.

λέγει, «δημιουργεῖ ὀργήν»[8]. Ὅπως ἀκριβῶς λοιπὸν ὅταν ἐκεῖ λέγῃ «Ὁ νόμος δημιουργεῖ ὀργήν», δὲν ἀποδίδει τὸ πᾶν εἰς αὐτόν, ἀλλ' ἐπειδὴ τὸν παρέβημεν, πείθεται εἰς αὐτόν· ἔτσι καὶ ἐδῶ ὀνομάζει αὐτὸν μεσότοιχον, ἐπειδὴ ὅταν παρηκούετο ἐδημιούργει ἔχθραν.

Φραγμὸς ἦτο ὁ νόμος, ἀλλ' αὐτὸς μὲν ἔγινε δι' ἀσφάλειαν· διὰ τοῦτο καὶ εἶχεν ὀνομασθῆ φραγμός, διὰ νὰ περιφράσσῃ· ἄκουε δηλαδὴ πάλιν τὸν προφήτην ὁ ὁποῖος λέγει· «καὶ ἔθεσα φραγμὸν γύρω ἀπὸ αὐτόν»[9]· καὶ πάλιν, «ἀφήρεσες τὸν φράκτην τῆς προστασίας σου ἀπὸ τὴν ἄμπελον, τὸν λαόν σου τοῦτον, καὶ τὸν τρυγοῦν ὅλοι οἱ διερχόμενοι διαβάται»[10]· ἐννοεῖ δηλαδὴ τὴν ἀσφάλειαν. Καὶ πάλιν, «Θὰ ἀφαιρέσω τὸν φραγμόν του, ὥστε νὰ ἐρημωθῇ»[11]· καὶ πάλιν, «διότι ἔδωσε νόμον πρὸς βοήθειαν»[12]· καὶ πάλιν, «ὁ Κύριος μόνον εἶναι ἐκεῖνος ὁ ὁποῖος κάμνει πολλὰ ἔργα ἐλέους καὶ οἰκτιρμῶν καὶ ἀποδίδει τὸ δίκαιον εἰς τοὺς ἀδικουμένους ἀθώους ἀνθρώπους. Αὐτὸς ἐφανέρωσε τὰ θελήματά του εἰς τοὺς Ἰσραηλίτας»[13]. Ἔγινε δὲ μεσότοιχον, ὄχι διὰ ν' ἀσφαλίζῃ αὐτούς, ἀλλὰ διὰ νὰ χωρίζῃ αὐτοὺς ἀπὸ τὸν Θεόν. Τέτοιο λοιπὸν ἦτο τὸ μεσότοιχον τὸ ὁποῖο ἦτο φραγμός.

Ποῖον δὲ εἶναι τοῦτο; «Καταργήσας διὰ τῆς σαρκός του τὸν νόμον τῶν ἐντολῶν ποὺ συνίστατο εἰς διαταγάς». Πῶς; Ἀφοῦ ἐσφάγη καὶ κατήργησεν ἐκεῖ τὴν ἔχθραν. Ὄχι μόνον δὲ μὲ αὐτό, ἀλλὰ καὶ μὲ τὸ νὰ τηρήσῃ τὸν νόμον. Τί λοιπόν, ἐὰν ἀπηλλάγημεν ἀπὸ τὴν προηγουμένην παράβασιν, πάλιν εἴμεθα ὑποχρεωμένοι νὰ τηρῶμεν αὐτόν; Πάλιν τὸ ἴδιον ἦτο· ἀλλὰ καὶ αὐτὸν τὸν κατήργησεν. «Ἀφοῦ κατήργησε», λέγει, «τὸν νόμον τῶν ἐντολῶν, ποὺ συνίστατο εἰς διαταγάς». Ὤ, ἄπειρος φιλανθρωπία! Ἔδωκεν εἰς ἐμᾶς νόμον διὰ νὰ τὸν τηρῶμεν· ἐπειδὴ δὲν τὸν ἐτηρήσαμεν καὶ ἔπρεπε νὰ τιμωρηθῶμεν, κατήργησε τὸν νόμον· ὅπως ἐὰν κάποιος ἀφοῦ παραδώσῃ τὸ παιδί του εἰς παιδαγωγόν, ἐπει-

καὶ τοῦ παιδαγωγοῦ ἐλεύθερον ποιήσειε, καὶ ἀπαγάγοι. Πόσης τοῦτο φιλανθρωπίας;

Τί ἐστιν, «ἐν δόγμασι καταργήσας»; Πολλὴν γὰρ ἐνταῦθα διαφοράν φησιν ἐντολῆς καὶ δογμάτων. Ἢ τὴν πίστιν φησί, δόγμα αὐτὴν καλῶν· ἀπὸ γὰρ πίστεως μόνης ἔσωσεν· ἢ τὴν παραγγελίαν, καθὼς ἔλεγεν ὁ Χριστός· «Ἐγὼ δὲ λέγω ὑμῖν, μηδὲ ὀργισθῆναι ὅλως». Τουτέστιν, «Ἐὰν πιστεύσῃς, ὅτι ὁ Θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν, σωθήσῃ». Καὶ πάλιν, «Ἐγγύς σου τὸ ῥῆμά ἐστιν ἐν τῷ στόματί σου, καὶ ἐν τῇ καρδίᾳ σου. Μὴ εἴπῃς, τίς ἀναβήσεται εἰς τὸν οὐρανὸν ἢ τίς καταβήσεται εἰς τὴν ἄβυσσον ἢ τίς αὐτὸν ἀνήγαγεν ἐκ νεκρῶν;». Ἀντὶ βίου πίστιν εἰσήγαγεν. Ἵνα γὰρ μὴ εἰκῇ σώσῃ, καὶ αὐτὸς ἐκολάσθη, καὶ ἀπήτησεν αὐτοὺς τὴν πίστιν διὰ δογμάτων.

3. «Ἵνα τοὺς δύο κτίσῃ ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον»· Ὁρᾷς οὐχὶ τὸν Ἕλληνα γενόμενον Ἰουδαῖον, ἀλλὰ καὶ τοῦτον κἀκεῖνον εἰς ἑτέραν κατάστασιν ἥκοντας; οὐχ ἵνα τοῦτον ἕτερον ἐργάσηται, ἀλλὰ τοὺς δύο κτίσῃ. Καὶ καλῶς πανταχοῦ τῷ ὀνόματι κέχρηται τῷ «κτίσῃ», καὶ οὐκ εἶπε,, μεταβάλῃ, ἵνα δείξῃ τὸ ἐνεργὲς τοῦ γενομένου, καὶ ὅτι εἰ καὶ ἀόρατον ἡ κτίσις, ἀλλ' ἐκείνης οὐκ ἐλάττων, καὶ ὅτι ὡς ἀπὸ φυσικῶν πραγμάτων ἀποπηδᾶν ἡμᾶς οὐ χρὴ λοιπόν. «Ἵνα τοὺς δύο», φησί, «κτίσῃ ἐν ἑαυτῷ»· τουτέστι, δι' ἑαυτοῦ. Οὐκ ἄλλῳ τοῦτο ἐπέταξεν, ἀλλὰ δι' ἑαυτοῦ καὶ τοῦτον κἀκεῖνον

14. Ματθ. 5, 22.
15. Ρωμ. 10, 9.
16. Ρωμ. 10, 6-8.

δὴ δὲν ὑπακούει, τὸ ἐλευθερώνει καὶ ἀπὸ τὸν παιδαγωγόν, καὶ τὸ φέρει ὀπίσω. Πόσης φιλανθρωπίας δεῖγμα εἶναι αὐτό;

Τί σημαίνει «ἀφοῦ κατήργησε τὸν νόμον τῶν ἐντολῶν, ποὺ συνίστατο εἰς διαταγάς»; Διότι πολλὴν διαφορὰν παρουσιάζει ἐδῶ μεταξὺ ἐντολῆς καὶ διαταγῶν. Ἢ τὴν πίστιν λέγει, ὀνομάζων αὐτὴν διαταγήν, διότι μόνον ἀπὸ τὴν πίστιν ἔσωσεν· ἢ τὴν παραγγελίαν, ὅπως ἔλεγεν ὁ Χριστός· «Ἐγὼ ὅμως σᾶς λέγω, ὅτι ὅποιος ὀργίζεται ἐναντίον τοῦ ἀδελφοῦ του χωρὶς λόγον, πρέπει νὰ δικασθῇ»[14]. Δηλαδή, «Ἐὰν πιστέψῃς μὲ τὴν καρδίαν σου ὅτι ὁ Θεὸς τὸν ἀνέστησεν ἐκ νεκρῶν, θὰ σωθῇς»[15]. Καὶ πάλιν, «Μὴ εἴπῃς εἰς τὴν καρδίαν σου ποῖος θ' ἀνεβῇ εἰς τὸν οὐρανόν; διὰ νὰ κατεβάσῃ δηλαδὴ τὸν Χριστόν, ἢ ποῖος θὰ κατεβῇ εἰς τὴν χώραν τῶν νεκρῶν; διὰ ν' ἀνεβάσῃ δηλαδὴ τὸν Χριστὸν ἀπὸ τοὺς νεκρούς. Ἀλλὰ τί λέγει; Κοντά σου εἶναι ὁ λόγος, εἶναι εἰς τὸ στόμα σου καὶ εἰς τὴν καρδίαν σου»[16]. Ἔδωσε πίστιν, διὰ νὰ λάβωμεν ζωήν. Διὰ νὰ ἀποβῇ δηλαδὴ ματαία ἡ σωτηρία, καὶ ὁ ἴδιος ἐβασανίσθη καὶ ἐζήτησεν ἀπὸ αὐτοὺς τὴν πίστιν διὰ δογμάτων.

3. «Διὰ νὰ δημιουργήσῃ εἰς τὸν ἑαυτόν του, ἀπὸ τὰ δύο μέρη, ἕνα νέον ἄνθρωπον». Βλέπεις ὅτι δὲν ἔγινεν ὁ Ἕλλην Ἰουδαῖος, ἀλλὰ καὶ αὐτὸς καὶ ἐκεῖνος ἦλθον εἰς ἄλλην κατάστασιν; Ὄχι διὰ νὰ κάνῃ τὸν ἕνα ὡσὰν τὸν ἄλλον, ἀλλὰ καὶ τοὺς δύο νὰ δημιουργήσῃ. Καὶ ὀρθῶς χρησιμοποιεῖ παντοῦ τὴν λέξιν «δημιουργήσῃ», καὶ δὲν λέγει, μεταβάλῃ, διὰ νὰ δείξῃ τὸ ἀποτέλεσμα τῆς ἐνεργείας του, καὶ ὅτι ἂν καὶ εἶναι ἀόρατος ἡ δημιουργία, δὲν εἶναι ὀλιγώτερον ἀληθινὴ ἐκείνης, καὶ ὅτι δὲν πρέπει νὰ ἀπιστῶμεν, ὁρμώμενοι ἀπὸ τὰ πράγματα τῆς φύσεως. «Διὰ νὰ δημιουργήσῃ», λέγει, «ἀπὸ τὰ δύο μέρη, εἰς τὸν ἑαυτόν του, ἕνα ἄνθρωπον»· δηλαδή, διὰ τοῦ ἑαυτοῦ του. Δὲν διέταξεν αὐτὸ εἰς ἄλλον, ἀλλὰ διὰ τοῦ ἑαυτοῦ του, ἀφοῦ ἔλειωσεν ὡσὰν μέσα εἰς χωνευτήριον καὶ αὐτὸν καὶ ἐκεῖνον, ἔβγαλεν ἀπὸ μέσα ἕνα

χωνεύσας, ἕνα ἀνήνεγκε θαυμαστόν, αὐτὸς τοῦτο πρῶτον γενόμενος· ὅπερ τῆς προτέρας κτίσεώς ἐστι μεῖζον.

Τοῦτο γάρ ἐστιν, «ἐν ἑαυτῷ», αὐτὸς πρῶτος τύπον παρασχὼν καὶ ὑπόδειγμα. Ἔνθεν γὰρ τὸν Ἰουδαῖον κατασχών, κἀκεῖθεν τὸν Ἕλληνα, καὶ μέσος αὐτὸς γενόμενος, καὶ συμμίξας αὐτούς, καὶ πᾶν αὐτῶν τὸ ἀπηλλοτριωμένον ἀφανίσας, ἀνέπλασεν ἄνωθεν διὰ πυρὸς καὶ ὕδατος· οὐκέτι δι' ὕδατος καὶ γῆς, ἀλλὰ δι' ὕδατος καὶ πυρός. Γέγονεν Ἰουδαῖος περιτμηθείς, γέγονεν ἐπικατάρατος, γέγονεν Ἕλλην ἐκτὸς νόμου καὶ ὑπὲρ Ἕλληνας καὶ Ἰουδαίους. «Εἰς ἕνα καινὸν ἄνθρωπον», φησί, «ποιῶν εἰρήνην»· εἰρήνην αὐτοῖς πρὸς τὸν Θεόν, ἢ καὶ πρὸς ἀλλήλους. Οὐ γὰρ ἂν μένοντες καὶ Ἰουδαῖοι καὶ Ἕλληνες κατηλλάγησαν ἄν, καὶ μὴ ἀπαλλαγέντες τῆς οἰκείας καταστάσεως ἕκαστος, εἰς ἑτέραν μείζονα ἦλθον. Ὁ γὰρ Ἰουδαῖος τότε τῷ Ἕλληνι συνάπτεται, ὅταν πιστὸς γένηται· ὡς ἂν εἴ τινες, δύο οἰκημάτων ὄντων κάτωθεν, καὶ ἄνωθεν ἑνὸς θαυμαστοῦ καὶ μεγάλου, οὐκ ἂν δυνηθεῖεν ἀλλήλους ἰδεῖν, ἕως ἂν ἄνω γένωνται.

«Ποιῶν εἰρήνην»· μᾶλλον πρὸς τὸν Θεόν· τὸ γὰρ ἑξῆς τοῦτο δηλοῖ. Τί γάρ φησι; «Καὶ ἀποκαταλλάξῃ τοὺς ἀμφοτέρους ἐν ἑνὶ σώματι τῷ Θεῷ διὰ τοῦ σταυροῦ». Οὐκ εἶπε, καταλλάξῃ, ἀλλ', «ἀποκαταλλάξῃ», δεικνὺς ὅτι πρὸ τούτου ἡ ἀνθρωπίνη φύσις ἀκατάλλακτος ἦν, οἷον ἐπὶ τῶν ἁγίων καὶ πρὸ τοῦ νόμου. «Ἐν ἑνὶ σώματι», φησί, τῷ αὐτοῦ, «τῷ Θεῷ». Πῶς τοῦτο γίνεται; Τὴν ὀφειλομένην δίκην, φησίν, αὐτὸς ὑποστάς. «Διὰ τοῦ σταυροῦ, ἀποκτείνας τὴν ἔχθραν ἐν αὐτῷ». Οὐδὲν κυριώτερον τῶν λέξεων, οὐδὲν ἐμφαντικώτερον.

Ὁ θάνατος αὐτοῦ, φησί, τὴν ἔχθραν ἀπέκτεινεν, ἔτρωσε καὶ ἀπώλεσεν, οὐχ ἑτέρῳ ἐπιτάξας, οὐδ' ἐνεργήσας μόνον,

---

17. Ἐφεσ. 2, 16.

θαυμαστόν, ἀφοῦ ὑπέστη αὐτὸς πρῶτος αὐτό· πρᾶγμα τὸ ὁποῖον εἶναι μεγαλύτερον τῆς προηγουμένης δημιουργίας.

Αὐτὸ λοιπὸν σημαίνει «εἰς τὸν ἑαυτόν του», ὅτι αὐτὸς ἔδωσε πρῶτος τύπον καὶ παράδειγμα. Διότι κρατῶν ἀπὸ ἐδῶ τὸν Ἰουδαῖον καὶ ἀπὸ ἐκεῖ τὸν Ἕλληνα, καὶ ἀφοῦ ἐστάθη ἐκεῖνος εἰς τὸ μέσον καὶ ἀνέμιξεν αὐτοὺς καὶ ἠφάνισε κάθε τι ξένον, ἀνέπλασεν διὰ πυρὸς καὶ ὕδατος τὸν νέον ἄνθρωπον. Ὄχι δι' ὕδατος καὶ γῆς, ἀλλὰ δι' ὕδατος καὶ πυρός. Ἔγινεν Ἰουδαῖος περιτμηθείς, ἔγινεν ἐπικατάρατος, ἔγινεν Ἕλλην ἐκτὸς νόμου, καὶ ὑπεράνω τῶν Ἑλλήνων καὶ τῶν Ἰουδαίων. «Ἕνα νέον ἄνθρωπον», λέγει, «διὰ νὰ φέρῃ εἰρήνην»· εἰρήνην εἰς αὐτοὺς πρὸς τὸν Θεὸν ἢ καὶ μεταξύ των. Διότι ἐὰν παρέμενον Ἰουδαῖοι καὶ εἰδωλολάτραι, δὲν θὰ συνεφιλιώνοντο, καὶ χωρὶς ν' ἀπαλλαγῇ ἀπὸ τὴν ἰδικήν του κατάστασιν ὁ καθείς, ἦλθον εἰς ἄλλην μεγαλυτέραν. Διότι ὁ Ἰουδαῖος τότε συνάπτεται μὲ τὸν Ἕλληνα, ὅταν γίνεται πιστός· ὅπως ἐὰν κάποιοι, ἐνῷ ὑπῆρχον κάτω δύο οἰκήματα καὶ ἕνα ἄνω, μεγάλο καὶ θαυμαστόν, δὲν θὰ ἦτο δυνατὸν νὰ ἰδωθοῦν μεταξύ των, ἕως ὅτου εὑρεθοῦν ἐπάνω.

«Καὶ νὰ φέρῃ εἰρήνην»· μᾶλλον μὲ τὸν Θεόν· διότι τὰ ἑπόμενα αὐτὸ φανερώνουν. Τί λέγει δηλαδή; «Καὶ νὰ συμφιλιώσῃ πάλιν μὲ τὸν Θεὸν καὶ τὰ δύο μέρη εἰς ἓν σῶμα διὰ τοῦ σταυροῦ»[17]. Δὲν εἶπε νὰ συμφιλιώσῃ, ἀλλὰ «νὰ συμφιλιώσῃ πάλιν», δεικνύων ὅτι πρὶν ἀπὸ αὐτὸ ἡ ἀνθρωπίνη φύσις ἦτο ἀσυμφιλίωτος, ὅπως μὲ τοὺς ἁγίους καὶ πρὶν ἀπὸ τὸν νόμον. «Εἰς ἓν σῶμα», δηλαδὴ τὸ ἰδικόν του, «μὲ τὸν Θεόν». Πῶς γίνεται αὐτό; Ἀφοῦ ὑπέστη, λέγει, αὐτὸς τὴν ὀφειλομένην τιμωρίαν. «Διὰ τοῦ σταυροῦ, διὰ τοῦ ὁποίου ἐθανάτωσε τὴν ἔχθραν». Δὲν ὑπάρχει τίποτε κυριολεκτικώτερον καὶ ἐμφαντικώτερον ἀπὸ αὐτοὺς τοὺς λόγους.

Ὁ θάνατός του, λέγει, ἐθανάτωσε τὴν ἔχθραν, τὴν ἐπλήγωσε θανασίμως καὶ τὴν ἠφάνισεν, ὄχι μὲ τὸ νὰ προστάξῃ ἄλλον, οὔτε μὲ τὸ νὰ ἐνεργήσῃ μόνον, ἀλλὰ καὶ μὲ τὸ

ἀλλὰ καὶ παθών. Οὐκ εἶπε, λύσας, οὐκ εἶπεν, ἀνελών, ἀλλ', ὃ πάντων σφοδρότερον ἦν, «ἀποκτείνας», ὥστε μηκέτι αὐτὴν ἀναστῆναι. Πῶς οὖν ἀνίσταται; Ἀπὸ τῆς πολλῆς ἡμῶν κακίας. Ἕως ἂν μένωμεν ἐν τῷ σώματι τοῦ Χριστοῦ, ἕως ἂν ὦμεν ἡνωμένοι, οὐκ ἀνίσταται, ἀλλὰ κεῖται νεκρά· μᾶλλον δὲ ἐκείνη οὐδέποτε ἀνίσταται· κἂν ἑτέραν τέκωμεν, οὐκέτι παρὰ τὸν τὴν προτέραν ἀνελόντα καὶ ἀπολέσαντα, σὺ δὲ ὠδίνεις ἑτέραν. «Τὸ γὰρ φρόνημα τῆς σαρκός», φησίν, «ἔχθρα εἰς Θεόν». Ἂν μηδὲν φρονῶμεν σαρκικόν, οὐ τεχθήσεται ἑτέρα, ἀλλὰ μενεῖ ἡ εἰρήνη ἐκείνη.

4. «Ἐννόησον γὰρ ὅσον ἐστὶ κακόν, τοσαῦτα τοῦ Θεοῦ πραγματευσαμένου, ἵνα καταλλαγῶμεν, καὶ ἀνύσαντος, πάλιν ἡμᾶς εἰς ἔχθραν ἐπανελθεῖν. Ταύτην οὐκέτι λουτρόν, ἀλλ' ἡ γέεννα μένει, οὐκέτι ἄφεσις, ἀλλ' ἐξέτασις. Φρόνημα τῆς σαρκός, τρυφή, σπατάλη· φρόνημα τῆς σαρκός, πλεονεξία καὶ πᾶσα ἁμαρτία. Διὰ τί δὲ φρόνημα σαρκὸς εἴρηται; καίτοιγε οὐδὲν ἄνευ ψυχῆς εἰργάσατο ἄν. Οὐ διαβάλλων τὴν σάρκα λέγει, ἐπεὶ καὶ ὅταν λέγῃ «ψυχικὸς ἄνθρωπος», οὐ διαβάλλων τὴν ψυχὴν τοῦτό φησιν. Οὐ γὰρ ἀρκεῖ οὔτε σῶμα οὔτε ψυχὴ καθ' ἑαυτήν, μὴ τῆς ἄνωθεν ῥοπῆς ἀπολαύσασα, ποιῆσαί τι γενναῖον καὶ μέγα. Διὰ τοῦτο ψυχικὰ ἐκεῖνα καλεῖ, ἃ καθ' ἑαυτὴν ἡ ψυχὴ ἐργάζεται· καὶ σαρκικὰ ἐκεῖνα καλεῖ, ἃ καθ' ἑαυτὸ τὸ σῶμα· οὐκ ἐπειδὴ ταῦτα φυσικά, ἀλλ' ἐπειδὴ μὴ ἀπολαύσαντα προστασίας τῆς ἐκεῖθεν, ἀπόλλυται. Ἐπεὶ καὶ οἱ ὀφθαλμοὶ καλοί, ἀλλ' ἄνευ φωτὸς μυρία ἐργάζονται κακά· τοῦτο δὲ τῆς ἀσθενείας αὐτῶν ἐστιν, οὐ τῆς φύσεως. Εἰ δὲ

18. Ρωμ. 8, 7.
19. Α' Κορ. 2, 14.

νὰ πάθῃ. Δὲν εἶπε, τὴν κατέλυσεν, οὔτε εἶπε, τὴν κατήργησεν, ἀλλὰ «τὴν ἐθανάτωσεν», ὥστε ποτὲ νὰ μὴ ἀναστηθῇ αὐτή. Πῶς λοιπὸν ἀνίσταται; Ἀπὸ τὴν πολλὴν κακίαν μας. Ἐφ' ὅσον μένωμεν εἰς τὸ σῶμα τοῦ Χριστοῦ, ἐφ' ὅσον εἴμεθα ἡνωμένοι, δὲν ἀνίσταται, ἀλλ' εὑρίσκεται νεκρά· μᾶλλον δὲ ἐκείνη δὲν ἀνίσταται ποτέ· καὶ ἂν γεννήσωμεν ἄλλην, δὲν εἶναι πάλιν ἐκείνη τὴν ὁποίαν κατήργησε καὶ ἐθανάτωσεν, ἀλλὰ σὺ γεννᾷς ἄλλην. «Διότι τὸ σαρκικὸν φρόνημα», λέγει, «εἶναι ἐχθρικὸν πρὸς τὸν Θεόν»[18]. Ἐὰν δὲν σκεπτώμεθα τίποτε τὸ σαρκικὸν δὲν θὰ γεννηθῇ ἄλλη, ἀλλὰ θὰ παραμείνῃ ἐκείνη ἡ εἰρήνη.

4. Ἀναλογίσου λοιπὸν πόσον κακὸν εἶναι, ἐνῷ ὁ Θεὸς ἐπραγματοποίησε καὶ ἐξετέλεσε τόσα διὰ νὰ συμφιλιωθῶμεν, νὰ ἐπιστρέψωμεν ἐμεῖς πάλιν εἰς ἔχθραν. Αὐτὴν ὄχι πλέον βάπτισμα καὶ κάθαρσις ἀλλ' ἡ γέεννα τὴν διαδέχεται, ὄχι πλέον ἄφεσις, ἀλλὰ ἔλεγχος καὶ καταδίκη. Φρόνημα σαρκικὸν εἶναι ἡ ἀπόλαυσις, ἡ σπατάλη· φρόνημα σαρκικὸν ἡ πλεονεξία καὶ κάθε ἁμαρτία. Διατί δὲ ὠνομάσθη σαρκικὸν φρόνημα; καθ' ὅσον βέβαια τίποτε δὲν εἶναι δυνατὸν νὰ διαπραχθῇ ἄνευ τῆς ψυχῆς. Δὲν τὸ λέγει διὰ νὰ κατηγορήσῃ τὴν σάρκα, ὅπως καὶ ὅταν λέγῃ «ὁ ψυχικὸς ἄνθρωπος»[19], δὲν τὸ λέγει διὰ νὰ κατηγορήσῃ τὴν ψυχήν. Διότι δὲν εἶναι ἀρκετὸν οὔτε τὸ σῶμα, οὔτε ἡ ψυχὴ ἀπὸ μόνη της, ἐὰν δὲν δεχθῇ τὴν πρὸς τὰ ἄνω κλίσιν, νὰ κάνῃ τίποτε εὐγενὲς καὶ μεγάλο. Διὰ τοῦτο ὀνομάζει ψυχικὰ ἐκεῖνα, τὰ ὁποῖα διαπράττει ἀπὸ μόνη της ἡ ψυχή. Καὶ σαρκικὰ ὀνομάζει ἐκεῖνα, τὰ ὁποῖα διαπράττει τὸ σῶμα ἀπὸ μόνον του. Καὶ καταστρέφονται, ὄχι διότι αὐτὰ εἶναι φυσικά, ἀλλὰ διότι δὲν ἐδέχθησαν τὴν προστασίαν ἀπὸ τὸν Θεόν. Διότι καὶ οἱ ὀφθαλμοὶ εἶναι καλοί, ἀλλὰ χωρὶς τὸ φῶς διαπράττουν ἄπειρα κακά· αὐτὸ δὲ ὀφείλεται εἰς τὴν ἀσθένειάν των, ὄχι εἰς τὴν φύσιν. Διότι, ἐὰν ἦσαν φυσικὰ κακά, δὲν θὰ τὰ ἐχρησιμοποιούσα-

φυσικὰ ἦν κακά, οὐκ ἂν αὐτοῖς ποτε εἰς δέον ἐχρησάμεθα. Οὐδὲν γάρ ἐστι φυσικὸν κακόν.

Τί οὖν φησι σαρκικὰ φρονήματα τὰς ἁμαρτίας; Ὅτι ὅταν αὕτη κρατήσῃ τοῦ ἡνιόχου, μετεωρισθεῖσα μυρία τίκτει δεινά. Ἀρετὴ γὰρ σαρκός, τὸ ὑποτετάχθαι τῇ ψυχῇ· κακία δέ, τὸ ἄρχειν ψυχῆς. Ὥσπερ οὖν ὁ ἵππος καλὸς καὶ εὐσκελής, ἀλλ' οὐκ ἄνευ ἡνιόχου τοῦτο δείκνυται· οὕτω καὶ ἡ σάρξ, ὅταν αὐτῆς τὰ σκιρτήματα περικόψωμεν. Ἀλλ' οὐδὲ ἡνίοχος δείκνυται ἄνευ ἐπιστήμης· καὶ γὰρ καὶ αὐτὸς ἐκείνων δεινότερα ἐργάζεται. Ὥστε πανταχόθεν ἐφεστάναι χρὴ τὸ πνεῦμα. Τοῦτο ἐφεστώς, τὸν ἡνίοχον ἰσχυρότερον ποιεῖ· τοῦτο καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα καλλωπίζει. Καθάπερ γὰρ ἡ ψυχὴ ἐνοῦσα μὲν αὐτῷ, καλὸν αὐτὸ δείκνυσιν, ὅταν δὲ αὐτὸ ἐρημώσῃ τῆς οἰκείας ἐνεργείας καὶ ἀποστῇ, καθάπερ ζωγράφου τινὸς τὰ χρώματα συγχέοντος, εἰδέχθεια γίνεται πολλή, πρὸς τὴν φθορὰν ἐπειγομένου τῶν μερῶν ἑκάστου, καὶ τὴν ἀνάλυσιν· οὕτω καὶ τὸ πνεῦμα ὅταν ἔρημον καταλίπῃ καὶ τὸ σῶμα καὶ τὴν ψυχήν, χείρων γίνεται καὶ μείζων ἡ εἰδέχθεια.

Μὴ τοίνυν, ἐπειδὴ τῆς ψυχῆς ἔλαττον τὸ σῶμα, κάκιζε τοῦτο. Οὐδὲ γὰρ ἐγὼ τὴν ψυχὴν κακίζειν ἀνέχομαι, ἐπειδὴ τοῦ πνεύματος οὐδὲν ἰσχύει χωρίς. Εἰ δὲ χρή τι εἰπεῖν, μείζονός ἐστι κατηγορίας ἀξία ἡ ψυχή. Τὸ μὲν γὰρ σῶμα οὐδὲν ἄνευ τῆς ψυχῆς εἰργάσατο ἂν δεινόν, ἡ δὲ ψυχὴ πολλὰ χωρὶς τοῦ σώματος. Καὶ γὰρ καὶ τηκομένου τούτου, καὶ οὐ σκιρτῶντος, πολλὰ ἐργάζεται ἐκείνη· καθάπερ οἱ γόητες ἐκεῖνοι, οἱ μάγοι, οἱ φαρμακοί, οἱ φθονοῦντες, μάλιστα τήκουσιν αὐτό. Ἄλλως δὲ οὐδὲ ἡ τρυφὴ τῆς τοῦ σώματος ἀνάγκης ἐστίν, ἀλλὰ τῆς ἀπροσεξίας τῆς ψυχῆς· ἡ γὰρ τροφή,

μεν ποτὲ ἐκεῖ ὅπου χρειάζονται. Διότι τίποτε δὲν εἶναι ἐκ φύσεως κακόν.

Διατί λοιπὸν ὀνομάζει τὰς ἁμαρτίας σαρκικὰ φρονήματα; Ἐπειδὴ ὅταν αὐτὴ ἐπικρατήσῃ εἰς ἐκεῖνον ὁ ὁποῖος κρατεῖ τὰ ἡνία, καὶ ὑψωθῇ εἰς τὴν ἐξουσίαν, γεννᾷ ἄπειρα κακά. Διότι ἀρετὴ τῆς σαρκὸς εἶναι τὸ νὰ ἔχῃ ὑποταχθῇ εἰς τὴν ψυχήν· κακία δέ, τὸ νὰ ἐξουσιάζῃ τὴν ψυχήν. Ὅπως ἀκριβῶς λοιπὸν ὁ ἵππος εἶναι καλὸς καὶ δυνατός, ἀλλὰ δὲν φαίνεται αὐτὸ χωρὶς ἡνίοχον, ἔτσι καὶ ἡ σὰρξ ὅταν τῆς περικόψωμεν τὰ σκιρτήματα πρὸς τὴν ἁμαρτίαν. Ἀλλ' οὔτε ὁ ἡνίοχος ἀναδεικνύεται χωρὶς γνῶσιν καὶ ἐμπειρίαν· διότι αὐτὸς ἔχει δυσκολώτερον ἔργον ἀπὸ τοὺς ἵππους. Πρέπει λοιπὸν νὰ γνωρίζῃ τὸ πνεῦμα ἀπ' ὅλα. Ὅταν αὐτὸ ἔχῃ γνῶσιν, κάνει ἰσχυρότερον τὸν ἡνίοχον· αὐτὸ καλλωπίζει καὶ τὴν ψυχὴν καὶ τὸ σῶμα. Διότι ὅπως ἀκριβῶς ὅταν ἡ ψυχὴ ἑνοῦται μὲ αὐτό, τὸ ἀναδεικνύει ὡραῖον, ἐνῷ ὅταν τὸ στερήσῃ τελείως ἀπὸ τὴν ἰδικήν της ἐνέργειαν καὶ ἀπομακρυνθῇ, τότε, ὅπως ὅταν ἕνας ζωγράφος ἀνακατεύῃ τὰ χρώματα, προκύπτει πολλὴ ἀσχημία, καὶ τὸ καθένα σπεύδει πρὸς τὴν φθορὰν καὶ τὴν διάλυσιν, ἔτσι καὶ ὅταν τὸ πνεῦμα ἐγκαταλείψῃ καὶ τὸ σῶμα καὶ τὴν ψυχήν, προκύπτει χειροτέρα καὶ μεγαλυτέρα ἀσχημία.

Μὴ λοιπὸν ἐπειδὴ τὸ σῶμα εἶναι κατώτερον τῆς ψυχῆς τὸ κακίζῃς. Διότι οὔτε τὴν ψυχὴν ἀνέχομαι ἐγὼ νὰ κακίζῃς, ἐπειδὴ δὲν ἠμπορεῖ τίποτε νὰ ἐπιτύχῃ χωρὶς τὸ πνεῦμα. Ἐὰν δὲ πρέπει νὰ εἴπωμεν κάτι, μεγαλυτέρας κατηγορίας εἶναι ἀξία ἡ ψυχή. Διότι τὸ μὲν σῶμα τίποτε κακὸν δὲν θὰ ἠδύνατο νὰ κάνῃ χωρὶς τὴν ψυχήν, ἐνῷ ἡ ψυχὴ πολλὰ χωρὶς τὸ σῶμα. Διότι καὶ ὅταν ἀκόμη λειώνῃ ἐκεῖνο καὶ δὲν σκιρτᾷ καθόλου, πολλὰ διαπράττει ἐκείνη· ὅπως ἐκεῖνοι οἱ μάγοι, οἱ γόητες, οἱ φαρμακευταί, οἱ φθονοῦντες, οἱ ὁποῖοι κατ' ἐξοχὴν ταλαιπωροῦν τὸ σῶμα. Ἄλλως τε, οὔτε ἡ ἀπόλαυσις ὀφείλεται εἰς ἀνάγκην τοῦ σώματος, ἀλλ' εἰς τὴν ἀπρο-

οὐχὶ ἡ τρυφή, τῆς τοῦ σώματος ἀνάγκης. Ἐὰν θελήσω σφοδρὸν καθεῖναι τὸν χαλινόν, ἐπεστόμισα τὸν ἵππον· τὸ δὲ σῶμα τὴν ψυχὴν καταστέλλειν οὐ δύναται ἐν τοῖς αὐτῆς κακοῖς.

Τίνος οὖν ἕνεκεν φρόνημα αὐτὸ σαρκὸς καλεῖ; Ὅτι τῆς σαρκὸς ὅλον γίνεται· Ὅταν γὰρ αὕτη κρατήσῃ, τότε ἥμαρτεν, ὅταν τὸν νοῦν ἀφέληται καὶ τὴν ἀρχὴν τῆς ψυχῆς. Οὐκοῦν ἐν τούτῳ ἡ ἀρετὴ τοῦ σώματος, ἐν τῷ εἴκειν τῇ ψυχῇ, ἐπεὶ καθ' ἑαυτὴν οὔτε κακὴ οὔτε καλή. Τί γὰρ ἂν ἐργάσαιτο τὸ σῶμα καθ' ἑαυτό; Ὥστε τῇ συναφείᾳ καλὸν τὸ σῶμα, διὰ τὴν ὑποταγήν· ἐπεὶ οὔτε καλόν, οὔτε κακόν, καὶ πρὸς τοῦτο δέ, καὶ πρὸς ἐκεῖνο ἐπιτήδειον, εἰς ἑκάτερα τὴν ῥοπὴν ἔχον. Τὸ σῶμα ἐπιθυμεῖ, ἀλλ' οὐ πορνείας οὐδὲ μοιχείας, ἀλλὰ μίξεως· τὸ σῶμα ἐπιθυμεῖ, οὐ τρυφῆς, ἀλλὰ τροφῆς, οὐ μέθης, ἀλλὰ ποτοῦ. Ὅτι γὰρ οὐχ ἡ μέθη τοῦ σώματός ἐστιν ἐπιθυμία, σκόπει πῶς οὐκ ἀντέχει λοιπόν, ὅταν ὑπερβῇς τὸ μέτρον, ὅταν τὰ ὅρια νικήσῃς.

Ταῦτα τοῦ σώματος· ἐπεὶ τὰ ἄλλα πάντα τῆς ψυχῆς ἐστιν, ὅταν εἰς σαρκικὰ καταφέρηται, ὅταν παχεῖα γένηται. Εἰ γὰρ καὶ καλὸν τὸ σῶμα, ἀλλὰ σφόδρα ἧττον τῆς ψυχῆς, ὥσπερ μόλυβδος χρυσοῦ, ἀλλ' ὅμως δεῖται καὶ τοῦ μολύβδου τοῦ συγκολλῶντος· οὕτω δεῖ καὶ τοῦ σώματος τῇ ψυχῇ· Ὥσπερ παιδίον ἐστὶν εὐγενὲς παιδαγωγοῦ δεόμενον. Ὥσπερ οὖν παιδικὰ πράγματα λέγομεν, οὐ τὴν ἡλικίαν διαβάλλοντες, ἀλλὰ τὰ κατ' αὐτήν· οὕτω καὶ περὶ τοῦ σώματος.

Ἀλλ' ἔνεστι μὴ εἶναι ἐν σαρκί, ἂν θέλωμεν, ὥσπερ οὐδὲ ἐν τῇ γῇ, ἀλλ' ἐν οὐρανοῖς καὶ ἐν Πνεύματι· Τὸ γὰρ εἶναί που, οὐχ οὕτω τῇ θέσει τῇ ἐν τῷ τόπῳ λέγεται, ὡς τῇ διαθέσει. Πολλοὺς γοῦν ὄντας που, λέγομεν μὴ εἶναι, λέγοντες,

σεξίαν τῆς ψυχῆς· δηλαδὴ ἡ τροφή, ὄχι ἡ τρυφή, εἶναι ἀναγκαία διὰ τὸ σῶμα. Ἐὰν θελήσω νὰ τραβήξω μὲ ὁρμὴν τὸν χαλινόν, συνεκράτησα τὸν ἵππον· ἐνῷ τὸ σῶμα δὲν ἠμπορεῖ νὰ συγκρατήσῃ τὴν ψυχὴν εἰς τὰ πάθη της.

Διατί λοιπὸν καλεῖ αὐτὸ σαρκικὸν φρόνημα; Διότι γίνεται ὁλόκληρον τῆς σαρκός. Ὅταν δηλαδὴ ἐπικρατήσῃ ἡ σάρξ, τότε ἡμάρτησεν, ὅταν ἀφαιρέσῃ τὸν νοῦν καὶ τὴν ἐξουσίαν τῆς ψυχῆς. Λοιπὸν εἰς τοῦτο συνίσταται ἡ ἀρετὴ τοῦ σώματος, εἰς τὸ νὰ ὑπακούῃ εἰς τὴν ψυχήν, ἐπειδὴ αὐτὸ καθ' ἑαυτὸ δὲν εἶναι οὔτε καλόν, οὔτε κακόν. Διότι τί θὰ ἠμποροῦσε νὰ διαπράξῃ τὸ σῶμα ἀπὸ μόνον του; Ὥστε ὅταν εἶναι συνηνωμένον μὲ τὴν ψυχὴν εἶναι καλὸν τὸ σῶμα, λόγῳ τῆς ὑποταγῆς του εἰς τὴν ψυχήν· ἐπειδὴ μόνον του οὔτε καλὸν εἶναι οὔτε κακόν, ἀλλ' εἶναι κατάλληλον καὶ διὰ τοῦτο καὶ δι' ἐκεῖνο, ἔχον κλίσιν καὶ εἰς τὰ δύο. Τὸ σῶμα ἐπιθυμεῖ, ὄχι ὅμως πορνείαν, οὔτε μοιχείαν, ἀλλ' ἕνωσιν· τὸ σῶμα ἐπιθυμεῖ, ὄχι τρυφήν, ἀλλὰ τροφήν, ὄχι μέθην, ἀλλὰ ποτόν. Διὰ τὸ ὅτι δὲ δὲν εἶναι ἐπιθυμία τοῦ σώματος ἡ μέθη, κοίταξε πῶς δὲν ἀντέχεις ὅταν ὑπερβάλῃς τὸ μέτρον, ὅταν ὑπερβῇς τὰ ὅρια.

Αὐτὰ ἀνήκουν εἰς τὸ σῶμα· ἐπειδὴ ὅλα τὰ ἄλλα εἶναι τῆς ψυχῆς, ὅταν καταντᾷ νὰ βυθίζεται εἰς τὰ σαρκικά, ὅταν γίνῃ παχυλή. Ἂν καὶ εἶναι καλὸν βεβαίως τὸ σῶμα, εἶναι ὅμως κατώτερον τῆς ψυχῆς, ὅπως ὁ μόλυβδος ἀπὸ τὸν χρυσόν, ἀλλ' ἔχει ἀνάγκην καὶ τοῦ μολύβδου ὁ ὁποῖος συγκολλᾷ· ἔτσι καὶ ἡ ψυχὴ ἔχει ἀνάγκην τοῦ σώματος. Συμβαίνει ὅπως ἕνα εὐγενικῆς καταγωγῆς παιδὶ ποὺ ἔχει παιδικὰ πράγματα, κατηγοροῦμεν ὄχι τὴν ἡλικίαν, ἀλλ' ὅσα γίνονται κατ' αὐτήν, ἔτσι καὶ διὰ τὸ σῶμα.

Ἀλλ' εἶναι δυνατὸν νὰ μὴ εἴμεθα ὑποταγμένοι εἰς τὴν σάρκα, ἂν θέλωμεν, ὅπως οὔτε εἰς τὴν γῆν, ἀλλ' εἰς τοὺς οὐρανοὺς καὶ εἰς τὸ πνεῦμα. Διότι τὸ ὅτι εἶναι κανεὶς κάπου δὲν λέγεται τόσον διὰ τὴν θέσιν εἰς τὸν χῶρον, ὅσον διὰ τὴν διάθεσιν. Διὰ πολλούς, πράγματι, ἐνῷ εἶναι κάπου

οὐκ ἦσθα ἐνταῦθα· πάλιν, οὐκ εἶ ἐνταῦθα. Καὶ τί λέγω; Πολλάκις λέγομέν τινι, οὐκ εἶ ἐν σεαυτῷ, οὐκ εἰμὶ ἐν ἐμαυτῷ· καίτοι τί σωματικώτερον τούτου, ἢ ὅταν αὐτὸς ἑαυτῷ πλησιάζῃ; ἀλλ' ὅμως οὔ φαμεν αὐτὸν εἶναι ἐν ἑαυτῷ.

Γενώμεθα τοίνυν ἐν ἑαυτοῖς, ἐν τῷ οὐρανῷ, ἐν τῷ Πνεύματι· μένωμεν ἐπὶ τῆς εἰρήνης καὶ τῆς χάριτος τοῦ Θεοῦ, ἵνα πάντων τῶν σαρκικῶν ἀπαλλαγέντες, δυνηθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

λέγομεν ὅτι δὲν εἶναι, λέγοντες δηλαδή· δὲν ἤσουν ἐδῶ, καὶ ἄλλοτε πάλιν· δὲν εἶσαι ἐδῶ. Τί λέγω; Πολλὰς φορὰς λέγομεν εἰς κάποιον, δὲν εἶσαι εἰς τὸν ἑαυτόν σου, δὲν εἶμαι εἰς τὸν ἑαυτόν μου· ἂν καὶ τί εἶναι σωματικώτερον ἀπὸ αὐτό, ὅταν πλησιάζῃ αὐτὸς τὸν ἑαυτόν του; Καὶ ὅμως δὲν λέγομεν ὅτι αὐτὸς εἶναι εἰς τὸν ἑαυτόν του.

Ἂς ἔλθωμεν λοιπὸν εἰς τοὺς ἑαυτούς μας, εἰς τοὺς οὐρανούς, εἰς τὸ Πνεῦμα· ἂς μένωμεν εἰς τὴν εἰρήνην καὶ τὴν χάριν τοῦ Θεοῦ, ὥστε, ἀφοῦ ἀπαλλαγῶμεν ἀπὸ ὅλα τὰ σαρκικά, νὰ ἠμπορέσωμεν νὰ ἐπιτύχωμεν τὰ ἀγαθὰ ποὺ μᾶς ὑπεσχέθησαν διὰ τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΣΤ΄
Ἐφεσ. 2, 17—3, 7

«Καὶ ἐλθὼν εὐηγγελίσατο εἰρήνην ὑμῖν τοῖς μακράν, καὶ τοῖς ἐγγύς· ὅτι δι᾽ αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν ἀμφότεροι ἐν ἑνὶ Πνεύματι πρὸς τὸν Πατέρα. Ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ Θεοῦ· ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν, ὄντος ἀκρογωνιαίου λίθου αὐτοῦ Χριστοῦ· ἐν ᾧ πᾶσα ἡ οἰκοδομὴ συναρμολογουμένη αὔξει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ· ἐν ᾧ καὶ ὑμεῖς συνοικοδομεῖσθε εἰς κατοικητήριον τοῦ Θεοῦ ἐν Πνεύματι».

1. Οὐ δι᾽ ἑτέρου, φησίν, ἔπεμψεν, οὐδὲ δι᾽ ἄλλου τινὸς ταῦτα ἐμήνυσεν ἡμῖν, ἀλλ᾽ αὐτὸς δι᾽ ἑαυτοῦ. Οὐκ ἄγγελον, οὐκ ἀρχάγγελον ἀπέστειλεν, ἐπειδὴ τὸ διορθῶσαι τὰ τοσαῦτα κακὰ οὐδενὸς ἑτέρου ἦν, ἀλλὰ τῆς αὐτοῦ παρουσίας, καὶ τὸ ἀπαγγεῖλαι τὰ γενόμενα. Ὑπηρέτου καὶ σχεδὸν διακόνου τάξιν ἀνεδέξατο ὁ δεσπότης, καὶ ἦλθε, καὶ «εὐηγγελίσατο εἰρήνην ὑμῖν», φησί, «τοῖς μακράν, καὶ τοῖς ἐγγύς». Τοὺς Ἰουδαίους φησὶν ἐγγύς, ὡς πρὸς ἡμᾶς. «Ὅτι δι᾽ αὐτοῦ ἔχομεν τὴν προσαγωγὴν ἀμφότεροι ἐν ἑνὶ Πνεύματι πρὸς τὸν Πατέρα». Εἰρήνην τὴν πρὸς τὸν Θεόν φησι. Κατήλλαξεν ἡμᾶς· Καὶ γὰρ αὐτός φησιν, «Εἰρήνην ἀφίημι ὑμῖν, εἰρήνην τὴν ἐμὴν δίδωμι ὑμῖν»· καὶ πάλιν, «Θαρσεῖτε, ἐγὼ νενίκηκα τὸν κόσμον»· καί, «Ὅσα ἂν αἰτήσητε ἐν τῷ ὀνόματί σου, λήψεσθε»· καὶ πάλιν, «Ὅτι ὁ Πατὴρ ὑμᾶς φιλεῖ». Ταῦτα τῆς εἰρήνης τεκμή-

---

1. Ἐφεσ. 2, 17-25.
2. Ἰωάν. 14, 27.
3. Ἰωάν. 16, 33.
4. Ἰωάν. 14, 14.
5. Ἰωάν. 16, 27.

ΛΟΓΟΣ ΣΤ'
'Εφεσ. 2, 17 — 3, 7

«Καὶ ὅταν ἦλθεν, ἐκήρυξε τὸ χαρμόσυνον ἄγγελμα εἰρήνης εἰς ἐσᾶς οἱ ὁποῖοι ἤσασθε μακράν, καὶ εἰς τοὺς πλησίον, διότι δι' αὐτοῦ ἔχομεν καὶ οἱ δύο εἴσοδον πρὸς τὸν Πατέρα μὲ ἓν Πνεῦμα. Ὥστε, λοιπόν, δὲν εἶσθε πλέον ξένοι καὶ παρεπίδημοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ Θεοῦ, διότι ἔχετε οἰκοδομηθῆ ἐπάνω εἰς τὸ θεμέλιον τῶν ἀποστόλων καὶ τῶν προφητῶν, τοῦ ὁποίου ὁ Ἰησοῦς Χριστὸς εἶναι ὁ ἀκρογωνιαῖος λίθος, ἐπάνω εἰς τὸν ὁποῖον ἡ ὅλη οἰκοδομὴ συναρμολογεῖται καὶ αὐξάνει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ. Μαζὶ μὲ τὸν ὁποῖον οἰκοδομεῖσθε καὶ σεῖς, γενόμενοι ἔτσι τόπος κατοικίας τοῦ Θεοῦ διὰ τοῦ Πνεύματος»[1].

1. Δὲν ἀπέστειλε μὲ ἄλλον, λέγει, οὔτε μὲ ἄλλον ἐμήνυσεν αὐτὰ εἰς ἐμᾶς, ἀλλ' ὁ ἴδιος διὰ τοῦ ἑαυτοῦ του. Οὔτε ἄγγελον, οὔτε ἀρχάγγελον ἀπέστειλεν, ἐπειδὴ τὸ νὰ διορθώσῃ τὰ τόσα κακὰ καὶ τὸ νὰ ἀναγγείλῃ τὰ ὅσα ἔγιναν, δὲν ἦτο δυνατὸν εἰς κανένα ἄλλον, ἀλλὰ μόνον εἰς τὴν ἰδικήν του παρουσίαν. Κατεδέχθη ὁ δεσπότης νὰ κατέλθῃ εἰς τάξιν ὑπηρέτου καὶ σχεδὸν ἐπαίτου, καὶ ἦλθε, καὶ «ἐκήρυξε τὸ χαρμόσυνον ἄγγελμα εἰρήνης εἰς ὅσους εὑρίσκοντο μακρὰν καὶ εἰς τοὺς πλησίον», λέγει. Τοὺς Ἰουδαίους ὀνομάζει πλησίον, ἐν σχέσει πρὸς ἐμᾶς. «Διότι δι' αὐτοῦ ἔχομεν καὶ οἱ δύο εἴσοδον πρὸς τὸν Πατέρα μὲ ἓν Πνεῦμα». Εἰρήνην λέγει ἐν σχέσει πρὸς τὸν Θεόν. Μᾶς συνεφιλίωσε. Καὶ μάλιστα καὶ ὁ ἴδιος λέγει, «Εἰρήνην σᾶς ἀφήνω, τὴν ἰδικήν μου εἰρήνην σᾶς δίδω»[2]· καὶ πάλιν, «ἔχετε θάρρος, ἐγὼ ἔχω νικήσει τὸν κόσμον»[3]· καί, «Ἐὰν ζητήσητε κάτι εἰς τὸ ὄνομά μου, ἐγὼ θὰ τὸ κάνω»[4]· καὶ πάλιν· «διότι ὁ ἴδιος ὁ Πατὴρ σᾶς ἀγαπᾷ»[5]. Αὐτὰ εἶναι ἀποδείξεις τῆς εἰρήνης, καὶ ἐπὶ

ρια, καὶ πρὸς τούτοις πῶς; «Ὅτι δι' αὐτοῦ τὴν προσαγωγὴν ἐσχήκαμεν ἀμφότεροι ἐν ἑνὶ Πνεύματι». Οὐχ ὑμῖν ἔλαττον, ἐκείνοις δὲ πλέον, ἀλλὰ μιᾷ χάριτι. Τὴν μὲν γὰρ ὀργὴν ἔλυσε τῷ θανάτῳ, ἐπεράστους δὲ ἡμᾶς ἐποίησε τῷ Πατρὶ διὰ τοῦ Πνεύματος.

Ἰδοὺ πάλιν τό, «ἕν», διά, ἐστί· δι' αὐτοῦ καὶ τοῦ Πνεύματος, τουτέστι, προσήγαγεν αὐτῷ.

«Ἄρα οὖν οὐκέτι ἐστὲ ξένοι καὶ πάροικοι ἀλλὰ συμπολῖται τῶν ἁγίων». Ὁρᾷς ὅτι οὐχ ἁπλῶς τῶν Ἰουδαίων, ἀλλὰ τῶν ἁγίων καὶ μεγάλων ἐκείνων ἀνδρῶν τῶν περὶ Ἀβραὰμ καὶ Μωϋσῆν καὶ Ἠλίαν; εἰς τὴν αὐτὴν πόλιν ἀπεγράφημεν, εἰς ἐκείνην ἐμφανιζόμεθα· «Οἱ γὰρ τοιαῦτα λέγοντες», φησίν, ἐμφανίζουσιν ὅτι πατρίδα ζητοῦσιν». Οὐκέτι ξένοι τῶν ἁγίων, οὐδὲ πάροικοι. Οἱ γὰρ μὴ μέλλοντες ἐπιτεύξασθαι τῶν οὐρανίων, πάροικοί εἰσιν. «Ὁ γὰρ Υἱός», φησί, «μένει εἰς τὸν αἰῶνα».

«Καὶ οἰκεῖοι», φησί, «τοῦ Θεοῦ». Ὅπερ ἔσχον ἐξ ἀρχῆς ἐκεῖνοι διὰ τοσούτων πόνων, τοῦτο ὑμῖν διὰ τῆς τοῦ Θεοῦ χάριτος κατωρθώθη. Ἰδοὺ ἡ ἐλπὶς τῆς κλήσεως· «Ἐποικοδομηθέντες ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν». Ὅρα πῶς πάντα φύρει, τοὺς Ἕλληνας, τοὺς ἀποστόλους, τοὺς προφήτας, τὸν Χριστόν· καὶ ποτὲ μὲν ἀπὸ τοῦ σώματος, νῦν δὲ ἀπὸ τῆς οἰκοδομῆς τὴν συναφὴν δείκνυσιν. «Ἐποικοδομηθέντες», φησίν, «ἐπὶ τῷ θεμελίῳ τῶν ἀποστόλων καὶ προφητῶν»· τουτέστι, θεμέλιος οἱ ἀπόστολοι καὶ οἱ προφῆται. Καὶ πρῶτον τίθησι τοὺς ἀποστόλους ἐσχάτους ὄντας τοῖς χρόνοις· ἤτοι οὖν τοῦτο δεικνὺς φησί, τουτέστι, θεμέλιός εἰσιν ἐκεῖνοι,

---

6. Ἑβρ. 11, 14.
7. Ἰωάν. 8, 35.

πλέον μὲ ποῖον τρόπον; «Διότι δι' αὐτοῦ ἔχομεν καὶ οἱ δύο εἴσοδον πρὸς τὸν Πατέρα μὲ ἓν Πνεῦμα». Ὄχι εἰς ἐμᾶς ὀλιγώτερον, εἰς ἐκείνους δὲ περισσότερον, ἀλλὰ μὲ μίαν χάριν. Τὴν μὲν ὀργὴν λοιπὸν κατέπαυσε διὰ τοῦ θανάτου, ἐμᾶς δὲ μᾶς ἔκανε ἀγαπητοὺς εἰς τὸν Πατέρα διὰ τοῦ ἁγίου Πνεύματος.

Ἰδοὺ πάλιν τό, «ἐν», χρησιμοποιεῖται ὡς 'διά'· διὰ τοῦ ἑαυτοῦ του καὶ τοῦ ἁγίου Πνεύματος δηλαδή, μᾶς ὡδήγησε πρὸς τὸν Πατέρα.

«Ὥστε λοιπὸν δὲν εἶσθε ξένοι καὶ παρεπίδημοι, ἀλλὰ συμπολῖται τῶν ἁγίων καὶ οἰκεῖοι τοῦ Θεοῦ». Βλέπεις ὅτι μᾶς ἀναδεικνύει συμπολίτας, ὄχι ἁπλῶς τῶν Ἰουδαίων, ἀλλὰ τῶν ἁγίων καὶ μεγάλων ἐκείνων ἀνδρῶν, τῶν γύρω ἀπὸ τὸν Ἀβραὰμ καὶ τὸν Μωϋσῆν καὶ τὸν Ἠλίαν; Εἰς τὴν ἰδίαν πολιτείαν κατεγράφημεν, εἰς ἐκείνην ἐμφανιζόμεθα. Διότι, λέγει, «ἐκεῖνοι οἱ ὁποῖοι ὁμιλοῦν ἔτσι, δεικνύουν ὅτι ζητοῦν τὴν πατρίδα των»[6]. Ὄχι πλέον ξένοι πρὸς τοὺς ἁγίους, οὔτε παρεπίδημοι. Διότι παρεπίδημοι εἶναι ἐκεῖνοι οἱ ὁποῖοι δὲν πρόκειται νὰ ἐπιτύχουν τὰ οὐράνια. Διότι «ὁ Υἱὸς μένει παντοτινά»[7].

«Καὶ οἰκεῖοι τοῦ Θεοῦ», λέγει. Αὐτὸ τὸ ὁποῖον εἶχον ἐκεῖνοι ἐξ ἀρχῆς μὲ τόσους κόπους, αὐτὸ κατωρθώθη εἰς ἐμᾶς διὰ τῆς χάριτος τοῦ Θεοῦ. Ἰδοὺ ἡ ἐλπὶς τῆς προσκλήσεως. «Διότι ἔχετε οἰκοδομηθῆ ἐπάνω εἰς τὸ θεμέλιον τῶν ἀποστόλων καὶ τῶν προφητῶν». Κοίταξε πῶς ἀναμιγνύει πάντοτε τοὺς Ἕλληνας, τοὺς ἀποστόλους, τοὺς προφήτας, τὸν Χριστόν· καὶ ἄλλοτε μὲν ἀπὸ τὸ ὅτι ἐγίναμεν σῶμα, ἄλλοτε δὲ ἀπὸ τὸ ὅτι ἔχομεν οἰκοδομηθῆ μαζὶ μὲ αὐτὸν δεικνύει τὴν συνάφειαν. «Διότι ἔχετε οἰκοδομηθῆ», λέγει, «ἐπάνω εἰς τὸ θεμέλιον τῶν ἀποστόλων καὶ τῶν προφητῶν»· δηλαδή, θεμέλιος οἱ ἀπόστολοι καὶ οἱ προφῆται. Καὶ πρῶτον θέτει τοὺς ἀποστόλους, ἂν καὶ εἶναι τελευταῖοι ὡς πρὸς τὸν χρόνον· καὶ ἐπειδὴ θέλει νὰ δείξῃ αὐτὸ λέγει αὐτά, ὅτι δηλαδή, θεμέλιον εἶναι ἐκεῖνοι, μία οἰκοδομὴ εἶναι τὸ πᾶν,

μία οἰκοδομὴ τὸ πᾶν, καὶ ῥίζα μία. Ἐννόησον τοὺς Ἕλληνας θεμέλιον ἔχοντας τοὺς πατριάρχας. Ἐνταῦθα μᾶλλον αὐτὸ κυριώτερον λέγει, ἢ ὅταν ἐγκεντρισμὸν λέγῃ· μᾶλλον ἐκεῖ καθάπτεται.

2. Εἶτά φησιν, ὁ τὸ πᾶν συνέχων ἐστὶν ὁ Χριστός. Ὁ γὰρ λίθος ὁ ἀκρογωνιαῖος καὶ τοὺς τοίχους συνέχει, καὶ τοὺς θεμελίους. «Ἐν ᾧ πᾶσα οἰκοδομή». Ὅρα πῶς αὐτὸ συνῆψε· ποτὲ μὲν ἄνωθεν κατέχοντα τὸ πᾶν σῶμα καὶ συγκρατοῦντα, ποτὲ δὲ κάτωθεν διαβαστάζοντα τὴν οἰκοδομήν, καὶ ῥίζαν ὄντα. Τὸ δέ, «Ἔκτισεν ἐν ἑαυτῷ εἰς ἕνα καινὸν ἄνθρωπον», διὰ τούτου ἐδήλωσεν, ὅτι δι' ἑαυτοῦ συνῆψεν ἑκατέρους τοὺς τοίχους, καὶ πάλιν ὅτι ἐν αὐτῷ ἐκτίσθη. Καί, «Πρωτότοκος», φησί, «πάσης κτίσεως»· τουτέστι, πάντα αὐτὸς διαβαστάζει. «Ἐν ᾧ πᾶσα οἰκοδομὴ συναρμολογουμένη». Κἂν τὸν ὄροφον εἴπῃς, κἂν τοὺς τοίχους, κἂν ὁτιοῦν ἕτερον, τὸ πᾶν διαβαστάζει. Ἀλλαχοῦ δὲ αὐτὸν θεμέλιον καλεῖ. «Θεμέλιον γὰρ ἄλλον», φησίν, «οὐδεὶς δύναται θεῖναι παρὰ τὸν κείμενον, ὅς ἐστιν Ἰησοῦς Χριστός». «Ἐν ᾧ πᾶσα οἰκοδομή», φησί, «συναρμολογουμένη». Δείκνυσι καὶ τὸ ἀκριβὲς ὅτι οὐκ ἔνι ἄλλος τεθῆναι, μὴ μετὰ πολλῆς τῆς ἀκριβείας βιώσαντα. «Αὔξει», φησίν, «εἰς ναὸν ἅγιον Κυρίῳ, ἐν ᾧ καὶ ὑμεῖς», φησί, «συνοικοδομεῖσθε». Συνεχέστερον αὐτὸ λέγει, «Εἰς ναόν, εἰς κατοικητήριον Θεοῦ ἐν Πνεύματι».

Τί δὴ βούλεται ἡ οἰκοδομή; Ὥστε τὸν Θεὸν ἐνοικῆσαι ἐν τῷ ναῷ τούτῳ. Καὶ ἕκαστος ὑμῶν ναός ἐστι, καὶ κοινῇ πάντες, καὶ ὡς ἐν σώματι Χριστοῦ οἰκεῖ, καὶ ὡς ἐν ναῷ πνευματικῷ οἰκεῖ. Οὐκ εἶπε, πρόσοδον, ἀλλά, «προσαγωγήν»· οὐ γὰρ ἀφ' ἑαυτῶν προσήλθομεν, ἀλλ' ὑπ' αὐτοῦ προσήχθημεν.

---

8. Κολοσ. 1, 15.
9. Α' Κορ. 3, 11.

μία ρίζα. Σκέψου τοὺς Ἕλληνας νὰ ἔχουν θεμέλιον τοὺς πατριάρχας. Ἐδῶ ὁμιλεῖ μὲ περισσοτέραν ἀκρίβειαν ὀνομάζων αὐτὸ τὸ γεγονὸς ἔτσι παρὰ ὅταν τὸ ὀνομάζῃ ἐγκεντρισμόν· εἰς τὴν περίπτωσιν ἐκείνην ἁπλῶς καὶ μόνον τὸ ἐγγίζει αὐτό.

2. Ὕστερον λέγει, ἐκεῖνος ὁ ὁποῖος συνέχει τὸ πᾶν εἶναι ὁ Χριστός. Διότι ὁ ἀκρογωνιαῖος λίθος καὶ τοὺς τοίχους συγκρατεῖ καὶ τὰ θεμέλια. «Ἐπάνω εἰς τὸν ὁποῖον στηρίζεται ἡ ὅλη οἰκοδομή». Κοίταξε πῶς συνέδεσεν αὐτό· ἄλλοτε μὲν θέτων αὐτὸν ἄνωθεν ὥστε νὰ κρατῇ καὶ νὰ συγκροτῇ ὁλόκληρον τὸ σῶμα, ἄλλοτε παρουσιάζων αὐτὸν ἀπὸ κάτω νὰ στηρίζῃ τὴν οἰκοδομὴν καὶ νὰ εἶναι ρίζα αὐτῆς. Τὸ δὲ «ἐδημιούργησεν εἰς τὸν ἑαυτόν του, ἀπὸ τὰ δύο μέρη, ἕνα νέον ἄνθρωπον», ἐφανέρωσε μὲ αὐτό, ὅτι διὰ τοῦ ἑαυτοῦ του συνήνωσε καὶ τοὺς δύο τοίχους, καθὼς ἐπίσης ὅτι ἐδημιούργησεν εἰς τὸν ἑαυτόν του. Καί, «πρωτότοκος», λέγει, «ὅλων τῶν δημιουργημάτων»[8]· δηλαδή, τὰ πάντα αὐτὸς στηρίζει. «Εἰς τὸν ὁποῖον ἡ ὅλη οἰκοδομὴ συναρμολογεῖται». Εἴτε τὴν ὀροφὴν εἴπεις, εἴτε τοὺς τοίχους, εἴτε ὁ,τιδήποτε ἄλλο, τὸ πᾶν στηρίζει. Ἀλλοῦ δὲ καλεῖ αὐτὸν θεμέλιον. Διότι «ἄλλο θεμέλιον», λέγει, «κανεὶς δὲν ἠμπορεῖ νὰ θέσῃ, παρὰ ἐκεῖνο τὸ ὁποῖον ἔχει τεθῇ, τὸ ὁποῖον εἶναι ὁ Ἰησοῦς Χριστός»[9]. «Εἰς τὸν ὁποῖον ἡ ὅλη οἰκοδομὴ συναρμολογεῖται». Δεικνύει καὶ τὸ ὀρθόν, ὅτι δὲν εἶναι δυνατὸν μὲ ἄλλον τρόπον νὰ τεθῇ, ἐὰν δὲν ἔζησε μὲ πολλὴν ἐπιμέλειαν καὶ ἐντέλειαν. «Καὶ αὐξάνει εἰς ναὸν ἅγιον ἐν Κυρίῳ», λέγει, «καὶ μαζὶ μὲ τὸν ὁποῖον καὶ σεῖς οἰκοδομεῖσθε». Πολὺ συχνὰ τὸ λέγει αὐτό, «εἰς ναόν, ὥστε νὰ γίνετε τόπος κατοικίας τοῦ Θεοῦ διὰ τοῦ ἁγίου Πνεύματος».

Τί λοιπὸν θέλει ἡ οἰκοδομή; Νὰ κατοικήσῃ μέσα εἰς τοῦτον τὸν ναὸν ὁ Θεός. Καὶ ὁ καθεὶς ἀπὸ σᾶς εἶναι ναός, καὶ ὅλοι ἀπὸ κοινοῦ, καὶ κατοικεῖ ὅπως εἰς τὸ σῶμα τοῦ Χριστοῦ, ὅπως εἰς ναὸν πνευματικόν. Δὲν εἶπε, προσέλευσιν, ἀλλὰ «δι' αὐτοῦ ἔχομεν εἴσοδον»· διότι δὲν προσῆλθο-

«Οὐδεὶς γάρ», φησίν ἔρχεται πρὸς τὸν Πατέρα εἰ μὴ δι' ἐμοῦ»· καὶ πάλιν, «Ἐγώ εἰμι ἡ ὁδός, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή». Συνάπτει αὐτοὺς τοὺς ἁγίους, καὶ πάλιν ἐπὶ τὸ πρότερον ἄνεισιν ὑπόδειγμα, οὐδαμοῦ ἀφεὶς ἀπηρτῆσθαι τοῦ Χριστοῦ. Ἄρα μέχρι τῆς παρουσίας ἡ οἰκοδομὴ αὕτη· ἄρα διὰ τοῦτο Παῦλος ἔλεγεν, «Ὡς σοφὸς ἀρχιτέκτων θεμέλιον τέθεικε»· καὶ πάλιν, ὅτι θεμέλιός ἐστιν ὁ Χριστός. Τί δὴ τοῦτό ἐστιν; Ὁρᾷς ὅτι πρὸς τὰ ὑποκείμενα χρὴ ὑπακούειν, οὐχ ἁπλῶς; Ἀπὸ παραδειγμάτων τοῦτο εἶπεν, ὡς ὅταν γεωργὸν λέγῃ τὴν Πατέρα καὶ ῥίζαν ἑαυτόν.

3. «Τούτου χάριν ἐγὼ Παῦλος ὁ δέσμιος Ἰησοῦ Χριστοῦ ὑπὲρ ὑμῶν τῶν ἐθνῶν, εἴγε ἠκούσατε». Εἶπε τοῦ Χριστοῦ τὴν κηδεμονίαν τὴν πολλήν· ἐκβαίνει λοιπὸν καὶ ἐπὶ τὴν ἑαυτοῦ, μικρὰν μὲν οὖσαν, καὶ σφόδρα οὐδὲν πρὸς ἐκείνην, ἱκανὴν δὲ καὶ ταύτην ἐπισπάσασθαι. Διὰ τοῦτο καὶ ἐγὼ δέδεμαι, φησίν. Εἰ γὰρ ὁ δεσπότης ὁ ἐμὸς ἐσταυρώθη δι' ὑμᾶς, πολλῷ μᾶλλον ἐγὼ δέδεμαι. Οὐ μόνον αὐτὸς ἐδέθη, ἀλλὰ καὶ τοὺς αὐτοῦ δούλους δεσμεῖσθαι συγχωρεῖ.

«Ὑπὲρ ὑμῶν τῶν ἐθνῶν». Πολλὴ ἡ ἔμφασις· οὐ μόνον ὑμᾶς οὐ βδελυττόμεθα λοιπόν, ἀλλὰ καὶ δεσμούμεθα δι' ὑμᾶς, φησί, καὶ ἐγὼ τοσαύτης ἀπέλαυσα χάριτος. «Εἴγε ἠκούσατε τὴν οἰκονομίαν τῆς χάριτος τοῦ Θεοῦ τῆς δοθείσης μοι εἰς ὑμᾶς». Τὴν πρόρρησιν αἰνίττεται τὴν πρὸς τὸν Ἀνανίαν ῥηθεῖσαν περὶ αὐτοῦ ἐν Δαμασκῷ, ἡνίκα ἔλεγε· «Πορεύου, ὅτι σκεῦος ἐκλογῆς μοί ἐστιν οὗτος τοῦ βαστάσαι τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων». Οἰκονομίαν χάριτός φησι τὴν ἀποκάλυψιν· τουτέστιν, οὐ παρὰ ἀνθρώπου ἔμαθον· κατηξίωσεν ἐμοὶ

---

10. Ἰωάν. 14, 6.
11. Α' Κορ. 3, 10-11.
12. Ἐφεσ. 3, 1-2.
13. Πράξ. 9, 15.

μεν ἀφ' ἑαυτῶν, ἀλλ' ἀπὸ αὐτὸν ὡδηγήθημεν. «Οὐδείς», λέγει, «ἔρχεται πρὸς τὸν Πατέρα, παρὰ δι' ἐμοῦ»[10]· καὶ πάλιν· «Ἐγώ εἶμαι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια καὶ ἡ ζωή»[10]. Συνδέει αὐτοὺς μὲ τοὺς ἁγίους, καὶ πάλιν ἐπιστρέφει εἰς τὸ προηγούμενον παράδειγμα, μὴ ἀφήνων πουθενὰ νὰ χωρισθοῦν ἀπὸ τὸν Χριστόν. Ἄρα μέχρι τῆς παρουσίας θὰ οἰκοδομῆται αὕτη ἡ οἰκοδομή· ἄρα διὰ τοῦτο ἔλεγεν ὁ Παῦλος, «Ὡς σοφὸς ἀρχιτέκτων ἐγὼ ἔβαλα θεμέλιον»[11]· καὶ πάλιν, ὅτι θεμέλιον εἶναι ὁ Χριστός. Τί εἶναι λοιπὸν αὐτό; Βλέπεις ὅτι δὲν πρέπει νὰ ὑπακούωμεν ἐπιπολαίως εἰς τὰς ὑποθήκας; Διὰ παραδειγμάτων τὸ εἶπεν αὐτό, ὅπως ὅταν λέγῃ γεωργὸν τὸν Πατέρα καὶ ρίζαν τὸν ἑαυτόν του.

3. «Διὰ τοῦτο ἐγὼ ὁ Παῦλος, ὁ φυλακισμένος τοῦ Ἰησοῦ Χριστοῦ δι' ἐσᾶς τοὺς ἐθνικούς, ἐὰν βέβαια ἠκούσατε (διὰ τὸ σχέδιον τῆς χάριτος τοῦ Θεοῦ)»[12]. Ὡμίλησε διὰ τὴν ἄπειρον φροντίδα τοῦ Χριστοῦ· κάνει λοιπὸν παρέκβασιν, διὰ νὰ εἴπῃ καὶ διὰ τὴν ἰδικήν του, ἡ ὁποία εἶναι μὲν μικρά, καὶ ἐντελῶς ἀσήμαντος ἐν σχέσει πρὸς ἐκείνην, ἀλλ' ἀρκετὴ καὶ αὐτὴ διὰ νὰ προσελκύσῃ. Διὰ τοῦτο καὶ ἐγὼ εἶμαι φυλακισμένος, λέγει. Διότι ἐὰν ὁ Κύριός μου ἐσταυρώθη δι' ἐσᾶς, πολὺ περισσότερον ἐγὼ πρέπει νὰ εἶμαι φυλακισμένος. Ὄχι μόνον ἐκεῖνος ἐφυλακίσθη, ἀλλ' ἐπιτρέπει καὶ εἰς τοὺς δούλους του νὰ φυλακίζωνται.

«Δι' ἐσᾶς τοὺς ἐθνικούς». Μεγάλη ἡ ἔμφασις· ὄχι μόνον δὲν σᾶς βδελυσσόμεθα πλέον, ἀλλὰ καὶ φυλακιζόμεθα δι' ἐσᾶς, λέγει, καὶ ἐγὼ ἠξιώθην τόσης χάριτος. «Ἐὰν φυσικὰ ἠκούσατε διὰ τὸ σχέδιον τῆς χάριτος τοῦ Θεοῦ, ποὺ μοῦ ἐδόθη δι' ἐσᾶς». Ἐδῶ ὑπαινίσσεται τὴν προφητείαν ἡ ὁποία ἐλέχθη δι' αὐτὸν εἰς τὸν Ἀνανίαν, ὅταν ἔλεγε· «Πήγαινε, διότι αὐτὸς εἶναι ὄργανον ἐκλογῆς μου, διὰ νὰ φέρῃ τὸ ὄνομά μου ἐνώπιον ἐθνῶν καὶ βασιλέων καὶ τῶν Ἰσραηλιτῶν»[13]. Οἰκονομίαν τῆς χάριτος ὀνομάζει τὴν ἀποκάλυψιν· δηλαδή, δὲν ἔμαθον ἀπὸ ἀνθρώπους τὴν ἀλήθειαν· κατηξίωσεν ἐμένα, ἐνῷ εἶμαι ἕνας, νὰ μοῦ ἀποκαλύψῃ τὴν οἰκονο-

ἑνὶ ὄντι ἀποκαλύψαι δι' ὑμᾶς. «Αὐτὸς γάρ μοι εἶπε», φησί, «πορεύου, ὅτι εἰς ἔθνη μακρὰν ἐξαποστελῶ σε».

«Εἴγε ἠκούσατε». Οἰκονομία γὰρ ἦν μεγάλη, τὸ μηδαμόθεν πειθόμενον ἄνωθεν καλέσαι, καὶ εἰπεῖν· «Σαῦλε, Σαῦλε, τί με διώκεις;», καὶ τὸ πηρῶσαι τῷ φωτὶ ἐκείνῳ τῷ ἀπορρήτῳ. «Εἴγε ἠκούσατε», φησί, «τὴν οἰκονομίαν τῆς χάριτος τοῦ Θεοῦ τῆς δοθείσης μοι εἰς ὑμᾶς, ὅτι κατὰ ἀποκάλυψιν ἐγνωρίσθη μοι τὸ μυστήριον, καθὼς προέγραψα ἐν ὀλίγῳ». Ἴσως διά τινων ἐδήλωσεν, ἢ δι' Ἀπολλὼ ἔγραφε. Δείκνυσιν ἐνταῦθα, ὅτι τὸ πᾶν τοῦ Θεοῦ ἐστιν, ὅτι οὐδὲν εἰσηνέγκαμεν. Τί γάρ, εἰπέ μοι; Παῦλος αὐτὸς ὁ μέγας καὶ θαυμαστός, ὁ νομομαθής, ὁ ὑπὸ τοὺς πόδας Γαμαλιήλου κατὰ ἀκρίβειαν παιδευθείς, οὐχὶ χάριτι ἐσώθη; Μυστήριον γάρ ἐστι τὸ τὰ ἔθνη ἐξαίφνης εἰς μείζονα τῶν Ἰουδαίων εὐγένειαν ἀναγαγεῖν. «Καθὼς προέγραψα», φησίν, «ἐν ὀλίγῳ», διὰ βραχέων, «πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι».

4. Βαβαί· ὥστε οὐ τὸ πᾶν ἔγραψεν, οὐδὲ ὅσα γράψαι ἐχρῆν. Ἀλλ' ἐνταῦθα μὲν ἡ φύσις τοῦ πράγματος τοῦτο ἐποίει, ἀλλαχοῦ δὲ ἡ κακία, ὡς παρ' Ἑβραίοις, ὡς παρὰ Κορινθίοις. «Πρὸς ὃ δύνασθε ἀναγινώσκοντες νοῆσαι τὴν σύνεσίν μου», φησίν, «ἐν τῷ μυστηρίῳ τοῦ Χριστοῦ». Τουτέστι, πῶς συνῆκα, πῶς ἐνόησα, ἤτοι αὐτὰ ἃ εἶπεν ὁ Θεός, ἢ ὅτι κάθηται ἐκ δεξιῶν. Εἶτα καὶ τὸ ἀξίωμα· «Οὐκ ἐποίησεν οὕτως ὁ Θεὸς παντὶ ἔθνει». Καὶ ποῖον ἔθνος τοῦτο, ᾧ ἐποίησεν οὕτως ὁ Θεός; «Ὃ ἑτέραις γενεαῖς», φησίν, «οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ καὶ προφήταις ἐν τῷ Πνεύματι».

---

14. Πράξ. 22, 21.
15. Πράξ. 9, 4.
16. Ἐφεσ. 3, 3.
17. Ἐφεσ. 3, 4.
18. Ψαλμ. 147, 9.
19. Ἐφεσ. 3, 5.

μίαν του πρὸς χάριν σας. Διότι «Αὐτὸς μοῦ εἶπε», λέγει, «πήγαινε, διότι θὰ σὲ στείλω μακρὰν εἰς τοὺς ἐθνικούς»[14].

«Ἐὰν φυσικὰ ἠκούσατε». Ἦτο λοιπὸν μεγάλη οἰκονομία τὸ νὰ καλέσῃ ἄνωθεν ἐκεῖνον ὁ ὁποῖος ἀπὸ πουθενὰ δὲν ἐπείθετο, καὶ νὰ εἴπῃ· «Σαούλ, Σαούλ, διατί μὲ καταδιώκεις;»[15], καὶ τὸ νὰ τὸν τυφλώσῃ μὲ ἐκεῖνο τὸ μυστικὸν φῶς. «Ἐὰν φυσικὰ ἠκούσατε διὰ τὸ σχέδιον τῆς χάριτος τοῦ Θεοῦ», λέγει, «ὅτι δηλαδὴ κατ' ἀποκάλυψιν μοῦ ἐγνώρισε τὸ μυστήριον, ὅπως σᾶς ἔγραψα προηγουμένως»[16]. Ἴσως τοὺς τὸ εἶχε γνωρίσει μὲ κάποιους ἢ νὰ τοὺς ἔγραψε διὰ τοῦ Ἀπολλώ. Ἐδῶ δεικνύει ὅτι τὸ πᾶν εἶναι τοῦ Θεοῦ, ὅτι τίποτε δὲν προσεφέραμεν. Τί λοιπόν; εἰπέ μου. Ὁ Παῦλος αὐτὸς ὁ μέγας καὶ θαυμαστός, ὁ νομομαθής, ὁ ὁποῖος ἐμορφώθη μὲ μεγίστην ἐπιμέλειαν πλησίον τοῦ Γαμαλιήλ, δὲν ἐσώθη διὰ τῆς χάριτος; Εἶναι μυστήριον λοιπὸν τὸ νὰ ἀποδίδῃ ἐξαφνικὰ εἰς τὰ ἔθνη μεγαλυτέραν εὐγένειαν ἀπὸ τοὺς Ἰουδαίους. «Ὅπως σᾶς ἔγραψα προηγουμένως», λέγει, «μὲ ὀλίγους λόγους, εἰς τοὺς ὁποίους ἠμπορεῖτε, ἐὰν τοὺς ἀναγνώσετε, νὰ ἐννοήσετε πῶς ἀντιλαμβάνομαι τὸ μυστήριον τοῦ Χριστοῦ»[17].

4. Ὤ! Ὥστε δὲν τὰ ἔγραφεν ὅλα, οὔτε ὅσα ἔπρεπε νὰ γράψῃ. Ἀλλ' ἐδῶ μὲν αὐτὸ ὠφείλετο εἰς τὴν φύσιν τοῦ πράγματος, ἐνῷ ἀλλοῦ ἦτο αἰτία ἡ κακία, ὅπως εἰς τοὺς Ἑβραίους καὶ εἰς τοὺς Κορινθίους. «Εἰς τοὺς ὁποίους ἠμπορεῖτε, ἐὰν τοὺς ἀναγνώσετε», λέγει, «νὰ ἐννοήσετε πῶς ἀντιλαμβάνομαι τὸ μυστήριον τοῦ Χριστοῦ». Δηλαδὴ πῶς ἀντελήφθην, πῶς κατενόησα, ἤτοι αὐτὰ τὰ ὁποῖα εἶπεν ὁ Θεός, ἢ τὸ ὅτι κάθεται ἐκ δεξιῶν. Ὕστερα ἀναφέρει καὶ τὴν τιμὴν ποὺ τοῦ ἐγένετο· «Ὁ Κύριος δὲν συμπεριεφέρθη κατὰ τὸν αὐτὸν τρόπον εἰς κάθε ἔθνος»[18]. Καὶ ποῖον εἶναι τὸ ἔθνος τοῦτο, εἰς τὸ ὁποῖον συμπεριεφέρθη ἔτσι ὁ Θεός; «Τὸ ὁποῖον εἰς ἄλλας γενεάς», λέγει, «δὲν ἔγινε γνωστὸν εἰς τοὺς ἀνθρώπους, ὅπως ἀπεκαλύφθη τώρα εἰς τοὺς ἁγίους ἀποστόλους του καὶ εἰς τοὺς προφήτας διὰ τοῦ ἁγίου Πνεύματος»[19].

Τί οὖν, εἰπέ μοι, οὐκ ᾔδεσαν οἱ προφῆται; Πῶς οὖν φησιν ὁ Χριστός, ὅτι Μωϋσῆς καὶ οἱ προφῆται ταῦτα περὶ ἐμοῦ ἔγραψαν; καὶ πάλιν, «Εἰ ἐπιστεύετε Μωϋσῇ, ἐπιστεύετε ἂν ἐμοί»; καὶ πάλιν, «Ἐρευνᾶτε τὰς Γραφάς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν, κἀκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ»; Τοῦτό φησιν, ἢ ὅτι πᾶσιν ἀνθρώποις οὐκ ἀπεκαλύφθη - προσέθηκε γάρ, «Ὃ ἑτέραις γενεαῖς οὐκ ἐγνωρίσθη τοῖς υἱοῖς τῶν ἀνθρώπων, ὡς νῦν ἀπεκαλύφθη» - ἢ ὅτι οὕτως οὐκ ἐγνωρίσθη διὰ πραγμάτων αὐτῶν καὶ ἔργων, «ὡς νῦν ἀπεκαλύφθη τοῖς ἁγίοις ἀποστόλοις αὐτοῦ καὶ προφήταις ἐν Πνεύματι». Ἐννόησον γάρ· ὁ Πέτρος, εἰ μὴ παρὰ τοῦ Πνεύματος ἤκουσεν, οὐκ ἂν ἐπορεύθη εἰς τὰ ἔθνη. Ἄκουσον γὰρ τί φησιν· «Ἄρα ἔδωκεν αὐτοῖς ὁ Θεὸς τὸ Πνεῦμα τὸ ἅγιον, ὡς καὶ ἡμῖν». Τουτέστιν, ἐν Πνεύματι ἐξελέξατο ὁ Θεὸς λαβεῖν αὐτοὺς τὴν χάριν. Ἔλεγον μὲν οὖν οἱ προφῆται, οὕτω δὲ ἀκριβῶς οὐκ ᾔδεσαν, ὅπου γε οὐδὲ οἱ ἀπόστολοι μετὰ τὸ ἀκοῦσαι· πολὺ γὰρ ὑπερέβαινεν ἀνθρώπινον λογισμὸν καὶ ἐλπίδα κοινήν.

«Εἶναι τὰ ἔθνη συγκληρονόμα καὶ σύσσωμα καὶ συμμέτοχα». Τί ἐστι, «συγκληρονόμα καὶ συμμέτοχα τῆς ἐπαγγελίας, καὶ σύσσωμα»; Τοῦτό ἐστι τὸ μέγα, τὸν ἓν σῶμα εἶναι, ἡ ἐγγύτης ἡ πολλή. Ὅτι μὲν γὰρ κληθήσεται, ᾔδεσαν, τοσοῦτον δέ, οὐκέτι. Τοῦτο γὰρ καλεῖ μυστήριον. «Τῆς ἐπαγγελίας». Μετεῖχον οἱ Ἰσραηλῖται, συμμετεῖχον καὶ τὰ ἔθνη τῆς ἐπαγγελίας τοῦ Θεοῦ. «Ἐν τῷ Χριστῷ διὰ τοῦ εὐαγγελίου». Τουτέστι, τῷ πεμφθῆναι καὶ πρὸς αὐτούς, καὶ τῷ πιστεῦσαι· οὐ γὰρ ἁπλῶς, ἀλλὰ διὰ τοῦ εὐαγγελίου. Ἀλλὰ τοῦτο μὲν οὐδὲν

---

20. Ἰωάν. 5, 46.
21. Ἰωάν. 5, 39.
22. Πράξ. 11, 17.
23. Ἐφεσ. 3, 6.

Τί λοιπόν, εἰπέ μου, δὲν ἐγνώρισαν οἱ προφῆται τὸ σχέδιον τῆς οἰκονομίας; Πῶς λοιπὸν τότε λέγει ὁ Χριστός, ὅτι ὁ Μωϋσῆς καὶ οἱ προφῆται ἔγραψαν αὐτὰ δι' ἐμέ; Καὶ πάλιν· «Ἐὰν ἐπιστεύατε εἰς τὸν Μωϋσῆν, θὰ ἐπιστεύατε καὶ εἰς ἐμέ»[20]; Καὶ πάλιν, «Σεῖς ἐρευνᾶτε τὰς Γραφάς, διότι νομίζετε ὅτι δι' αὐτῶν θὰ ἔχετε ζωὴν αἰώνιον· ἐκεῖναι μαρτυροῦν δι' ἐμέ»[21]; Αὐτὸ τὸ λέγει, εἴτε διότι δὲν ἀπεκαλύφθη εἰς ὅλους τοὺς ἀνθρώπους — διότι προσέθεσε, «τὸ ὁποῖον εἰς ἄλλας γενεὰς δὲν ἔγινε γνωστὸν εἰς τοὺς ἀνθρώπους, ὅπως ἀπεκαλύφθη τώρα» — εἴτε διότι δὲν ἔγινε γνωστὸν διὰ τῶν ἰδίων τῶν πραγμάτων καὶ τῶν ἔργων, «ὅπως ἀπεκαλύφθη τώρα εἰς τοὺς ἁγίους ἀποστόλους του καὶ εἰς τοὺς προφήτας διὰ τοῦ ἁγίου Πνεύματος». Σκέψου λοιπόν· ἐὰν ὁ Πέτρος δὲν εἶχεν ἀκούσει ἀπὸ τὸ ἅγιον Πνεῦμα, δὲν θὰ ἐπορεύετο εἰς τὰ ἔθνη. Διότι ἄκουσε τί λέγει· «Ἑπομένως ὁ Θεὸς ἔδωσεν καὶ εἰς αὐτοὺς τὴν ἰδίαν δωρεὰν ὅπως καὶ εἰς ἐμᾶς»[22]. Δηλαδὴ διὰ τοῦ ἁγίου Πνεύματος ἐξέλεξεν αὐτοὺς ὁ Θεὸς διὰ νὰ λάβουν αὐτὴν τὴν χάριν. Ἔλεγον μὲν λοιπὸν οἱ προφῆται, ἀλλὰ δὲν τὰ ἐγνώριζον ἀκριβῶς ἔτσι, ὅπως βέβαια οὔτε οἱ ἀπόστολοι, παρὰ ἀφοῦ ἤκουσαν καὶ μετά· διότι ὑπερέβαινεν αὐτὸ κατὰ πολὺ τὸν ἀνθρώπινον νοῦν καὶ τὴν κοινὴν ἐλπίδα.

«Ἐφανέρωσε δηλαδὴ ὅτι οἱ ἐθνικοὶ εἶναι κληρονόμοι μαζὶ μὲ ἐσᾶς καὶ συσσωματωμένοι καὶ συμμέτοχοι τῆς ὑποσχέσεώς του»[23]. Τί σημαίνει «εἶναι κληρονόμοι μαζὶ μὲ ἐσᾶς, συμμέτοχοι καὶ συσσωματωμένοι»; Αὐτὸ εἶναι τὸ μέγα, τὸ νὰ εἶναι ἕνα σῶμα, ἡ μεγάλη δηλαδὴ ἐγγύησις. Τὸ ὅτι δηλαδὴ θὰ κληθοῦν, τὸ ἐγνώρισαν, ὄχι ὅμως τόσον πολύ. Αὐτὸ λοιπὸν ὀνομάζει μυστήριον. «Τῆς ὑποσχέσεως». Μετεῖχον ὡς Ἰσραηλῖται, συμμετεῖχον καὶ τὰ ἔθνη εἰς τὴν ὑπόσχεσιν τοῦ Θεοῦ. «Ἐν τῷ Χριστῷ διὰ τοῦ εὐαγγελίου». Δηλαδή, τὸ νὰ ἀποσταλοῦν καὶ πρὸς αὐτοὺς καὶ τὸ νὰ πιστεύσουν, ὄχι βέβαια ἐπιπολαίως, ἀλλὰ διὰ τοῦ εὐαγγελίου. Αὐτὸ ὅμως δὲν εἶναι τίποτε σπουδαῖον, ἀλλ' ἀσήμαντον·

μέγα, μικρὸν γάρ· καὶ ἄλλο μεῖζον ἡμῖν ἀποκαλύπτει, ὅτι οὐ μόνον ἄνθρωποι, ἀλλ' οὐδὲ ἄγγελοι, οὐδὲ ἀρχάγγελοι, οὐδὲ ἄλλη τις κτιστὴ δύναμις ᾔδει τοῦτο· μυστήριον γὰρ ἦν, καὶ οὐκ ἀπεκαλύφθη.

«Τὴν σύνεσίν μου», φησί, «νοῆσαι». Ἴσως δ ἐν ταῖς Πράξεσιν εἶπεν αὐτοῖς, ὅτι τίς ἡ σύνεσις αὐτοῦ, ὅτι καὶ τὰ ἔθνη προσκαλεῖται. Ταύτην ἑαυτοῦ λέγει σύνεσιν τὴν τοῦ μυστηρίου, ὃ εἶπεν, ὅτι ἐν ἑαυτῷ κτίσει εἰς ἕνα καινὸν ἄνθρωπον. Ἀπὸ γὰρ ἀποκαλύψεως ἔμαθεν, ὅτι οὐ δεῖ βδελύττεσθαι τὰ ἔθνη, καὶ οὗτος καὶ Πέτρος· καὶ τοῦτο ἐν τῇ ἀπολογίᾳ αὐτοῦ φησιν. «Οὗ ἐγενήθην διάκονος κατὰ τὴν δωρεὰν τῆς χάριτος τοῦ Θεοῦ τὴν δοθεῖσάν μοι κατὰ τὴν ἐνέργειαν τῆς δυνάμεως αὐτοῦ». Εἶπεν, ὅτι δέσμιός εἰμι, ἀλλὰ πάλιν τὸ ὅλον αὐτοῦ φησι. «Κατὰ τὴν δωρεὰν τῆς χάριτος»· κατὰ δύναμιν δωρεᾶς γέγονε τὸ ἀξίωμα τῆς τιμῆς ταύτης. Ἀλλ' οὐκ ἤρκει ἡ δωρεά, εἰ μὴ καὶ δύναμιν ἐνέθηκεν.

5. Ὄντως γὰρ δυνάμεως μεγάλης, καὶ οὐκ ἤρκει ἀνθρωπίνη σπουδή. Τρία γὰρ εἰσήνεγκεν εἰς τὸ κήρυγμα, προθυμίαν ζέουσαν καὶ παράβολον, ψυχὴν πᾶν ὁτιοῦν ὑπομεῖναι ἕτοιμον, καὶ σύνεσιν καὶ σοφίαν· οὐ γὰρ ἤρκει τὸ φιλοκίνδυνον· δύναμιν Πνεύματος, βίον ἄληπτον. Καὶ θέα ἀπ' αὐτοῦ πρώτου. Ἄκουε αὐτοῦ γράφοντος· «Ἵνα μὴ μωμηθῇ ἡ διακονία ἡμῶν»· καὶ πάλιν, «Ἡ γὰρ παράκλησις ἡμῶν οὐκ ἐκ πλάνης, οὐδὲ ἐξ ἀκαθαρσίας, οὔτε ἐν λόγῳ κολακείας, οὔτε ἐν προφάσει πλεονεξίας». Εἶδες τὸ ἄμωμον; Καὶ πάλιν, «Προνοούμενοι καλά, οὐ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων». Εἶτα μετὰ ταῦτα, «Καθ' ἑκάστην ἡμέραν ἀποθνήσκω, νὴ τὴν ὑμετέραν καύχησιν, ἣν ἔχω ἐν Χριστῷ Ἰησοῦ»·

---

24. Ἐφεσ. 5, 7.
25. Β' Κορ. 6, 3.
26. Α' Θεσ. 2, 3.
27. Ρωμ. 12, 17.

διότι μᾶς ἀποκαλύπτει καὶ ἄλλο σπουδαιότερον, ὅτι δηλαδή, ὄχι μόνον ἄνθρωποι, ἀλλ' οὔτε ἄγγελοι, οὔτε ἀρχάγγελοι, οὔτε κάποια ἄλλη κτιστὴ δύναμις ἐγνώριζε τοῦτο· διότι ἦτο μυστήριον καὶ δὲν ἀπεκαλύφθη.

«Νὰ γνωρίσετε», λέγει, «πῶς ἀντιλαμβάνομαι αὐτό». Ἴσως ἐννοεῖ αὐτὸ τὸ ὁποῖον εἶπεν εἰς αὐτοὺς εἰς τὰς Πράξεις, δηλαδὴ ποία εἶναι ἡ γνῶσις του, τὸ ὅτι προσκαλεῖ καὶ τὰ ἔθνη. Αὐτὴν ὀνομάζει ἰδικήν του γνῶσιν τοῦ μυστηρίου, τὸ ὁποῖον εἶπεν, τὸ ὅτι δηλαδὴ ὁ Κύριος θὰ δημιουργήσῃ εἰς τὸν ἑαυτόν του ἀπὸ τὰ δύο μέρη ἕνα νέον ἄνθρωπον. Διότι ἐξ ἀποκαλύψεως ἐγνώρισεν ὅτι δὲν πρέπει νὰ βδελύσσεται τὰ ἔθνη, καὶ αὐτὸς καὶ ὁ Πέτρος· καὶ αὐτὸ τὸ ἀναφέρει εἰς τὴν ἀπολογίαν του, «Τοῦ ὁποίου ἔγινα ὑπηρέτης συμφώνως πρὸς τὴν δωρεὰν τῆς χάριτος τοῦ Θεοῦ, ἡ ὁποία μοῦ ἐδόθη κατὰ τὴν ἐνέργειαν τῆς δυνάμεώς του»[24]. Εἶπεν, ὅτι εἶμαι φυλακισμένος, ἀλλὰ πάλιν ἀποδίδει τὸ πᾶν εἰς τὸν Θεόν. «Συμφώνως πρὸς τὴν δωρεὰν τῆς χάριτος»· ἀπὸ τὴν δύναμιν τῆς δωρεᾶς ἠξιώθη αὐτῆς τῆς τιμῆς. Ἀλλὰ δὲν θὰ ἦτο ἀρκετὴ ἡ δωρεά, ἐὰν δὲν εἶχε θέσει ἐντὸς αὐτοῦ καὶ δύναμιν.

5. Πράγματι λοιπὸν ἦτο ἔργον μεγάλης δυνάμεως καὶ δὲν ἦτο ἀρκετὴ καμμία ἀνθρωπίνη προσπάθεια. Διότι τρία πράγματα προσέφερεν εἰς τὸ κήρυγμα, θερμὴν καὶ ριψοκίνδυνον προθυμίαν, ψυχὴν ἕτοιμον νὰ ὑπομείνῃ ὁ,τιδήποτε, καὶ σοφίαν καὶ σύνεσιν· διότι δὲν ἦτο ἀρκετὴ ἡ προθυμία εἰς τοὺς κινδύνους· ἦτο ἀπαραίτητος καὶ ἡ δύναμις τοῦ ἁγίου Πνεύματος καθὼς καὶ βίος ἀνεπίληπτος. Καὶ πρόσεχε πρῶτα αὐτὸν τὸν ἴδιον. Ἄκουε τὰ ὅσα γράφει· «Διὰ νὰ μὴ δυσφημισθῇ ἡ ἀποστολή μας»[25]· καὶ πάλιν, «Διότι ἡ προτροπή μας δὲν προήρχετο ἀπὸ πλάνην, οὔτε ἀπὸ ἀνήθικον ἐλατήριον, οὔτε ἀπὸ δόλον»[26]. Εἶδες τὸ ἄμπεπτον; Καὶ πάλιν, «Νὰ εἶσθε προνοητικοὶ καὶ προσεκτικοί, ὄχι μόνον εἰς τοὺς ὀφθαλμοὺς τοῦ Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ὅλων τῶν ἀνθρώπων»[27]. Ὕστερον, μετὰ ἀπὸ αὐτὰ γράφει· «Κάθε ἡμέραν ἀποθνήσκω, μὰ τὴν καύχησιν τὴν ὁποίαν ἔχω δι' ἐσᾶς διὰ τοῦ Ἰησοῦ

καὶ πάλιν, «Τίς ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ; θλῖψις ἢ στενοχωρία ἢ διωγμός;»· καὶ πάλιν, «Ἐν ὑπομονῇ πολλῇ, ἐν θλίψεσιν, ἐν ἀνάγκαις, ἐν διωγμοῖς, ἐν στενοχωρίαις, ἐν πληγαῖς, ἐν φυλακαῖς».

Εἶτα ἡ οἰκονομία αὐτοῦ· «Γέγονα τοῖς Ἰουδαίοις ὡς Ἰουδαῖος, τοῖς ἀνόμοις ὡς ἄνομος, τοῖς ὑπὸ νόμον ὡς ὑπὸ νόμον»· καὶ ξυρᾶται, καὶ μυρία ποιεῖ. Τὸ δὲ πάντων κεφάλαιον, ἐν δυνάμει Πνεύματος ἁγίου. «Οὐ γὰρ τολμήσω λαλῆσαί τι», φησίν, «ὧν οὐ κατειργάσατο Χριστὸς δι' ἐμοῦ»· καὶ πάλιν, «Τί γάρ ἐστιν, ὃ ἡττήθητε ὑπὲρ τὰς λοιπὰς ἐκκλησίας;»· καὶ πάλιν, «Οὐδὲν γὰρ ὑστέρησα τῶν ὑπερλίαν ἀποστόλων, εἰ καὶ οὐδέν εἰμι». Τούτων γὰρ ἄνευ οὐ δυνατόν. Οὐ διὰ τὰ σημεῖα οὖν αὐτοῦ ἐγένοντο πιστοί· οὐ γὰρ τὰ σημεῖα τοῦτο ἐποίει· οὐδὲ ἀπὸ τούτων ἠξίου μέγα φρονεῖν, ἀλλ' ἀπὸ τῶν ἄλλων. Δεῖ γὰρ καὶ ἄληπτον εἶναι καὶ οἰκονομικὸν καὶ ῥιψοκίνδυνον καὶ διδακτικόν. Τούτοις τὸ πλέον κατωρθῶτο· εἰ ταῦτα ἦν, οὐδὲν ἔδει σημείων.

Ὁρῶμεν γοῦν αὐτὸν καὶ πρὸ τῶν σημείων μυρία τοιαῦτα κατωρθωκότα. Νῦν δὲ οὐδὲν τούτων ἔχοντες ἡμεῖς, βουλόμεθα πάντων κρατεῖν. Θάτερον γὰρ ἂν διασπασθῇ θατέρου, τὸν λοιπὸν ἄχρηστον γίνεται. Τί γὰρ ὄφελος ῥιψοκίνδυνον εἶναι, βίου ὄντα ἐπιληψίμου; «Εἰ γὰρ τὸ φῶς τὸ ἐν σοὶ σκότος», φησί, «τὸ σκότος πόσον;». Τί δὲ ὄφελος βίου εἶναι ἀλήπτου, νωθρὸν ὄντα καὶ ὑπνηλόν; «Ἐὰν γὰρ μή τις ἄρῃ τὸν

---

28. Α' Κορ. 15, 31.
29. Ρωμ. 8, 35.
30. Β' Κορ. 6, 4-5.
31. Α' Κορ. 9, 20-21.
32. Ρωμ. 15, 18.
33. Β' Κορ. 12, 13.
34. Β' Κορ. 12, 11.
35. Ματθ. 6, 23.

Χριστοῦ τοῦ Κυρίου μας»[28]· καὶ πάλιν· «Ποῖος θὰ μᾶς χωρίσῃ ἀπὸ τὴν ἀγάπην τοῦ Χριστοῦ; Θλῖψις ἢ στενοχωρία ἢ διωγμὸς ἢ πεῖνα ἢ γυμνότης ἢ κίνδυνος ἢ μάχαιρα;»[29]. Καὶ πάλιν· «Μὲ τὴν μεγάλην ὑπομονήν μας εἰς τὰς θλίψεις, εἰς τὰς ταλαιπωρίας, εἰς τοὺς διωγμούς, εἰς τὰς στενοχωρίας, εἰς τὰς μαστιγώσεις, εἰς τὰς φυλακίσεις»[30].

Ὕστερον ἀναφέρει τὴν τακτικήν του· «Καὶ ἔγινα εἰς τοὺς Ἰουδαίους ὡς Ἰουδαῖος, εἰς τοὺς ἐκτὸς νόμου ὡσὰν νὰ ἤμουν ἔξω ἀπὸ τὸν νόμον, εἰς ἐκείνους οἱ ὁποῖοι ἦσαν ὑπὸ τὸν νόμον, ἔγινα ὡσὰν νὰ ἤμουν ὑπὸ τὸν νόμον»[31]· καὶ ξυρίζεται, καὶ κάνει ὁ,τιδήποτε διὰ τὴν σωτηρίαν των. Καὶ τὸ σπουδαιότερον ἀπὸ ὅλα εἶναι ὅτι ὅλα αὐτὰ τὰ πραγματοποιεῖ μὲ τὴν δύναμιν τοῦ ἁγίου Πνεύματος. «Διότι δὲν θὰ τολμήσω ν' ἀναφέρω κάτι», λέγει, «ποὺ νὰ μὴ τὸ ἔκαμεν ὁ Χριστὸς δι' ἐμοῦ»[32]· καὶ πάλιν· «Κατὰ τί λοιπὸν εἴσθε κατώτεροι ἀπὸ τὰς ἄλλας ἐκκλησίας;»[33], καὶ πάλιν· «Διότι εἰς τίποτε δὲν ἐφάνην κατώτερος ἀπὸ τοὺς ἐξοχωτέρους ἀποστόλους, ἂν καὶ δὲν εἶμαι τίποτε»[34]. Διότι χωρὶς αὐτὰ δὲν ἦτο δυνατόν. Δὲν ἔγιναν λοιπὸν πιστοὶ ἐξ αἰτίας τῶν θαυμάτων του· διότι αὐτὸ δὲν τὸ ἔκαμνον τὰ θαύματα· οὔτε ἀπὸ αὐτὰ ἐνόμιζεν ὅτι πρέπει νὰ καυχᾶται, ἀλλ' ἀπὸ τὰ ἄλλα. Πρέπει λοιπὸν καὶ ἀνεπίληπτος νὰ εἶναι, καὶ ἱκανὸς εἰς τὸ νὰ διοικῇ, καὶ ριψοκίνδυνος, καὶ ἱκανὸς νὰ διδάσκῃ. Δι' αὐτῶν κατωρθώνετο τὸ μεγαλύτερον μέρος ἀπὸ αὐτά· ἐὰν ὑπῆρχον αὐτά, δὲν ἐχρειάζοντο τὰ θαύματα.

Βλέπομεν λοιπὸν αὐτὸν καὶ πρὶν ἀπὸ τὰ θαύματα, νὰ ἔχῃ κατορθώσει πάρα πολλά. Τώρα δέ, ἐνῷ δὲν ἔχομεν τίποτε ἀπὸ αὐτὰ ἐμεῖς, θέλομεν νὰ ἐξουσιάζωμεν τὰ πάντα. Διότι ἐὰν τὸ ἓν ἀπὸ τὰ δύο ἀποσπασθῇ ἀπὸ τὸ ἄλλο, γίνεται ἄχρηστον τοῦ λοιποῦ. Πράγματι, τί ὠφελεῖ τὸ νὰ εἶναι κανεὶς ριψοκίνδυνος, ὅταν ἡ ζωή του εἶναι ἐπιλήψιμος; Διότι λέγει· «Ἐὰν τὸ ἐσωτερικόν σου φῶς εἶναι σκότος, πόσον μεγάλο εἶναι τὸ σκότος;»[35]. Ποῖον δὲ τὸ ὄφελος ἐὰν ἔχῃ κανεὶς ζωὴν ἀνεπίληπτον, ἀλλ' εἶναι νωθρὸς καὶ ὑπναρᾶς;

σταυρὸν αὐτοῦ», φησί, «καὶ ἀκολουθήσῃ ὀπίσω μου, οὐκ ἔστι μου ἄξιος»· καί, «Ἐὰν μή τις θῇ τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων». Τί δὲ ὄφελος εἶναι ταῦτα ἀμφότερα, καὶ μὴ εἶναι οἰκονομικόν, «τῷ εἰδέναι πῶς δεῖ ἑνὶ ἑκάστῳ ἀποκρίνασθαι»; Εἰ καὶ τὰ σημεῖα οὐκ ἐν ἡμῖν, ταῦτα ἀμφότερα ἐν ἡμῖν.

Ἀλλ' ὅμως τοσαῦτα εἰσφέρων παρ' ἑαυτοῦ, τὸ πᾶν ἐλογίζετο τῇ χάριτι. Τοῦτο εὐγνώμονος οἰκέτου. Καὶ οὐδ' ἂν ἐμάθομεν αὐτοῦ ποτε τὰ κατορθώματα, εἰ μὴ εἰς ἀνάγκην κατέστη τοῦ πράγματος· Ἆρα ἄξιοί ἐσμεν κἂν μεμνῆσθαι Παύλου; Ἐκεῖνος καὶ τὴν χάριν ἔχων βοηθοῦσαν, οὐκ ἠρκεῖτο, ἀλλὰ μυρίους εἰσέφερε κινδύνους· ἡμεῖς δὲ ἀπεστερημένοι τῆς παρρησίας ἐκείνης, πόθεν, εἰπέ μοι, προσδοκῶμεν ἢ τοὺς ἐγχειρισθέντας φυλάξαι ἢ τοὺς οὐδέπω προσελθόντας προσλαβεῖν, ἄνθρωποι τρυφᾶν μεμελετηκότες, καὶ ἀνάπαυσιν πανταχοῦ ζητοῦντες, καὶ κινδύνους οὐδὲ ὄναρ ἐνέγκαι δυνάμενοι, μᾶλλον δὲ οὐ θέλοντες, τῆς δὲ σοφίας ἐκείνου τοσοῦτον ἀπέχοντες, ὅσον ὁ οὐρανὸς τῆς γῆς; Διὰ τοῦτο καὶ οἱ ὑφ' ἡμῖν πολὺ τῶν τότε ἀφεστήκασιν, ἐπειδὴ οἱ τότε μαθηταὶ τῶν νῦν διδασκάλων κρείττους ἦσαν, ἐν μέσοις δήμοις καὶ τυράννοις ἀπειλημμένοι, καὶ πάντας πάντοθεν ἔχοντες πολεμίους, καὶ οὐδὲ πρὸς βραχὺ καθελκόμενοι καὶ ἐπικαμπτόμενοι.

6. Ἄκουε γοῦν Φιλιππησίοις τί φησι· «Ὅτι ὑμῖν ἐχαρίσθη τὸ ὑπὲρ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν»· Θεσσαλονικεῦσι δὲ πάλιν, ὅτι «Μιμηταὶ ἐγένεσθε τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ τῶν ἐν τῇ Ἰουδαίᾳ». Καὶ Ἑβραίοις δὲ γράφων ἔλεγε· «Καὶ τὴν ἁρπαγὴν

36. Ματθ. 10, 38.
37. Ἰωάν. 10, 11.
38. Κολοσ. 4, 6.
39. Φιλιπ. 1, 29.
40. Α΄ Θεσσ. 2, 14.

«Ἐκεῖνος ὁ ὁποῖος δὲν παίρνει τὸν σταυρόν του καὶ δὲν μὲ ἀκολουθεῖ», λέγει, «δὲν εἶναι ἄξιος δι' ἐμέ»[36]· Καί, «Ἐὰν κάποιος δὲν θυσιάζῃ τὴν ζωήν του διὰ τὰ πρόβατα»[37]. Τί τὸ ὄφελος δὲ ἐὰν ἔχῃ αὐτὰ καὶ τὰ δύο, ἀλλὰ δὲν εἶναι ἱκανὸς διαχειριστής, «εἰς τὸ νὰ γνωρίζῃ πῶς πρέπει ν' ἀπαντᾷ εἰς τὸν καθένα»[38]; Ἂν καὶ δὲν ἔχομεν νὰ παρουσιάσωμεν θαύματα, ὅμως αὐτὰ τὰ δύο ἀποτελοῦν κτῆμα μας.

Ἀλλ' ὅμως ἐνῷ προσέφερεν τόσα, τὸ πᾶν ἀπέδιδεν εἰς τὴν χάριν. Αὐτὸ εἶναι γνώρισμα εὐγνώμονος δούλου. Καὶ δὲν θὰ ἐγνωρίζαμεν ποτὲ τὰ κατορθώματά του, ἐὰν δὲν εἶχεν ἀναγκασθῇ νὰ τὸ κάνῃ. Ἆρά γε εἴμεθα ἄξιοι ἔστω κα νὰ ἐνθυμούμεθα τὸν Παῦλον; Ἐκεῖνος ἂν καὶ εἶχε βοηθὸν καὶ τὴν χάριν, δὲν ἠρκεῖτο, ἀλλὰ προσέφερε τὴν ὑπομονήν του εἰς ἀπείρους κινδύνους· ἐμεῖς δέ, στερημένοι ἀπὸ τὴν παρρησίαν ἐκείνην, ἀπὸ ποῦ, εἰπέ μου, περιμένομεν εἴτε νὰ φυλάξωμεν ἐκείνους τοὺς ὁποίους μᾶς παρέδωσαν, εἴτε νὰ προσθέσωμεν εἰς τὸ ποίμνιόν μας ἐκείνους οἱ ὁποῖοι ἀκόμη δὲν προσῆλθον, καθ' ἣν στιγμὴν εἴμεθα ἄνθρωποι οἱ ὁποῖοι ἐμάθομεν νὰ φροντίζωμεν ἐπιμελῶς δι' ἀπολαύσεις, καὶ νὰ ζητῶμεν παντοῦ ἀνάπαυσιν, καὶ δὲν ἠμποροῦμεν νὰ ὑποφέρωμεν κινδύνους οὔτε εἰς τὸ ὄνειρον, ἢ καλύτερα δὲν θέλομεν, ἀπέχομεν δὲ ἀπὸ τὴν σοφίαν ἐκείνου τόσον, ὅσον ὁ οὐρανὸς ἀπὸ τὴν γῆν; Διὰ τοῦτο καὶ οἱ σημερινοὶ ἀπέχουν πολὺ ἀπὸ τοὺς τότε, ἐπειδὴ οἱ τότε μαθηταὶ ἦσαν καλύτεροι ἀπὸ τοὺς σημερινοὺς διδασκάλους, καὶ εὑρισκόμενοι ἐν μέσῳ ὄχλων καὶ τυράννων, καὶ πολεμούμενοι ἀπὸ ὅλους γενικῶς, οὔτε κἂν μίαν στιγμὴν ὑπετάσσοντο ἢ ἐκάμπτοντο.

6. Ἄκουε λοιπὸν τί λέγει εἰς τοὺς Φιλιππησίους· «διότι εἰς ἐσᾶς ἐχαρίσθη τὸ νὰ κάνετε αὐτὸ πρὸς χάριν τοῦ Χριστοῦ, ὄχι μόνον τὸ νὰ πιστεύετε εἰς αὐτόν, ἀλλὰ καὶ τὸ νὰ πάσχετε δι' αὐτόν»[39]. Εἰς τοὺς Θεσσαλονικεῖς δὲ πάλιν: «Σεῖς, ἀδελφοί, ἀκολουθήσατε τὸ παράδειγμα τῶν ἐκκλησιῶν τοῦ Θεοῦ, ποὺ εἶναι εἰς τὴν Ἰουδαίαν»[40]. Καὶ εἰς τοὺς Ἑβραίους

των ὑπαρχόντων ὑμῶν μετὰ χαρᾶς προσεδέξασθε». Καὶ Κολασσαεῦσι δὲ μαρτυρεῖ λέγων· «Ἀπεθάνετε γάρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ»· καὶ αὐτοῖς δὲ τούτοις πολλοὺς κινδύνους μαρτυρεῖ. Καὶ Γαλάταις δὲ γράφων λέγει· «Τοσαῦτα ἐπάθετε εἰκῇ· εἴγε καὶ εἰκῇ». Καὶ ὁρᾷς αὐτοὺς περὶ εὐποιΐας πάντας ἐσχολακότας. Διὰ τοῦτο καὶ ἡ χάρις ἐνήργει τότε, διὰ τοῦτο καὶ ἐν κατορθώμασιν ἔζων. Τί δὲ Κορινθίοις γράφει, ἄκουε, οἷς μυρία ἐγκαλεῖ· οὐχὶ καὶ αὐτοῖς μαρτυρεῖ, λέγων, «Ἀλλὰ τὸν ζῆλον ὑμῶν ἀλλὰ τὴν ἐπιπόθησιν»; Καὶ πάλιν καὶ περὶ Τίτου ὅσα αὐτοῖς λέγει.

Ταῦτα οὐδὲ ἐν διδασκάλοις ἴδοι τις ἂν γενόμενα νῦν· ὥστε πάντα οἴχεται καὶ ἀπόλωλε. Τὸ δὲ αἴτιον τὸ τὴν ἀγάπην ἐψύχθαι· τὸ τοὺς ἁμαρτάνοντας μὴ κολάζεσθαι· ἄκουε γὰρ αὐτοῦ γράφοντος τῷ Τιμοθέῳ, καὶ λέγοντος· «Τοὺς ἁμαρτάνοντας ἐνώπιον πάντων ἔλεγχε»· τὸ τοὺς ἄρχοντας νοσεῖν· τῆς γὰρ κεφαλῆς οὐχ ὑγιαινούσης, πῶς ἂν τὸ λοιπὸν σῶμα εὔρωστον μένοι; Ὅρα γοῦν ἀνωμαλία ὅση. Οἱ μὲν γὰρ ὀρθῶς βιοῦντες, καὶ ὁπωσδήποτε παρρησίαν ἔχοντες, τὰς κορυφὰς τῶν ὀρέων κατειλήφασι, καὶ ἐκ μέσου γεγόνασιν, ὥσπερ πολεμίου καὶ ἀλλοτρίου, ἀλλ' οὐχὶ οἰκείου σώματος ἀποσπώμενοι· φθόροι δὲ καὶ μυρίων γέμοντες κακῶν εἰσεπήδησαν εἰς τὰς Ἐκκλησίας. Ὠνηταὶ γεγόνασιν αἱ ἀρχαί. Μυρία ἐντεῦθεν τίκτεται κακά, καὶ οὐδεὶς ὁ διορθούμενος, οὐδεὶς ὁ ἐπιτιμῶν· ἀλλ' ὁδόν τινα καὶ ἀκολουθίαν ἔλαβεν ἡ ἀταξία. Ἥμαρτέ τις καὶ ἐνεκλήθη; Οὐ πρὸς τὸ δεῖξαι ἄθω-

41. Ἑβρ. 10, 34.
42. Κολοσ. 3, 3.
43. Γαλ. 3, 4.
44. Β' Κορ. 7, 11.
45. Β' Κορ. 8, 16-17.
46. Α' Τιμ. 5, 20.

δὲ γράφων ἔλεγε· «καὶ τὴν διαρπαγὴν τῶν ὑπαρχόντων σας μὲ χαρὰν τὴν ἐδέχθητε»[41]. Καὶ εἰς τοὺς Κολοσσαεῖς γράφων βεβαιώνει τὸ ἴδιο λέγων· «Διότι ἔχετε ἀποθάνει καὶ ἡ ζωή σας εἶναι κρυμμένη μαζὶ μὲ τὸν Χριστὸν εἰς τὸν Θεόν»[42]. Καὶ μὲ αὐτοὺς τοὺς λόγους του βεβαιώνει πολλοὺς κινδύνους. Καὶ εἰς τοὺς Γαλάτας δὲ γράφων λέγει· «Τὰ τόσα ποὺ ἐπάθατε, ἀπέβησαν μάταια· ἐὰν βέβαια μόνον μάταια!»[43]. Καὶ βλέπεις ὅλους αὐτοὺς νὰ εὐκαιροῦν δι' εὐεργεσίαν. Διὰ τοῦτο καὶ ἡ χάρις ἐνήργει τότε, διὰ τοῦτο καὶ ἔζων μέσα εἰς κατορθώματα. Ἄκουσε δὲ τί γράφει εἰς τοὺς Κορινθίους, τοὺς ὁποίους διὰ πολλὰ κατηγορεῖ· δὲν βεβαιώνει τὸ ἴδιο καὶ δι' αὐτοὺς ὅταν λέγῃ «πόσον μεγάλος ὁ ζῆλος σας, πόσον μεγάλος ὁ πόθος σας»[44]; Καὶ πάλιν ὅσα λέγει εἰς αὐτοὺς διὰ τὸν Τίτον[45].

Αὐτὰ οὔτε εἰς τοὺς διδασκάλους θὰ ἴδῃ κανεὶς νὰ γίνωνται σήμερον· ὥστε τὰ πάντα ἐχάθησαν καὶ ἠφανίσθησαν. Ἡ δὲ αἰτία εἶναι ὅτι ἐψυχράνθη ἡ ἀγάπη, ὅτι δὲν τιμωροῦνται οἱ ἁμαρτάνοντες· ἄκουε λοιπὸν αὐτὸν ποὺ γράφει εἰς τὸν Τιμόθεον καὶ λέγει· «Ἐκείνους οἱ ὁποῖοι ἁμαρτάνουν νὰ τοὺς ἐλέγχῃς ἐνώπιον ὅλων»[46]· καθὼς ἐπίσης διὰ τὸ ὅτι οἱ ἄρχοντες εἶναι ἀσθενεῖς· διότι, ὅταν δὲν εἶναι ὑγιὴς ἡ κεφαλή, πῶς εἶναι δυνατὸν νὰ εἶναι εὔρωστον τὸ ὑπόλοιπον σῶμα; Πρόσεχε λοιπὸν πόση ἀνωμαλία ἐπικρατεῖ. Διότι ἐκεῖνοι οἱ ὁποῖοι ζοῦν ὀρθῶς καὶ ἔχουν ὁπωσδήποτε παρρησίαν, κατέλαβον τὰς κορυφὰς τῶν ὀρέων, καὶ ἔφυγαν ἀπὸ τὸ κέντρον, ἀφοῦ ἀπεσπάσθησαν ἀπὸ τὸ ὅλον σῶμα, ὡσὰν νὰ ἦτο ἐχθρικὸν καὶ ξένον καὶ ὄχι ἰδικόν των· καταστροφεῖς δὲ γεμᾶτοι μὲ ἀμέτρητα κακὰ εἰσέβαλον μέσα εἰς τὰς ἐκκλησίας. Αἱ ἀρχαὶ κατήντησαν νὰ ἐξαγοράζωνται. Πολλὰ κακὰ γεννῶνται ἀπὸ ἐδῶ καὶ δὲν ὑπάρχει κανεὶς διὰ νὰ τὰ διορθώσῃ, κανεὶς διὰ νὰ τοὺς ἐπιτιμήσῃ· ἀλλ' ἡ ἀταξία κατέλαβε κάποιαν ὁδὸν καὶ συνεχίζει τὴν πορείαν της. Ἡμάρτησε κάποιος καὶ κατηγορήθη δι' αὐτό; Δὲν σπεύδει ν' ἀποδείξῃ ὅτι εἶναι ἀθῶος, ἀλλὰ προχωρεῖ νὰ εὕρῃ καὶ ἄλ-

ον ἑαυτὸν σπεύδει, ἀλλὰ πρὸς τὸ δυνηθῆναι κοινωνοὺς τῶν ἐγκλημάτων εὑρεῖν. Τί πάθω, ὅτι γέεννα ἠπείληται;

7. Πιστεύσατέ μοι, ὡς εἰ μὴ ἐκεῖ τεταμίευτο τὴν κόλασιν ἡμῖν ὁ Θεός, τῶν Ἰουδαϊκῶν συμφορῶν μείζους ἂν εἴδετε καθ' ἑκάστην ἡμέραν τραγῳδίας. Τί γάρ; ἀλλὰ μὴ ὀργισθήτω μηδείς· οὐ γὰρ ὀνομαστὶ ἐρῶ· εἴ τις παραγενόμενος εἰς τὴν ἐκκλησίαν, ὑμᾶς τοὺς νῦν ὄντας ἐνθάδε παραστήσας, τοὺς μεθ' ἡμῶν ὄντας, ἐξέτασιν ἐποιεῖτο· μᾶλλον δὲ οὐ νῦν, ἀλλ' εἴ τις κατὰ τὴν ἡμέραν τοῦ Πάσχα πάντας τοὺς προσιόντας καὶ λουομένους, μετὰ τὸ προσελθεῖν τοῖς μυστηρίοις ἐξήτασε μετὰ ἀκριβείας, Πνεῦμα τοιοῦτον λαβών, ὥστε εἰδέναι τὰ πεπραγμένα αὐτοῖς μετὰ ἀκριβείας, πολλὰ ἂν εὑρέθη βαρύτερα τῶν Ἰουδαϊκῶν κακῶν. Καὶ γὰρ οἰωνιζομένους, καὶ φαρμακείαις καὶ κληδονισμοῖς καὶ ἐπῳδαῖς κεχρημένους, καὶ πεπορνευκότας, καὶ μοιχεύσαντας, καὶ μεθύσους, καὶ λοιδόρους εὗρεν ἄν. Πλεονέκτας δὲ οὐ βούλομαι λέγειν, μὴ καί τινων ἅψωμαι τῶν ἐνθάδε ἑστώτων.

Τί δέ, εἴ τις τοὺς ἐν τῇ οἰκουμένῃ προσιόντας ἅπαντας ἠρεύνησε, ποῖον οὐκ ἂν εὗρε πλημμέλημα; Τί δὲ τοὺς ἄρχοντας; οὐχὶ χρημάτων ἐφιεμένους, οὐχὶ ἀρχὰς ὠνουμένους, οὐχὶ φθονερούς, οὐχὶ βασκάνους, οὐχὶ κενοδόξους, οὐχὶ λαιμάργους, καὶ χρημάτων δούλους; Τοσαύτης οὖν ἀσεβείας γινομένης, τί οὐχὶ προσδοκῆσαι χρὴ δεινόν; Καὶ ἵνα μάθητε ὅσῃ τιμωρίᾳ ὑπεύθυνοί εἰσιν οἱ τούτοις ἁλισκόμενοι τοῖς ἁμαρτήμασιν, ἐννοεῖτε τὰ παλαιά. Εἷς ἔκλεψεν ἱερὰ χρήματα στρατιώτης ἄνθρωπος, καὶ πάντες ἀπώλοντο. Ἆρα ἴστε τὴν ἱστορίαν; Περὶ τοῦ Χαρμὶ λέγω τοῦ τὸ ἀνάθημα κλέψαντος. Διὰ τοῦτο καὶ ὁ προφήτης ἔλεγεν, ὅτι «Ἐνεπλήσθη ἡ χώρα αὐτῶν κληδονισμῶν, ὡς ἡ τῶν ἀλλοφύλων». Νῦν δὲ μυρία γέμει πανταχοῦ κακά, καὶ οὐδεὶς δέδοικε.

---

47. Ἡσ. 2, 6.

λους οἱ ὁποῖοι νὰ μετάσχουν εἰς τὰ ἐγκλήματά του. Τί πρόκειται νὰ πάθω ἀπὸ τὴν ἀπειλὴν περὶ τῆς γεέννης;

7. Πιστεύσατέ με, ὅτι ἐὰν δὲν εἶχεν ἀναβάλλει ἐκεῖ τὴν κόλασιν δι' ἐμᾶς ὁ Θεός, θὰ ἐβλέπατε καθ' ἡμέραν τραγῳδίας μεγαλυτέρας ἀπὸ τὰς Ἰουδαϊκὰς συμφοράς. Τί δηλαδή; Ἀλλ' ἂς μὴ ὀργισθῇ κανείς· διότι δὲν θ' ἀναφέρω ὀνόματα· ἐὰν κάποιος δηλαδὴ ἤρχετο εἰς τὴν ἐκκλησίαν μὲ σκοπὸν νὰ ἐλέγξῃ ἐσᾶς τοὺς εὑρισκομένους τώρα ἐδῶ μαζὶ μὲ ἐμᾶς, ἢ καλύτερα ὄχι τώρα, ἀλλ' ἐὰν κάποιος ἐξήταζε μὲ λεπτομέρειαν μετὰ τὰ μυστήρια κατὰ τὴν ἡμέραν τοῦ Πάσχα ὅλους ἐκείνους ποὺ προσέρχονται καὶ βαπτίζονται καὶ ἤθελε λάβει τέτοιαν χάριν, ὥστε νὰ γνωρίζῃ ἀκριβῶς τὰς πράξεις των, πολλὰ θὰ εὕρισκε βαρύτερα ἀπὸ τὰς ἁμαρτίας τῶν Ἰουδαίων. Καὶ μάλιστα θὰ ἦτο δυνατὸν νὰ εὕρῃ ἀνθρώπους νὰ ἐπιδίδωνται εἰς τὴν μαντείαν, τὴν μαγείαν, τὴν γοητείαν, καὶ ἄλλους ποὺ νὰ πορνεύουν καὶ νὰ μοιχεύουν, καθὼς καὶ μεθύσους καὶ ὑβριστάς. Πλεονέκτας δὲ δὲν θέλω νὰ εἴπω, μήπως καὶ θίξω μερικοὺς ἀπὸ τοὺς εὑρισκομένους ἐδῶ.

Τί δέ, ἐὰν κάποιος ἐξήταζεν ὅσους εὑρίσκονται εἰς τὴν οἰκουμένην, ποίαν ἁμαρτίαν δὲν θὰ εὕρισκε; Ποίους λοιπόν, τοὺς ἄρχοντας; Δὲν θὰ τοὺς εὕρισκε νὰ ποθοῦν χρήματα, νὰ ἐξαγοράζουν ἀξιώματα, νὰ εἶναι φθονεροὶ καὶ βάσκανοι, νὰ εἶναι κενόδοξοι, λαίμαργοι καὶ δοῦλοι χρημάτων; Τὴν στιγμὴν λοιπὸν ποὺ ἡ ἀσέβεια ηὐξήθη τόσον, ποῖα δεινὰ δὲν πρέπει νὰ ἀναμένωμεν; Καὶ διὰ νὰ γνωρίσετε πόσης τιμωρίας ὑπεύθυνοι εἶναι αὐτοὶ ποὺ κυριεύονται ἀπὸ αὐτὰ τ' ἁμαρτήματα, ἀναλογισθῆτε τὰ παλαιά. Ἕνας ἔκλεψεν ἱερὰ χρήματα, στρατιώτης ἄνθρωπος καὶ ὅλοι κατεστράφησαν. Ἆρά γε γνωρίζετε τὴν ἱστορίαν; Διὰ τὸν Χαρμὶ λέγω, ὁ ὁποῖος ἔκλεψε τὸ ἀφιέρωμα. Διὰ τοῦτο καὶ ὁ προφήτης ἔλεγεν· «Ἐγέμισεν ἡ χώρα ἀπὸ μάντεις μὲ τὰς μαντείας των, ὅπως ἡ χώρα τῶν ἀλλοφύλων»[47]. Σήμερα ὅμως ἀμέτρητα κακὰ ἐπικρατοῦν παντοῦ καὶ κανεὶς δὲν φοβεῖται.

Φοβηθῶμεν λοιπόν. Οἶδεν ὁ Θεὸς καὶ δικαίους μετὰ ἀσεβῶν τιμωρεῖσθαι, οἷον γέγονεν ἐπὶ τοῦ Δανιήλ, ἐπὶ τῶν τριῶν παίδων, οἷον ἐπὶ μυρίων ἑτέρων, οἷον ἐπὶ τῶν πολέμων τῶν ἔτι καὶ νῦν συμβαινόντων. Οὗτοι μὲν γὰρ καὶ αὐτὸ ὅσον ἔχουσιν ἁμαρτημάτων βάρος, διὰ τούτου ἀποτίθενται, ἐκεῖνοι δὲ οὔ. Διὰ ταῦτα πάντα προσέχωμεν ἑαυτοῖς. Οὐχ ὁρᾶτε τοὺς πολέμους; οὐκ ἀκούετε τὰς συμφοράς; οὐ παιδεύεσθε τούτοις; Ἔθνη καὶ πόλεις ὁλόκληροι κατεποντίσθησαν καὶ ἀπώλοντο, μυριάδες τοσαῦται παρὰ τοῖς βαρβάροις δουλεύουσιν· ἂν μὴ τῇ γεέννῃ σωφρονιζώμεθα, κἂν τούτοις. Μὴ καὶ ταῦτα ἀπειλαί εἰσιν, οὐχὶ πράγματα ἐκβεβηκότα; Μεγάλην ἐκεῖνοι τὴν δίκην ἔδωκαν, ἀλλὰ μείζονα δώσομεν ἡμεῖς, οἱ μηδὲ ταῖς ἐκείνων σωφρονιζόμενοι συμφοραῖς. Φορτικὸς ὁ λόγος, οἶδα κἀγώ, ἀλλ' ἐὰν αὐτῷ προσέχωμεν, κέρδος ἔχων. Οὐ γὰρ ἀεὶ δεῖ τὰ πρὸς χάριν ὁμιλεῖν, μᾶλλον δὲ οὐδέποτε, ἀλλ' ἀεὶ τὰ δυνάμενα συστεῖλαι καὶ σωφρονίσαι τὴν ψυχήν. Ταῦτα γὰρ αἴτια ἡμῖν γίνεται τῶν μελλόντων ἀγαθῶν· ὧν γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἂς φοβηθῶμεν λοιπόν. Γνωρίζει ὁ Θεὸς νὰ τιμωρῇ καὶ τοὺς δικαίους μαζὶ μὲ τοὺς ἀσεβεῖς, ὅπως ἔγινεν εἰς τὸν Δανιήλ, εἰς τοὺς τρεῖς παῖδας, ὅπως εἰς μυρίους ἄλλους, ὅπως εἰς τοὺς πολέμους οἱ ὁποῖοι ἀκόμη καὶ τώρα γίνονται. Διότι αὐτοὶ μέν, διὰ τῶν τιμωριῶν αὐτῶν, ἀπαλλάσσονται ἀπὸ τὸ βάρος τῶν ἁμαρτημάτων ποὺ ἔχουν, ἐκεῖνοι ὅμως ὄχι. Δι' ὅλα αὐτὰ ἂς προσέχωμεν τοὺς ἑαυτούς μας. Δὲν βλέπετε τοὺς πολέμους; Δὲν ἀκοῦτε τὰς συμφοράς; Δὲν συμμορφώνεσθε μὲ αὐτά; Ἔθνη καὶ πόλεις ὁλόκληροι κατεποντίσθησαν καὶ ἐχάθησαν, χιλιάδες ἀπὸ αὐτὰς ὑπεδουλώθησαν εἰς τοὺς βαρβάρους· ἂν δὲν σωφρονιζώμεθα ἀπὸ τὴν ἀπειλὴν περὶ τῆς γεέννης, τοὐλάχιστον ἂς ἀπομακρυνθῶμεν ἀπὸ αὐτά. Μήπως καὶ αὐτὰ εἶναι ἀπειλαὶ καὶ ὄχι γεγονότα τὰ ὁποῖα συνέβησαν; Μεγάλην καταδίκην ἔλαβον ἐκεῖνοι, ἀλλὰ μεγαλυτέραν θὰ λάβωμεν ἐμεῖς, οἱ ὁποῖοι δὲν σωφρονιζόμεθα οὔτε μὲ τὰς συμφορὰς ἐκείνων. Ἐνοχλητικὸς ὁ λόγος, τὸ γνωρίζω καὶ ἐγώ, ἀλλ' ἐὰν προσέχωμεν εἰς αὐτόν, δίδει κέρδος. Δὲν πρέπει βεβαίως νὰ ὁμιλῶμεν πάντοτε δι' ὅσα εὐχαριστοῦν, μᾶλλον δὲ ποτέ, ἀλλὰ πάντοτε δι' ἐκεῖνα τὰ ὁποῖα ἔχουν τὴν δύναμιν νὰ ταπεινώσουν καὶ νὰ σωφρονίσουν τὴν ψυχήν. Διότι αὐτὰ γίνονται εἰς ἐμᾶς αἴτια τῶν μελλόντων ἀγαθῶν, τὰ ὁποῖα εἴθε νὰ ἐπιτύχωμεν ὅλοι, διὰ τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα, ἀνήκει δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Ζ'
Ἐφεσ. 3,8—21

«Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη, ἐν τοῖς ἔθνεσιν εὐαγγελίσασθαι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ, καὶ φωτίσαι πάντας, τίς ἡ οἰκονομία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ, ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς Ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ, κατὰ πρόθεσιν τῶν αἰώνων, ἣν ἐποίησεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν».

1. Τοὺς εἰς ἰατρεῖον ἐρχομένους οὐχ ἁπλῶς ἐκεῖ δεῖ πορεύεσθαι, ἀλλ' ὥστε μανθάνειν θεραπεύεσθαι, καὶ φάρμακα ἐπιτιθέναι. Καὶ ἡμᾶς τοίνυν ἐνταῦθα παραγινομένους, οὐχ ἁπλῶς δεῖ τοῦτο ποιεῖν, ἀλλὰ μανθάνειν τῆς ταπεινοφροσύνης Παύλου τὴν ὑπερβολήν. Τί γάρ; Ἐπειδὴ ἔμελλε λέγειν τὸ μέγεθος τῆς χάριτος τοῦ Θεοῦ, ἄκουσον τί φησιν· «Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη». Ἦν μὲν ταπεινοφροσύνης καὶ τὸ ἐπὶ τοῖς προτέροις ἁμαρτήμασι καὶ ἐξηλειμμένοις θρηνεῖν, καὶ μεμνῆσθαι αὐτῶν, καὶ μετριάζειν, ὡς ὅταν λέγῃ βλάσφημον ἑαυτὸν καὶ διώκτην καὶ ὑβριστήν· ἀλλ' οὐδὲν ἴσον τούτου. Πρότερον γάρ, φησί, τοιοῦτος ἤμην, καὶ ἔκτρωμα ἑαυτὸν καλεῖ· τὸ δὲ μετὰ τοσαῦτα κατορθώματα

1, Ἐφεσ. 3, 8-11.

ΛΟΓΟΣ Ζ΄

Ἐφεσ. 3,8 — 21

«Εἰς ἐμὲ τὸν ἐλαχιστότερον ἀπὸ ὅλους τοὺς ἁγίους· ἐδόθη ἡ χάρις αὐτή, νὰ κηρύξω εἰς τοὺς ἐθνικοὺς τὸ χαρμόσυνον ἄγγελμα διὰ τὸν ἀνεξερεύνητον πλοῦτον τοῦ Χριστοῦ καὶ νὰ φωτίσω ὅλους, ὥστε νὰ γνωρίσουν ποῖον εἶναι τὸ μυστικὸν σχέδιον ποὺ ἦτο κρυμμένον ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ, ὁ ὁποῖος ἐδημιούργησε τὰ πάντα διὰ τοῦ Ἰησοῦ Χριστοῦ, διὰ νὰ γνωρισθῇ τώρα εἰς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας εἰς τὰ ἐπουράνια, διὰ τῆς ἐκκλησίας, ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ, συμφώνως πρὸς τὴν προαιώνιον θέλησιν, τὴν ὁποίαν ἐπραγματοποίησε διὰ τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας»[1].

1. Αὐτοὶ οἱ ὁποῖοι ἔρχονται εἰς τὸ ἰατρεῖον δὲν πρέπει ἁπλῶς νὰ πηγαίνουν ἐκεῖ, ἀλλὰ διὰ νὰ μαθαίνουν νὰ θεραπεύωνται καὶ νὰ τοποθετοῦν φάρμακα ἐπάνω εἰς τὰς πληγάς. Καὶ ἐμεῖς λοιπὸν οἱ ὁποῖοι ἔχομεν ἔλθει, δὲν πρέπει νὰ ἐρχώμεθα ἐπιπολαίως, ἀλλὰ διὰ νὰ μάθωμεν τὴν ὑπερβολικὴν ταπεινοφροσύνην τοῦ Παύλου. Τί δηλαδή; Ἐπειδὴ ἐπρόκειτο νὰ ὁμιλήσῃ διὰ τὸ μέγεθος τῆς χάριτος τοῦ Θεοῦ, ἄκουσε τί λέγει· «Εἰς ἐμὲ τὸν ἐλαχιστότερον ἀπὸ ὅλους τοὺς ἁγίους ἐδόθη ἡ χάρις αὐτή». Ἦτο μὲν ἀποτέλεσμα ταπεινοφροσύνης καὶ τὸ νὰ θρηνῇ διὰ τὰ προηγούμενα ἁμαρτήματα καὶ πλημμελήματα, καὶ τὸ νὰ τὰ ἐνθυμῆται καὶ νὰ ταπεινώνεται, ὅπως ὅταν λέγῃ τὸν ἑαυτόν του βλάσφημον καὶ διώκτην καὶ ὑβριστήν· ἀλλὰ τίποτε δὲν εἶναι ἴσον πρὸς αὐτό. Προηγουμένως δηλαδή, λέγει, ἤμουν τέτοιος, καὶ ὀνομάζει τὸν ἑαυτόν του ἔκτρωμα· ἀλλὰ τὸ νὰ ταπεινοφρονῇ καὶ μετὰ ἀπὸ τόσα κατορθώματα καὶ ἐπὶ τοῦ παρόντος, καὶ τὸ νὰ λέγῃ τὸν ἑαυτόν του ἐλαχιστότερον

καὶ ἐπὶ τοῦ παρόντος μετριάζειν, καὶ πάντων ἑαυτὸν λέγειν ἐλαχιστότερον, πολλῆς καὶ ὑπερβαλλούσης ἐστὶ μετριότητος.

«Ἐμοὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων». Οὐκ εἶπε, τῶν ἀποστόλων· ὥστε κἀκεῖνο τούτου ἔλαττον. Ἐκεῖ γὰρ εἶπεν, «Οὐκ εἰμὶ ἱκανὸς καλεῖσθαι ἀπόστολος»· ἐνταῦθα δὲ καὶ τῶν ἁγίων πάντων ἐλαχιστότερον εἶναί φησιν. «Ἐμοί», φησί, «τῷ ἐλαχιστοτέρῳ πάντων ἁγίων ἐδόθη ἡ χάρις αὕτη». Ποία; «Εὐαγγελίσασθαι τοῖς ἔθνεσι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ, καὶ φωτίσαι πάντας, τίς ἡ οἰκονομία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ, τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ, ἵνα γνωρισθῇ νῦν ταῖς ἀρχαῖς καὶ ταῖς ἐξουσίαις ἐν τοῖς ἐπουρανίοις διὰ τῆς Ἐκκλησίας ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ».

Ἔστω, ἀνθρώποις οὐκ ἀπεκαλύφθη· καὶ ἀγγέλους φωτίζεις, καὶ ἀρχαγγέλους, καὶ ἀρχὰς καὶ ἐξουσίας; Ναί, φησίν· ἐν γὰρ τῷ Θεῷ κέκρυπτο, καὶ τῷ Θεῷ τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ. Καὶ τολμᾷς τοῦτό εἰπεῖν; Ναί, φησίν. Ἀλλὰ πόθεν τοῖς ἀγγέλοις δῆλον γέγονε; «Διὰ τῆς Ἐκκλησίας». Καὶ οὐδὲ ἁπλῶς εἶπεν, ἡ ποικίλη σοφία τοῦ Θεοῦ, ἀλλ', «ἡ πολυποίκιλος». Τί οὖν ἐστι τοῦτο; οὐκ ᾔδεσαν ἄγγελοι; Οὐδαμῶς· εἰ γὰρ ἀρχαὶ οὐκ ᾔδεσαν, πολλῷ μᾶλλον ἄγγελοι οὐκ ᾔδεσαν ἄν. Τί οὖν; οὐδὲ ἀρχάγγελοι ᾔδεσαν; Οὐδὲ ἐκεῖνοι. Πόθεν ἔμελλον εἴσεσθαι; τίνος ἀποκαλύπτοντος; Ὅτε ἡμεῖς ἐμάθομεν, τότε κἀκεῖνοι δι' ἡμῶν. Ἄκουε γὰρ τοῦ ἀγγέλου λέγοντος πρὸς τὸν Ἰωσήφ· «Καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν· αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν».

2. Αὐτὸς γὰρ ἀπεστάλη εἰς τὰ ἔθνη, ἐκεῖνοι δὲ εἰς τὴν

---

2. Α' Κορ. 15, 9.
3. Ματθ. 1, 21.

ἀπὸ ὅλους, αὐτὸ εἶναι ἀποτέλεσμα μεγάλης καὶ ὑπερβολικῆς ταπεινοφροσύνης.

«Εἰς ἐμὲ τὸν ἐλαχιστότερον ἀπὸ ὅλους τοὺς ἁγίους». Δὲν εἶπε, τοὺς ἀποστόλους. Ὥστε καὶ ἐκεῖνο εἶναι μικρότερον ἀπὸ αὐτό. Ἐκεῖ δηλαδὴ εἶπε, «δὲν εἶμαι ἄξιος νὰ ὀνομάζωμαι ἀπόστολος»[2]· ἐδῶ δὲ λέγει ὅτι καὶ ἀπὸ ὅλους τοὺς ἁγίους εἶναι ἐλαχιστότερος. «Εἰς ἐμέ», λέγει, «τὸν ἐλαχιστότερον ἀπὸ ὅλους τοὺς ἁγίους ἐδόθη ἡ χάρις αὐτή». Ποία; «Νὰ κηρύξω εἰς τοὺς ἐθνικοὺς τὸ χαρμόσυνον ἄγγελμα διὰ τὸν ἀνεξερεύνητον πλοῦτον τοῦ Χριστοῦ καὶ νὰ φωτίσω ὅλους, ὥστε νὰ γνωρίσουν, ποῖον εἶναι τὸ μυστικὸν σχέδιον τὸ ὁποῖον ἦτο κρυμμένον ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ, ὁ ὁποῖος ἐδημιούργησε τὰ πάντα διὰ τοῦ Ἰησοῦ Χριστοῦ, διὰ νὰ γνωρισθῇ τώρα εἰς τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας εἰς τὰ ἐπουράνια, διὰ τῆς ἐκκλησίας, ἡ πολυποίκιλος σοφία τοῦ Θεοῦ».

Ἔστω, εἰς τοὺς ἀνθρώπους δὲν ἀπεκαλύφθη· ἀλλ' ὅμως καὶ τοὺς ἀγγέλους φωτίζεις καὶ τοὺς ἀρχαγγέλους καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας; Ναί, λέγει· διότι εἶχον κρυβῆ εἰς τὸν Θεόν, εἰς τὸν Θεόν, ὁ ὁποῖος ἐδημιούργησε τὰ πάντα διὰ τοῦ Ἰησοῦ. Καὶ τολμᾷς νὰ εἴπῃς τοῦτο; Ναί, λέγει. Ἀλλὰ ἀπὸ ποῦ ἐφανερώθη εἰς τοὺς ἀγγέλους; «Διὰ τῆς ἐκκλησίας». Καὶ δὲν εἶπεν ἁπλῶς ἡ ποικίλη σοφία τοῦ Θεοῦ, ἀλλ' «ἡ πολυποίκιλος». Τί λοιπὸν σημαίνει αὐτό; δὲν τὸ ἐγνώρισαν οἱ ἄγγελοι; Καθόλου· διότι ἐὰν αἱ ἀρχαὶ δὲν τὸ ἐγνώρισαν, πολὺ περισσότερον οἱ ἄγγελοι δὲν ἦτο δυνατὸν νὰ τὸ γνωρίσουν. Τί λοιπόν; οὔτε οἱ ἀρχάγγελοι τὸ ἐγνώρισαν; Οὔτε ἐκεῖνοι. Ἀπὸ ποῦ ἐπρόκειτο νὰ τὸ γνωρίσουν; ποῖος ἦτο αὐτὸς ὁ ὁποῖος θὰ τὸ ἀπεκάλυπτεν; Ὅταν θὰ τὸ ἐγνωρίζαμεν ἐμεῖς, τότε καὶ ἐκεῖνοι διὰ μέσου ἡμῶν. Διότι, ἄκουσε τὸν ἄγγελον ποὺ λέγει πρὸς τὸν Ἰωσήφ· «Θὰ ὀνομάσῃς αὐτὸν Ἰησοῦν, διότι αὐτὸς θὰ σώσῃ τὸν λαόν του ἀπὸ τὰς ἁμαρτίας των»[3].

2. Αὐτὸς λοιπὸν ἀπεστάλη εἰς τοὺς ἐθνικούς, ἐνῷ ἐκεῖ-

περιτομήν. Ὥστε τὸ θαυμασιώτερον καὶ ἔκπληκτον ἐμοί, φησίν, ἐδόθη τῷ ἐλαχιστοτέρῳ. Καὶ τοῦτο δὲ χάριτος ἦν, τὸ τὸν μικρὸν τὰ μείζονα ἐγχειρισθῆναι, τὸ γενέσθαι τούτων εὐαγγελιστήν. Ὁ γὰρ τῶν μειζόνων γενόμενος εὐαγγελιστής, ταύτῃ μέγας ἐστίν. «Εὐαγγελίσασθαι ἐν τοῖς ἔθνεσι τὸν ἀνεξιχνίαστον πλοῦτον τοῦ Χριστοῦ». Εἰ ὁ πλοῦτος αὐτοῦ ἀνεξιχνίαστος, καὶ μετὰ τὸ φανῆναι, πολλῷ μᾶλλον ἡ οὐσία. Εἰ μυστήριον ἔτι ἐστί, πολλῷ μᾶλλον πρὸ τοῦ γνωρισθῆναι·

Μυστήριον γὰρ αὐτὸ διὰ τοῦτο καλεῖ, ἐπειδὴ μηδὲ ἄγγελοι ᾔδεσαν, μηδὲ ἑτέρῳ τινὶ δῆλον ἦν. «Καὶ φωτίσαι πάντας», φησί, «τίς ἡ οἰκονομία τοῦ μυστηρίου τοῦ ἀποκεκρυμμένου ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ». Ἄγγελοι τοῦτο μόνον ᾔδεσαν, ὅτι «Ἐγενήθη μερὶς Κυρίου λαὸς αὐτοῦ»· καὶ πάλιν· «Ὁ ἄρχων τῶν Περσῶν», φησίν, «ἀντέστη μοι». Ὥστε οὐδὲν θαυμαστόν, εἰ καὶ τοῦτο ἠγνόουν. Εἰ γὰρ τὰ τῆς ἐπανόδου ἠγνόουν, πολλῷ μᾶλλον ταῦτα· καὶ γὰρ εὐαγγέλιον τοῦτό ἐστιν.

«Ὅστις», φησί, «σώσει τὸν λαὸν αὐτοῦ τὸν Ἰσραήλ». Οὐδὲν περὶ τῶν ἐθνῶν· ἀλλὰ περὶ τῶν ἐθνῶν τὸ Πνεῦμα ἀποκαλύπτει. Ὅτι μὲν οὖν ἐκλήθησαν, ᾔδεσαν, ὅτι δὲ ἐπὶ τοῖς αὐτοῖς, καὶ ὥστε εἰς τὸν θρόνον καθίσαι τὸν τοῦ Θεοῦ, τοῦτο τίς ἂν προσεδόκησε; τίς ἂν ἐπίστευσε; «Τοῦ ἀποκεκρυμμένου», φησίν, «ἐν τῷ Θεῷ». Ταύτην δὲ τὴν οἰκονομίαν σαφέστερον ἐν τῇ πρὸς Ρωμαίους ἀποκαλύπτει. «Ἐν τῷ Θεῷ», φησί, «τῷ τὰ πάντα κτίσαντι διὰ Ἰησοῦ Χριστοῦ». Καὶ καλῶς ἐμνημόνευσεν εἰπών, «διὰ Ἰησοῦ Χριστοῦ». Ὁ γὰρ πάντα δι' αὐτοῦ

4. Δευτ. 32, 9.
5. Δαν. 10, 13.

νοι εἰς τοὺς Ἰουδαίους. Ὥστε τὸ πιὸ θαυμαστὸν καὶ τὸ πιὸ ἐκπληκτικόν, λέγει, ἐδόθη εἰς ἐμὲ τὸν ἐλαχιστότερον. Καὶ αὐτὸ δὲ ἦτο ἔργον χάριτος, τὸ νὰ παραδοθοῦν τὰ μεγαλύτερα εἰς τὰ χέρια τοῦ μικροῦ, τὸ νὰ γίνῃ εἰς αὐτοὺς κῆρυξ τοῦ εὐαγγελίου. Διότι ἐκεῖνος ὁ ὁποῖος ἔγινεν εἰς τοὺς περισσοτέρους κῆρυξ τοῦ εὐαγγελίου, ἔγινε μέγας ἐξ αἰτίας αὐτοῦ. «Νὰ κηρύξω εἰς τοὺς ἐθνικοὺς τὸ χαρμόσυνον ἄγγελμα διὰ τὸν ἀνεξερεύνητον πλοῦτον τοῦ Χριστοῦ». Ἐὰν ὁ πλοῦτος του εἶναι ἀνεξερεύνητος καὶ μετὰ τὴν ἐμφάνισίν του, πολὺ περισσότερον ἡ οὐσία του. Ἐὰν ἀκόμη εἶναι μυστήριον, πολὺ περισσότερον πρὶν γνωρισθῇ.

Μυστήριον λοιπὸν ὀνομάζει αὐτὸ διὰ τοῦτο, ἐπειδὴ οὔτε οἱ ἄγγελοι τὸ ἐγνώρισαν, οὔτε εἰς ἄλλον κανένα ἦτο φανερόν. «Καὶ νὰ φωτίσω ὅλους», λέγει, «ὥστε νὰ γνωρίσουν ποῖον εἶναι τὸ μυστικὸν σχέδιον ποὺ ἦτο κρυμμένον ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ, ὁ ὁποῖος ἐδημιούργησε τὰ πάντα διὰ τοῦ Ἰησοῦ Χριστοῦ». Οἱ ἄγγελοι αὐτὸ μόνον ἐγνώρισαν, ὅτι «μερὶς τοῦ Κυρίου ἔγινε ὁ λαός του»[4]· καὶ πάλιν· «ἐπὶ εἴκοσι καὶ μίαν ἡμέραν ὁ φύλαξ ἄγγελος τοῦ βασιλείου τῶν Περσῶν ἀνθίστατο ἐναντίον μου»[5]. Ὥστε καθόλου περίεργον ἐὰν δὲν τὸ ἐγνώριζον καὶ αὐτό. Διότι ἐὰν δὲν ἐγνώριζον τὰ τῆς ἐπιστροφῆς, πολὺ περισσότερον αὐτά· καθ' ὅσον εὐαγγέλιον εἶναι αὐτό.

«Ὁ ὁποῖος», λέγει, «θὰ σώσῃ τὸν λαόν του τὸν Ἰσραήλ». Τίποτε διὰ τὰ ἔθνη· ἀλλὰ ὅμως διὰ τὰ ἔθνη ἀποκαλύπτει τὸ ἅγιον Πνεῦμα. Τὸ ὅτι βέβαια ἐκλήθησαν τὸ ἐγνώρισα, ἀλλὰ τὸ ὅτι ἐκλήθησαν δι' αὐτά, καὶ διὰ νὰ καθήσουν εἰς τὸν θρόνον τοῦ Θεοῦ, αὐτὸ ποῖος θὰ τὸ ἀνέμενε; ποῖος θὰ τὸ ἐπίστευε; «Τὸ ὁποῖον ἦτο κρυμμένον», λέγει, «ἀπὸ τῶν αἰώνων ἐν τῷ Θεῷ». Αὐτὸ δὲ τὸ μυστικὸν σχέδιον ἀποκαλύπτει σαφέστερον εἰς τὴν ἐπιστολήν του πρὸς Ρωμαίους. «Ἐν τῷ Θεῷ», λέγει, «ὁ ὁποῖος ἐδημιούργησε τὰ πάντα διὰ τοῦ Ἰησοῦ Χριστοῦ». Καὶ ὀρθῶς ἀνέφερε τοὺς λόγους, «διὰ τοῦ Ἰησοῦ Χριστοῦ». Διότι ἐκεῖνος ὁ ὁποῖος ἐδημιούργησε

κτίσας, καὶ τοῦτο δι' αὐτοῦ ἀποκαλύπτει. Οὐδὲν γὰρ χωρὶς αὐτοῦ πεποίηκε· «Χωρὶς αὐτοῦ γάρ», φησίν, «ἐγένετο οὐδὲ ἕν». Εἰπὼν ἀρχὰς καὶ ἐξουσίας, καὶ τοὺς ἄνω καὶ τοὺς κάτω εἶπε· «Κατὰ πρόθεσιν τῶν αἰώνων». Νῦν μέν, φησί, γέγονεν, οὐ νῦν δὲ ὥριστο, ἀλλ' ἄνωθεν προτετύπωτο. «Κατὰ πρόθεσιν τῶν αἰώνων, «ἣν ἐποίησεν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν»· τουτέστι, κατὰ πρόγνωσιν τῶν αἰώνων, προειδὼς τὰ μέλλοντα· τοὺς μέλλοντας αἰῶνάς φησιν· ᾔδει γὰρ τὰ ἐσόμενα, καὶ οὕτως ὥρισε. «Κατὰ πρόθεσιν τῶν αἰώνων»· ἴσως τούτων ὧν ἐποίησεν ἐν Χριστῷ Ἰησοῦ. Ὅτι δὲ διὰ τοῦ Χριστοῦ γέγονεν ἅπαν, «Ἐν ᾧ ἔχομεν», φησί, «τὴν παρρησίαν καὶ τὴν προσαγωγὴν ἐν πεποιθήσει διὰ τῆς πίστεως αὐτοῦ». Οὐχ ὡς αἰχμάλωτοι, φησί, προσήχθημεν, οὐδ' ὡς συγγνώμης ἀξιούμενοι, οὐδὲ ὡς ἡμαρτηκότες. Καὶ «τὴν παρρησίαν γάρ, φησίν, ἔχομεν ἐν πεποιθήσει», τουτέστι, μετὰ τοῦ θαρρεῖν. Πόθεν; «Διὰ τῆς πίστεως αὐτοῦ».

3. «Διὸ αἰτοῦμαι μὴ ἐκκακεῖν ἐν ταῖς θλίψεσί μου ὑπὲρ ὑμῶν, ἥτις ἐστὶ δόξα ὑμῶν». Πῶς ἐστιν ὑπὲρ αὐτῶν; πῶς ἐστι δόξα αὐτῶν; Ὅτι οὕτως αὐτοὺς ἠγάπησεν ὁ Θεός, ὥστε καὶ τὸν Υἱὸν ὑπὲρ αὐτῶν δοῦναι, καὶ τοὺς δούλους κακοῦν. Ἵνα γὰρ οὗτοι τύχωσι τοσούτων ἀγαθῶν, Παῦλος ἐδεσμεῖτο. Ἄρα τοῦτο τῆς πολλῆς τοῦ Θεοῦ περὶ αὐτοὺς ἀγάπης· ὅπερ καὶ περὶ τῶν προφητῶν φησιν ὁ Θεός· «Ἀπέκτεινον αὐτοὺς ἐν ῥήματι στόματός μου». Πῶς δὲ ἐξεκάκουν, ἄλλου θλιβομένου; Τουτέστιν, ἐθορυβοῦντο, ἐταράττοντο. Ταῦτα καὶ Θεσσαλονικεῦσι γράφων λέγει· «Ὥστε μηδένα σαίνεσθαι ἐν ταῖς θλίψεσι ταύταις». Οὐ μόνον γὰρ οὐκ ἀλγεῖν, ἀλλὰ καὶ χαίρειν

6. Ἰωάν. 1, 3.
7. Ἐφεσ. 3, 12.
8. Ἐφεσ. 3, 13.
9. Ὠσηὲ 6, 5.
10. Α' Θεσ. 3, 3.

τὰ πάντα δι' αὐτοῦ, καὶ αὐτὸ δι' αὐτοῦ τὸ ἀποκαλύπτει. Καθ' ὅσον τίποτε δὲν ἐδημιούργησε χωρὶς αὐτόν. Διότι «Ὅλα ἔγιναν δι' αὐτοῦ», λέγει, «καὶ χωρὶς αὐτὸν τίποτε δὲν δὲν ἔγινεν ἀπὸ ὅσα ἔχουν γίνει»[6]. Ὅταν εἶπεν ἀρχὰς καὶ ἐξουσίας, συμπεριέλαβε καὶ τοὺς ἐπάνω καὶ τοὺς κάτω.

«Συμφώνως πρὸς τὴν προαιώνιον θέλησίν του». Τώρα μέν, λέγει, ἔγινε, δὲν ἀπεφασίσθη ὅμως τώρα, ἀλλ' εἶχεν ἄνωθεν προτυπωθῆ. «Συμφώνως πρὸς τὴν προαιώνιον θέλησίν του τὴν ὁποίαν ἐπραγματοποίησε διὰ τοῦ Ἰησοῦ Χριστοῦ τοῦ Κυρίου μας»· δηλαδή, συμφώνως πρὸς τὴν προαιώνιον πρόγνωσίν του, ἐπειδὴ ἐγνώριζεν ἀπὸ πρὶν τὰ μέλλοντα· τοὺς μέλλοντας αἰῶνας λέγει· διότι ἐγνώριζεν αὐτὰ τὰ ὁποῖα θὰ συμβοῦν, καὶ ἔτσι τὰ ὥρισε. «Συμφώνως πρὸς τὴν προαιώνιον θέλησίν του»· ἴσως αὐτὰ τὰ ὁποῖα ἐδημιούργησε διὰ τοῦ Ἰησοῦ Χριστοῦ. Τὸ ὅτι δηλαδὴ διὰ τοῦ Χριστοῦ ἔγινε τὸ πᾶν, «διὰ τοῦ ὁποίου ἔχομεν θάρρος», λέγει, «καὶ προσερχόμεθα μὲ πεποίθησιν διὰ τῆς πίστεως εἰς αὐτόν»[7]. Δὲν ὡδηγήθημεν, λέγει, ὡς αἰχμάλωτοι, οὔτε ὡς ζητοῦντες συγγνώμην, οὔτε ὡς ἁμαρτήσαντες. Διότι, λέγει, «ἔχομεν τὸ θάρρος καὶ προσερχόμεθα μὲ πεποίθησιν», δηλαδὴ μὲ τὸ θάρρος. Ἀπὸ ποῦ; «Διὰ τῆς πίστεως εἰς αὐτόν».

3. «Διὰ τοῦτο παρακαλῶ νὰ μὴ ἀποθαρρύνεσθε διὰ τὰς θλίψεις ποὺ ὑποφέρω δι' ἐσᾶς, αἱ ὁποῖαι εἶναι δόξα σας»[8]. Πῶς εἶναι ὑπὲρ αὐτῶν; πῶς εἶναι πρὸς δόξαν των; Διότι τόσον τοὺς ἠγάπησεν ὁ Θεός, ὥστε νὰ δώσῃ καὶ τὸν Υἱόν του ὑπὲρ αὐτῶν, καὶ τοὺς δούλους του νὰ ταλαιπωρῇ. Διότι διὰ νὰ τύχουν αὐτοὶ τόσα ἀγαθὰ ἐφυλακίζετο ὁ Παῦλος. Ἄρα αὐτὸ ἦτο ἀποτέλεσμα τῆς πολλῆς ἀγάπης τοῦ Θεοῦ δι' αὐτούς· πρᾶγμα τὸ ὁποῖον καὶ διὰ τοὺς προφήτας λέγει ὁ Θεός· «ἐθανάτωσα αὐτοὺς διὰ τῶν λόγων τοῦ στόματός μου»[9]. Πῶς ὅμως ἔχανον τὸ θάρρος των, ἐνῷ ἄλλος ἐβασανίζετο; Δηλαδὴ ἐθορυβοῦντο, ἐταράσσοντο. Τὰ ἴδια λέγει γράφων καὶ εἰς τοὺς Θεσσαλονικεῖς· «Ὥστε νὰ μὴ κλονίζεται κανεὶς κατὰ τὰς θλίψεις αὐτάς»[10]. Διότι ὄχι μόνον νὰ μὴ πονοῦμεν,

χρή. Εἰ γὰρ ἀπὸ τῆς προρρήσεως παραμυθεῖσθε, προλέγομεν ὑμῖν, ὅτι μέλλομεν θλίβεσθαι ἐνθάδε. Τί δήποτε; Ὅτι οὕτως ὁ δεσπότης προσέταξε.

«Τούτου χάριν κάμπτω τὰ γόνατά μου πρὸς τὸν Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐξ οὗ πᾶσα πατριὰ ἐν οὐρανοῖς καὶ ἐπὶ γῆς ὀνομάζεται». Τὴν διάθεσιν τῆς εὐχῆς τῆς ὑπὲρ αὐτῶν δείκνυσιν. Οὐκ εἶπεν ἁπλῶς, εὔχομαι, ἀλλὰ τὴν κατανενυγμένην δέησιν διὰ τοῦ κάμπτειν τὰ γόνατα ἐδήλωσεν. «Ἐξ οὗ πᾶσα πατριά». Οὐκέτι κατὰ ἀριθμὸν ἀγγέλων, φησίν, ἀλλὰ καὶ τὰς ἄνω καὶ τὰς κάτω ποιήσαντα φυλάς, οὐχ οἷαι αἱ Ἰουδαϊκαί.

Ἵνα δῴη ὑμῖν κατὰ τὸν πλοῦτον τῆς δόξης αὐτοῦ δυνάμει κραταιωθῆναι διὰ τοῦ Πνεύματος αὐτοῦ εἰς τὸν ἔσω ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν». Ὅρα μεθ' ὅσης ἀπληστίας ἐπεύχεται αὐτοῖς τὰ ἀγαθά, ὥστε μὴ περιφέρεσθαι. Πῶς δὲ τοῦτο γίνεται; «Διὰ Πνεύματος ἁγίου εἰς τὸν ἔσω ὑμῶν ἄνθρωπον, κατοικῆσαι τὸν Χριστὸν διὰ τῆς πίστεως ἐν ταῖς καρδίαις ὑμῶν». Πῶς; «Ἐν ἀγάπῃ ἐρριζωμένοι καὶ τεθεμελιωμένοι, ἵνα ἐξισχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος καὶ μῆκος καὶ βάθος καὶ ὕψος, γνῶναί τε τὴν ὑπερβάλλουσαν τῆς γνώσεως ἀγάπην τοῦ Χριστοῦ»· Ὅπερ ἀρχόμενος ηὔξατο, τοῦτο καὶ νῦν.

Τί δὲ καὶ ἔλεγεν ἐν ἀρχῇ; «Ἵνα ὁ Θεὸς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης, δῴη ὑμῖν πνεῦμα σοφίας καὶ ἀποκαλύψεως, ἐν ἐπιγνώσει αὐτοῦ πεφωτισμένους τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὑμῶν, εἰς τὸ εἰδέναι ὑμᾶς τίς ἐστιν ἡ ἐλπὶς τῆς κλήσεως αὐτοῦ, καὶ τίς ὁ πλοῦτος τῆς δόξης τῆς κληρονομίας αὐτοῦ ἐν τοῖς ἁγίοις, καὶ τί τὸ ὑπερβάλλον μέ-

---

11. Ἐφεσ. 3, 14-15.
12. Ἐφεσ. 3, 16-17.
13. Ἐφεσ. 3, 18-19.

ἀλλὰ πρέπει καὶ νὰ χαιρώμεθα. Διότι ἐὰν ἀπὸ τὴν προφητείαν παρηγορῆσθε, προλέγομεν εἰς ἐσᾶς, ὅτι ἐδῶ πρόκειται νὰ ὑποφέρωμεν. Διατί ἄρά γε; Διότι ἔτσι ἐπρόσταξεν ὁ Κύριος.

«Δι' αὐτὸν τὸν λόγον γονατίζω προσευχόμενος πρὸς τὸν Πατέρα τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ἀπὸ τὸν ὁποῖον παίρνει τὸ ὄνομα κάθε γένος εἰς τοὺς οὐρανοὺς καὶ τὴν γῆν»[11]. Δείχνει τὴν διάθεσίν του διὰ τὴν ὑπὲρ αὐτῶν προσευχήν. Δὲν εἶπεν ἁπλῶς, εὔχομαι, ἀλλ' ἐδήλωσεν τὴν μετὰ κατανύξεως δέησιν διὰ τῆς κάμψεως τῶν γονάτων. «Ἀπὸ τὸν ὁποῖον κάθε γένος». Ὁ ὁποῖος ἐδημιούργησεν, ὄχι συμφώνως πρὸς τὸν ἀριθμὸν τῶν ἀγγέλων, ἀλλὰ καὶ τὰς ἐπάνω καὶ τὰς κάτω φυλάς, καὶ ὄχι μόνον τὰς Ἰουδαϊκάς.

«Νὰ σᾶς δώσῃ συμφώνως πρὸς τὸν πλοῦτον τῆς δόξης του, ὥστε νὰ ἐνισχυθῆτε μὲ δύναμιν διὰ τοῦ Πνεύματός του εἰς τὸν ἐσωτερικόν σας ἄνθρωπον, καὶ νὰ κατοικήσῃ ὁ Χριστὸς διὰ τῆς πίστεως εἰς τὰς καρδίας σας»[12]. Πρόσεχε μὲ πόσην ἀπληστίαν εὔχεται δι' αὐτοὺς τὰ ἀγαθά, ὥστε νὰ μὴ ἐπιστρέφουν εἰς τὰ παλαιά. Πῶς γίνεται δὲ αὐτό; «Μὲ τὴν δύναμιν τοῦ ἁγίου Πνεύματος εἰς τὸν ἐσωτερικόν σας ἄνθρωπον, νὰ κατοικήσῃ ὁ Χριστὸς διὰ τῆς πίστεως εἰς τὰς καρδίας σας». Πῶς; «Διὰ νὰ ἠμπορέσετε, ριζωμένοι καὶ θεμελιωμένοι ἐπάνω εἰς τὴν ἀγάπην νὰ καταλάβετε μαζὶ μὲ ὅλους τοὺς ἁγίους ποῖον εἶναι τὸ πλάτος καὶ τὸ μῆκος καὶ τὸ βάθος καὶ τὸ ὕψος αὐτοῦ, καὶ νὰ γνωρίσετε τὴν ἀγάπην τοῦ Χριστοῦ, ἡ ὁποία ὑπερβαίνει τὴν γνῶσιν τοῦ ἀνθρώπου»[13]. Αὐτὸ τὸ ὁποῖον ηὐχήθη εἰς τὴν ἀρχήν, αὐτὸ εὔχεται καὶ τώρα.

Τί δὲ ἔλεγεν εἰς τὴν ἀρχήν; «Ζητῶ νὰ σᾶς δώσῃ ὁ Θεὸς τοῦ Κυρίου μας Ἰησοῦ Χριστοῦ, ὁ Πατὴρ τῆς δόξης, πνεῦμα σοφίας καὶ ἀποκαλύψεως, κατὰ τὴν ἐπίγνωσιν αὐτοῦ, καὶ νὰ φωτίσῃ τοὺς ὀφθαλμοὺς τῆς καρδίας ὥστε νὰ γνωρίσετε ποία εἶναι ἡ ἐλπίς, ἡ ὁποία εἶναι συνδεδεμένη μὲ τὴν πρόσκλησίν του, καὶ ποῖος εἶναι ὁ πλοῦτος τῆς ἐνδόξου κληρονομίας του μεταξὺ τῶν ἁγίων, καὶ

γεθος τῆς δυνάμεως αὐτοῦ εἰς ἡμᾶς τοὺς πιστεύοντας». Καὶ νῦν τὸ αὐτό φησιν· «Ἵνα ἰσχύσητε καταλαβέσθαι σὺν πᾶσι τοῖς ἁγίοις, τί τὸ πλάτος καὶ μῆκος καὶ βάθος καὶ ὕψος»· τουτέστι, τὸ μυστήριον τὸ ὑπὲρ ἡμῶν οἰκονομηθὲν μετὰ ἀκριβείας εἰδέναι· «καὶ τὸ πλάτος καὶ τὸ μῆκος καὶ τὸ βάθος καὶ τὸ ὕψος»· τουτέστι, τὸ μέγεθος τῆς ἀγάπης τοῦ Θεοῦ, πῶς πανταχοῦ ἐκτέταται· καὶ σωματικοῖς αὐτὴν ὑπέγραψε σχήμασι, δεικνὺς τὸν ἄνθρωπον· περιέλαβε τὰ ἄνω, τὰ κάτω, τὰ ἐκ πλαγίων. Εἶπον μὲν γάρ, φησίν, οὐκ ἔστι δὲ τῶν ἐμῶν λόγων ταῦτα διδάξαι, ἀλλὰ τοῦ Πνεύματος τοῦ ἁγίου. «Δυνάμει», φησί, «κραταιωθῆναι», πρὸς τοὺς πειρασμοὺς καὶ τὸ μὴ παραφέρεσθαι. Ὥστε οὐκ ἔνι ἄλλως κραταιωθῆναι, ἀλλ' ἢ διὰ Πνεύματος καὶ πειρασμῶν ἕνεκεν καὶ λογισμῶν.

Πῶς δὲ ὁ Χριστὸς κατοικεῖ ἐν ταῖς καρδίαις, ἄκουε αὐτοῦ λέγοντος τοῦ Χριστοῦ· «Ἐλευσόμεθα ἐγὼ καὶ ὁ Πατήρ, καὶ μονὴν παρ' αὐτῷ ποιήσομεν» ἐν ταῖς καρδίαις ταῖς πισταῖς, ταῖς ἐρριζωμέναις ἐν τῇ ἀγάπῃ αὐτοῦ, ταῖς μὴ παραφερομέναις. «Ἵνα ἐξισχύσητε», φησίν· ὥστε ἰσχύος πολλῆς δεῖ· «ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ Θεοῦ». «Τῷ δὲ δυναμένῳ ὑπὲρ πάντα ποιῆσαι ὑπερεκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν, κατὰ τὴν δύναμιν τὴν ἐνεργουμένην ἐν ἡμῖν». Ὅτι ἐκπερισσοῦ ὧν αἰτούμεθα ἢ νοοῦμεν ἐποίησε, δῆλον ἐξ ὧν ἔγραφεν αὐτός. Ἐγὼ μὲν γάρ, φησίν, εὔχομαι· αὐτὸς δὲ καὶ χωρὶς τῆς ἐμῆς εὐχῆς, μείζονα ἐργάσεται τῶν ἡμετέρων αἰτήσεων, οὐχ ἁπλῶς μείζονα, ἢ ἐκπερισσοῦ, ἀλλ' «ὑπερεκπερισ-

---

14. Ἰωάν. 14, 23.
15. Ἐφεσ. 3, 20.

πόσον πολὺ μεγάλη εἶναι ἡ δύναμίς του εἰς ἐμᾶς ποὺ πιστεύομεν». Καὶ τώρα τὸ ἴδιον λέγει· «Διὰ νὰ ἠμπορέσετε ν' ἀντιληφθῆτε μαζὶ μὲ ὅλους τοὺς ἁγίους, ποῖον εἶναι τὸ πλάτος, τὸ μῆκος, τὸ βάθος καὶ τὸ ὕψος αὐτοῦ»· δηλαδὴ νὰ γνωρίσετε μὲ ἀκρίβειαν τὸ μυστήριον τὸ ὁποῖον ἐσχεδιάσθη ὑπὲρ ἡμῶν «καὶ τὸ πλάτος καὶ τὸ μῆκος καὶ τὸ βάθος καὶ τὸ ὕψος»· δηλαδή, πῶς ἔχει παντοῦ ἐξαπλωθῆ τὸ μέγεθος τῆς ἀγάπης τοῦ Θεοῦ. Περιέγραψε αὐτὴν καὶ μὲ σωματικὰ σχήματα, δεικνύων τὸν ἄνθρωπον· συμπεριέλαβε τὰ ἐπάνω, τὰ κάτω, ὅλα γενικῶς. Διότι, εἶπον μέν, λέγει, ἀλλὰ δὲν ἀνήκει εἰς τοὺς ἰδικούς μου λόγους νὰ διδάξω αὐτά, ἀλλ' εἰς τὸ ἅγιον Πνεῦμα. «Μὲ τὴν δύναμίν του», λέγει, «πρέπει νὰ στερεωθῶμεν» εἰς τοὺς πειρασμούς, καὶ νὰ μὴ μεταβαλλώμεθα. Ὥστε δὲν εἶναι δυνατὸν μὲ ἄλλον τρόπον νὰ στερεωθῶμεν, παρὰ διὰ τοῦ ἁγίου Πνεύματος καὶ ἐξ αἰτίας τῶν πειρασμῶν καὶ τῶν λογισμῶν.

Τὸ πῶς δὲ κατοικεῖ ὁ Χριστὸς εἰς τὰς καρδίας μας, ἄκουε τὸν ἴδιον τὸν Χριστόν, ὁ ὁποῖος λέγει· «Ἐὰν κανεὶς μὲ ἀγαπᾷ, θὰ τηρήσῃ τὸν λόγον μου καὶ ὁ Πατήρ μου θὰ τὸν ἀγαπήσῃ καὶ θὰ ἔλθωμεν εἰς αὐτὸν καὶ θὰ κατοικήσωμεν μαζί του»[14], εἰς τὰς καρδίας αἱ ὁποῖαι πιστεύουν καὶ ἔχουν ριζωθῆ εἰς τὴν ἀγάπην του καὶ δὲν μεταβάλλονται. «Διὰ νὰ ἠμπορέσετε», λέγει· ὥστε χρειάζεται πολλὴ δύναμις· «διὰ νὰ καταστῆτε πλήρεις μὲ ὅλην τὴν πληρότητα τοῦ Θεοῦ». «Εἰς ἐκεῖνον δέ, ὁ ὁποῖος ἠμπορεῖ νὰ κάνῃ πολὺ περισσότερα ἀπὸ ὅλα ὅσα ζητοῦμεν ἢ σκεπτόμεθα, συμφώνως μὲ τὴν δύναμιν, ἡ ὁποία ἐνεργεῖται μέσα μας»[15]. Τὸ ὅτι ἔκανε περισσότερα ἀπὸ ὅσα ζητοῦμεν ἢ σκεπτόμεθα, εἶναι φανερὸν ἀπὸ ὅσα ἔγραφεν αὐτός. Διότι, ἐγὼ μέν, λέγει, προσεύχομαι· ἐκεῖνος ὅμως καὶ χωρὶς τὴν ἰδικήν μου προσευχήν, θὰ κάνῃ μεγαλύτερα ἀπὸ τὰς ἰδικάς μου αἰτήσεις, καὶ ὄχι ἁπλῶς μεγαλύτερα ἢ περισσότερα, ἀλλὰ «κατὰ πολὺ περισσότερα»· καὶ τοῦτο εἶναι φανερὸν ἀπὸ τὴν δύναμιν ἡ ὁποία

σοῦ»· καὶ δῆλον ἐκ τῆς δυνάμεως τῆς ἐνεργουμένης ἐν ἡμῖν. Οὔτε γὰρ ᾐτήσαμέν ποτε ταῦτα, οὔτε προσεδοκήσαμεν.

«Αὐτῷ ἡ δόξα», φησίν, «ἐν τῇ Ἐκκλησίᾳ ἐν Χριστῷ Ἰησοῦ εἰς πάσας τὰς γενεὰς τοῦ αἰῶνος τῶν αἰώνων. Ἀμήν»· Καλῶς εἰς εὐχὴν καὶ δοξολογίαν τὸν λόγον κατέκλεισεν. Ἔδει γὰρ τὸν τοσαῦτα παρασχόντα ἡμῖν δοξασθῆναι καὶ εὐλογηθῆναι. Ὥστε καὶ τοῦτο μέρος ἐστὶ θαυμασμοῦ, καὶ τοῦ τῶν ὑπηργμένων ἡμῖν μεγέθους παρὰ τοῦ Θεοῦ, τὸ δοξάζειν, καὶ διὰ Ἰησοῦ Χριστοῦ· «Ἡ δόξα αὐτοῦ ἐν τῇ Ἐκκλησίᾳ», καλῶς εἶπεν· αὕτη γὰρ οἶδε μόνη μένειν εἰς τὸ διηνεκές.

4. Τί ἐστιν, αἱ πατριαί, ἀναγκαῖον εἰπεῖν. Ἐνταῦθα μὲν γὰρ πατριαὶ εἰσί, τουτέστι, τὰ γένη, ἐν δὲ οὐρανῷ πῶς, ἔνθα οὐδεὶς ἐξ οὐδενὸς γέγονεν; Ἢ ἐκεῖ τὰ συστήματά φησι πατριάς, καθάπερ καὶ ἐν τῇ Γραφῇ ἐστιν εὑρεῖν κείμενον, πατριὰ Ἀματταρεί ἢ ὅτι ἀφ' οὗ πατέρες καλοῦνται. Οὐ παρὰ τοῦ Θεοῦ δὲ τὸ πᾶν ἀπαιτεῖ, ἀλλὰ καὶ παρ' αὐτῶν τὴν πίστιν, τὴν ἀγάπην· οὐχ ἁπλῶς τὴν ἀγάπην, ἀλλ' ἐρριζωμένην καὶ τεθεμελιωμένην, ὥστε μήτε πνεύματα αὐτὴν σαλεύειν, μήτε ἄλλο μηδὲν αὐτὴν καταβάλλειν.

Εἶπεν ὅτι δόξα εἰσὶν αἱ θλίψεις· εἰ δὲ αἱ ἐμαί, πολλῷ μᾶλλον αἱ ὑμῶν· Καὶ εὔχεται πάλιν. Ὥστε οὐκ ἐγκαταλιμπανομένων ἐστὶ τὸ θλίβεσθαι ἡμᾶς· οὐ γὰρ ἂν ὁ τοσαῦτα ἐργασάμενος τοῦτο ἐποίησεν. Εἰ δὲ τοῦ Θεοῦ τὴν ἀγάπην ὥστε μαθεῖν, τῆς εὐχῆς Παύλου δεῖ, καὶ Πνεύματος χρεία ἐνιδρύσεως, τοῦ Χριστοῦ τὴν οὐσίαν τίς εἴσεται λογισμοῖς κατακολουθῶν; Καίτοι τί δύσκολον πρᾶγμα μαθεῖν, ὅτι φιλεῖ ἡμᾶς ὁ Θεός; σφόδρα δύσκολον, ἀγαπητέ. Οἱ μὲν γὰρ καὶ τοῦτο ἀγνοοῦσιν, ὅθεν καί φασι μυρία κακὰ εἰς τὸν κόσμον γίνεσθαι·

---

16. Ἐφεσ. 3, 21.

ἐνεργεῖ μέσα μας. Διότι οὔτε ἐζητήσαμεν ποτὲ αὐτά, οὔτε τὰ ἀνεμέναμεν.

«Εἰς αὐτὸν ἂς εἶναι ἡ δόξα», λέγει, «εἰς τὴν ἐκκλησίαν διὰ τοῦ Ἰησοῦ Χριστοῦ, εἰς ὅλας τὰς γενεὰς τοῦ αἰῶνος τῶν αἰώνων. Ἀμήν»[16]. Καλῶς ἔκλεισε τὸν λόγον μὲ εὐχὴν καὶ δοξολογίαν. Διότι ἔπρεπεν ἐκεῖνος ὁ ὁποῖος τόσα ἐχάρισεν εἰς ἐμᾶς νὰ δοξασθῇ καὶ νὰ εὐλογηθῇ. Ὥστε καὶ αὐτὸ εἶναι μέρος τοῦ θαυμασμοῦ καὶ τοῦ μεγέθους τῶν ὅσων ἔγιναν δι' ἐμᾶς ἀπὸ τὸν Θεόν, τὸ νὰ τὸν δοξάζωμεν, καὶ νὰ τὸν δοξάζωμεν καὶ διὰ τοῦ Ἰησοῦ Χριστοῦ. «Ἡ δόξα ἂς εἶναι εἰς αὐτὸν εἰς τὴν Ἐκκλησίαν»· πολὺ ὀρθὰ εἶπε· διότι μόνη αὐτὴ μένει εἰς τοὺς αἰῶνας.

4. Εἶναι ἀναγκαῖον νὰ εἴπωμεν τί εἶναι αἱ πατριαί. Διότι ἐδῶ μὲν ὑπάρχουν πατριαί, δηλαδὴ γένη, πῶς ὅμως ὑπάρχουν εἰς τὸν οὐρανόν, ὅπου κανεὶς ἀπὸ κανένα δὲν ἔγινεν; Ἢ τὰ συστήματα ὀνομάζει ἐκεῖ γένη, ὅπως καὶ εἰς τὴν Γραφὴν εἶναι δυνατὸν νὰ εὕρῃ κανείς, γένος Ἀματταρεί, ἢ ἀπὸ τὸ ὅτι καλοῦνται πατέρες. Δὲν ζητεῖ δὲ τὸ πᾶν ἀπὸ τὸν Θεόν, ἀλλὰ καὶ ἀπὸ αὐτοὺς τὴν πίστιν, τὴν ἀγάπην· καὶ ὄχι ἁπλῶς τὴν ἀγάπην, ἀλλ' ἐρριζωμένην καὶ θεμελιωμένην, ὥστε οὔτε ἄνεμοι νὰ τὴν σαλεύουν, οὔτε τίποτε ἄλλο νὰ τὴν καταβάλλῃ.

Εἶπεν ὅτι δόξα εἶναι αἱ θλίψεις· ἐὰν δὲ εἶναι αἱ ἰδικαί μου, πολὺ περισσότερον αἱ ἰδικαί σας. Καὶ εὔχεται πάλιν. Ὥστε οὔτε ὅταν ἐγκαταλειπώμεθα πρέπει νὰ θλιβώμεθα· διότι δὲν θὰ τὸ ἔκαμνεν αὐτὸ ἐκεῖνος ὁ ὁποῖος ἔκανε τόσα δι' ἐμᾶς. Ἐὰν δὲ ἔχωμεν ἀνάγκην τῆς προσευχῆς τοῦ Παύλου διὰ νὰ μάθωμεν τὴν ἀγάπην τοῦ Θεοῦ, καὶ μᾶς χρειάζεται πνεῦμα θεμελιώσεως, ποῖος θὰ γνωρίσῃ τὴν οὐσίαν τοῦ Χριστοῦ ἀκολουθῶν τοὺς ἀνθρωπίνους συλλογισμούς; Καὶ εἶναι δύσκολον πρᾶγμα νὰ μάθωμεν ὅτι μᾶς ἀγαπᾷ ὁ Θεός; Πολὺ δύσκολον, ἀγαπητέ. Διότι οἱ μὲν ἀγνοοῦν καὶ αὐτὸ τὸ ὅτι μᾶς ἀγαπᾷ, διὰ τοῦτο καὶ λέγεται ὅτι γίνονται ἄπειρα κακὰ εἰς τὸν κόσμον· οἱ δὲ ἀγνοοῦν τὸ πόσον μᾶς

οἱ δὲ τὸ πόσον ἀγνοοῦσι. Καὶ ὁ Παῦλος δὲ οὐ τὸ πόσον, οὐδὲ ὥστε μετρῆσαι ζητεῖ· πῶς γάρ; ἀλλ' ὅτι ὑπερβάλλον καὶ μέγα ἐστὶν αὐτὸ τοῦτο μαθεῖν· καί φησιν, ὅτι αὐτὸ τοῦτο ἱκανός ἐστι δεῖξαι ἀπὸ τῆς γνώσεως, ἧς ἡμεῖς κατηξιώθημεν. Καίτοι τί περισσόν ἐστι τοῦ κραταιοῦσθαι τῇ δυνάμει, τοῦ τὸν Χριστὸν ἔχειν ἔνδον; Μεγάλα τὰ αἰτηθέντα, φησίν, ἀλλ' οἶδε καὶ ὑπὲρ αὐτὰ ποιεῖν, ὥστε μὴ μόνον ἀγαπᾶν, ἀλλὰ καὶ σφόδρα τοῦτο ποιεῖν.

Μεριμνήσωμεν, ἀγαπητοί, ὥστε τοῦ Θεοῦ τὴν ἀγάπην μαθεῖν. Μέγα τοῦτό ἐστιν, οὐδὲν οὕτως ἡμᾶς ὠφελεῖ, οὐδὲν οὕτως ἡμᾶς κατανύσσει· τοῦ φόβου τῆς γεέννης ἱκανὸν τοῦτο μᾶλλον ἑλεῖν τὰς ἡμετέρας ψυχάς. Πόθεν οὖν εἰσόμεθα; Ἔκ τε τῶν εἰρημένων, ἔκ τε τῶν καθ' ἑκάστην ἡμέραν συμβαινόντων. Τίνος ἕνεκεν ταῦτα γεγένηται; ποίας χρείας τῆς αὐτοῦ; Οὐδεμιᾶς. Ἄνω καὶ κάτω τὴν ἀγάπην τίθησιν αἰτίαν· μάλιστα δὲ ἐκείνη ἀγάπη ἐστίν, ὅταν εὐεργετῶνται ἄνθρωποι μηδενὸς προϋπάρξαντος παρ' αὐτῶν.

5. Τοῦτον τοίνυν καὶ ἡμεῖς μιμώμεθα, τοὺς ἐχθροὺς εὖ ποιῶμεν, τοὺς μισοῦντας, τοὺς ἀποστρεφομένους προσιώμεθα τούτους. Τοῦτο ὁμοιοῖ ἡμᾶς τῷ Θεῷ. «Ἂν γὰρ τὸν φίλον», φησίν, «ἀγαπήσῃς, τί τὸ κέρδος; τοῦτο καὶ οἱ ἐθνικοὶ ποιοῦσιν». Ἀλλὰ τί τῆς ἀγάπης τεκμήριον; Τὸν μισοῦντα ἀγαπᾶν. Βούλομαί τι ὑπόδειγμα εἰπεῖν, σύγγνωτέ μοι, καὶ οὐχ εὑρίσκω ἐν τοῖς πνευματικοῖς· διὸ ἀπὸ τῶν ἔξωθεν ἐρῶ. Οὐχ ὁρᾶτε τοὺς ἐρῶντας τούτους; πόσα ὑβριζόμενοι παρὰ τῶν ἐρωμένων, πόσα ἐπιβουλευόμενοι, πόσα ζημιούμενοι, προσηλῶνται καὶ ἐκκαίονται, καὶ τῆς ἑαυτῶν ψυχῆς μᾶλλον αὐτὰς ἀγαπῶσι, διανυκτερεύοντες ἐν τοῖς ἐκείνων προθύροις; Ἐκεῖθεν λάβω-

---

17. Ματθ. 5, 46.

ἀγαπᾷ. Καὶ ὁ Παῦλος ὅμως οὔτε τὸ πόσον, οὔτε νὰ μετρήσῃ ζητεῖ· διατί λοιπόν; Ἐπειδὴ θέλει νὰ μάθωμεν ὅτι εἶναι ὑπερβολικὸν καὶ μεγάλο τὸ μέγεθος τῆς ἀγάπης του· καὶ λέγει, ὅτι εἶναι ἱκανὸς νὰ τὸ ἀποδείξῃ αὐτὸ ἀπὸ τὴν γνῶσιν τὴν ὁποίαν ἠξιώθημεν ἐμεῖς. Ἂν καὶ τί μεγαλύτερον ὑπάρχει ἀπὸ τὸ νὰ στηρίζεται εἰς τὴν δύναμιν τοῦ ὅτι ἔχει μέσα του τὸν Χριστόν; Μεγάλα τὰ ὅσα ἐζητήθησαν, λέγει, ἀλλὰ γνωρίζει νὰ χαρίζῃ καὶ περισσότερα ἀπὸ αὐτά, ὥστε ὄχι μόνον ν' ἀγαπᾷ, ἀλλὰ καὶ ν' ἀγαπᾷ πάρα πολύ.

Ἂς φροντίσωμεν, ἀγαπητοί, νὰ μάθωμεν τὴν ἀγάπην τοῦ Θεοῦ. Μεγάλο πρᾶγμα εἶναι αὐτό, τίποτε δὲν μᾶς ὠφελεῖ τόσον, τίποτε δὲν μᾶς ὁδηγεῖ μὲ τόσην δύναμιν εἰς κατάνυξιν· αὐτὸ εἶναι ἱκανώτερον νὰ κυριεύσῃ περισσότερον τὰς ψυχάς μας ἀπὸ τὸν φόβον τῆς γεέννης. Ἀπὸ ποῦ λοιπὸν θὰ τὴν γνωρίσωμεν; Καὶ ἀπὸ ὅσα ἐλέχθησαν καὶ ἀπὸ ὅσα καθημερινῶς συμβαίνουν. Διατί ἔγιναν ὅλα αὐτά; ποίαν ἀνάγκην εἶχεν ὁ Θεός; Καμμίαν. Παντοῦ τὴν ἀγάπην θέτει ὡς αἰτίαν· μάλιστα δὲ ἐκείνη εἶναι ἀγάπη, ὅταν εὐεργετοῦνται ἄνθρωποι, χωρὶς νὰ ἔχῃ προέλθει τίποτε ἀπὸ αὐτούς.

5. Αὐτὸν λοιπὸν καὶ ἐμεῖς ἂς μιμούμεθα, ἂς κάμνωμεν καλὸν εἰς τοὺς ἐχθρούς, καὶ ἐκείνους οἱ ὁποῖοι μᾶς μισοῦν καὶ μᾶς ἀποστρέφονται ἂς τοὺς ὑπομένωμεν. Αὐτὸ μᾶς ἐξομοιώνει μὲ τὸν Θεόν. «Διότι ἐὰν ἀγαπήσετε ἐκεῖνον ὁ ὁποῖος σὲ ἀγαπᾷ», λέγει, «ποία ἡ ὠφέλειά σου; Τὸ ἴδιον κάνουν καὶ οἱ ἐθνικοί»[17]. Ἀλλὰ ποία εἶναι ἡ ἀπόδειξις τῆς ἀγάπης; Τὸ νὰ ἀγαπᾷ κανεὶς ἐκεῖνον ὁ ὁποῖος τὸν μισεῖ. Θέλω ν' ἀναφέρω ἕνα παράδειγμα, ἐπιτρέψατέ μου, καὶ δὲν εὑρίσκω εἰς τὰ πνευματικά· διὰ τοῦτο θὰ τὸ λάβω ἀπὸ τὰ μὴ πνευματικά. Δὲν βλέπετε αὐτοὺς οἱ ὁποῖοι κυριεύονται ἀπὸ ἔρωτα; Ἐνῷ περιφρονοῦνται τόσον ἀπὸ αὐτοὺς ποὺ ἀγαποῦν, ἐνῷ τοὺς ἐπιβουλεύονται τόσον, καὶ ὑφίστανται τόσην ζημίαν, εἶναι προσηλωμένοι καὶ καταφλέγονται, καὶ ἀγαποῦν αὐτὰς περισσότερον ἀπὸ τὰς ψυχάς των, καὶ ὅτι ἀγρυπνοῦν εἰς τὰ προαύλια ἐκείνων; Ἀπὸ ἐκεῖ ἂς λάβωμεν τὸ παράδειγμα,

μεν τὸ ὑπόδειγμα, οὐχ ὥστε τοιαύτας φιλεῖν, πόρνας λέγω γυναῖκας, ἀλλ' ὥστε οὕτω φιλεῖν τοὺς ἐχθρούς.

Εἰπὲ γάρ μοι, οὐχὶ πάντων ἐχθρῶν ὑβριστικώτερον αὐτοῖς κέχρηνται, καὶ τὴν τὴν οὐσίαν διασπαθῶσι, καὶ τὴν ὄψιν ὑβρίζουσι, καὶ τῶν διακονουμένων αὐταῖς δουλικώτερα ἐπιτάττουσιν; Ἀλλ' ὅμως οὐκ ἀφίστανται. Καίτοι οὐδεὶς οὐδένα ἔχει τοιοῦτον ἐχθρόν, οἷον ὁ φιλῶν τὴν φιλουμένην. Καὶ γὰρ θρύπτεται καὶ ἀκκίζεται, καὶ ἀποκέχρηται αὐτῷ πολλάκις ἡ φιλουμένη, καὶ ὅσῳ ἂν φιλῆται, τοσούτῳ καταφρονεῖ. Καίτοι τί τῆς οὕτω διακειμένης ψυχῆς θηριωδέστερον; Ἀλλ' ὅμως φιλοῦσιν ἐκεῖνοι.

Ἀλλὰ τάχα καὶ ἀπὸ τῶν πνευματικῶν εὑρήσομεν τοιαύτην ἀγάπην, οὐ τῶν νῦν· ἐψύγη γάρ· ἀλλὰ τῶν πάλαι μεγάλων καὶ θαυμαστῶν ἐκείνων ἀνδρῶν. Ὁ μακάριος Μωϋσῆς καὶ τούτους αὐτοὺς ὑπερέβαλε τοὺς ἔρωτι φιλοῦντας. Πῶς καὶ τίνι τρόπῳ; Πρῶτον μὲν τὰ βασίλεια ἀφεὶς καὶ τὴν ἐκεῖ τρυφὴν καὶ τὴν θεραπείαν καὶ τὸ δοξάζεσθαι, εἵλετο εἶναι μετὰ τῶν Ἰσραηλιτῶν. Καίτοι οὐ μόνον οὐκ ἄν τις ἄλλος εἰργάσατο τοῦτο, ἀλλὰ κἂν ἐπῃσχύνθη ἐλέγχοντος ἑτέρου τῶν αὐτοῦ δούλων φανῆναι συγγενής, οὐ μόνον δούλων, ἀλλὰ καὶ μιαρῶν εἶναι νομιζομένων· ὁ δέ γε οὐ μόνον τὴν συγγένειαν οὐκ ἐπῃσχύνθη, ἀλλὰ καὶ παντὶ θυμῷ ἤμυνε, καὶ εἰς κινδύνους ἑαυτὸν ἔρριψεν ὑπὲρ ἐκείνων. Πῶς; Ὁρῶν, φησί, τινὰ ἀδικοῦντα, ἤμυνε τῷ ἀδικουμένῳ, καὶ ἀπέκτεινε τὸν ἀδικοῦντα·

Ἀλλ' οὔπω ταῦτα ὑπὲρ ἐχθρῶν· μεγάλα μέν, οὐχ οὕτω δὲ ὡς τὰ μετὰ ταῦτα. Τῇ οὖν ἐπιούσῃ ἡμέρᾳ τὸ αὐτὸ εἶδε γινόμενον, κἀκεῖνον ᾧ ἤμυνεν ὁρῶν ἀδικοῦντα, παρῄνει παύσασθαι τῆς ἀδικίας· ὁ δέ φησι, πολλῇ ἀγνωμοσύνῃ κεχρημένος, «Τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ' ἡμᾶς;». Τί-

ὄχι διὰ ν' ἀγαπῶμεν τέτοιου εἴδους γυναῖκας, ἐννοῶ πόρνας, ἀλλὰ διὰ ν' ἀγαπῶμεν ἔτσι τοὺς ἐχθρούς.

Εἰπέ μου λοιπόν· δὲν μεταχειρίζονται αὐτοὺς ὑβριστικώτερον ἀπὸ ὅλους τοὺς ἐχθροὺς καὶ τὴν περιουσίαν του κατεξοδεύουν, καὶ ἀτιμάζουν τὸ πρόσωπόν των, καὶ προστάσσουν εἰς αὐτοὺς πράγματα δουλικώτερα καὶ ἀπὸ ἐκεῖνα τὰ ὁποῖα προστάσσουν εἰς τὰς ὑπηρετρίας των; Μολονότι βέβαια κανεὶς δὲν ἔχει κανένα τέτοιον ἐχθρόν, ὅπως ὁ ἀγαπῶν τὴν ἀγαπωμένην. Καθ' ὅσον τοῦ κάμνει καμώματα καὶ καμαρώνει καὶ φθείρει πολλὰς φορὰς αὐτὸν ἡ ἀγαπωμένη, καὶ ὅσον ἀγαπᾶται, τόσον τὸν περιφρονεῖ. Καὶ ὅμως, τί εἶναι θηριωδέστερον ἀπὸ τὴν ψυχὴν ἐκείνην ἡ ὁποία συμπεριφέρεται ἔτσι; Ἀλλ' ὅμως ἀγαποῦν ἐκεῖνοι.

Ἴσως ὅμως καὶ εἰς τὰ πνευματικὰ πράγματα νὰ εὕρωμεν τέτοιαν ἀγάπην, ἀλλ' ὄχι ἀπὸ τὰ σύγχρονα, καθ' ὅσον ἐψυχράνθη σήμερον, ἀλλ' ἀπὸ τοὺς παλαιοὺς ἐκείνους καὶ θαυμαστοὺς ἄνδρας. Ὁ μακάριος Μωϋσῆς ὑπερέβαινε καὶ αὐτοὺς οἱ ὁποῖοι ἀγαποῦν μὲ ἔρωτα. Πῶς καὶ μὲ ποῖον τρόπον; Πρῶτον μὲν ἀφοῦ ἐγκατέλειψε τὰ βασίλεια καὶ τὰς ἐκεῖ ἀπολαύσεις καὶ τὸ νὰ τὸν ὑπηρετοῦν καὶ νὰ δοξάζεται, προετίμησε νὰ εἶναι μὲ τοὺς Ἰσραηλίτας. Ἂν καί, ὄχι μόνον δὲν θὰ ἠμποροῦσε νὰ τὸ κάνῃ ἄλλος αὐτό, ἀλλὰ θὰ ἐνετρέπετο, ὅταν ἄλλος τὸν ἤλεγχε, νὰ φανῇ συγγενὴς τῶν δούλων του, ὄχι μόνον δούλων, ἀλλὰ καὶ θεωρουμένων ὡς μιαρῶν· ὁ Μωϋσῆς ὅμως, ὄχι μόνον δὲν ἔνοιωσεν ἐντροπὴν διὰ τὴν συγγένειαν, ἀλλὰ καὶ μὲ ὑπερβολικὴν ὁρμὴν τοὺς ὑπερήσπισε καὶ εἰς κινδύνους ἔρριψε τὸν ἑαυτόν του χάριν ἐκείνων. Πῶς; Βλέπων, λέγει, κάποιον ν' ἀδικῇ, ὑπερήσπισε τὸν ἀδικούμενον καὶ ἐφόνευσε τὸν ἀδικοῦντα.

Ἀλλὰ δὲν ἔγιναν αὐτὰ ἀκόμη ὑπὲρ τῶν ἐχθρῶν· ἦσαν μεγάλα μέν, ἀλλ' ὄχι ὅσον τὰ μετὰ ἀπὸ αὐτά. Τὴν ἑπομένην ἡμέραν λοιπὸν εἶδε νὰ γίνεται τὸ ἴδιον, καὶ βλέπων ν' ἀδικῇ ἐκεῖνος τὸν ὁποῖον ὑπερήσπισε, τὸν προέτρεπε νὰ παύσῃ ν' ἀδικῇ· ἐκεῖνος δὲ λέγει μὲ πολλὴν ἀγνωμοσύνην, «Ποῖος

να οὐκ ἂν ἐνέπρησε τὰ ρήματα ταῦτα; Εἰ τοίνυν θυμῷ τὸ πρότερον ἐγένετο καὶ βλαβῇ, καὶ τοῦτον ἂν πλήξας ἀνεῖλεν. Οὐ γὰρ δὴ ἐκεῖνος, ὑπὲρ οὗ τοῦτο ἐγένετο, κατεμήνυσεν ἂν αὐτόν. Ἀλλ' ὅτι συγγενεῖς ἦσαν, ταῦτά φησιν. Ὅτε ἠδικεῖτο, οὐδὲν τοιοῦτον ἐφθέγξατο, τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστήν; Διὰ τί μὴ χθὲς εἶπες τοῦτο; Ἡ ἀδικία ἡ σὴ καὶ ἡ ὠμότης, φησίν, αὕτη με κατέστησεν ἄρχοντα καὶ δικαστήν.

Ἀλλὰ νῦν ὅρα ὅτι καὶ τῷ Θεῷ ταῦτα λέγουσί τινες· ἐν οἷς ἀδικοῦνται βούλονται αὐτὸν εἶναι σφοδρόν, καὶ τῆς μακροθυμίας αὐτοῦ κατηγοροῦσιν· ὅταν δὲ ἀδικῶσιν, οὐκέτι. Τί τούτων πικρότερον τῶν ρημάτων; Ἀλλ' ὅμως μετὰ ταῦτα πρὸς τοὺς ἀγνώμονας, πρὸς τοὺς ἀχαρίστους πεμπόμενος, ἤρχετο, καὶ οὐκ ἀνεδύετο. Ἀλλὰ καὶ μετὰ τὰ σημεῖα ἐκεῖνα καὶ τὰ θαύματα τὰ δι' αὐτοῦ γενόμενα, καταλεῦσαι αὐτὸν πολλάκις ἐπεχείρησαν, καὶ ἐξέφυγε τὰς χεῖρας αὐτῶν· καὶ κατεγόγγυζον συνεχῶς, ἀλλ' ὅμως οὕτως αὐτοὺς ἐφίλει ἔρωτι, ὡς εἰπεῖν πρὸς τὸν Θεόν, ἡνίκα τὴν ἁμαρτίαν ἐκείνην τὴν χαλεπὴν εἰργάσαντο· «Εἰ μὲν ἀφῇς αὐτοῖς τὴν ἁμαρτίαν, ἄφες· εἰ δὲ μή, κἀμὲ ἐξάλειψον ἐκ τῆς βίβλου ἧς ἔγραψας». Βούλομαι μετ' ἐκείνων ἀπολέσθαι, φησίν, ἢ χωρὶς ἐκείνων σώζεσθαι. Ὄντως μανία, ὄντως ἔρως μέγας. Τί λέγεις; τοῦ οὐρανοῦ καταφρονεῖς; Ναί· φιλῶ γὰρ τοὺς ἠδικηκότας. Ἐξαλειφθῆναι αἰτεῖς; Καὶ τί πάθω, φησίν; ἔρως γάρ ἐστι.

Τί δὲ καὶ μετὰ ταῦτα; Ἄκουσον τί φησιν ἑτέρωθι ἡ Γραφή· «Καὶ ἐκακώθη Μωϋσῆς δι' αὐτούς». Ποσάκις ὕβρισαν; ποσάκις ἀπεχειροτόνησαν αὐτὸν καὶ τὸν ἀδελφόν; εἰς Αἴγυπτον ποσάκις μεταναστῆναι ἐζήτησαν; καὶ μετὰ ταῦτα πάντα

18. Ἐξ. 2, 14.
19. Ἐξ. 32, 32.
20. Ψαλμ. 105, 32.

σὲ διώρισεν ἀρχηγὸν καὶ δικαστὴν εἰς ἐμᾶς;»[18]. Ποῖον δὲν θὰ ἐξώργιζον αὐτοὶ οἱ λόγοι; Ἐὰν λοιπὸν τὸ προηγούμενον ἔγινε μέσα εἰς θυμὸν καὶ ταραχὴν τοῦ νοῦ, ἠμποροῦσε, κτυπῶν καὶ αὐτόν, νὰ τὸν φονεύσῃ. Διότι οὔτε ἐκεῖνος, ὑπὲρ τοῦ ὁποίου ἔγινεν αὐτό, θὰ ἠμποροῦσε νὰ τὸν κατηγορήσῃ. Ἀλλ' ἐπειδὴ ἦσαν συγγενεῖς τὰ λέγει αὐτά. Ὅταν ἠδικεῖτο, τίποτε τέτοιο δὲν εἶπε, ποῖος σὲ διώρισεν ἀρχηγὸν καὶ δικαστήν; Διατί δὲν εἶπες τοῦτο χθές; Ἡ ἰδική σου ἀδικία καὶ ἡ θηριωδία μὲ διώρισεν ἀρχηγὸν καὶ δικαστήν.

Ἀλλὰ πρόσεχε ὅτι τώρα καὶ εἰς τὸν Θεὸν τὰ λέγουν αὐτὰ μερικοί· εἰς ἐκεῖνα εἰς τὰ ὁποῖα ἀδικοῦνται, θέλουν νὰ εἶναι ὁ Θεὸς αὐστηρός, καὶ κατηγοροῦν τὴν μακροθυμίαν του· ὅταν ὅμως ἀδικοῦν, ποτέ. Τί ὑπάρχει πικρότερον ἀπὸ αὐτοὺς τοὺς λόγους; Ἀλλ' ὅμως καὶ μετὰ ἀπὸ αὐτὰ πρὸς τοὺς ἀγνώμονας, πρὸς τοὺς ἀχαρίστους ἀποστελλόμενος, ἤρχετο καὶ δὲν ἠρνεῖτο. Ἀλλὰ καὶ μετὰ ἀπὸ ἐκεῖνα τὰ σημεῖα καὶ τὰ θαύματα τὰ ὁποῖα ἔγιναν δι' αὐτοῦ, πολλὰς φορὰς ἐπεχείρησαν νὰ τὸν λιθοβολήσουν, καὶ ἐξέφυγεν ἀπὸ τὰ χέρια των καὶ ἐγόγγυζον συνεχῶς ἐναντίον του, ἀλλ' ὅμως μὲ τόσην ἀγάπην ἠγάπα αὐτούς, ὥστε νὰ εἴπῃ πρὸς τὸν Θεόν, ὅταν ἔκαναν τὴν φοβερὰν ἐκείνην ἁμαρτίαν· «Ἐὰν θέλῃς νὰ συγχωρήσῃς αὐτούς, συγχώρησέ τους, ἐὰν δὲν τοὺς συγχωρήσῃς, ἐξάλειψε μαζὶ μὲ αὐτοὺς καὶ ἐμένα ἀπὸ τὸ βιβλίον τῆς ζωῆς τὸ ὁποῖον ἔχεις γραμμένον»[19]. Θέλω νὰ χαθῶ μαζὶ μὲ ἐκείνους, λέγει, παρὰ νὰ σωθῶ χωρὶς ἐκείνους. Πραγματικὴ μανία, πραγματικὰ μεγάλος ἔρως. Τί λέγεις; Τὸν οὐρανὸν περιφρονεῖς; Ναί· διότι ἀγαπῶ ἐκείνους οἱ ὁποῖοι μὲ ἠδίκησαν. Νὰ ἐξαλειφθῇς ζητεῖς; Καὶ τί θὰ πάθω; λέγει. Ἀφοῦ εἶναι ἔρως.

Τί ἔγινε δὲ καὶ μετὰ ἀπὸ αὐτά; Ἄκουσε τί λέγει ἀλλοῦ ἡ Γραφή· «καὶ ἐτιμωρήθη ὁ Μωϋσῆς ἐξ αἰτίας των»[20]. Πόσας φορὰς τὸν περιεφρόνησαν; πόσας φορὰς τὸν ἀπέρριψαν αὐτὸν καὶ τὸν ἀδελφόν του; πόσας φορὰς ἐζήτησαν νὰ ἐπιστρέψουν εἰς τὴν Αἴγυπτον; Καὶ μετὰ ἀπὸ ὅλα αὐτὰ

ἐξεκαίετο καὶ ἐμεμήνει, καὶ ὑπὲρ αὐτῶν πάσχειν ἕτοιμος ἦν. Οὕτω δεῖ φιλεῖν τοὺς ἐχθρούς, κοπτόμενον καὶ ταλαιπωρούμενον καὶ πάντα ποιοῦντα καὶ χαριζόμενον, ἐφίεσθαι τῆς σωτηρίας αὐτῶν. Τί δὲ ὁ Παῦλος, εἰπέ μοι, οὐχὶ καὶ γέενναν ᾔτησεν ἀντ' αὐτῶν;

Ἀλλ' ἀπὸ τοῦ δεσπότου τὸ παράδειγμα ἀναγκαῖον ἀγαγεῖν. Οὕτω γὰρ καὶ αὐτὸς ποιεῖ, λέγων, ὅτι «Τὸν ἥλιον αὐτοῦ ἀνατέλλει ἐπὶ πονηροὺς καὶ ἀγαθούς»· ἀπὸ τοῦ Πατρὸς αὐτοῦ φέρων τὸ παράδειγμα, ἡμεῖς δὲ ἀπ' αὐτοῦ τοῦ Χριστοῦ. Ἦλθε πρὸς αὐτούς, κατὰ τὴν οἰκονομίαν λέγω, δοῦλος ἐγένετο δι' αὐτούς, ἐταπείνωσεν ἑαυτόν, ἐκένωσε, μορφὴν δούλου ἔλαβε· καὶ παραγενόμενος, οὔτε αὐτὸς εἰς ὁδὸν ἐθνῶν ἀπήρχετο, καὶ τοῖς μαθηταῖς τοῦτο ἐπέταττε· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ περιῆγε θεραπεύων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν.

Τί οὖν; Οἱ μὲν ἄλλοι πάντες ἐξεπλήσσοντο καὶ ἐθαύμαζον, καὶ ἔλεγον, «Πόθεν τούτῳ ταῦτα;»· οὗτοι δὲ εὐεργετούμενοι ἔλεγον, δαιμόνιον ἔχει, καὶ βλασφημεῖ, καὶ μαίνεται, καὶ πλάνος ἐστίν. Ἆρ' οὖν ἀπώσατο αὐτούς; Οὐδαμῶς, ἀλλὰ μειζόνως εὐηργέτει ταῦτα ἀκούων, καὶ ἀπῄει πρὸς τοὺς μέλλοντας αὐτὸν σταυροῦν, ἵνα μόνον αὐτοὺς διασώσῃ. Καὶ μετὰ τὸ σταυρωθῆναι τί φησι; «Πάτερ, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν ταύτην». Καὶ πρὸ τούτου κακῶς παθών, καὶ μετὰ ταῦτα κακῶς παθών, μέχρις ἐσχάτης ἀναπνοῆς περὶ αὐτῶν πάντα ἔπραττεν, ὑπὲρ αὐτῶν ἐδεῖτο. Καὶ μετὰ τὸ σταυρὸν τί οὐκ ἐποίησε δι' αὐτούς; οὐχὶ ἀποστόλους ἀπέστειλεν; οὐχὶ σημεῖα εἰργάσατο; οὐχὶ πᾶν ὁτιοῦν ἐκίνησεν; Οὕτω δεῖ φιλεῖν τοὺς ἐχθρούς, οὕτω μιμεῖσθαι τὸν Χριστόν.

Οὕτω Παῦλος ἐποίησε· λιθαζόμενος, μυρία πάσχων, ὑπὲρ αὐτῶν ἅπαντα ἔπραττεν. Ἄκουε αὐτοῦ λέγοντος, ὅτι «Ἡ εὐ-

21. Ματθ. 5, 45.
22. Λουκᾶ 23, 34.

κατεφλογίζετο καὶ συμπεριεφέρετο ὡσὰν τρελλὸς καὶ ἦτο πρόθυμος νὰ ὑποφέρῃ ὑπὲρ αὐτῶν. Ἔτσι πρέπει ν' ἀγαπᾷ κανεὶς τοὺς ἐχθρούς, κτυπώμενος, δυστυχῶν, κάμνων τὰ πάντα καὶ γινόμενος τὰ πάντα πρὸς χάριν των, νὰ ποθῇ τὴν σωτηρίαν των. Μήπως ὁ Παῦλος, εἰπέ μου, δὲν ἐζήτησε καὶ τὴν γέενναν νὰ ὑποστῇ διὰ νὰ σωθοῦν αὐτοί;

Ἀλλ' εἶναι ἀνάγκη νὰ φέρωμεν τὸ παράδειγμα ἀπὸ τὸν Κύριον. Διότι ἔτσι κάμνει καὶ ἐκεῖνος, λέγων, ὅτι «ἀνατέλλει τὸν ἥλιόν του διὰ τοὺς πονηροὺς καὶ ἀγαθούς»[21]· ἐκεῖνος φέρει τὸ παράδειγμα ἀπὸ τὸν Πατέρα του, ἐμεῖς δὲ ἀπὸ τὸν ἴδιον τὸν Χριστόν. Ἦλθε πρὸς αὐτούς, συμφώνως δηλαδὴ πρὸς τὴν οἰκονομίαν τοῦ Θεοῦ, ἔγινε δοῦλος δι' αὐτούς, ἐταπείνωσεν τὸν ἑαυτόν του διὰ τῆς θείας κενώσεως, ἔλαβε μορφὴν δούλου· καὶ ἀφοῦ ἦλθε, δὲν ἐπῆγεν αὐτὸς εἰς τὰ ἔθνη, καὶ προσέταξεν τὸ ἴδιο καὶ εἰς τοὺς μαθητάς του· καὶ ὄχι μόνον αὐτό, ἀλλὰ καὶ περιήρχετο θεραπεύων κάθε νόσον καὶ ἀσθένειαν.

Τί λοιπόν; Οἱ μὲν ἄλλοι ὅλοι ἐξεπλήττοντο καὶ ἐθαύμαζον καὶ ἔλεγον, «Ἀπὸ ποῦ ἐδόθησαν αὐτὰ εἰς αὐτούς;», ἐνῷ αὐτοὶ εὐεργετούμενοι ἔλεγον, δαιμόνιον ἔχει, καὶ βλασφημεῖ, καὶ ἔχει κυριευθῆ ἀπὸ μανίαν, καὶ εἶναι πλάνος. Ἆρά γε τοὺς ἀπεμάκρυνεν αὐτούς; Καθόλου. Ἀλλὰ περισσότερον τοὺς εὐηργέτει ἀκούων αὐτά, καὶ ἐπήγαινε πρὸς ἐκείνους οἱ ὁποῖοι ἐπρόκειτο νὰ τὸν σταυρώσουν, διὰ νὰ σώσῃ μόνον αὐτούς. Καὶ ἀφοῦ ἐσταυρώθη τί λέγει; «Πατέρα, συγχώρησέ τους, διότι δὲν γνωρίζουν τί κάνουν»[22]. Καὶ πρὶν ἀπὸ αὐτό, ἀφοῦ ἐβασανίσθη, καὶ μετὰ ἀπὸ αὐτὰ ἀφοῦ ἔπαθε, μέχρι τελευταίας ἀναπνοῆς ἔκαμνε τὰ πάντα δι' αὐτούς, ὑπὲρ αὐτῶν προσηύχετο. Καὶ μετὰ ἀπὸ τὸν σταυρὸν τί δὲν ἔκανε δι' αὐτούς; Δὲν ἀπέστειλεν ἀποστόλους; Δὲν ἔκανε θαύματα; Δὲν ἐκίνησε τὸ πᾶν; Ἔτσι πρέπει ν' ἀγαπῶμεν τοὺς ἐχθρούς, ἔτσι μιμούμεθα τὸν Χριστόν.

Ἔτσι ἔκανε καὶ ὁ Παῦλος· λιθοβολούμενος, ὑποφέρων ἀμέτρητα δεινά, ἔκαμνε τὰ πάντα ὑπὲρ αὐτῶν. Ἄκουσε τὸν

δοκία μου καὶ ἡ δέησις ὑπὲρ αὐτῶν ἐστιν εἰς σωτηρίαν»· καὶ πάλιν· «Μαρτυρῶ γὰρ αὐτοῖς, ὅτι ζῆλον Θεοῦ ἔχουσι»· καὶ πάλιν· «Εἰ σὺ ἀγριέλαιος ὢν ἐνεκεντρίσθης, πόσῳ μᾶλλον οὗτοι ἐγκεντρισθήσονται τῇ ἰδίᾳ ἐλαίᾳ;». Ἀπὸ πόσης φιλοστοργίας οἴει ταῦτα λέγεσθαι τὰ ρήματα; ἀπὸ πόσης εὐνοίας; Οὐκ ἔστιν εἰπεῖν, οὐκ ἔστιν. Οὕτω δεῖ φιλεῖν τοὺς ἐχθρούς· τοῦτο τὸν Θεόν ἐστι φιλεῖν, τὸν ἐπιτάξαντα, τὸν νομοθετήσαντα· τὸ μιμεῖσθαι ἐκεῖνον, τὸ φιλεῖν τὸν ἐχθρόν ἐστιν. Ἐννόησον ὅτι οὐ τὸν ἐχθρὸν εὐεργετεῖς, ἀλλὰ σαυτόν, οὐκ ἐκεῖνον φιλεῖς, ἀλλὰ τῷ Θεῷ ὑπακούεις.

Ταῦτα οὖν εἰδότες, κυρώσωμεν εἰς ἀλλήλους τὴν ἀγάπην, ἵνα μετὰ ἀκριβείας ταύτην κατορθώσαντες, τύχωμεν τῶν ἐπηγγελμένων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρί, ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

23. Ρωμ. 10, 10.
24. Ρωμ. 10, 12.
25. Ρωμ. 11, 17-24.

ἴδιον ὁ ὁποῖος λέγει· «Ἡ ἐπιθυμία τῆς καρδίας μου καὶ ἡ προσευχή μου εἰς τὸν Θεὸν εἶναι ὑπὲρ τῶν Ἰσραηλιτῶν, διὰ νὰ σωθοῦν»[23]· καὶ πάλιν· «Μαρτυρῶ δι' αὐτοὺς ὅτι ἔχουν ζῆλον Θεοῦ»[24]· καὶ πάλιν· «Ἐὰν ἐσύ, ἕνας βλαστὸς ἀγριελῃᾶς, ἐνεβολιάσθης εἰς τὴν θέσιν των, πόσον μᾶλλον αὐτοὶ θὰ ἐμβολιασθοῦν εἰς τὴν ἰδικήν των ἐληάν;»[25]. Ἀπὸ πόσην φιλοστοργίαν νομίζεις ὅτι λέγονται αὐτοὶ οἱ λόγοι; Ἀπὸ πόσην εὔνοιαν; Δὲν εἶναι δυνατὸν νὰ λεχθῇ· δὲν εἶναι. Ἔτσι πρέπει ν' ἀγαπῶμεν τοὺς ἐχθρούς· αὐτὸ εἶναι τὸ ν' ἀγαπῶμεν τὸν Θεόν, τὸν προστάξαντα, τὸν νομοθετήσαντα· τὸ νὰ μιμούμεθα ἐκεῖνον, εἶναι τὸ ν' ἀγαπῶμεν τὸν ἐχθρόν. Σκέψου ὅτι δὲν εὐεργετεῖς τὸν ἐχθρόν, ἀλλὰ τὸν ἑαυτόν σου, δὲν ἀγαπᾷς ἐκεῖνον, ἀλλ' εἰς τὸν Θεὸν ὑπακούεις.

Αὐτὰ λοιπὸν γνωρίζοντες, ἂς ἐπικυρώσωμεν μεταξύ μας τὴν ἀγάπην, ὥστε, ἀφοῦ κατορθώσωμεν αὐτὴν μὲ ἀκρίβειαν, νὰ ἐπιτύχωμεν τὰ ἀγαθὰ τὰ ὁποῖα μᾶς τὰ ἔχει ὑποσχεθῆ διὰ τοῦ Ἰησοῦ Χριστοῦ, τοῦ Κυρίου ἡμῶν, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Η΄

Ἐφεσ. 4, 1

«*Παρακαλῶ οὖν ὑμᾶς ἐγώ, ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε, μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητος*».

1. Διδασκάλων ἐστὶν ἀρετὴ μὴ τιμὴν μηδὲ δόξαν ζητεῖν παρὰ τῶν ἀρχομένων, ἀλλὰ τὴν σωτηρίαν αὐτῶν, καὶ πάντα ὑπὲρ τούτου ποιεῖν· ὡς ὅ γε ἐκεῖνο ζητῶν, οὐκ ἂν εἴη διδάσκαλος, ἀλλὰ τύραννος. Οὐ γὰρ διὰ τοῦτό σε ἐπέστησεν ὁ Θεὸς αὐτοῖς, ἵνα σύ πλείονος ἀπολαύσῃς θεραπείας, ἀλλ' ἵνα τὰ μὲν σὰ ἀμελῆται, πάντα δὲ τὰ ἐκείνων οἰκοδομῆται. Τοῦτό ἐστι διδασκάλου· τοιοῦτος ὁ μακάριος Παῦλος ἦν, ὃς τύφου μὲν ἀπήλλακτο παντός, οὕτω δὲ διέκειτο, ὡς εἷς τῶν πολλῶν, μᾶλλον δὲ καὶ αὐτῶν ἐλάχιστος. Διὰ τοῦτο καὶ δοῦλον αὐτῶν ἑαυτὸν καλεῖ, καὶ τὰ πλείονα ἐν ἱκετηρίας τάξει φθέγγεται. Ὅρα γοῦν καὶ νῦν οὐδὲν ἐπιτακτικὸν γράφοντα, οὐδὲν αὐθεντικόν, ἀλλὰ συνεσταλμένον καὶ καθυφειμένον.

«Παρακαλῶ οὖν ὑμᾶς ἐγώ», φησίν, «ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε». Τί παρακαλεῖς, εἰπέ μοι; ἵνα τινὸς τύχῃς αὐτός; Οὐδαμῶς, ἀλλ' ἵνα ἄλλους σώσω, φησί. Καίτοιγε οἱ παρακαλοῦντες, ὑπὲρ τῶν αὐτοῖς διαφερόντων παρακαλοῦσι. Καὶ ἐμοὶ τοῦτο διαφέρει, φησί, καθὼς καὶ ἑτέρωθι γράφων ἔλεγε· «Νῦν ζῶμεν, ἐὰν ὑμεῖς στήκητε ἐν Κυρίῳ». Σφόδρα γὰρ ἀεὶ τῆς σωτηρίας τῶν μαθητευομένων ἐφίετο. «Ἐγὼ ὁ δέσμιος ἐν

1. Ἐφεσ. 4, 1.
2. Α΄ Θεσ. 3, 8.

ΛΟΓΟΣ Η΄
'Εφεσ. 4, 1

«Σᾶς παρακαλῶ λοιπὸν ἐγὼ ὁ φυλακισμένος διὰ τὸν Κύριον, νὰ ζῆτε ἀντάξια πρὸς τὴν κλῆσιν, τὴν ὁποίαν ἐλάβετε, μὲ πᾶσαν ταπεινοφροσύνην καὶ πραότητα»[1].

1. 'Αρετὴ τῶν διδασκάλων εἶναι νὰ μὴ ζητοῦν οὔτε τιμήν, οὔτε δόξαν ἀπὸ τοὺς ἀρχομένους, ἀλλὰ τὴν σωτηρίαν των, καὶ νὰ κάμνουν τὰ πάντα πρὸς τὸν σκοπὸν αὐτόν· διότι, ὅποιος ζητεῖ ἐκεῖνα, δὲν εἶναι διδάσκαλος, ἀλλὰ τύραννος. Διότι δὲν σὲ διώρισε δι' αὐτὸ ὁ Θεὸς εἰς αὐτούς, διὰ ν' ἀπολαύσῃς περισσοτέραν περιποίησιν, ἀλλὰ διὰ τὰ μὲν ἰδικά σου νὰ ἀμελῇς, ὅλα δὲ τὰ ἰδικά των νὰ οἰκοδομοῦνται. Αὐτὸ εἶναι τὸ ἔργον τοῦ διδασκάλου· τέτοιος ἦτο ὁ μακάριος Παῦλος, ὁ ὁποῖος ἦτο ἀπηλλαγμένος τελείως ἀπὸ ἀλαζονείαν, διέκειτο δὲ ἔτσι, ὡσὰν νὰ ἦτο ἕνας ἀπὸ τοὺς πολλούς, μᾶλλον δὲ καὶ ἀπὸ αὐτοὺς μικρότερος. Διὰ τοῦτο καὶ ὀνομάζει τὸν ἑαυτόν του δοῦλον των, καὶ λέγει τὰ περισσότερα εἰς αὐτοὺς ὡσὰν νὰ εἶναι δοῦλος. Πρόσεχε λοιπὸν καὶ τώρα ὅτι δὲν γράφει τίποτε ὡσὰν προσταγήν, οὔτε κατὰ τρόπον αὐθεντικόν, ἀλλὰ μὲ τρόπον περιωρισμένον καὶ συνεσταλμένον.

«Σᾶς παρακαλῶ λοιπὸν ἐγώ», λέγει, «ὁ φυλακισμένος διὰ τὸν Κύριον, νὰ ζῆτε ἀντάξια πρὸς τὴν κλῆσιν, τὴν ὁποίαν ἐλάβετε». Τί παρακαλεῖς; εἰπέ μου. Διὰ νὰ κερδίσῃς τίποτε ἐσύ; Καθόλου, ἀλλὰ διὰ νὰ σώσω ἄλλους, λέγει. Καὶ ὅμως, ἐκεῖνοι οἱ ὁποῖοι παρακαλοῦν, παρακαλοῦν δι' ἐκεῖνα τὰ ὁποῖα ἐνδιαφέρουν αὐτούς. Καὶ ἐμένα αὐτὸ μὲ ἐνδιαφέρει, λέγει, ὅπως ἔλεγε γράφων καὶ ἀλλοῦ· «τώρα ζῶμεν, ἐὰν στέκεσθε σεῖς σταθεροὶ εἰς τὸν Κύριον»[2]. Διότι πάντοτε ἐπόθει πάρα πολὺ τὴν σωτηρίαν τῶν μαθητῶν του. «'Εγὼ

Κυρίῳ». Μέγα ἀξίωμα καὶ σφοδρόν, καὶ βασιλείας καὶ ὑπατείας καὶ πάντων μεῖζον. Ὅπερ οὖν καὶ πρὸς Φιλήμονα γράφων φησίν· «Ὡς Παῦλος πρεσβύτης, νυνὶ δὲ καὶ δέσμιος Ἰησοῦ Χριστοῦ».

Οὐδὲν γὰρ οὕτω λαμπρόν, ὡς δεσμὸς διὰ Χριστόν, ὡς αἱ ἁλύσεις αἱ περικείμεναι ταῖς ὁσίαις χερσὶν ἐκείναις. Τοῦ ἀπόστολον εἶναι, τοῦ διδάσκαλον εἶναι, τοῦ εὐαγγελιστὴν εἶναι, τοῦτο λαμπρότερον, τὸ δέσμιον εἶναι διὰ τὸν Χριστόν. Εἴ τις φιλεῖ τὸν Χριστόν ἔγνω τὸ λεγόμενον· εἴ τις μαίνεται καὶ περικαίεται τοῦ δεσπότου, οἶδε τὴν δύναμιν τῶν δεσμῶν· ἕλοιτο ἂν δέσμιος γενέσθαι διὰ Χριστόν, ἢ τοὺς οὐρανοὺς οἰκεῖν. Παντὸς χρυσοῦ λαμπροτέρας αὐτοῦ ἐδείκνυ τὰς χεῖρας, παντὸς διαδήματος βασιλικοῦ. Οὐ γὰρ οὕτω ποιεῖ λαμπρὰν κεφαλὴν ταινία λιθοκόλλητος περικειμένη, ὡς ἅλυσις σιδηρᾶ διὰ Χριστόν. Τότε τῶν βασιλείων λαμπρότερον τὸ δεσμωτήριον ἦν, καὶ αὐτοῦ δὲ τοῦ οὐρανοῦ· τί λέγω βασιλείων; δέσμιον γὰρ εἶχε Χριστοῦ.

Εἴ τις φιλεῖ τὸν Χριστόν, οἶδε τοῦτο τὸ ἀξίωμα, οἶδε ταύτην τὴν ἀρετήν, οἶδεν ὅσον ἐχαρίσατο τῷ τῶν ἀνθρώπων γένει τὸ δεθῆναι δι' αὐτόν. Τάχα τοῦ καθίσαι ἐκ δεξιῶν αὐτοῦ τοῦτο λαμπρότερον τοῦ καθίσαι ἐπὶ δώδεκα θρόνων τοῦτο σεμνότερον, τὸ δεθῆναι δι' αὐτόν. Καὶ τί λέγω περὶ τῶν ἀνθρωπίνων; αἰσχύνομαι συγκρίνων πλοῦτον καὶ κόσμον χρυσοῦν δεσμοῖς· ἀλλὰ περὶ τῶν μεγάλων ἐκείνων, κἂν μηδένα μισθὸν εἶχε τὸ πρᾶγμα, τοῦτο μόνον μέγας μισθός, τοῦτο

3. Φιλήμ. 9.

ὁ φυλακισμένος διὰ τὸν Κύριον». Μεγάλο ἀξίωμα καὶ δυνατόν, καὶ μεγαλύτερον καὶ ἀπὸ τὴν βασιλείαν καὶ ἀπὸ τὴν ὑπατείαν καὶ ἀπὸ ὅλα. Πρᾶγμα τὸ ὁποῖον βέβαια λέγει γράφων καὶ εἰς τὸν Φιλήμονα· «Τέτοιος ποὺ εἶμαι, ἐγὼ ὁ Παῦλος ὁ ἡλικιωμένος, καὶ τώρα φυλακισμένος τοῦ Ἰησοῦ Χριστοῦ»[3].

Τίποτε λοιπὸν δὲν εἶναι τόσον λαμπρόν, ὅσον ἡ φυλακὴ διὰ τὸν Χριστόν, ὅσον αἱ ἁλυσίδες αἱ ὁποῖαι κρατοῦν δέσμια τὰ ἅγια ἐκεῖνα χέρια. Ἀπὸ τὸ νὰ εἶναι ἀπόστολος, ἀπὸ τὸ νὰ εἶναι διδάσκαλος, ἀπὸ τὸ νὰ εἶναι εὐαγγελιστής, αὐτὸ εἶναι λαμπρότερον, τὸ νὰ εἶναι δέσμιος διὰ τὸν Χριστόν. Ὅποιος ἀγαπᾷ τὸν Χριστόν, γνωρίζει αὐτὸ ποὺ λέγομεν. Ἐὰν κάποιος ἀγαπᾷ μὲ μανίαν καὶ καταφλέγεται διὰ τὸν Κύριον, γνωρίζει τὴν δύναμιν τῆς φυλακῆς· θὰ προετίμα νὰ φυλακισθῇ διὰ τὸν Χριστόν, παρὰ νὰ κατοικῇ εἰς τοὺς οὐρανούς. Λαμπρότερα ἀπὸ κάθε χρυσὸν καὶ κάθε διάδημα βασιλικὸν ἔδειχνε τὰ χέρια του. Διότι δὲν κάνει τόσον λαμπρὰν τὴν κεφαλὴν τὸ νὰ περιβάλλεται ταινίαν μὲ πολυτίμους λίθους, ὅσον ἡ σιδηρᾶ ἁλυσὶς διὰ τὸν Χριστόν. Τότε ἡ φυλακὴ εἶναι λαμπροτέρα ἀπὸ τὰ βασίλεια καὶ ἀπὸ αὐτὸν τὸν οὐρανόν· καὶ διατί λέγω ἀπὸ τὰ βασίλεια; διότι ἦτο δέσμιος τοῦ Χριστοῦ.

Ἐὰν κάποιος ἀγαπᾷ τὸν Χριστόν, γνωρίζει αὐτὸ τὸ ἀξίωμα, γνωρίζει αὐτὴν τὴν ἀρετήν, γνωρίζει πόσον μέγα χάρισμα εἶναι τὸ ὅτι ἔδωσεν εἰς τὸ γένος τῶν ἀνθρώπων τὴν δυνατότητα νὰ φυλακίζωνται δι' αὐτόν. Καὶ ἀπὸ τὸ νὰ καθίσῃ κανεὶς εἰς τὰ δεξιά του αὐτὸ εἶναι λαμπρότερον, ἀπὸ τὸ νὰ καθίσῃ ἐπάνω εἰς δώδεκα θρόνους, αὐτὸ εἶναι μεγαλοπρεπέστερον, τὸ νὰ φυλακισθῇ κανεὶς δι' αὐτόν. Καὶ τί λέγω διὰ τὰ ἀνθρώπινα; Ἐντρέπομαι διότι συγκρίνω πλοῦτον καὶ στολισμὸν χρυσοῦν μὲ τὴν φυλακήν· ἀλλὰ δι' ἐκεῖνα τὰ μεγάλα, καὶ ἂν ἀκόμη δὲν εἶχε κανένα μισθὸν αὐτὸ τὸ πρᾶγμα, μόνον αὐτὸ ἦτο μέγας μισθός, αὐτὸ ἦτο

ἀντίδοσις ἱκανή, τὸ διὰ τὸν φιλούμενον ταῦτα πάσχειν τὰ δεινά.

Ἴσασιν οἱ φιλοῦντες, εἰ καὶ μὴ τὸν Θεόν, ἀλλ' ἀνθρώπους, τὸ λεγόμενον, οἳ ἥδονται κακῶς πάσχοντες μᾶλλον ἢ τιμώμενοι παρὰ τῶν ἐρωμένων. Τοῦ ἁγίου χοροῦ τὸ ταῦτα συνιδεῖν μόνου, τῶν ἀποστόλων λέγω. Ἄκουε γὰρ τοῦ μακαρίου Λουκᾶ λέγοντος, ὅτι «Ὑπέστρεφον χαίροντες ἀπὸ προσώπου τοῦ συνεδρίου, ὅτι ὑπὲρ τοῦ ὀνόματος κατηξιώθησαν ἀτιμασθῆναι». Τοῖς μὲν οὖν ἄλλοις δοκεῖ γέλως εἶναι, εἰ τὸ ἀτιμασθῆναι καταξιωθῆναί ἐστιν, εἰ τὸ ἀτιμασθῆναι χαίρειν ἐστί· τοῖς δὲ ἐπισταμένοις τοῦ Χριστοῦ τὸν πόθον τοῦτο πάντων μακαριστότερον νενόμισται. Εἴ τις ἐμοὶ τὸν οὐρανὸν ἐχαρίζετο πάντα, ἢ τὴν ἅλυσιν ἐκείνην, ἐκείνην ἂν ἐγὼ προετίμησα. Εἴ τις με μετὰ τῶν ἀγγέλων ἵστη ἄνω, ἢ μετὰ Παύλου δεδεμένου, τὸ δεσμωτήριον ἂν εἱλόμην. Εἴ τίς με ἐκείνων ἐποίει τῶν δυνάμεων τῶν περὶ τὸν οὐρανόν, τῶν περὶ τὸν θρόνον ἢ δεσμώτην τοιοῦτον, τοιοῦτος ἂν εἱλόμην γενέσθαι δεσμώτης. Οὐδὲν τῆς ἁλύσεως ἐκείνης μακαριώτερον. Ἐβουλόμην ἐν τοῖς τόποις γενέσθαι νῦν ἐκείνοις· λέγεται γὰρ καὶ μένειν τὰ δεσμά· εἰκότως, καὶ θαυμάζω τοὺς ἄνδρας ἐκείνους τοῦ πόθου τοῦ Χριστοῦ· ἐβουλόμην ἰδεῖν τὰς ἁλύσεις, ἃς δεδοίκασι μὲν δαίμονες καὶ φρίττουσιν, αἰδοῦνται δὲ ἄγγελοι.

2. Οὐδὲν βέλτιον τοῦ κακῶς παθεῖν τι διὰ Χριστόν. Οὐχ οὕτω μακαρίζω Παῦλον, ὅτι εἰς παράδεισον ἡρπάγη, ὡς ὅτι εἰς τὸ δεσμωτήριον ἐνεβλήθη. Οὐχ οὕτως αὐτὸν μακαρίζω, ὅτι ἤκουσεν ἄρρητα ῥήματα, ὡς ὅτι ὑπέμεινε τὰ δεσμά. Οὐχ οὕτως αὐτὸν μακαρίζω, ὅτι ἡρπάγη εἰς τρίτον οὐρανόν, ὡς

4. Πράξ. 5, 41.

ἀρκετὴ ἀνταπόδοσις, τὸ νὰ πάσχῃ κανεὶς αὐτὰ τὰ δεινὰ διὰ τὸν ἀγαπώμενον.

Γνωρίζουν ἐκεῖνοι οἱ ὁποῖοι ἀγαποῦν, καὶ ἂν ὄχι τὸν Θεόν, ἀλλὰ ἀνθρώπους, αὐτὸ τὸ ὁποῖον λέγομεν, οἱ ὁποῖοι εὐχαριστοῦνται περισσότερον ὅταν πάσχουν, παρὰ ὅταν τιμῶνται ἀπὸ αὐτοὺς ποὺ ἀγαποῦν. Τὸ νὰ γνωρίζουν καλῶς αὐτά, ἀνήκει μόνον εἰς τὴν ἁγίαν ἐκείνην χορείαν, δηλαδὴ τοὺς ἀποστόλους. Διότι ἄκουσε τὸν μακάριον Λουκᾶν ὁ ὁποῖος λέγει, ὅτι «Οἱ ἀπόστολοι ἔφυγαν ἀπὸ τὸ συνέδριον χαρούμενοι, διότι ἐκρίθησαν ἄξιοι νὰ κακοποιηθοῦν ὑπὲρ τοῦ ὀνόματος αὐτοῦ»[4]. Εἰς τοὺς μὲν ἄλλους λοιπόν, φαίνεται ἀξιογέλαστον τὸ νὰ λέγωμεν ὅτι ἠξιώθησαν νὰ κακοποιηθοῦν, τὸ ὅτι εἶναι χαρὰ τὸ νὰ κακοποιῆται κανείς· εἰς ἐκείνους ὅμως οἱ ὁποῖοι γνωρίζουν τὸν πόθον τοῦ Χριστοῦ, αὐτὸ θεωρεῖται τὸ πιὸ ἀξιομακάριστον ἀπὸ ὅλα. Ἐὰν κάποιος μοῦ ἐχάριζεν ὁλόκληρον τὸν οὐρανὸν ἢ τὴν ἁλυσίδα ἐκείνην, ἐγὼ ἐκείνην θὰ προετίμων. Ἐὰν κάποιος μὲ ἐτοποθέτει ἐκεῖ ἐπάνω μαζὶ μὲ τοὺς ἀγγέλους ἢ μὲ τὸν Παῦλον φυλακισμένον, τὴν φυλακὴν θὰ ἐπροτιμοῦσα. Ἐὰν κάποιος μὲ ἔκαμνεν ὡσὰν ἕνα ἀπὸ ἐκείνας τὰς δυνάμεις αἱ ὁποῖαι εἶναι εἰς τὸν οὐρανόν, γύρω ἀπὸ τὸν θρόνον, ἢ ἕνα τέτοιον φυλακισμένον, τέτοιος φυλακισμένος θὰ ἐπροτιμοῦσα νὰ εἶμαι. Τίποτε δὲν ὑπάρχει περισσότερον ἄξιον μακαρισμοῦ ἀπὸ τὴν ἁλυσίδα ἐκείνην. Θὰ ἤθελον τώρα νὰ εὑρεθῶ εἰς ἐκείνους τοὺς τόπους· διότι λέγεται ὅτι σώζονται ἀκόμη τὰ δεσμά· ἀλήθεια, θαυμάζω τοὺς ἀνθρώπους ἐκείνους διὰ τὸν πόθον τοῦ Χριστοῦ· ἤθελον νὰ ἴδω τὰς ἁλυσίδας, τὰς ὁποίας φοβοῦνται μὲν καὶ φρίττουν οἱ δαίμονες, ἐντρέπονται δὲ καὶ σέβονται οἱ ἄγγελοι.

2. Τίποτε δὲν ὑπάρχει καλύτερον ἀπὸ τὸ νὰ πάθῃ κανεὶς κάτι διὰ τὸν Χριστόν. Δὲν μακαρίζω τόσον τὸν Παῦλον διὰ τὸ ὅτι ἡρπάγη εἰς τὸν παράδεισον, ὅσον διὰ τὸ ὅτι ἐρρίφθη εἰς τὴν φυλακήν. Δὲν μακαρίζω τόσον αὐτὸν διὰ τὸ ὅτι ἤκουσε λόγια ἄρρητα, ὅσον διὰ τὸ ὅτι ὑπέμεινε τὴν φυλά-

μακαρίζω διὰ τὰ δεσμά. Ὅτι γὰρ ταῦτα ἐκείνων μείζονα, ἄκουσον καὶ αὐτὸς πῶς οἶδεν. Οὐδὲ γὰρ εἶπε, παρακαλῶ ὑμᾶς ἐγὼ ὁ ῥήματα ἄρρητα ἀκούσας, ἀλλὰ τί; «Παρακαλῶ ὑμᾶς ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ». Εἰ δὲ μὴ πάσαις τοῦτο προσγράφει ταῖς ἐπιστολαῖς, οὐ θαυμαστόν· οὐδὲ γὰρ πάντοτε ἐδέδετο, ἀλλ' ἐν χρόνοις τισίν. Αἱρετώτερον ἐμοὶ παθεῖν κακῶς ὑπὲρ τοῦ Χριστοῦ ἢ τιμᾶσθαι παρὰ τοῦ Χριστοῦ. Τοῦτο μεγάλη τιμή, τοῦτο δόξα ἡ πάντα ὑπερβάλλουσα. Εἰ αὐτὸς δι' ἐμὲ γενόμενος δοῦλος, καὶ τὴν δόξαν κενώσας, οὐχ οὕτως ἡγεῖτο ἐν δόξῃ εἶναι, ὡς ὅτε ἐσταυροῦτο ὑπὲρ ἐμοῦ, τί ἐμὲ παθεῖν οὐ δεῖ; Ἄκουε γὰρ αὐτοῦ λέγοντος· «Δόξασόν με, Πάτερ».

Τί λέγεις; ἐπὶ σταυρὸν ἄγῃ μετὰ λῃστῶν καὶ τυμβωρύχων, τὸν τῶν ἐπαράτων ὑφίστασαι θάνατον, ἐμπτύεσθαι μέλλεις καὶ ῥαπίζεσθαι, καὶ ταῦτα δόξαν καλεῖς; Ναί, φησιν· ὑπὲρ γὰρ τῶν φιλουμένων ἐγὼ πάσχω ταῦτα, καὶ πάνυ δόξαν αὐτὰ ἡγοῦμαι. Εἰ ὁ τοὺς οἰκτροὺς καὶ ταλαιπώρους φιλήσας, δόξαν τὸ πρᾶγμα καλεῖ, εἰ οὐ τὸ ἐν τῷ θρόνῳ εἶναι τῷ πατρικῷ, οὐδὲ τὸ ἐν τῇ δόξῃ, ἀλλὰ τὸ ἐν ἀτιμίᾳ δόξα ἦν, καὶ τοῦτο ἐκείνου προετίθει· πολλῷ μᾶλλον ἐγὼ ταῦτα ὀφείλω δόξαν ἡγεῖσθαι. Ὢ μακαρίων δεσμῶν, ὢ μακαρίων χειρῶν, ἃς ἐκόσμησεν ἡ ἅλυσις ἐκείνη. Οὐκ ἦσαν οὕτω τίμιαι αἱ χεῖρες Παύλου τὸν χωλὸν τὸν ἐν Λύστροις ἀναστήσασαι καὶ ἐγείρασαι, ὡς τὰ δεσμὰ περικείμεναι. Εἰ κατ' ἐκείνους τοὺς χρόνους ἤμην ἐγώ, τότε ἂν μάλιστα αὐτὰς περιεπτυξάμην, καὶ ἐπὶ τὰς κόρας ἔθηκα τὰς ἐμάς· οὐκ ἂν ἐπαυσάμην καταφιλῶν χεῖρας καταξιωθείσας ὑπὲρ τοῦ δεσπότου δεθῆναι τοῦ ἐμοῦ.

Θαυμάζεις Παῦλον, ὅτε καθῆψεν αὐτοῦ ἡ ἔχις τῆς χειρός, καὶ οὐδὲν ἐποίησε; Μὴ θαυμάσῃς· ᾐδέσθη γὰρ τὴν ἅ-

5. Ἰωάν. 17, 1.

κισιν. Διὰ τὸ ὅτι λοιπὸν αὐτὰ εἶναι μεγαλύτερα ἀπὸ ἐκεῖνα, ἄκουσε πῶς τὸ ἐπιβεβαιώνει ὁ ἴδιος. Διότι δὲν εἶπε, σᾶς παρακαλῶ, ἐγὼ ποὺ ἤκουσα λόγια ἄρρητα, ἀλλὰ τί; «Σᾶς παρακαλῶ ἐγώ, ὁ φυλακισμένος διὰ τὸν Κύριον». Ἐὰν δὲ δὲν γράφῃ αὐτὸ εἰς ὅλας τὰς ἐπιστολάς του δὲν εἶναι ἀπορίας ἄξιον· διότι δὲν ἦτο πάντοτε φυλακισμένος, ἀλλ' εἰς ὡρισμένα χρονικὰ διαστήματα. Εἶναι προτιμώτερον δι' ἐμὲ νὰ βασανισθῶ διὰ τὸν Χριστόν, παρὰ νὰ τιμῶμαι ἀπὸ τὸν Χριστόν. Αὐτὸ εἶναι μεγάλη τιμή, αὐτὸ εἶναι ἡ δόξα ἡ ὁποία ὑπερβαίνει τὰ πάντα. Ἐὰν αὐτός, ἀφοῦ ἔγινε δοῦλος δι' ἐμὲ καὶ ἐκένωσε τὴν δόξαν του, ἐπίστευεν ὅτι δὲν εἶναι εἰς τόσην δόξαν, ὅσον ὅταν ἐσταυρώνετο δι' ἐμέ, τί δὲν θὰ ἔπρεπε νὰ πάθω ἐγώ; Ἄκουσε λοιπὸν αὐτὸν ποὺ λέγει· «Πάτερ, δόξασε τὸν Υἱόν σου»[5].

Τί λέγεις; Εἰς τὸν σταυρὸν ὁδηγεῖσαι μὲ τοὺς λῃστὰς καὶ τοὺς κακούργους, τὸν πλέον ἐπάρατον θάνατον ὑφίστασαι, πρόκειται νὰ ἐμπτυσθῇς καὶ νὰ ραπισθῇς, καὶ αὐτὰ τὰ ὀνομάζεις δόξαν; Ναί, λέγει. Διότι διὰ τοὺς ἀγαπωμένους τὰ πάσχω ἐγὼ αὐτά, καὶ θεωρῶ αὐτὰ μεγάλην δόξαν. Ἐὰν ἐκεῖνος ὁ ὁποῖος ἠγάπησε τοὺς ἀξιοθρηνήτους καὶ δυστυχεῖς ὀνομάζει δόξαν αὐτὸ τὸ πρᾶγμα, ἐὰν ὄχι τὸ νὰ εἶναι εἰς τὸν πατρικὸν θρόνον, οὔτε εἰς τὴν δόξαν, ἀλλὰ τὸ νὰ εὑρίσκεται εἰς κακοπάθειαν καὶ καταφρόνησιν ἦτο δόξα, καὶ τοῦτο ἔθετε ἐπάνω ἀπὸ ἐκεῖνο, πολὺ περισσότερον ἐγὼ ὀφείλω νὰ θεωρῶ αὐτὰ ὅτι εἶναι δόξα. Ὢ μακάρια δεσμά, ὢ μακάρια χέρια, τὰ ὁποῖα ἐστόλισεν ἐκείνη ἡ ἅλυσίς. Δὲν ἦσαν τόσον ἄξιαι τιμῆς τὰ χέρια τοῦ Παύλου ὅταν ἐθεράπευσαν τὸν χωλὸν εἰς τὰ Λύστρα, ὅσον ὅταν ἔφερον τὰ δεσμά. Ἐὰν ἐγὼ ἔζων κατὰ τοὺς χρόνους ἐκείνους, τότε περισσότερον θὰ ἐνηγκαλιζόμην αὐτὰ καὶ θὰ ἔθετον αὐτὰ εἰς τὰς κόρας τῶν ὀφθαλμῶν μου· δὲν θὰ ἔπαυον νὰ καταφιλῶ τὰ χέρια ἐκεῖνα ποὺ ἠξιώθησαν νὰ δεθοῦν διὰ τὸν Κύριόν μου.

Θαυμάζεις τὸν Παῦλον ὅταν ἐδάγκωσεν αὐτὸν εἰς τὸ χέρι ἡ ἔχιδνα καὶ δὲν τὸν ἔβλαψε καθόλου; Μὴ θαυμάσῃς·

λυσιν· καὶ θάλαττα δὲ ὁλόκληρος ταύτην ᾐδεῖτο· τότε γὰρ ἐδέδετο. Εἴ τίς μοι νεκροὺς ἔδωκεν ἀναστῆσαι νῦν, οὐκ ἂν τοῦτο εἱλόμην, ἀλλὰ τὴν ἅλυσιν. Εἰ τῶν ἐκκλησιαστικῶν φροντίδων ἐκτὸς ἤμην, καὶ τὸ σῶμα εὔρωστον εἶχον, οὐκ ἂν παρῃτησάμην ἀποδημίαν τοσαύτην ποιήσασθαι ὑπὲρ τοῦ τὰς ἁλύσεις μόνον ἰδεῖν, ὑπὲρ τοῦ τὸ δεσμωτήριον ἔνθα ἐδέδετο. Καίτοι καὶ τῶν θαυμάτων αὐτοῦ πολλὰ πολλαχοῦ σημεῖα τυγχάνει, ἀλλ' οὐχ οὕτως ἐστὶ ποθεινά, ὡς τὰ τῶν στιγμάτων. Καὶ ἐν ταῖς Γραφαῖς δὲ οὐχ οὕτω με εὐφραίνει θαύματα ἐργαζόμενος, ὡσείπερ πάσχων κακῶς, μαστιζόμενος, συρόμενος. «Ὥστε ἀπὸ τοῦ χρωτὸς αὐτοῦ φέρεσθαι», φησί, «σουδάρια καὶ σιμικίνθια». Θαυμαστά, ταῦτα ὄντως, ἀλλ' οὐ τοιαῦτα οἷα ἐκεῖνα· «Δείραντες αὐτόν», φησί, «καὶ ἐπιθέντες πολλὰς πληγάς, ἔβαλον εἰς φυλακήν»· καὶ πάλιν, «Δεδεμένοι ὕμνουν τὸν Θεόν»· καὶ πάλιν «Λιθάσαντες αὐτόν, ἔσυρον ἔξω τῆς πόλεως, νομίσαντες αὐτὸν τεθνάναι».

Βούλεσθε μαθεῖν ὅσον ἐστὶν ἅλυσις σιδηρᾶ διὰ Χριστὸν περικειμένη σώματι δουλικῷ; Ἀκούσατε αὐτοῦ τοῦ Χριστοῦ λέγοντος, «Μακάριοί ἐστε»· τί; ὅταν νεκροὺς ἀναστήσητε; Οὐχί· ἀλλὰ τί; ὅταν τυφλοὺς θεραπεύσητε; Οὐδαμῶς· ἀλλὰ τί; «Ὅταν ὀνειδίσωσιν ὑμᾶς, καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα ψευδόμενοι καθ' ὑμῶν ἕνεκεν ἐμοῦ». Εἰ δὲ τὸ κακῶς ἀκοῦσαι, οὕτω ποιεῖ μακαρίους, τὸ κακῶς παθεῖν, τί οὐκ ἂν ἐργάσαιτο; Ἄκουε αὐτοῦ τοῦ μακαρίου τούτου λέγοντος ἀλλαχοῦ· «Λοιπὸν ἀπόκειταί μοι ὁ τῆς δικαιοσύνης στέφανος». Ἀλλὰ τοῦ στεφάνου τούτου λαμπρότερος ὁ δεσμός· τούτου με καταξιώσει, φησί, καὶ οὐδὲν ὑπὲρ ἐκείνων ἀκριβολογοῦμαι. Ἀρκεῖ μοι πρὸς πᾶσαν ἀντίδοσιν τὸ παθεῖν κακῶς διὰ τὸν Χριστόν. Δότω μοι φθέγξασθαι ἐ-

---

6. Πράξ. 19, 12.
7. Πράξ. 16, 23.
8. Πράξ. 16, 25.
9. Πράξ. 14, 19.
10. Ματθ. 5, 11.
11. Β' Τιμ. 4, 8.

διότι ἐσεβάσθη τὴν ἁλυσίδα· καὶ ἡ θάλασσα ὁλόκληρος ἐσέβετο αὐτήν· διότι τότε ἦτο δέσμιος. Ἐὰν μοῦ ἐδίδετο τώρα ἡ δύναμις ν' ἀνιστῶ νεκρούς, δὲν θὰ ἐπροτιμοῦσα αὐτό, ἀλλὰ τὴν ἁλυσίδα. Ἐὰν ἤμουν ἀπηλλαγμένος ἀπὸ τὰς ἐκκλησιαστικὰς φροντίδας καὶ εἶχον τὸ σῶμα εὔρωστον, δὲν θὰ ἐδίσταζον νὰ πραγματοποιήσω τόσον μεγάλην πορείαν μόνον διὰ νὰ ἴδω τὰς ἁλυσίδας ἐκείνας καὶ τὴν φυλακὴν ὅπου ἐφυλακίσθη. Ἂν καὶ ὑπάρχουν εἰς πολλὰ μέρη πολλὰ σημεῖα τῶν θαυμάτων του, δὲν εἶναι τόσον ποθητὰ ὅσον τὰ στίγματα τῶν παθῶν του. Καὶ εἰς τὰς Γραφὰς δὲν μὲ εὐφραίνει τόσον ὅταν κάμνῃ θαύματα, ὅσον ὅταν πάσχῃ, ὅταν μαστιγώνεται, ὅταν σύρεται. «Ὥστε», λέγει, «ἐφέροντο ἀπὸ τὸ σῶμά μου μανδήλια καὶ περιζώματα εἰς τοὺς ἀσθενεῖς»[6]. Πράγματι θαυμαστὰ εἶναι αὐτά, ἀλλ' ὄχι τέτοια ὅπως ἐκεῖνα· «Ἀφοῦ τοὺς ἔδωσαν πολλὰ ραβδίσματα, τοὺς ἔρριψαν εἰς τὴν φυλακήν»[7]· καὶ πάλιν· «Ἐνῷ ἦσαν εἰς τὴν φυλακὴν προσηύχοντο καὶ ἔψαλλον ὕμνους εἰς τὸν Θεόν»[8]· καὶ πάλιν· «ἀφοῦ ἐλιθοβόλησαν τὸν Παῦλον, τὸν ἔσυραν ἔξω ἀπὸ τὴν πόλιν, ἐπειδὴ ἐνόμισαν ὅτι εἶχεν ἀποθάνει»[9].

Θέλετε νὰ μάθετε πόσον μεγάλο πρᾶγμα εἶναι ἡ σιδηρᾶ ἁλυσὶς ἡ ὁποία δένει δουλικὸν σῶμα διὰ τὸν Χριστόν; Ἀκούσατε τὸν ἴδιον τὸν Χριστόν, ὁ ὁποῖος λέγει, «Μακάριοι θὰ εἶσθε»· πότε; ὅταν ἀναστήσετε νεκρούς; Ὄχι· ἀλλὰ πότε; ὅταν θεραπεύσετε τυφλούς; Καθόλου. Ἀλλὰ πότε· «ὅταν θὰ σᾶς ὑβρίσουν καὶ θὰ σᾶς καταδιώξουν καὶ θὰ εἰποῦν ἐναντίον σας κάθε κακὸ πρᾶγμα, λέγοντες ψέμματα ἐξ αἰτίας μου»[10]. Ἐὰν δὲ τὸ ν' ἀκούσωμεν ὕβρεις μᾶς κάνει τόσον μακαρίους, τὸ νὰ βασανισθῶμεν, τί δὲν θὰ μᾶς ἔκαμνεν; Ἄκουσε αὐτὸν τὸν μακάριον ὁ ὁποῖος λέγει ἀλλοῦ· «Τώρα πλέον μοῦ ἀπομένει ὁ στέφανος τῆς δικαιοσύνης»[11]. Ἀλλ' ἀπὸ αὐτὸν τὸν στέφανον εἶναι λαμπρότερα τὰ δεσμά· ἂς μὲ ἀξιώσῃ αὐτῶν, λέγει, καὶ ἐκεῖνα καθόλου δὲν τὰ ὑπολογίζω. Μοῦ ἀρκεῖ ἀντὶ πάσης ἀνταποδόσεως τὸ νὰ πάθω διὰ τὸν Χριστόν. Δῶσε μου τὴν δυνατότητα νὰ εἴπω ἐκεῖνο, ὅτι

κεῖνο, ὅτι «Ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου», καὶ οὐδενὸς δέομαι.

3. Κατηξιώθη καὶ Πέτρος ταύτης τῆς ἁλύσεως· ἦν γάρ, φησί, δεδεμένος, καὶ παραδεδομένος στρατιώταις καὶ ἐκάθευδεν. Οὕτως ἔχαιρε, καὶ οὐκ ἠλλοιοῦτο, καὶ βαθὺς αὐτὸν ὕπνος εἶχεν, οὐκ ἂν εἴγε ἐν φροντίδι ἦν πολλῇ. Ἐκάθευδε, καὶ μεταξὺ στρατιωτῶν ἦν· καὶ ἄγγελος ἦλθε πρὸς αὐτόν, καὶ πατάξας αὐτοῦ τὴν πλευράν, ἤγειρεν. Εἴ τις τοίνυν εἶπέ μοι, τί ἐβούλου; ἄγγελος εἶναι ὁ Πέτρον νύξας ἢ Πέτρος ὁ διασωθείς; Πέτρος ἂν εἱλόμην γενέσθαι, δι' ὃν καὶ ὁ ἄγγελος ἦλθεν. Ἐγὼ τῶν δεσμῶν ὀναίμην ἐκείνων. Τί οὖν; πῶς, φησίν, ὡς μεγάλων κακῶν ἀπαλλαγεὶς εὔχεται; Μὴ θαυμάσῃς· εὔχεται γάρ, δεδοικὼς μὴ ἀποθάνῃ· τὸ δὲ ἀποθανεῖν ἐδεδοίκει διὰ τὸ ἔτι εἶναι ὑπόθεσιν τῶν παθῶν. Ἄκουσον γοῦν καὶ αὐτὸς ὁ μακάριος Παῦλος τί φησι; «Εἰς τὸ ἀναλῦσαι καὶ σὺν Χριστῷ εἶναι, πολλῷ μᾶλλον κρεῖσσον· τὸ δὲ ἐπιμένειν τῇ σαρκὶ ἀναγκαιότερον δι' ὑμᾶς». Τοῦτο καὶ χάριν ἐκάλεσε γράφων· «Ἐχαρίσθη γὰρ ὑμῖν», φησίν, ἀπὸ Χριστοῦ, οὐ μόνον τὸ εἰς αὐτὸν πιστεύειν, ἀλλὰ καὶ τὸ ὑπὲρ αὐτοῦ πάσχειν».

Ὥστε τοῦτο ἐκείνου μεῖζόν ἐστιν· ἐχαρίσατο γάρ. Ὄντως ἐστὶ χάρις μεγίστη, καὶ πασῶν τούτων μείζων, τοῦ τὸν ἥλιον στῆσαι καὶ τὴν σελήνην, τοῦ τὸν κόσμον κινῆσαι· τοῦτο μεῖζόν ἐστι τοῦ δαιμόνων κρατῆσαι ἢ ἀπελάσαι δαίμονας. Οὐχ οὕτως ἀλγοῦσιν ἐκεῖνοι πίστει τῇ παρ' ἡμῶν ἐλαυνόμενοι, ὡς ὅταν ἡμᾶς ἴδωσι κακόν τι πάσχοντας διὰ τὸν Χριστόν, καὶ δεσμουμένους· μείζονα γὰρ τοῦτο ποιεῖ τὴν παρρησίαν. Οὐ διὰ τοῦτο καλὸν δεδέσθαι διὰ τὸν Χριστόν, ὅτι

---

12. Κολ. 1, 24.
13. Φιλιπ. 1, 23-24.
14. Φιλιπ. 1, 29.

δηλαδὴ «Συμπληρώνω εἰς τὴν σάρκα μου ἐκεῖνο τὸ ὁποῖον λείπει εἰς τὰ πάθη τοῦ Χριστοῦ»[12], καὶ δὲν ἔχω ἀνάγκην ἀπὸ τίποτε.

3. Κατηξιώθη καὶ ὁ Πέτρος αὐτῶν τῶν δεσμῶν. Διότι ἦτο, λέγει, φυλακισμένος καὶ παραδεδομένος εἰς τοὺς στρατιώτας καὶ ἐκοιμᾶτο. Τόσον ἔχαιρε καὶ δὲν ἐταράσσετο, καὶ τὸν κατεῖχεν ὕπνος βαθύς, καὶ δὲν ηὑρίσκετο καθόλου εἰς μέριμναν καὶ συλλογήν. Ἐκοιμᾶτο καὶ ἦτο μεταξὺ στρατιωτῶν· καὶ ἦλθεν ἄγγελος πρὸς αὐτὸν καὶ ἀφοῦ ἐκτύπησε τὴν πλευράν του, τὸν ἐξύπνησεν. Ἐὰν λοιπὸν μοῦ ἔλεγε κάποιος, τί θὰ ἤθελες νὰ εἶσαι, ὁ ἄγγελος ὁ ὁποῖος ἐκτύπησε τὸν Πέτρον ἢ ὁ Πέτρος, ὁ ὁποῖος ἐσώθη; Θὰ ἐπροτιμοῦσα νὰ ἤμουν ὁ Πέτρος, διὰ τὸν ὁποῖον καὶ ἦλθεν ὁ ἄγγελος. Ἐγὼ ἀπὸ τὰ δεσμὰ ἐκεῖνα θὰ ὠφελούμην. Τί λοιπόν; Πῶς, λέγει, προσεύχεται ὡσὰν νὰ ἀπηλλάγη ἀπὸ μεγάλα κακά; Μὴ ἀπορήσῃς· διότι προσεύχεται φοβούμενος μήπως ἀποθάνῃ· τὸν δὲ θάνατον ἐφοβεῖτο διότι ἦτο ἀκόμη ἡ ἀρχὴ τῶν παθῶν. Ἄκουσε λοιπὸν καὶ ὁ ἴδιος ὁ μακάριος Παῦλος τί λέγει· «Ἔχω τὴν ἐπιθυμίαν ν' ἀποθάνω καὶ νὰ εἶμαι μαζὶ μὲ τὸν Χριστόν, διότι τοῦτο εἶναι πολὺ καλύτερον· τὸ νὰ παραμένω ὅμως εἰς τὸ σῶμα εἶναι ἀναγκαιότερον δι' ἐσᾶς»[13]. Αὐτὸ τὸ ὠνόμασε καὶ χάριν ὅταν ἔγραφε· «Διότι ἐχαρίσθη εἰς ἐσᾶς», λέγει, «τὸ νὰ κάνετε αὐτὸ πρὸς χάριν τοῦ Χριστοῦ, ὄχι μόνον τὸ νὰ πιστεύετε εἰς αὐτόν, ἀλλὰ καὶ νὰ πάσχετε δι' αὐτόν»[14].

Ὥστε αὐτὸ εἶναι μεγαλύτερον ἀπὸ ἐκεῖνο· διότι τὸ ἐχάρισε. Πράγματι εἶναι μεγίστη χάρις, καὶ μεγαλυτέρα ἀπὸ ὅλα αὐτά, ἀπὸ τοῦ νὰ σταματήσῃς τὸν ἥλιον καὶ τὴν σελήνην, ἀπὸ τοῦ νὰ κινήσῃς τὸν κόσμον· τοῦτο εἶναι μεγαλύτερον ἀπὸ τοῦ νὰ καταδαμάσῃς δαίμονας ἢ νὰ ἐκδιώξῃς δαίμονας. Δὲν πονοῦν ἐκεῖνοι τόσον ὅταν ἐκδιώκωνται ἀπὸ τὴν πίστιν μας, ὅσον ὅταν μᾶς ἰδοῦν νὰ πάσχωμεν κάτι κακὸν διὰ τὸν Χριστόν, καὶ νὰ φυλακιζώμεθα· διότι αὐτὸ μᾶς δίνει μεγαλυτέραν παρρησίαν. Τὸ νὰ φυλακίζεται κανεὶς διὰ τὸν

βασιλείαν προξενεῖ τὸ πρᾶγμα, ἀλλ' ὅτι διὰ τὸν Χριστὸν γίνεται· οὐ διὰ τοῦτο μακαρίζω τοὺς δεσμούς ὅτι εἰς τὸν οὐρανὸν παραπέμπουσιν, ἀλλ' ὅτι διὰ τὸν Δεσπότην τοῦ οὐρανοῦ γίνονται. Πόσον καύχημα εἰδέναι, ὅτι διὰ τὸν Χριστὸν ἐδέθη; πόση ἡδονή, πόση τιμή, πόση λαμπρότης; Ἐβουλόμην διαπαντὸς ταῦτα φθέγγεσθαι· ἐβουλόμην ἔχεσθαι τῆς ἁλύσεως· ἐβουλόμην, εἰ καὶ τῷ πράγματι ἀπεστέρημαι, ἀλλὰ τῷ λόγῳ περιθεῖναι τὴν ἅλυσιν τῇ ψυχῇ διὰ τῆς διαθέσεως.

4. «Ἐσείσθη», φησί, «τὸ δεσμωτήριον», δεδεμένου Παύλου, «καὶ πάντων τὰ δεσμὰ ἀνέθη». Εἶδες δεσμῶν φύσιν τὰ δεσμὰ ἀναλύουσαν; Ὥσπερ γὰρ ὁ τοῦ Κυρίου θάνατος τὸν θάνατον ἐθανάτωσεν, οὕτω καὶ τὰ Παύλου δεσμὰ τοὺς δεσμώτας ἔλυσε, τὸ δεσμωτήριον ἔσεισε, τὰς θύρας ἀνέῳξε· καίτοι οὐχ αὕτη τῶν δεσμῶν ἡ φύσις ἐστίν, ἀλλ' ἡ ἐναντία, κατέχειν ἐν ἀσφαλείᾳ τὸν δεδεμένον, οὐχὶ τοὺς τοίχους ἀνοίγειν αὐτῷ. Ἀλλὰ τῶν μὲν δεσμῶν ἁπλῶς φύσις οὐκ ἔστιν αὕτη, δεσμῶν δὲ τῶν διὰ Χριστὸν αὕτη.

Προσέπεσεν ὁ δεσμοφύλαξ τῷ Παύλῳ καὶ τῷ Σίλᾳ. Ἀλλ' οὐδὲ τοῦτο ποιεῖ δεσμὰ ἁπλῶς, τοὺς δήσαντας εἰς τοὺς πόδας ἄγειν τῶν δεδεμένων, ἀλλὰ τοὐναντίον ὑποχειρίους τούτους ἐκείνοις ποιεῖν. Νῦν δὲ ὁ λελυμένος ὑπὸ τοὺς πόδας ἦν τοῦ δεδεμένου· ὁ δήσας ἠξίου τὸν δεθέντα λυθῆναι τοῦ φόβου. Οὐχὶ σὺ ἔδησας, εἰπέ μοι; οὐχὶ εἰς τὴν ἐσωτέραν ἔβαλες φυλακήν; οὐχὶ εἰς τὸ ξύλον ἠσφαλίσω τοὺς πόδας; τί τρέμεις; τί θορυβῇ; τί δακρύεις; τί τὸ ξίφος ἐσπάσω; Οὐδὲν τοιοῦτον ἔδησα, φησίν· οὐκ ᾔδειν, ὅτι τοσαύτη τῶν τοῦ Χρι-

---

15. Πράξ. 16, 26.

Χριστὸν εἶναι καλόν, ὄχι διότι αὐτὸ μᾶς χαρίζει τὴν βασιλείαν του, ἀλλὰ διότι γίνεται διὰ τὸν Χριστόν· δὲν μακαρίζω τὰ δεσμὰ διότι μᾶς φέρουν εἰς τὸν οὐρανόν, ἀλλὰ διότι ὑπομένονται διὰ τὸν Κύριον τοῦ οὐρανοῦ. Πόσον μεγάλο καύχημα εἶναι τὸ νὰ γνωρίζῃ κανεὶς ὅτι ἐφυλακίσθη διὰ τὸν Χριστόν; Πόση ἡδονή, πόση τιμή, πόση λαμπρότης; Ἤθελον παντοτινὰ νὰ ὁμιλῶ δι' αὐτά· ἤθελον νὰ ὑπομείνω τὴν ἁλυσίδα· ἤθελον, ἀφοῦ στεροῦμαι αὐτὸ εἰς τὴν πρᾶξιν, μὲ τὸν λόγον νὰ δέσω τὴν ψυχὴν μὲ τὴν ἁλυσίδα διὰ τῆς ψυχικῆς διαθέσεως.

4. Ἔξαφνα ἔγινε μεγάλος σεισμός, ὥστε ἐσαλεύθησαν τὰ θεμέλια τῆς φυλακῆς, καὶ ἀμέσως ἤνοιξαν ὅλαι αἱ θύραι» λέγει, «καὶ τὰ δεσμὰ ὅλων ἐλύθησαν»[15]. Εἶδες τὰ δεσμὰ νὰ καταλύωνται ἀπὸ τὴν φύσιν τῶν δεσμῶν; Ὅπως ἀκριβῶς δηλαδὴ ὁ θάνατος τοῦ Κυρίου ἐθανάτωσε τὸν θάνατον, ἔτσι καὶ τὰ δεσμὰ τοῦ Παύλου ἔλυσαν τοὺς δεσμώτας, ἔσεισαν τὴν φυλακήν, ἤνοιξαν τὰς θύρας· μολονότι βέβαια δὲν εἶναι αὐτὴ ἡ ἰδιότης τῶν δεσμῶν, ἀλλ' ἡ ἀντίθετος, τὸ νὰ κρατοῦν δηλαδὴ μὲ ἀσφάλειαν τὸν δεσμώτην καὶ ὄχι τὸ νὰ ἀνοίγουν τοὺς τοίχους εἰς αὐτόν. Ἡ μὲν ἰδιότης τῶν φυσικῶν δεσμῶν δὲν εἶναι αὐτή, ἡ ἰδιότης ὅμως τῶν δεσμῶν διὰ τὸν Χριστὸν εἶναι αὐτή.

Ἐγονάτισεν ὁ δεσμοφύλαξ εἰς τὸν Παῦλον καὶ τὸν Σίλαν. Οὔτε αὐτὸ ὅμως ἀνήκει εἰς τὴν φύσιν τῶν φυσικῶν δεσμῶν, οἱ δεσμοφύλακες νὰ ὁδηγοῦνται εἰς τοὺς πόδας τῶν δεσμωτῶν, ἀλλὰ τὸ ἀντίθετον, κάνουν τοὺς δεσμώτας ὑποχειρίους τῶν δεσμοφυλάκων. Τώρα ὅμως ὁ ἐλεύθερος ἦτο κάτω ἀπὸ τὰ πόδια τοῦ φυλακισμένου· ἐκεῖνος ὁ ὁποῖος ἔδεσε, παρεκάλει τὸν δεθέντα νὰ τὸν λύσῃ ἀπὸ τὸν φόβον. Σὺ δὲν τὸν ἔδεσες; Εἰπέ μου, δὲν τὸν ἔκλεισες εἰς τὴν πλέον ἀπομεμονωμένην φυλακήν; δὲν ἔδεσες τὰ πόδια του εἰς τὸ ξύλον; διατί τρέμεις; διατί θορυβεῖσαι; διατί δακρύεις; διατί ἔσυρες τὸ ξίφος; Δὲν ἐφυλάκισα τέτοιον, λέγει· δὲν ἐγνώριζον ὅτι εἶναι τόσον μεγάλη ἡ δύναμις ἐκείνων οἱ ὁ-

στοῦ δεσμίων ἡ δύναμις. Τί λέγεις; οὐρανοὺς ἔλαβον ἐξουσίαν ἀνοίγειν, καὶ δεσμωτήριον οὐκ ἔμελλον ἀνοίγειν; τοὺς ὑπὸ δαιμόνων δεδεμένους ἔλυεν, καὶ σιδήριον ἔμελλεν αὐτῶν περιέσεσθαι;

Οὐκ οἶδας τοὺς ἄνδρας· διὰ τοῦτο καὶ συγγνώμης ἔτυχες. Παῦλος ὁ δεδεμένος ἐστίν, ὃν ἄγγελοι πάντες ᾐδέσθησαν· Παῦλός ἐστιν, οὗ καὶ τὰ σουδάρια καὶ τὰ σιμικίνθια δαίμονας ἤλαυνε, καὶ νόσους ἐφυγάδευε, καίτοι πολλῷ σιδήρου ἀδαμάντινος καὶ ἀρραγέστερος ὁ παρὰ τοῦ δαίμονος δεσμός· οὗτος μὲν γὰρ ψυχήν, ἐκεῖνος δὲ σῶμα δεσμεῖ. Ὁ ψυχὰς τοίνυν δεδεμένας λύων, τὸ σῶμα τὸ αὐτοῦ οὐκ ἂν ἴσχυσε λῦσαι; ὁ δαιμόνων δεσμὰ διαρρηγνύς, σιδήρου δέσιν οὐκ ἂν ἔλυσεν; ὁ διὰ τῶν ἱματίων αὐτοῦ τοὺς δεσμώτας ἐκείνους λύων, καὶ τῶν δαιμόνων ἀπαλλάττων, αὐτὸς δι' ἑαυτοῦ ἑαυτὸν οὐκ ἂν ἔλυσε; Διὰ τοῦτο πρῶτον ἐδέθη, καὶ τότε τοὺς δεδεμένους ἔλυσεν, ἵνα μάθῃς, ὅτι οἱ τοῦ Χριστοῦ δοῦλοι δεδεμένοι, πολλῷ τῶν λελυμένων μείζονα ἔχουσι τὴν ἰσχύν. Εἰ λελυμένος τοῦτο εἰργάσατο, οὐκ ἦν οὕτω θαυμαστόν· ὥστε οὐκ ἀσθενείας ὁ δεσμὸς ἦν, ἀλλὰ μείζονος δυνάμεως. Οὕτω γὰρ λαμπροτέρα ἡ ἰσχὺς τοῦ ἁγίου δείκνυται, ὅταν καὶ δεδεμένος τῶν λελυμένων κρατῇ, ὅταν ὁ δεδεμένος μὴ μόνον ἑαυτόν, ἀλλὰ καὶ τοὺς δεδεμένους λύῃ. Τί τῶν τοίχων τὸ ὄφελος; τί τὸ πλέον ἀπὸ τοῦ εἰς τὴν ἐσωτέραν αὐτὸν βαλεῖν φυλακήν, ὅπου γε καὶ τὴν ἐξωτέραν ἀνέῳξε;

Διὰ τί δὲ καὶ ἐν νυκτί, καὶ μετὰ σεισμοῦ γέγονεν; Ἐνδοτέ μοι μικρὸν καὶ παραχωρήσατε, τῶν ἀποστολικῶν ἀποσχομένῳ ῥημάτων, ἐντρυφῆσαί τι τοῖς ἀποστολικοῖς πράγμασιν, ἑστιαθῆναι ἐν τῇ ἀλύσει Παύλου· δότε μοι ἐπιπλέον ἐνδιατρῖψαι. Ἐπελαβόμην τοῦ δεσμοῦ, οὐδείς με ἀφίστησιν.

ποῖοι φυλακίζονται διὰ τὸν Χριστόν. Τί λέγεις; τοὺς οὐρανοὺς ἔλαβον τὴν ἐξουσίαν ν' ἀνοίγουν, καὶ δὲν θὰ ἤνοιγον τὴν φυλακήν; αὐτοὺς οἱ ὁποῖοι ἦσαν δεμένοι ἀπὸ τοὺς δαίμονας τοὺς ἔλυον καὶ θὰ τοὺς ἔδενεν ἕνα μικρὸν σίδηρον;

Δὲν γνωρίζεις τοὺς ἄνδρας· διὰ τοῦτο καὶ συνεχωρήθης. Ὁ Παῦλος εἶναι ὁ δεσμώτης, τὸν ὁποῖον ἐσεβάσθησαν ὅλοι οἱ ἄγγελοι. Ὁ Παῦλος, τοῦ ὁποίου καὶ τὰ μανδήλια καὶ τὰ περιζώματα ἐξεδίωκον δαίμονας καὶ ἐφυγάδευον νόσους, ἂν καὶ τὰ δεσμὰ τῶν δαιμόνων εἶναι πολὺ περισσότερον σκληρὰ καὶ ἀρραγῆ ἀπὸ τὸν σίδηρον καὶ τὸ διαμάντι· διότι αὐτὰ μὲν δένουν τὴν ψυχήν, ἐνῷ ἐκεῖνα τὸ σῶμα. Ἐκεῖνος λοιπὸν ὁ ὁποῖος λύει τὰς ψυχὰς αἱ ὁποῖαι ἔχουν δεθῆ, δὲν θὰ ἠμποροῦσε νὰ λύσῃ τὸ ἰδικόν του σῶμα; Ἐκεῖνος ὁ ὁποῖος μὲ τὰ ἱμάτιά του λύει ἐκείνους τοὺς δεσμώτας καὶ τοὺς ἀπαλλάσσει ἀπὸ τοὺς δαίμονας, αὐτὸς δὲν θὰ ἔλυε τὸν ἑαυτόν του μὲ τὴν δύναμίν του; Διὰ τοῦτο πρῶτον ἐδέθη, καὶ τότε ἔλυσεν ἐκείνους οἱ ὁποῖοι εἶχον δεθῆ, διὰ νὰ μάθῃς ὅτι οἱ δοῦλοι τοῦ Χριστοῦ καὶ ὅταν εἶναι δεμένοι, ἔχουν πολὺ μεγαλυτέραν δύναμιν ἀπὸ ἐκείνους οἱ ὁποῖοι δὲν εἶναι δεμένοι. Ἐὰν τὸ ἔκαμνε αὐτὸ κάποιος ὁ ὁποῖος ἦτο ἐλεύθερος, δὲν θὰ ἦτο τόσον θαυμαστόν· ὥστε τὰ δεσμὰ δὲν εἶχον ὡς ἀποτέλεσμα ἀδυναμίαν, ἀλλὰ περισσοτέραν δύναμιν. Διότι ἔτσι δεικνύεται λαμπροτέρα ἡ δύναμις τοῦ ἁγίου, ὅταν, καὶ ἐνῷ εἶναι δεμένος, ἐπικρατῇ εἰς τοὺς ἐλευθέρους, ὅταν ὁ δεμένος ὄχι μόνον τὸν ἑαυτόν του, ἀλλὰ καὶ τοὺς δεμένους λύῃ. Τί τὸ ὄφελος ἀπὸ τοὺς τοίχους; Τί περισσότερον ἐπέτυχον μὲ τὸ νὰ τὸν ρίψουν εἰς τὰ ἐσώτερα τῆς φυλακῆς, ἀφοῦ ἤνοιξε καὶ τὰ ἐξώτερα;

Διατί ὅμως καὶ μέσα εἰς τὴν νύκτα καὶ μὲ σεισμὸν ἔγιναν αὐτά; Ἐπιτρέψατέ μου δι' ὀλίγον νὰ ἀπομακρυνθῶ ἀπὸ τοὺς ἀποστολικοὺς λόγους, νὰ ἐντρυφήσω ὀλίγον εἰς τὰ ἀποστολικὰ πράγματα, νὰ συμποσιασθῶ εἰς τὴν ἅλυσίδα τοῦ Παύλου· δώσατέ μου τὴν ἄδειαν νὰ χρονοτριβήσω περισσότερον. Ἔχω πιασθῆ ἀπὸ τὰ δεσμά, καὶ δὲν ἠμπορεῖ νὰ μὲ

Ἀσφαλέστερον ἐγὼ δέδεμαι νῦν τῷ πόθῳ ἢ ἐκεῖνος τότε τῷ ξύλῳ. Τοῦτον οὐδεὶς λύει τὸν δεσμόν· ἀπὸ γὰρ τοῦ πόθου ἐστὶ τοῦ Χριστοῦ· τοῦτον οὐδὲ ἄγγελοι, οὐδὲ βασιλεία οὐρανῶν ἰσχύει λῦσαι· αὐτοῦ Παύλου ἔστιν ἀκοῦσαι λέγοντος, «Οὔτε ἄγγελοι οὔτε ἀρχαὶ οὔτε δυνάμεις, οὔτε ἐνεστῶτα οὔτε μέλλοντα, οὔτε ὕψωμα οὔτε βάθος δυνήσεται ἡμᾶς χωρίσαι ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ».

Τίνος οὖν ἕνεκα μέσων νυκτῶν τὸ πρᾶγμα γέγονε; τίνος ἕνεκεν καὶ μετὰ σεισμοῦ; Ἀκούσατε Θεοῦ οἰκονομίαν, καὶ θαυμάσατε. Πάντων τὰ δεσμὰ ἐλύθη καὶ αἱ θύραι ἀνεῴγεισαν. Ἀλλὰ τοῦτο μόνον διὰ τὸν δεσμοφύλακα γέγονεν, οὐ πρὸς ἐπίδειξιν, ἀλλὰ πρὸς σωτηρίαν. Ὅτι γὰρ οὐκ ᾔδεσαν οἱ δεσμῶται ὅτι λελυμένοι εἰσίν, δῆλον ἀπὸ τῆς φωνῆς Παύλου. Τί γάρ φησιν; «Ἐφώνησε δὲ φωνῇ μεγάλῃ λέγων· μηδὲν πράξῃς σεαυτῷ κακόν· πάντες γάρ ἐσμεν ἐνθάδε». Οὐκ ἂν δὲ πάντες ἦσαν ἔνδον, εἰ εἶδον τὰς θύρας ἀνεῳγμένας καὶ ἑαυτοὺς λελυμένους. Οἱ γὰρ τοίχους διατέμνοντες καὶ ὀρόφους καὶ τριγχία ὑπερβαίνοντες, καὶ πάντα τολμῶντες μετὰ δεσμῶν, οὐκ ἂν ἐκαρτέρησαν, καὶ τῶν δεσμῶν λελυμένων καὶ τῶν θυρῶν ἀνεῳγυιῶν, ἔνδον μένειν, καὶ τοῦ δεσμοφύλακος καθεύδοντος αὐτοῦ. Ἀλλ' ἀντὶ δεσμῶν σιδηρῶν ἦν αὐτοῖς ὁ δεσμὸς τοῦ ὕπνου, ὥστε καὶ τὸ πρᾶγμα γενέσθαι, καὶ μηδεμίαν ἀπὸ τοῦ θαύματος ζημίαν τῷ μέλλοντι σώζεσθαι δεσμοφύλακι. Καὶ ἑτέρως δὲ μάλιστα οἱ δεδεμένοι ἐν νυκτὶ δεσμοῦνται, οὐκ ἐν ἡμέρᾳ. Μετὰ πολλῆς οὖν σπουδῆς ἦν ἰδεῖν δεδεμένους πάλιν, καὶ καθεύδοντας. Εἰ δὲ ἐν ἡμέρᾳ ἐγένετο ταῦτα, πολὺς ἂν ἐγένετο θόρυβος. Τίνος οὖν ἕνεκεν καὶ ἐσείσθη τὸ οἴκημα; Ὥστε διαναστῆναι τὸν δεσμοφύλακα ἐπὶ τὴν τοῦ πράγματος θέαν· οὗτος γὰρ ἦν ἄξιος τῆς σωτηρίας μόνος.

---

16. Ρωμ. 8, 39.
17. Πράξ. 16, 28.

ἀπομακρύνῃ κανείς. Περισσότερον ἔχω δεθῆ ἐγὼ τώρα ἀπὸ τὸν πόθον, παρὰ ἐκεῖνος τότε ἀπὸ τὸ ξύλον. Αὐτὸν τὸν δεσμὸν δὲν τὸν λύει κανείς· διότι εἶναι δεσμὸς ἀπὸ τὸν πόθον τοῦ Χριστοῦ· αὐτὸν οὔτε οἱ ἄγγελοι, οὔτε ἡ βασιλεία τῶν οὐρανῶν ἠμπορεῖ νὰ τὸν λύσῃ· ἂς ἀκούσωμεν τὸν ἴδιον τὸν Παῦλον, ὁ ὁποῖος λέγει· «οὔτε ἄγγελοι, οὔτε ἀρχαί, οὔτε δυνάμεις, τίποτε εἰς τὸ παρόν, τίποτε εἰς τὸ μέλλον, τίποτε εἰς τὰ ὕψη, τίποτε εἰς τὰ βάθη δὲν θὰ ἠμπορέσῃ νὰ μᾶς χωρίσῃ ἀπὸ τὴν ἀγάπην τοῦ Χριστοῦ»[16].

Ἐξ αἰτίας τίνος λοιπὸν συνέβη αὐτὸ εἰς τὸ μέσον τῆς νυκτός; Καὶ διατί συνοδευόμενον ἀπὸ σεισμόν; Ἀκούσατε σχέδιον τοῦ Θεοῦ καὶ θαυμάσατε. Ὅλων τὰ δεσμὰ ἐλύθησαν καὶ αἱ θύραι ἤνοιξαν. Ἀλλ' αὐτὸ μόνον διὰ τὸν δεσμοφύλακα ἔγινε· δὲν ἔγινε δι' ἐπίδειξιν, ἀλλὰ διὰ νὰ σωθῇ. Διότι τὸ ὅτι δὲν ἐγνώριζον οἱ δεσμῶται ὅτι ἐλύθησαν, εἶναι φανερὸν ἀπὸ τὴν φωνὴν τοῦ Παύλου. Τί λέγει δηλαδή; «Ἀλλ' ὁ Παῦλος τοῦ ἐφώναξε δυνατά· Μὴ κάνῃς κανένα κακὸν εἰς τὸν ἑαυτόν σου, διότι ὅλοι εἴμεθα ἐδῶ»[17]. Δὲν θὰ ἦτο δυνατὸν ὅμως νὰ εἶναι ὅλοι μέσα, ἐὰν εἶχον ἴδει τὰς θύρας ἀνοικτὰς καὶ τοὺς ἑαυτούς των νὰ ἔχουν λυθῆ. Διότι ἐκεῖνοι οἱ ὁποῖοι διατρυποῦν τοίχους καὶ στέγας καὶ ὑπερβαίνουν φράκτας, καὶ τολμοῦν τὰ πάντα ἐνῷ εἶναι δεμένοι, δὲν θὰ ἀντεῖχον νὰ μένουν μέσα, τὴν στιγμὴν ποὺ τὰ δεσμά των εἶχον λυθῆ καὶ αἱ θύραι εἶχον ἀνοιγῆ καὶ αὐτὸς ὁ δεσμοφύλαξ ἐκοιμᾶτο. Ἀλλ' ἀντὶ σιδηρῶν δεσμῶν ἐκράτει αὐτοὺς ὁ δεσμὸς τοῦ ὕπνου, ὥστε καὶ τὸ πρᾶγμα νὰ γίνῃ, καὶ καμμίαν ζημίαν νὰ μὴ ὑποστῇ ὁ δεσμοφύλαξ ὁ ὁποῖος ἐπρόκειτο νὰ σωθῇ. Καὶ διαφορετικὰ μάλιστα δένονται οἱ φυλακισμένοι τὴν νύκτα, παρὰ τὴν ἡμέραν. Ἔπρεπε λοιπὸν πολὺ γρήγορα νὰ τοὺς ἴδῃ πάλιν δεμένους καὶ νὰ κοιμοῦνται. Ἐὰν ὅμως αὐτὰ ἐγίνοντο τὴν ἡμέραν, θὰ ἐγίνετο πολὺς θόρυβος. Διατί λοιπὸν ἔγινε καὶ σεισμὸς εἰς τὸ οἴκημα; Διὰ νὰ ξυπνήσῃ καὶ νὰ σηκωθῇ ὁ δεσμοφύλαξ καὶ νὰ ἴδῃ τὸ γεγονός· διότι μόνον αὐτὸς ἦτο ἄξιος σωτηρίας.

5. Σὺ δέ μοι θέα τῆς τοῦ Χριστοῦ χάριτος τὴν ὑπερβολήν. Μεταξὺ γὰρ τῶν Παύλου δεσμῶν, καὶ τῆς τοῦ Θεοῦ μεμνῆσθαι χάριτος καλόν, μᾶλλον δὲ καὶ ταῦτα τῆς τοῦ Θεοῦ χάριτός ἐστιν. Εἰσί τινες οἱ ἐγκαλοῦντες ὅτι διὰ τί ἐσώθη ὁ δεσμόφυλαξ, καὶ ὑπὲρ ὧν θαυμάζειν τοῦ Θεοῦ τὴν φιλανθρωπίαν ἐχρῆν, ἀπὸ τούτων ψέγοντες· καὶ οὐδὲν θαυμαστόν. Οἱ γὰρ ἀσθενεῖς τοιοῦτοί εἰσιν, οἳ καὶ τὴν τρέφουσαν τροφὴν κακίζουσιν, ἣν θαυμάζειν ἐχρῆν, καὶ τὸ μέλι πικρὸν εἶναί φασιν· καὶ οἱ τυφλώττοντες, ἀφ᾽ οὗ ὤφειλον φωτίζεσθαι, ἀπὸ τούτου σκοτίζονται, οὐ παρὰ τὴν τῶν πραγμάτων φύσιν τούτων συμβαινόντων, ἀλλὰ παρὰ τὴν ἀσθένειαν τῶν εἰς δέον αὐτοῖς κεχρῆσθαι μὴ δυναμένων.

Τί οὖν ἔλεγον; Δέον θαυμάσαι, ὅτι τὸν εἰς ἐσχάτην κακίαν ἐμπεσόντα, τοῦτον εἷλε καὶ βελτίω εἰργάσατο, ψέγουσι. Πῶς γὰρ οὐκ ἐνόμισε τὸ πρᾶγμα γοητείας εἶναι καὶ μαγγανείας, καὶ μᾶλλον αὐτοὺς κατέσχε καὶ ἀνωλόλυξε; Πολλὰ πρὸς τοῦτο συνεβάλλετο. Πρῶτον μέν, ὅτι ἤκουσεν ὑμνούντων τὸν Θεόν· οὐκ ἂν δὲ γόητες τοιούτους ὕμνους ᾖδον· «Ἤκουσε γὰρ αὐτῶν», φησίν, «ὑμνούντων τὸν Θεόν». Δεύτερον, ὅτι αὐτοὶ οὐκ ἀπέφυγον, ἀλλὰ καὶ αὐτὸν ἐκώλυσαν σφάξαι ἑαυτόν· οὐκ ἂν δέ, εἰς ἑαυτῶν ἕνεκεν ἐποίουν, ἔνδον ἔμενον, ἀλλὰ προτέρους ἂν ἑαυτοὺς ἐξεῖλον. Πολλὴ δὲ αὐτῶν καὶ ἡ φιλανθρωπία· ἐκώλυσαν αὐτὸν σφάξαι ἑαυτόν, τὸν δήσαντα αὐτούς. Μετὰ πολλῆς τῆς ἀσφαλείας καὶ πικρῶς ἔδησας ἡμᾶς, φησίν, ἵνα λυθῇς αὐτὸς τῶν πικροτάτων δεσμῶν. Σειραῖς γὰρ τῶν ἑαυτοῦ ἁμαρτιῶν ἕκαστος σφίγγεται. Ἐκεῖνα μὲν γὰρ ἐπάρατα τὰ δεσμά, ταῦτα δὲ μακάρια καὶ πολλῆς εὐχῆς ἄξια. Ὅτι γὰρ λύει τὰ δεσμὰ ἐκεῖνα ταῦτα, ἔδειξεν ἀπὸ τῶν αἰσθητῶν. Εἶδες τοὺς τῷ σιδήρῳ δεδε-

---

18. Πράξ. 16, 25.

5. Σὺ ὅμως πρόσεχε τὴν ὑπερβολὴν τῆς χάριτος τοῦ Χριστοῦ. Διότι μὲ τὰ δεσμὰ τοῦ Παύλου καλὸν εἶναι νὰ ἐνθυμώμεθα καὶ τὴν χάριν τοῦ Θεοῦ, ἢ καλύτερα ὅτι καὶ αὐτὰ ἦσαν ἀποτέλεσμα τῆς χάριτος τοῦ Θεοῦ. Ὑπάρχουν μερικοὶ οἱ ὁποῖοι κατηγοροῦν διότι ἐσώθη ὁ δεσμοφύλαξ, καὶ κατακρίνουν δι' ἐκεῖνα διὰ τὰ ὁποῖα ἔπρεπε νὰ θαυμάζουν τὴν φιλανθρωπίαν τοῦ Θεοῦ· καὶ δὲν εἶναι τίποτε ἄξιον ἀπορίας. Διότι οἱ ἀσθενεῖς τέτοιοι εἶναι· κακίζουν καὶ τὴν τροφὴν ἡ ὁποία τοὺς τρέφει, τὴν ὁποίαν ἔπρεπε νὰ θαυμάζουν, καὶ λέγουν ὅτι τὸ μέλι εἶναι πικρόν· καὶ οἱ τυφλοί, ἀπὸ ἐκεῖ ἀπ' ὅπου ἔπρεπε νὰ φωτισθοῦν, ἀπὸ ἐκεῖ σκοτίζονται, καὶ αὐτὰ δὲν συμβαίνουν ἀπὸ τὴν φύσιν τῶν πραγμάτων, ἀλλὰ ἀπὸ τὴν ἀσθένειαν αὐτῶν, ἀφοῦ δὲν ἠμποροῦν νὰ χρησιμοποιήσουν αὐτὰ ὅπως πρέπει.

Τί λέγουν λοιπόν; Κατηγοροῦν δηλαδή, ἐνῷ ἔπρεπε νὰ θαυμάσουν τὸ ὅτι ἐπροτίμησε καὶ κατέστησε καλύτερον ἐκεῖνον ὁ ὁποῖος εἶχε πέσει εἰς ἐσχάτην κακίαν. Πῶς ὅμως δὲν ἐνόμισεν ὅτι τὸ γεγονὸς ὠφείλετο εἰς γοητείαν καὶ μαγείαν, καὶ μάλιστα ἔπεσεν ἐνώπιόν των καὶ ἐθρηνολόγει μὲ ξεφωνητά; Πολλὰ συνέβαλλον εἰς αὐτό. Πρῶτον μέν, τὸ ὅτι ἤκουσε νὰ ὑμνοῦν τὸν Θεόν· ἀσφαλῶς δὲν θὰ ἔψαλλον τέτοιους ὕμνους ἐὰν ἦσαν μάγοι· διότι, λέγει, ἤκουσεν ὅτι αὐτοὶ «προσηύχοντο καὶ ἔψαλλον ὕμνους εἰς τὸν Θεόν»[18]. Δεύτερον, ὅτι καὶ οἱ ἴδιοι δὲν ἔφυγον, ἀλλὰ καὶ αὐτὸν ἠμπόδισαν νὰ σφαγῇ· δὲν θὰ παρέμενον δὲ μέσα, ἐὰν αὐτὸ τὸ ἔκαμναν διὰ τοὺς ἑαυτούς των, ἀλλὰ πρῶτον αὐτὰ θὰ ἠλευθερώνοντο. Ἀλλὰ καὶ ἡ φιλανθρωπία των ἦτο μεγάλη· ἠμπόδισαν νὰ σφαγῇ αὐτός, ὁ ὁποῖος τοὺς εἶχε δέσει. Μὲ πολλὴν αὐστηρότητα καὶ σκληρότητα μᾶς ἔδεσες, λέγει, διὰ νὰ λυθῇς σὺ ὁ ἴδιος ἀπὸ τὰ πικρότατα δεσμά. Διότι μὲ τὰ σχοινιὰ τῶν ἁμαρτιῶν του δένεται ὁ κάθε ἄνθρωπος. Ἐκεῖνα τὰ δεσμὰ λοιπὸν εἶναι ἐπικατάρατα, ἐνῷ αὐτὰ μακάρια, καὶ ἄξια μεγάλης εὐχῆς. Τὸ ὅτι δὲ αὐτὰ τὰ δεσμὰ λύουν ἐκεῖνα, τὸ ἔδειξεν ἀπὸ τὰ ὅσα συνέβησαν. Εἶδες ὅτι ἐλύ-

μένους λυθέντας; Ὄψει καὶ σαυτὸν ἐξ ἑτέρων χαλεπῶν ἀνεθέντα δεσμῶν. Ταῦτα τὰ δεσμά, τὰ τῶν δεσμωτῶν λέγω, οὐ τὰ Παύλου, ἐκεῖνα τὰ δεσμὰ ποιεῖ τὰ τῶν ἁμαρτιῶν. Διπλῇ ἦσαν δεσμῶται οἱ ἔνδον, καὶ αὐτὸς δεσμώτης ἦν ὁ δεσμοφύλαξ. Ἐκεῖνοι μὲν γὰρ σιδήρῳ ἐδέδεντο, καὶ ἁμαρτίαις, οὗτος δὲ ἁμαρτίαις μόναις. Ἔλυσεν ἐκείνους ὁ Παῦλος εἰς πληροφορίαν τούτου· καὶ γὰρ ἦν ὁρατὰ τὰ δεσμά.

Οὕτω καὶ ὁ Χριστὸς ἐποίησε, μᾶλλον δὲ ἀντιστρόφως. Ἐκεῖ διπλῆ παράλυσις ἦν. Ποία δὲ αὕτη; Ἡ τῶν ἁμαρτημάτων, καὶ ἡ τοῦ σώματος. Τί οὖν ποιεῖ; «Θάρσει», φησί, «τέκνον, ἀφέωνταί σου αἱ ἁμαρτίαι». Προτέραν τὴν ὄντως παράλυσιν ἔλυσεν, εἶτα ἐπὶ ταύτην ἔρχεται. Ὅτε γὰρ «Εἰπόν τινες τῶν γραμματέων ἐν ἑαυτοῖς, οὗτος βλασφημεῖ, εἰδὼς ὁ Ἰησοῦς τὰς ἐνθυμήσεις αὐτῶν, εἶπεν· Ἵνα τί ἐνθυμεῖσθε πονηρὰ ἐν ταῖς καρδίαις ὑμῶν; τί γάρ ἐστιν εὐκοπώτερον, εἰπεῖν, Ἀφέωνταί σου αἱ ἁμαρτίαι ἢ εἰπεῖν, Ἔγειρε καὶ περιπάτει; Ἵνα δὲ εἰδῆτε ὅτι ἐξουσίαν ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, λέγει τῷ παραλυτικῷ· ἐγερθεὶς ἆρόν σου τὴν κλίνην, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου». Ἐβεβαίου τὸ νοητὸν ἀπὸ τοῦ αἰσθητοῦ, ἀπὸ τοῦ σωματικοῦ τὸ κατὰ ψυχὴν ἐργασάμενος. Διὰ τί δὲ τοῦτο ἐποίησεν; Ἵνα πληρωθῇ τὸ εἰρημένον· «Δοῦλε πονηρέ, ἐκ τοῦ στόματός σου κρινῶ σε».

Τί εἶπον ἐκεῖνοι; Οὐδεὶς δύναται ἀφιέναι ἁμαρτίας, εἰ μὴ εἷς ὁ Θεός· οὐδὲ ἄγγελος οὐδὲ ἀρχάγγελος, οὐδὲ ἄλλη κτιστὴ δύναμις. Ὑμεῖς τοῦτο ὡμολογήσατε. Τί οὖν ἐχρῆν εἰπεῖν; Ἂν δειχθῶ ἀφιεὶς ἁμαρτίας, εὔδηλον ὅτι Θεὸς ἐγώ. Ἀλλ' οὐκ εἶπεν οὕτως, ἀλλὰ τί; «Ἵνα εἰδῆτε ὅτι ἐξουσίαν

---

19. Ματθ. 9, 2.
20. Ματθ. 9, 2-6.
21. Λουκᾶ 19, 22.

θησαν αὐτοὶ οἱ ὁποῖοι εἶχον δεθῆ μὲ σίδηρον; Θὰ ἴδῃς καὶ τὸν ἑαυτόν σου νὰ λύεται ἀπὸ ἄλλα πιὸ σοβαρὰ δεσμά. Αὐτὰ τὰ δεσμά, τῶν δεσμωτῶν ἐννοῶ, ὄχι τοῦ Παύλου, προκαλοῦνται ἀπὸ ἐκεῖνα τὰ δεσμὰ τῶν ἁμαρτιῶν. Μὲ διπλᾶ δεσμὰ ἦσαν δεμένοι αὐτοὶ οἱ ὁποῖοι ἦσαν μέσα, καὶ αὐτὸς ὁ δεσμοφύλαξ ἦτο δεσμώτης. Διότι ἐκεῖνοι μὲν ἦσαν δεμένοι μὲ σιδηρᾶ δεσμὰ καὶ μὲ ἁμαρτίας, ἐνῷ αὐτὸς μόνον μὲ ἁμαρτίας. Ἔλυσεν ἐκείνους ὁ Παῦλος, διὰ νὰ πεισθῇ ἀπολύτως αὐτός. Διότι ἦσαν ὁρατὰ τὰ δεσμά.

Ἔτσι ἔκανε καὶ ὁ Χριστός, ἢ μᾶλλον ἀντιστρόφως. Ἐκεῖ ἦτο διπλῆ ἡ παράλυσις. Ποία δὲ ἦτο αὐτή; Ἡ τῶν ἁμαρτημάτων καὶ ἡ τοῦ σώματος. Τί κάνει λοιπόν; «Ἔχε θάρρος», λέγει, «παιδί μου. Συγχωροῦνται αἱ ἁμαρτίαι σου». Πρώτην ἔλυσε τὴν πραγματικὴν παράλυσιν, τῆς ψυχῆς δηλαδή, καὶ ὕστερον ἔρχεται εἰς τὴν τοῦ σώματος. Διότι ὅταν, «εἶπον μερικοὶ ἀπὸ τοὺς γραμματεῖς μέσα τους· Αὐτὸς βλασφημεῖ, ἐπειδὴ ὁ Ἰησοῦς ἐγνώριζε τὰς σκέψεις των, εἶπε· Διατί σκέπτεσθε πονηρὰ μέσα εἰς τὴν καρδίαν σας; Τί εἶναι εὐκολώτερον, νὰ εἴπω· Συγχωροῦνται αἱ ἁμαρτίαι σου, ἢ νὰ εἴπω, Σήκω ἐπάνω καὶ περιπάτει; Ἀλλὰ διὰ νὰ μάθετε ὅτι ὁ Υἱὸς τοῦ ἀνθρώπου ἔχει ἐξουσίαν νὰ συγχωρῇ ἁμαρτίας ἐπὶ τῆς γῆς, λέγει εἰς τὸν παράλυτον· Σήκω ἐπάνω, πάρε τὸ κρεββάτι σου καὶ πήγαινε εἰς τὸ σπίτι σου»[20]. Ἐπιβεβαίωνε τὸ νοητὸν ἀπὸ τὸ αἰσθητόν, ἀπὸ τὸ σωματικὸν ἐκεῖνο τὸ ὁποῖον ἐπραγματοποιήθη εἰς τὴν ψυχήν. Διατί δὲ τὸ ἔκανεν αὐτό; Διὰ νὰ πραγματοποιηθῇ αὐτὸ τὸ ὁποῖον εἶχε λεχθῆ. «Πονηρὲ δοῦλε, ἀπὸ τοὺς λόγους τοῦ στόματός σου θὰ σὲ κρίνω»[21].

Τί εἶπον ἐκεῖνοι; Κανεὶς δὲν ἠμπορεῖ νὰ δίδῃ ἄφεσιν ἁμαρτιῶν, παρὰ μόνον ἕνας, ὁ Θεός· οὔτε ἄγγελος, οὔτε ἀρχάγγελος, οὔτε ἄλλη κτιστὴ δύναμις. Σεῖς τὸ ὡμολογήσατε αὐτό. Τί ἔπρεπε λοιπὸν νὰ εἴπῃ; Ἂν δείξω ὅτι δίδω ἄφεσιν ἁμαρτιῶν, εἶναι φανερὸν ὅτι ἐγὼ εἶμαι Θεός. Δὲν εἶπεν ὅμως ἔτσι, ἀλλὰ πῶς; «Διὰ νὰ μάθητε ὅτι ὁ Υἱὸς τοῦ

ἔχει ὁ Υἱὸς τοῦ ἀνθρώπου ἐπὶ τῆς γῆς ἀφιέναι ἁμαρτίας, τότε λέγει τῷ παραλυτικῷ· ἐγερθεὶς ἆρόν σου τὴν κλίνην, καὶ ὕπαγε εἰς τὸν οἶκόν σου». Ὅταν οὖν, φησί, τὸ δυσκολώτερον ἐργάσωμαι, εὔδηλον ὅτι οὐδεμία περὶ τοῦ εὐκόλου καταλείπεται πρόφασις, οὐδὲ ἀντιλογία. Διὰ τοῦτο τὸ νοητὸν ἐκεῖνος ἐποίησε πρῶτον, ἐπειδὴ πολλοὶ ἦσαν οἱ ἀντιλέγοντες· ἐνταῦθα δὲ ἀπὸ τοῦ νοητοῦ ἐπὶ τὸ αἰσθητὸν αὐτὸν ἤγαγεν. Οὐκ ἦν κουφότητος ἡ πίστις. Εἶδε τοὺς δεσμώτας, καὶ οὐδὲν εἶδεν οὐδὲ ἤκουσε φαῦλον· εἶδεν οὐ μαγγανείᾳ τι γεγενημένον· ὕμνουν γὰρ τὸν Θεόν· εἶδεν ἀπὸ φιλανθρωπίας πολλῆς πάντα γενόμενα· οὐ γὰρ ἠμύναντο αὐτόν, καίτοι δυνάμενοι. Ἐνῆν γὰρ καὶ ἑαυτοὺς καὶ τοὺς δεδεμένους ἐξελόντας ἀπελθεῖν· εἰ δὲ μὴ τοὺς δεδεμένους, ἀλλ' ἑαυτούς. Ἀλλ' οὐκ εἰργάσαντο τοῦτο. Ὥστε οὐκ ἀπὸ τοῦ θαύματος μόνον, ἀλλὰ καὶ ἀπὸ τοῦ τρόπου αὐτὸν κατήδεσαν. Πῶς; «Ἐφώνησε φωνῇ μεγάλῃ λέγων· μηδὲν πράξῃς σεαυτῷ κακόν· ἅπαντες γάρ ἐσμεν ἐνθάδε».

Ὁρᾷς καὶ τὸ ἀκενόδοξον καὶ τὸ ἄτυφον καὶ τὸ φιλόστοργον; Οὐκ εἶπεν, ὅτι δι' ἡμᾶς ταῦτα γέγονεν, ἀλλ' ὡσανεὶ τῶν δεσμωτῶν εἷς, φησι· «Πάντες γάρ ἐσμεν ἐνθάδε». Καίτοι εἰ καὶ μὴ πρὸ τούτου, μηδὲ διὰ τοῦ θαύματος ἔλυσαν ἑαυτούς, ἀλλ' ἐνῆν αὐτοὺς σιγῆσαι, καὶ πάντας ἀπολῦσαι καὶ δεδεμένους. Εἰ γὰρ ἐσίγησαν, καὶ μὴ διὰ τῆς μεγάλης φωνῆς κατέσχον ἐκείνου τὰς χεῖρας, ὤθησεν ἂν διὰ τοῦ λαιμοῦ τὸ ξίφος. Διὰ τοῦτο καὶ ἐβόησεν, ἐπειδὴ εἰς τὴν ἐνδοτέραν φυλακὴν ἦν βεβλημένος. Κατὰ σαυτοῦ τοῦτο πεποίηκας, φησίν, ἐνδοτέρῳ βαλὼν τοὺς μέλλοντάς σε ἐλευθεροῦν τοῦ κινδύνου.

Ἀλλ' οὐκ ἐμιμήσαντο τὰ παρ' ἐκείνου γενόμενα. Ἐκείνου δὲ ἀποθανόντος, πάντες ἂν ἐξέφυγον. Εἶδες ὅτι εἶλον-

ἀνθρώπου ἔχει ἐξουσίαν νὰ συγχωρῇ ἁμαρτίας ἐπὶ τῆς γῆς, λέγει εἰς τὸν παράλυτον· Σήκω ἐπάνω, πάρε τὸ κρεββάτι σου καὶ πήγαινε εἰς τὸ σπίτι σου». Ὅταν λοιπόν, λέγει, πραγματοποιήσω τὸ δυσκολώτερον, εἶναι φανερὸν ὅτι καμμία πρόφασις καὶ ἀντιλογία δὲν μένει πλέον διὰ τὸ εὔκολον. Διὰ τοῦτο πρῶτον τὸ νοητὸν ἔκανεν ἐκεῖνος, ἐπειδὴ ἦσαν πολλοὶ οἱ ἀντιλέγοντες· ἐδῶ ὅμως ἀπὸ τὸ αἰσθητὸν ὁδηγεῖ αὐτὸν εἰς τὸ νοητόν. Δὲν ἦτο ἀποτέλεσμα ἐλαφρότητος ἡ πίστις. Εἶδε τοὺς φυλακισμένους καὶ οὔτε εἶδεν, οὔτε ἤκουσε τίποτε κακόν· εἶδεν ὅτι δὲν εἶχε γίνει τίποτε διὰ μαγείας· διότι ἔψαλλον ὕμνους εἰς τὸν Θεόν· εἶδεν ὅτι ὅλα εἶχον γίνει ἀπὸ μεγάλην φιλανθρωπίαν· διότι δὲν ἀντεστάθησαν εἰς αὐτόν, ἂν καὶ ἠμποροῦσαν. Διότι ἦτο δυνατὸν ἀφοῦ ἐλευθερωθοῦν οἱ ἴδιοι καὶ ἐλευθερώσουν καὶ τοὺς φυλακισμένους, νὰ φύγουν. Ἀλλὰ δὲν τὸ ἔκαναν αὐτό. Ὥστε ὄχι μόνον ἀπὸ τὸ θαῦμα, ἀλλὰ καὶ ἀπὸ τὸν τρόπον ἐγνώρισεν αὐτὸν καλῶς. Πῶς; «Ἀλλ' ὁ Παῦλος τοῦ ἐφώναξε δυνατά· Μὴ κάνῃς κανένα κακὸν εἰς τὸν ἑαυτόν σου, διότι ὅλοι εἴμεθα ἐδῶ».

Βλέπεις πῶς ὁμιλεῖ χωρὶς κενοδοξίαν καὶ ἀλαζονείαν, ἀλλὰ μὲ φιλοστοργίαν; Δὲν εἶπεν ὅτι δι' ἐμᾶς ἔγιναν αὐτά, ἀλλ' ὡσὰν κάποιος ἀπὸ τοὺς φυλακισμένους, λέγει· «Διότι ὅλοι εἴμεθα ἐδῶ». Καὶ ὅμως, ἐὰν εἶχον ἐλευθερωθῇ πρὶν ἀπὸ αὐτὸ καὶ χωρὶς τὸ θαῦμα, ἦτο δυνατὸν νὰ σιωπήσουν καὶ ν' ἀπολύσουν τοὺς κρατουμένους. Διότι ἐὰν ἐσιώπων καὶ δὲν συνεκράτουν διὰ τῆς μεγάλης φωνῆς τὰ χέρια του, θὰ εἶχε βυθίσει εἰς τὸν λαιμόν του τὸ ξίφος. Διὰ τοῦτο καὶ ἐφώναξε δυνατά, ἐπειδὴ ἦτο μέσα εἰς τὸ βάθος τῆς φυλακῆς. Τὸν ἑαυτόν σου ἔβλαψες, λέγει, μὲ τὸ νὰ ρίψῃς μέσα εἰς τὸ βάθος τῆς φυλακῆς ἐκείνους ποὺ ἐπρόκειτο νὰ σ' ἐλευθερώσουν ἀπὸ τὸν κίνδυνον.

Ἀλλὰ δὲν ἐμιμήθησαν αὐτὰ ποὺ ἔκανεν ἐκεῖνος. Ἐὰν δὲ ἐθανατώνετο ἐκεῖνος, ὅλοι θὰ ἐξέφευγον. Εἶδες ὅτι ἐπροτίμησαν νὰ μείνουν εἰς τὴν φυλακήν, παρὰ νὰ ἴδουν

το δεδέσθαι μᾶλλον, ἢ ἐκεῖνον περιϊδεῖν ἀπολλύμενον; Καὶ ἐνενόησε πρὸς ἑαυτόν, εἰ γόητες ἦσαν, πάντως ἂν ἐκείνους ἀπέλυσαν, καὶ ἑαυτοὺς ἠλευθέρωσαν τῶν δεσμῶν· εἰκὸς γὰρ πολλοὺς καὶ τοιούτους ἐμβεβλῆσθαι. Ἄλλως δέ, πολλάκις δεξάμενος γόητας τοιούτους, καὶ οὐδὲν ἰδὼν τοιοῦτον γενόμενον, ἐθαύμασεν. Ὁ γόης οὐκ ἂν ἔσισε τὰ θεμέλια, ὥστε διυπνίσαι τὸν δεσμοφύλακα, καὶ δυσκολωτέραν ἑαυτῷ ποιῆσαι τὴν φυγήν.

6. Ἀλλ' ἴδωμεν λοιπὸν τοῦ δεσμοφύλακος τὴν πίστιν. «Αἰτήσας», φησί, «φῶτα, εἰσεπήδησε, καὶ ἔντρομος ὑπάρχων, προσέπεσε τῷ Παύλῳ καὶ τῷ Σίλᾳ, καὶ προαγαγὼν αὐτοὺς ἔξω, ἔφη· κύριοι, τί με δεῖ ποιεῖν ἵνα σωθῶ;». Πῦρ ἐκράτει καὶ ξίφος, καὶ ἔλεγε· «τί με δεῖ ποιεῖν ἵνα σωθῶ;». «Οἱ δὲ εἶπον· πίστευσον εἰς τὸν Κύριον Ἰησοῦν Χριστόν, καὶ σωθήσῃ σύ, καὶ ὁ οἶκός σου». Τοῦτο οὐχὶ γοήτων ἐστί, φησί, δόγμα τοιοῦτον παραδοῦναι· οὐδαμοῦ δαίμονος ἐνταῦθα μνήμη. Ὁρᾷς πῶς ἄξιος τοῦ σωθῆναι ἐκεῖνος; Ἰδὼν γὰρ τὸ θαῦμα, καὶ τοῦ φόβου ἀπαλλαγείς, οὐκ ἐπελάθετο τῶν συμφερόντων, ἀλλ' ἐν τοσούτῳ κινδύνῳ περὶ τῆς σωτηρίας ἐφρόντιζε τῆς κατὰ ψυχήν, καὶ ὡς ἐχρῆν διδασκάλοις προσελθεῖν, οὕτω προσῆλθε· πρὸς τοὺς πόδας αὐτῶν ἔπεσε.

«Καὶ ἐλάλησαν αὐτῷ», φησί, «τὸν λόγον τοῦ Κυρίου», καὶ πᾶσι τοῖς ἐν τῇ οἰκίᾳ αὐτοῦ. Καὶ παραλαβὼν αὐτοὺς ἐν ἐκείνῃ τῇ ὥρᾳ τῆς νυκτός, ἔλουσεν ἀπὸ τῶν πληγῶν, καὶ ἐβαπτίσθη αὐτός, καὶ οἱ αὐτοῦ πάντες παραχρῆμα». Ὁρᾷς θερμότητα ἀνδρός; Οὐκ ἀνεβάλετο, οὐκ εἶπεν, ἡμέρα γενέσθω, ἴδωμεν, σκεψώμεθα· ἀλλὰ μετὰ πολλῆς τῆς θερμότητος καὶ αὐτὸς καὶ ἡ οἰκία αὐτοῦ πᾶσα ἐβαπτίσθη· ἀλλ' οὐχ ὡς νῦν οἱ πλείους περιορῶσι καὶ δούλους καὶ γυναῖκας καὶ παῖδας ἀμυήτους τυγχάνοντας. Γίνεσθε, παρακαλῶ, κατὰ τὸν δεσμοφύλακα· οὐ τὴν ἀξίαν λέγω, ἀλλὰ τὴν προαίρεσιν. Τί

---

22. Πράξ. 16, 29-30.
23. Πράξ. 16, 31.
24. Πράξ. 16, 32-33.

ἐκεῖνον νὰ καταστρέφεται; Καὶ ἐσκέφθη ὅτι ἐὰν ἦσαν μάγοι, ὁπωσδήποτε θὰ εἶχον ἀπολύσει τοὺς φυλακισμένους καὶ οἱ ἴδιοι θὰ εἶχον ἐλευθερωθῆ ἀπὸ τὴν φυλακήν· διότι ἦτο φυσικὸν νὰ φυλακίζωνται καὶ πολλοὶ μάγοι ἐκεῖ. Ἄλλως τε, ἐπειδὴ πολλὰς φορὰς ἐδέχθη τέτοιους μάγους καὶ δὲν εἶδε τίποτε τέτοιο, ἐθαύμασεν. Ὁ μάγος δὲν θὰ ἔσειε τὰ θεμέλια, ὥστε νὰ ξυπνήσῃ τὸν φύλακα καὶ νὰ κάνῃ δυσκολωτέραν τὴν φυγήν του.

6. Ἀλλ' ἂς ἴδωμεν εἰς τὴν συνέχειαν τὴν πίστιν τοῦ δεσμοφύλακος. «Ἀφοῦ ἐζήτησε φῶτα», λέγει, «ἐπήδησε μέσα καί, τρομαγμένος, ἔπεσεν εἰς τὰ πόδια τοῦ Παύλου καὶ τοῦ Σίλα. Ὕστερον τοὺς ὡδήγησεν ἔξω καὶ εἶπε. Κύριοι, τί πρέπει νὰ κάνω διὰ νὰ σωθῶ;»[22]. Ἐκράτει πῦρ καὶ ξίφος, καὶ ἔλεγε· «Κύριοι, τί πρέπει νὰ κάνω διὰ νὰ σωθῶ;». «Ἐκεῖνοι δὲ εἶπον· Πίστευε εἰς τὸν Κύριον Ἰησοῦν Χριστὸν καὶ θὰ σωθῇς καὶ σὺ καὶ ἡ οἰκογένειά σου»[23]. Αὐτὸ δὲν εἶναι ἴδιον μάγων, λέγει, τὸ νὰ διαδίδουν τέτοιαν διδασκαλίαν· πουθενὰ ἐδῶ δὲν ἀναφέρει δαίμονα. Βλέπεις πῶς ἦτο ἄξιος ἐκεῖνος διὰ νὰ σωθῇ; Διότι ἀφοῦ εἶδε τὸ θαῦμα καὶ ἀπηλλάγη τοῦ φόβου, δὲν ἐλησμόνησε τὰ συμφέροντά του, ἀλλὰ μέσα εἰς τόσον κίνδυνον ἐφρόντιζε διὰ τὴν σωτηρίαν τῆς ψυχῆς, καὶ ὅπως ἥρμοζε νὰ προσέλθῃ εἰς διδασκάλους, ἔτσι προσῆλθεν· ἔπεσεν εἰς τὰ πόδια των.

«Καὶ ἐκήρυξαν τὸν λόγον τοῦ Κυρίου εἰς αὐτόν», λέγει, «καὶ εἰς ὅλους ὅσοι ἦσαν εἰς τὴν οἰκίαν του»[24]. Βλέπεις τὴν προθυμίαν καὶ τὴν θερμότητα τοῦ ἀνθρώπου; Δὲν ἀνέβαλε, δὲν εἶπεν, ἂς ξημερώσῃ, ἂς ἴδωμεν, ἂς σκεφθῶμεν. Ἀλλὰ μὲ πολλὴν προθυμίαν καὶ αὐτὸς καὶ ἡ οἰκογένειά του ὅλη ἐβαπτίσθησαν· καὶ ὄχι ὅπως τώρα οἱ περισσότεροι ποὺ παραμελοῦν τοὺς ὑπηρέτας καὶ τὰς γυναῖκας καὶ τὰ τέκνα των, ἐνῷ εἶναι ἀκατήχητοι. Σᾶς παρακαλῶ, νὰ γίνεσθε ὡσὰν τὸν δεσμοφύλακα· δὲν λέγω ὡς πρὸς τὸ ἀξίωμα, ἀλλ' ὡς πρὸς τὴν προαίρεσιν. Διότι ποῖον τὸ ὄφελος ἀπὸ τὸ ἀξίωμα, ὅταν

γὰρ ὄφελος ἀξιώματος, ὅταν ᾖ ἡ προαίρεσις ἀσθενής; Ὁ ὠμός, ὁ ἀπηνής, ὁ μυρίοις συζῶν κακοῖς, ὁ τοῦτο μελετῶν ἀεί, οὕτω φιλάνθρωπος, οὕτω κηδεμονικὸς ἀθρόον γέγονεν. «Ἔλουσεν αὐτούς», φησίν, «ἀπὸ τῶν πληγῶν».

Θέα πάλιν καὶ τὴν θερμότητα τοῦ Παύλου· δεδεμένος, μεμαστιγωμένος, οὕτως εὐηγγελίζετο. Ὢ τῆς μακαρίας ἁλύσεως, οἵας ὤδινεν ὠδῖνας κατὰ τὴν νύκτα ἐκείνην· οἷα ἀπέτεκε παιδία. Καὶ περὶ τούτων εἰπεῖν δυνατόν, «Οὓς ἐγέννησα ἐν τοῖς δεσμοῖς μου». Ὁρᾷς πῶς ἀγάλλεται, καὶ τὰ τεχθέντα παιδία ἀπὸ τούτου λαμπρότερα βούλεται εἶναι; ὁρᾷς πόση περιουσία δόξης τῶν δεσμῶν, ὅπου γε οὐ μόνον τὸν περικείμενον, ἀλλὰ καὶ τοὺς ἐν ἐκείνῳ τῷ καιρῷ τεχθέντας ὑπ' αὐτοῦ λαμπροὺς ποιεῖ; Ἔχουσί τι πλέον οἱ ἐν τοῖς Παύλου δεσμοῖς τεχθέντες, οὐ κατὰ τὴν χάριν λέγω, ἡ γὰρ αὐτὴ χάρις, οὐδὲ κατὰ τὴν ἄφεσιν, ἡ γὰρ αὐτὴ πάντων ἄφεσις, ἀλλ' ὅτι ἐκ προοιμίων παιδεύονται χαίρειν καὶ ἀγάλλεσθαι τοῖς τοιούτοις πράγμασιν.

«Αὐτῇ τῇ ὥρᾳ τῆς νυκτός», φησί, «παραλαβὼν αὐτούς, ἔλουσεν ἀπὸ τῶν πληγῶν καὶ ἐβαπτίσθη». Καὶ θέα λοιπὸν τὸν καρπόν· ἀντέδωκεν εὐθέως τὰ σαρκικά. «Ἀναγαγὼν αὐτοὺς εἰς τὸν οἶκον, εὐθέως παρέθηκε τράπεζαν, καὶ ἠγαλλιάσατο πανοικὶ πεπιστευκὼς τῷ Θεῷ». Τί γὰρ οὐκ ἔμελλεν, ἀνοιγέντος αὐτῷ τοῦ οὐρανοῦ διὰ τῆς ἀνοίξεως τῶν τοῦ δεσμωτηρίου θυρῶν; Ἔλουσε τὸν διδάσκαλον, τράπεζαν παρέθηκε, καὶ ἠγαλλιάσατο. Εἰσῆλθεν εἰς δεσμωτήριον ἡ Παύλου ἅλυσις, καὶ ἐκκλησίαν εἰργάσατο πάντα τὰ ἐκεῖ, καὶ σῶμα Χριστοῦ ἐφειλκύσατο, καὶ τράπεζαν ἔθηκε τὴν πνευματικήν, καὶ ὠδῖνας, ἐφ' αἷς ἄγγελοι χαίρουσι. Μήτι εἰκῇ ἔλεγον τὸ δεσμωτήριον τοῦ οὐρανοῦ λαμπρότερον; τῆς γὰρ

25. Φιλ. 10.
26. Πράξ. 16, 34.

ἡ προαίρεσις εἶναι ἀσθενής; Ἐκεῖνος ὁ ὁποῖος ἦτο ἄγριος, σκληρός, καὶ συνέζη μὲ ἀμέτρητα κακὰ καὶ τὸ κακὸν ἐσκέπτετο πάντοτε, τόσον φιλάνθρωπος, τόσον περιποιητικὸς ἔγινεν ἀμέσως. «Ἔπλυνε τὰς πληγάς των», λέγει.

Πρόσεχε πάλι τὴν θερμότητα τοῦ Παύλου· ἂν καὶ φυλακισμένος καὶ μαστιγωμένος, ἐδίδασκε τὸ εὐαγγέλιον μὲ τόσην προθυμίαν. Ὢ μακαρία ἁλυσίς, πόσους πόνους ὑπέφερε κατὰ τὴν νύκτα ἐκείνην, πόσα παιδία ἐγέννησε! Καὶ δι' αὐτὰ ἠμποροῦμεν νὰ εἴπωμεν· «Τοὺς ὁποίους ἐγέννησα εἰς τὴν φυλακήν μου»[25]. Βλέπεις πῶς ἀγάλλεται, καὶ θέλει τὰ παιδία τὰ ὁποῖα ἐγεννήθησαν νὰ εἶναι λαμπρότερα ἀπὸ αὐτόν; Βλέπεις πόση εἶναι ἡ ἀφθονία τῆς δόξης τῶν δεσμῶν, ὅπου βεβαίως ὄχι μόνον τὸν φυλακισμένον, ἀλλὰ καὶ τοὺς γεννηθέντας εἰς τὴν πίστιν κατ' ἐκεῖνον τὸν καιρὸν ὑπ' αὐτοῦ τοὺς κάνει λαμπρούς. Ἔχουν κάτι περισσότερον ὅσοι ἐγεννήθησαν ἀπὸ τὴν φυλάκισιν τοῦ Παύλου, δὲν ἐννοῶ ὡς πρὸς τὴν χάριν, διότι ἡ χάρις εἶναι ἡ ἰδία, οὔτε ὡς πρὸς τὴν ἄφεσιν τῶν ἁμαρτιῶν, διότι ἡ συγχώρησις ὅλων εἶναι ἡ ἰδία, ἀλλ' εἰς τὸ ὅτι ἐξ ἀρχῆς μαθαίνουν νὰ χαίρωνται καὶ νὰ ἀγάλλωνται δι' αὐτὰ τὰ πράγματα.

«Ἐκείνην τὴν νυκτερινὴν ὥραν», λέγει, «τοὺς ἐπῆρε καὶ ἔπλυνε τὰς πληγάς των καὶ ἀμέσως ἐβαπτίσθη». Καὶ πρόσεχε εἰς τὴν συνέχειαν τὸν καρπόν· ἀνταπέδωκεν ἀμέσως τὰ σωματικά· «Τοὺς ἔφερεν εἰς τὴν οἰκίαν του, τοὺς ἔδωσε φαγητὸν καὶ ἐχαίρετο μὲ ὅλους τοὺς ἰδικούς του διὰ τὴν πίστιν του εἰς τὸν Θεόν»[26]. Διότι τί δὲν τὸν ἀνέμενεν, ἐφ' ὅσον εἶχεν ἀνοιγῆ δι' αὐτὸν ὁ οὐρανὸς διὰ τῆς διανοίξεως τῶν θυρῶν τοῦ δεσμωτηρίου; Ἔπλυνε τὸν διδάσκαλον, παρέθεσεν εἰς αὐτὸν τράπεζαν καὶ ἐχαίρετο. Εἰσῆλθεν εἰς τὴν φυλακὴν ἡ ἁλυσίς τοῦ Παύλου καὶ μετέτρεψεν εἰς ἐκκλησίαν τὰ πάντα ἐκεῖ καὶ προσείλκυσε σῶμα Χριστοῦ, καὶ παρέθεσε τὴν πνευματικὴν τράπεζαν καὶ πόνους φοβερούς, εἰς τοὺς ὁποίους χαίρουν οἱ ἄγγελοι. Μήπως ἀδίκως ἔλεγον ὅτι ἡ φυλακὴ εἶναι λαμπροτέρα τοῦ οὐρανοῦ; Διότι αὐτὴ ἔγινεν αἰτία

ἐκεῖ χαρᾶς τοῦτο γέγονεν αἴτιον. Εἰ γὰρ ἐφ' ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι χαρὰ ἐν οὐρανοῖς, εἰ ὅπου δύο εἰσὶ συνηγμένοι εἰς τὸ ὄνομα αὐτοῦ, ἐκεῖ ἐν μέσῳ αὐτῶν ἐστι ὁ Χριστός, ὅπου Σίλας καὶ Παῦλος καὶ ὁ δεσμοφύλαξ καὶ ἡ οἰκία αὐτοῦ ὅλη, καὶ πίστις τοσαύτη, πόσῳ μᾶλλον; Ὅρα τὴν σφοδρότητα τῆς πίστεως.

Ἀλλὰ τὸ δεσμωτήριον τοῦτο ἑτέρου με ὑπέμνησε δεσμωτηρίου. Ποίου δὴ τούτου; Ἔνθα Πέτρος ἦν. Ἀλλὰ τοιοῦτον οὐδὲν ἐγένετο ἐκεῖ· ἀλλ' ἦν παραδεδομένος τέσσαρσι τετραδίοις στρατιωτῶν φυλάσσειν αὐτόν, καὶ οὐχ ὕμνει οὐδὲ ἠγρύπνει, ἀλλ' ἐκάθευδε· καὶ οὐδὲ μεμαστιγωμένος ἦν, ἀλλὰ μείζων ὁ κίνδυνος. Ἐνταῦθα μὲν γὰρ ἤδη τὸ πᾶν εἴργαστο, καὶ δίκην ἦσαν δεδωκότες· ἐκεῖ δὲ οὐδέπω. Ὥστε εἰ καὶ μὴ πληγαὶ ὠδύνων, ἀλλ' ἡ προσδοκία τοῦ μέλλοντος ἐθορύβει. Ὅρα καὶ ἐκεῖ τὸ θαῦμα. «Ἰδοὺ ἄγγελος Κυρίου», φησίν, «ἐπέστη, καὶ φῶς ἔλαμψεν ἐν τῷ οἰκήματι· πατάξας δὲ τὴν πλευρὰν τοῦ Πέτρου, ἤγειρεν αὐτὸν λέγων· ἀνάστα ἐν τάχει. Καὶ εὐθέως ἐξέπεσον αὐτοῦ αἱ ἁλύσεις ἐκ τῶν χειρῶν». Ὥστε μὴ νομίσαι τὸ πρᾶγμα τοῦ φωτὸς μόνον εἶναι, καὶ τὸν Πέτρον ἔνυξεν. Οὐδεὶς δὲ τὸ φῶς ἑώρα, ἀλλὰ μόνος αὐτός, καὶ ἐδόκει ὅτι ὅραμά ἐστιν· οὕτως οὐκ ἐπαισθάνονται οἱ καθεύδοντες τῶν τοῦ Θεοῦ εὐεργεσιῶν. «Εἶπε δέ», φησίν, «ὁ ἄγγελος πρὸς αὐτόν· περίζωσαι καὶ ὑπόδησαι τὰ σανδάλιά σου. Καὶ ἐποίησεν οὕτω. Καὶ λέγει αὐτῷ, περιβαλοῦ τὸ ἱμάτιόν σου, καὶ ἀκολούθει μοι. Καὶ ἐξελθὼν ἠκολούθησεν αὐτῷ, καὶ οὐκ ᾔδει ὅτι ἀληθές ἐστι τὸ γινόμενον διὰ τοῦ ἀγγέλου· ἐδόκει δὲ ὅραμα βλέπειν. Διελθόντες δὲ πρώτην φυλακὴν καὶ δευτέραν, ἦλθον ἐπὶ τὴν πύλην τὴν σιδηρᾶν τὴν φέρουσαν εἰς τὴν πόλιν, ἥτις αὐτομάτη ἀνεῴχθη αὐτοῖς. Καὶ εἰσελθόντες, προῆλθον ῥύμην μίαν, καὶ εὐθέως ὁ ἄγγελος ἀπ' αὐτοῦ ἀπέστη».

---

27. Πράξ. 12, 7.
28. Πράξ. 12, 8-11.

διὰ τὴν ἐκεῖ χαράν. Διότι ἐὰν δι' ἕνα ἁμαρτωλὸν ὁ ὁποῖος μετανοεῖ γίνεται χαρὰ εἰς τοὺς οὐρανούς, ἐὰν ὅπου εἶναι δύο συγκεντρωμένοι εἰς τὸ ὄνομά του, εἶναι μεταξύ των καὶ ὁ Χριστός, πόσον περισσότερον συμβαίνει αὐτὸ ἐκεῖ ὅπου εἶναι ὁ Σίλας καὶ ὁ Παῦλος καὶ ὁ δεσμοφύλαξ καὶ ὅλοι οἱ ἰδικοί του, καὶ τόση πίστις; Πρόσεχε τὸ ὑπερβολικὸν μέγεθος τῆς πίστεως.

Ἀλλ' ἡ φυλακὴ αὐτὴ μοῦ ἐνεθύμισεν ἄλλην φυλακήν. Ποίαν δηλαδή; Ἐκείνην ὅπου ἦτο ὁ Πέτρος. Τίποτε τέτοιο ὅμως δὲν ἔγινεν ἐκεῖ· ἀλλ' εἶχε παραδοθῆ εἰς τέσσαρας τετράδας στρατιωτῶν διὰ νὰ τὸν φυλάσσουν, καὶ δὲν ἔψαλλεν ὕμνους, οὔτε ἠγρύπνει, ἀλλ' ἐκοιμᾶτο· καὶ οὔτε εἶχε μαστιγωθῆ, ἀλλ' ἦτο μεγαλύτερος ὁ κίνδυνος. Διότι ἐδῶ μὲν ἤδη εἶχον γίνει ὅλα, καὶ εἶχον δικασθῆ· ἐκεῖ ὅμως ὄχι. Ὥστε καὶ ἐὰν δὲν ὑπῆρχον πληγαὶ διὰ νὰ πονοῦν, ἡ ἀναμονὴ τοῦ μέλλοντος ὅμως τοὺς ἐτάρασσε. Κοίταξε καὶ ἐκεῖ τὸ θαῦμα. «Αἴφνης ἦλθεν ἄγγελος Κυρίου», λέγει, «καὶ ἔλαμψε φῶς εἰς τὸ οἴκημα. Ἀφοῦ ἐκτύπησε τὴν πλευρὰν τοῦ Πέτρου, τὸν ἐξύπνησε καὶ τοῦ εἶπε· Σήκω γρήγορα. Καὶ ἔπεσαν αἱ ἀλυσίδες ἀπὸ τὰ χέρια του»[27]. Διὰ νὰ μὴ νομισθῆ ὅτι ὅλη ἡ ὑπόθεσις ἦτο τὸ φῶς, ἐκτύπησε καὶ τὸν Πέτρον. Κανεὶς δὲν ἔβλεπε δὲ τὸ φῶς, παρὰ μόνον αὐτός, καὶ ἐνόμιζεν ὅτι εἶναι ὅραμα· ἔτσι δὲν αἰσθάνονται αὐτοὶ ποὺ κοιμῶνται τὰς εὐεργεσίας τοῦ Θεοῦ. «Καὶ ὁ ἄγγελος», λέγει, «τοῦ εἶπε· Ζώσου καὶ φόρεσε τὰ σανδάλιά σου. Καὶ τὸ ἔκανε. Ὕστερον τοῦ εἶπε· Φόρεσε τὸν μανδύα σου καὶ ἀκολούθησέ με. Καὶ ἐβγῆκεν ἔξω καὶ τὸν ἠκολούθησε καὶ δὲν εἶχε συνείδησιν ὅτι εἶναι ἀληθινὸν ἐκεῖνο ποὺ ἐγίνετο διὰ τοῦ ἀγγέλου, ἀλλ' ἐνόμιζεν ὅτι βλέπει ὅραμα. Ἐπέρασαν τὸ πρῶτον φυλάκιον καὶ τὸ δεύτερον, καὶ ἔφθασαν εἰς τὴν πύλην τὴν σιδηρᾶν ποὺ ὡδηγοῦσεν εἰς τὴν πόλιν καὶ ἡ ὁποία μόνη της ἤνοιξε διὰ νὰ περάσουν. Ἀφοῦ ἐβγῆκαν, ἐπροχώρησαν εἰς ἕνα στενὸν δρόμον, καὶ ἀμέσως ὁ ἄγγελος ἐξηφανίσθη»[28].

7. Διὰ τί μὴ τοῦτο γέγονεν ἐνταῦθα, ὅπερ ἐπὶ τοῦ Παύλου καὶ Σίλα; Ὅτι ἐκεῖ μὲν ἔμελλον ἀπολύειν αὐτούς· διὰ τοῦτο οὐκ ἠθέλησεν οὕτως ἀπολυθῆναι αὐτούς· ἐπὶ δὲ τοῦ μακαρίου Πέτρου, εἰς φόνον αὐτὸν ἔμελλον ἐξάγειν. Τί οὖν; οὐ πολλῷ θαυμασιώτερον ἦν, φησίν, ἐξαχθέντα καὶ παραδοθέντα ταῖς τοῦ βασιλέως χερσί, τότε ἐκ μέσων αὐτῶν ἐξαρπασθῆναι τῶν κινδύνων, καὶ μηδὲν παθεῖν; οὕτω γὰρ ἂν οὐδὲ οἱ στρατιῶται ἀπώλοντο. Μέγα ἐνταῦθα κεκίνηται ζήτημα. Ὁ Θεὸς τὸν αὐτοῦ δοῦλον, φησί, μετὰ τῆς ἑτέρων ἔσωσε τιμωρίας, μετὰ τῆς ἑτέρων ἀπωλείας; Πρῶτον μὲν οὖν οὐ μετὰ τῆς ἑτέρων ἀπωλείας· οὐ γὰρ τῆς τοῦ πράγματος οἰκονομίας τοῦτο γέγονεν, ἀλλὰ τῆς τοῦ δικαστοῦ μιαρίας. Πῶς; Ὁ μὲν Θεὸς οὕτως ᾠκονόμησεν, ὡς μὴ μόνον τούτους μὴ ἀπολέσθαι, ἀλλὰ καὶ ἐκεῖνον σωθῆναι, καθάπερ δὴ καὶ ἐνταῦθα ἐπὶ τοῦ δεσμοφύλακος· ἐκεῖνος δὲ οὐκ ἐχρήσατο τῇ δωρεᾷ εἰς δέον.

«Γενομένης δὲ ἡμέρας», φησίν, «ἦν τάραχος οὐκ ὀλίγος ἐν τοῖς στρατιώταις, τί ἄρα ὁ Πέτρος ἐγένετο». Τί οὖν; Ἐξέτασιν τοῦ πράγματος ποιεῖται ὁ Ἡρώδης, καὶ ἀνακρίνας αὐτούς, ἐκέλευσεν ἀπαχθῆναι. Εἰ μὲν γὰρ μὴ ἀνέκρινεν, ἦν ἄν τις ἀπολογία· νῦν δὲ παρέστησεν, ἀνέκρινεν, ἔμαθεν ὅτι ἐδέδετο, ὅτι τὸ δεσμωτήριον ἠσφάλιστο, ὅτι οἱ φύλακες ἦσαν πρὸ τῶν θυρῶν· οὐ τοῖχος διωρώρυκτο, οὐ θύρα ἀνέῳκτο, οὐδὲν ἄλλο κακουργίας τεκμήριον ἦν· δέον ἀπὸ τούτων θαυμάσαι τοῦ Θεοῦ τὴν δύναμιν, ἥτις καὶ ἐκ μέσων αὐτὸν ἀνήρπασε τῶν κινδύνων, καὶ προσκυνῆσαι τὸν τοσαῦτα δυνηθέντα, ὁ δὲ ἐκείνους ἀπήγαγε.

Τί οὖν ἐνταῦθα ὁ Θεὸς αἴτιος; Εἰ μὲν γὰρ τοῖχον διαρραγῆναι ἐποίησε, καὶ οὕτως ἐξέβαλεν, ἴσως ἂν ἐνομίσθη τῆς ἐκείνων ῥᾳθυμίας τὸ πρᾶγμα· εἰ δὲ οὕτως ᾠκονόμησεν, ὥστε

---

29. Πράξ. 12, 18.

7. Διατί δὲν ἔγινεν ἐδῶ αὐτὸ τὸ ὁποῖον ἔγινεν εἰς τὸν Παῦλον καὶ τὸν Σίλαν; Διότι ἐκεῖ μὲν ἐπρόκειτο ν' ἀπολύσουν αὐτούς· διὰ τοῦτο δὲν ἠθέλησε ν' ἀπολυθοῦν ἔτσι αὐτοί· ἐνῷ τὸν μακάριον Πέτρον ἐπρόκειτο νὰ τὸν φονεύσουν. Τί λοιπόν; Δὲν ἦτο πολὺ θαυμαστότερον, λέγει, ἀφοῦ ἐξαχθῇ καὶ παραδοθῇ εἰς τὰ χέρια τοῦ βασιλέως, τότε μέσα ἀπ' αὐτοὺς νὰ ἁρπαγῇ ἀπὸ τοὺς κινδύνους καὶ νὰ μὴ πάθῃ τίποτε; Διότι ἔτσι οὔτε οἱ στρατιῶται θὰ ἐφονεύοντο. Μεγάλο ζήτημα ἔχει ἐγερθῇ ἐδῶ. Ὁ Θεὸς ἔσωσε τὸν δοῦλον του, λέγει, συγχρόνως μὲ τὴν τιμωρίαν τῶν ἄλλων καὶ τὴν ἀπώλειάν των; Πρῶτον μὲν λοιπόν, ὄχι μαζὶ μὲ τὴν ἀπώλειαν τῶν ἄλλων. Διότι αὐτὸ δὲν ἔγινε συμφώνως πρὸς τὸ σχέδιον τοῦ πράγματος, ἀλλ' ἀπὸ τὴν κακίαν τοῦ δικαστοῦ. Πῶς; Ὁ μὲν Θεὸς ἔτσι ἐσχεδίασεν, ὥστε ὄχι μόνον νὰ μὴ χαθοῦν αὐτοί, ἀλλὰ καὶ ἐκεῖνος νὰ σωθῇ, ὅπως ἀκριβῶς καὶ ἐδῶ μὲ τὸν δεσμοφύλακα· ἐκεῖνος ὅμως δὲν ἐχρησιμοποίησε τὴν δωρεὰν ὅπως ἔπρεπε.

«Ὅταν ἐξημέρωσε», λέγει, «ἐθορυβήθησαν πολὺ οἱ στρατιῶται διὰ τὸ τί ἄρά γε νὰ ἔγινεν ὁ Πέτρος»[29]. Τί λοιπόν; Ἐξετάζει τὸ γεγονὸς ὁ Ἡρώδης, καὶ ἀφοῦ ἀνέκρινε τοὺς στρατιώτας, διέταξε νὰ φυλακισθοῦν. Διότι ἐὰν δὲν τοὺς ἀνέκρινε, θὰ ὑπῆρχε κάποια δικαιολογία· τώρα ὅμως συνέκρινε, ἀνέκρινε, ἔμαθεν ὅτι εἶχε δεθῇ, ὅτι ἡ φυλακὴ εἶχεν ἀσφαλισθῇ, ὅτι οἱ φύλακες ἦσαν ἐμπρὸς εἰς τὰς θύρας· δὲν διηνοίχθη τοῖχος, οὔτε θύρα ἤνοιξεν, οὔτε ἄλλη ἀπόδειξις ἀμελείας καὶ παρανομίας ὑπῆρχεν· ἔπρεπεν ἀπὸ αὐτὰ νὰ θαυμάσῃ τὴν δύναμιν τοῦ Θεοῦ, ἡ ὁποία καὶ μέσα ἀπὸ αὐτοὺς τοὺς κινδύνους τὸν ἔσωσε, καὶ νὰ προσκυνήσῃ ἐκεῖνον ὁ ὁποῖος ἠμπόρησε νὰ κάνῃ ὅλα αὐτά, ἐκεῖνος ὅμως τοὺς κατεδίκασε.

Τί λοιπόν; εἶναι αἴτιος ὁ Θεὸς ἐδῶ; Διότι ἐὰν μὲν ἔκαμνε νὰ ἀνοίξῃ ὁ τοῖχος καὶ τὸν ἠλευθέρωνε μὲ αὐτὸν τὸν τρόπον, ἴσως νὰ ἐνομίζετο ὅτι αὐτὸ ὠφείλετο εἰς τὴν ἀμέλειαν τῶν φρουρῶν· ἀφοῦ ὅμως ἔτσι ἐσχεδίασεν, ὥστε νὰ

δειχθῆναι ὅτι οὐκ ἀνθρωπίνης κακουργίας, ἀλλὰ θείας θαυματουργίας τὸ πρᾶγμα ἦν, τί δὴ τοῦτο ἐποίησεν; Εἰ γὰρ ἔμελλε φεύγειν, οὕτως ὡς εἶχε τὰς ἁλύσεις, ἔφυγεν ἄν· εἰ ἔμελλε φεύγειν τεθορυβημένος, οὐκ ἂν τοσαύτην ἐποιήσατο πρόνοιαν, ὥστε καὶ τὰ σανδάλια λαβεῖν, ἀλλ' εἴασεν ἄν. Νῦν δὲ διὰ τοῦτό φησιν ὁ ἄγγελος πρὸς αὐτόν, «Ὑπόδησαι τὰ σανδάλιά σου», ἵνα μάθωσιν ὅτι οὐ φεύγων, ἀλλὰ μετὰ πολλῆς ἀνέσεως τὸ πρᾶγμα εἰργάσατο. Δεδεμένος γάρ, καὶ μεταξὺ τῶν δύο στρατιωτῶν, οὐκ ἂν τοσαύτην ἐποιήσατο σχολήν, ὥστε καὶ τὰς ἁλύσεις λῦσαι, καὶ ταῦτα εἰς τὴν ἐσωτέραν ὢν καὶ αὐτὸς φυλακήν. Ὥστε τῆς ἀδικίας τοῦ δικαστοῦ γέγονεν ἡ κόλασις τῶν φυλάκων.

Διὰ τί γὰρ Ἰουδαῖοι μὴ τοῦτο ἐποίησαν; Καὶ γὰρ ἑτέρου δεσμωτηρίου μέμνημαι, ἐκείνου μὲν τοῦ προτέρου τοῦ ἐν Ρώμῃ, τούτου δὲ τοῦ ἐν Καισαρείᾳ, νῦν δὲ τοῦ ἐν Ἱεροσολύμοις. Ἀκούσαντες γὰρ οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι παρὰ τῶν ἀποσταλέντων παρ' αὐτῶν εἰς τὸ δεσμωτήριον, ὥστε ἐξαγαγεῖν τὸν Πέτρον, ὅτι ἔσω οὐδένα εὕρομεν, ἀλλὰ καὶ κεκλεισμένας τὰς θύρας, καὶ τοὺς φύλακας ἑστῶτας πρὸ τῶν θυρῶν, διὰ τί μὴ τοὺς φύλακας ἀνεῖλον, ἀλλὰ διηπόρουν περὶ αὐτῶν, τί ἂν γένοιτο τοῦτο; Εἰ δὲ σφόδρα κατ' αὐτῶν φονῶντες οὐδὲν τοιοῦτον ἐνενόησαν, πολλῷ μᾶλλον σὺ ὁ πρὸς ἐκείνων χάριν πάντα ποιῶν. Διὰ τοῦτο μετῆλθεν αὐτὸν ἡ δίκη ταχέως.

Εἰ δὲ τοῦτο ἐγκαλεῖς, ἐγκάλει καὶ περὶ τῶν ἐν ταῖς ὁδοῖς σφαττομένων, καὶ περὶ τῶν ἀδίκως ἀναιρουμένων μυρίων ἑτέρων, καὶ ἔτι περὶ τῶν παίδων τῶν ἐπὶ τοῦ Χριστοῦ ἀναιρεθέντων· καὶ γὰρ καὶ ἐκείνοις, ὡς σὺ λέγεις, ὁ Χριστὸς ἐγένετο αἴτιος· μᾶλλον δὲ οὐχ ὁ Χριστός, ἀλλ' ἡ μανία καὶ ἡ τυραννὶς τοῦ πατρὸς τοῦ Ἡρώδου. Εἰ δὲ λέγεις, διὰ τί μὴ ἐκ τῶν χειρῶν αὐτὸν ἥρπασε τοῦ Ἡρώδου, καὶ τοῦτο

δειχθῇ ὅτι δὲν ἦτο ἔργον ἀνθρωπίνης παρανομίας, ἀλλὰ θεϊκῆς θαυματουργίας, διατί λοιπὸν τὸ ἔκανεν αὐτό; Διότι ἐὰν ἐπρόκειτο νὰ διαφύγῃ θὰ ἐξέφευγε μαζὶ μὲ τὰς ἁλυσίδας· ἐὰν ἦτο νὰ φύγῃ ἔτσι ταραγμένος, δὲν θὰ ἐφρόντιζε τόσον, ὥστε νὰ λάβῃ καὶ τὰ σανδάλια, ἀλλὰ θὰ τὰ ἄφηνε. Τώρα ὅμως διὰ τοῦτο λέγει ὁ ἄγγελος πρὸς αὐτόν, «Φόρεσε τὰ σανδάλιά σου», διὰ νὰ μάθουν ὅτι δὲν ἔφυγε μὲ βίαν, ἀλλὰ μὲ πολλὴν ἄνεσιν. Διότι ἦτο δεμένος καὶ μάλιστα μεταξὺ τῶν δύο στρατιωτῶν, καὶ δὲν θὰ ἠργοπόρει τόσον ὥστε νὰ λύσῃ καὶ τὰς ἁλυσίδας, καὶ αὐτὰ μάλιστα ἐνῷ ηὑρίσκετο καὶ αὐτὸς εἰς τὸ ἐσωτερικὸν τῆς φυλακῆς. Ὥστε ἡ τιμωρία τῶν φρουρῶν ὠφείλετο εἰς τὴν ἀδικίαν τοῦ δικαστοῦ.

Διατί ὅμως δὲν ἔκαναν αὐτὸ οἱ Ἰουδαῖοι; Διότι ἐνθυμοῦμαι καὶ ἄλλην φυλακήν, τοῦ μὲν προηγουμένου εἰς τὴν Ρώμην, αὐτοῦ δὲ εἰς τὴν Καισάρειαν, καὶ τώρα εἰς τὰ Ἱεροσόλυμα. Διότι ὅταν ἤκουσαν οἱ ἀρχιερεῖς καὶ οἱ Φαρισαῖοι ἀπὸ ἐκείνους τοὺς ὁποίους ἔστειλαν διὰ νὰ βγάλουν τὸν Πέτρον, ὅτι δὲν εὑρήκαμεν κανένα μέσα, ἀλλ᾿ ὅτι αἱ θύραι ἦσαν κλεισταὶ καὶ οἱ φύλακες ἵσταντο ἐμπρὸς ἀπὸ τὰς θύρας, διατί δὲν ἐφόνευσαν τοὺς φρουρούς, ἀλλ᾿ εὑρίσκοντο εἰς ἀπορίαν, πῶς ἦτο δυνατὸν νὰ γίνῃ αὐτό; Ἐὰν δὲ αὐτοὶ οἱ ὁποῖοι ἦσαν πάρα πολὺ μολυσμένοι ἀπὸ φόνους δὲν ἐσκέφθησαν τίποτε τέτοιο ἐναντίον των, πολὺ περισσότερον σύ, ὁ ὁποῖος ἔκαμνες τὰ πάντα χάριν ἐκείνων. Διὰ τοῦτο συντόμως ἦλθεν εἰς αὐτὸν ἡ τιμωρία.

Ἐὰν δὲ κατηγορῇς διὰ τοῦτο, τότε νὰ κατηγορῇς καὶ δι᾿ αὐτοὺς οἱ ὁποῖοι σφάζονται εἰς τὰς ὁδούς, καὶ δι᾿ ἀμετρήτους ἄλλους οἱ ὁποῖοι φονεύονται ἀδίκως, καὶ ἀκόμη διὰ τὰ παιδιὰ τὰ ὁποῖα ἐσφάγησαν κατὰ τὴν νηπιακὴν ἡλικίαν ἐξ αἰτίας τοῦ Χριστοῦ· διότι καὶ διὰ τὸν θάνατον ἐκεῖνον, ὅπως λέγεις ἐσύ, ὁ Χριστὸς ἔγινεν αἴτιος· μᾶλλον ὅμως ὄχι ὁ Χριστός, ἀλλ᾿ ἡ μανία καὶ ἡ θηριωδία τοῦ πατρὸς τοῦ Ἡρώδου. Ἐὰν δὲ λέγῃς, διατί δὲν ἔσωσεν αὐτὸν ἀπὸ τὰ χέρια τοῦ Ἡρώδου, μάθε ὅτι καὶ αὐτὸ ἠμποροῦσε νὰ τὸ κάνῃ,

ἠδύνατο ποιῆσαι, ἀλλ' οὐδὲν ἂν ἐκέρδανον ἀπὸ τούτου. Ποσάκις γοῦν ὁ Χριστὸς ἐκ μέσων αὐτῶν ἐξῆλθε τῶν χειρῶν; τί οὖν τοῦτο ὠφέλησε τοὺς ἀγνώμονας; Ἐνταῦθα μέντοιγε καὶ πολλὴ τοῖς πιστοῖς ὠφέλεια γίνεται ἀπὸ τῶν γεγενημένων· ὑπομνημάτων γὰρ γενομένων, καὶ τῶν ἐχθρῶν αὐτῶν μαρτυρούντων τοῖς πραττομένοις, ἀνύποπτος ἦν ἡ μαρτυρία.

Ὥσπερ οὖν κἀκεῖ οὐδαμόθεν ἄλλοθεν ἀπεστομίσθησαν, ἀλλ' ἢ ἐκ τοῦ τοὺς ἐλθόντας ὁμολογεῖν τὰ γεγενημένα, οὕτω δὴ καὶ ἐνταῦθα. Διὰ τί γὰρ ὁ δεσμοφύλαξ οὐδὲν τοιοῦτον ἐποίησε; καίτοιγε οὐδὲν ἐλάττονα τῶν τούτου τὰ τοῦ Ἡρώδου ἦν. Τοῦ γὰρ ἰδεῖν ἀνεῳγμένας τὰς θύρας, ὅσον εἰς ἐκπλήξεως λόγον οὐδὲν ἔλαττον τὸ μαθεῖν ὅτι κεκλεισμένων αὐτῶν ἐξῆλθεν ὁ δεδεμένος· καίτοι ταῦτα καὶ φαντασία ἔδοξεν ἂν εἶναι μᾶλλον, ἐκεῖνο δὲ οὐκέτι, μετὰ ἀκριβείας ἐπαγγελλόμενον. Ὥστε εἰ καὶ οὗτος οὕτως ἦν πονηρός, ἔσφαξεν ἂν τὸν Παῦλον, καθάπερ ἐκεῖνος τοὺς στρατιώτας· ἀλλ' οὐκ ἦν.

Εἰ δὲ λέγοι τις, διὰ τί καὶ τὰ παιδία συνεχώρησεν ὁ Θεὸς ἀναιρεθῆναι, εἰς μακρότερον ἐμπεσούμεθα λόγον, ὃν ἐν προοιμίοις ἔδει λέγεσθαι πρὸς ὑμᾶς. Τέως δὲ πολλὰ τῇ Παύλου εὐχαριστήσαντες ἁλύσει, καταπαύσωμεν τὸν λόγον, ὅτι τοσούτων ἡμῖν ἀγαθῶν αἰτία γέγονε, παρακαλέσαντες ὑμᾶς μὴ μόνον μὴ δυσχεραίνειν, εἴ τι διὰ Χριστὸν πάθοιτε, ἀλλὰ καὶ χαίρειν ὡς οἱ ἀπόστολοι, καὶ καυχᾶσθαι, ὡς Παῦλος ἔλεγεν· «Ἥδιστα καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου». Διὰ τοῦτο ἤκουσεν, «Ἀρκεῖ σοι ἡ χάρις μου». Παῦλος ἐπὶ δεσμοῖς καυχᾶται, καὶ σὺ ἐπὶ πλούτῳ μέγα φρονεῖς; οἱ ἀπόστολοι ἔχαιρον, ὅτι κατηξιώθησαν μαστιγωθῆναι, καὶ σὺ ἄ-

---

30. Β' Κορ. 12, 9.

ἀλλὰ δὲν θὰ ἐκέρδιζον τίποτε ἀπὸ αὐτό. Πόσας φορὰς λοιπὸν ὁ Χριστὸς ἐξέφυγε μέσα ἀπὸ τὰ χέρια των; Εἰς τί ὠφέλησε λοιπὸν αὐτὸ τοὺς ἀγνώμονας; Ἐδῶ ὅμως πολὺ ὠφελήθησαν οἱ πιστοὶ ἀπὸ τὰ γεγονότα. Εἶχον δοθῇ ἐξηγήσεις καὶ οἱ ἐχθροὶ τῶν φρουρῶν ἐπεβεβαίωναν τὰ γεγονότα, καὶ δὲν ὑπῆρχε καμμία ὑποψία εἰς τὴν μαρτυρίαν.

Ὅπως ἀκριβῶς λοιπὸν καὶ ἐκεῖ ἀπὸ πουθενὰ ἀλλοῦ δὲν ἠμποδίσθησαν, παρὰ ἀπὸ ἐκείνους οἱ ὁποῖοι ἦλθον διὰ νὰ ἐπιβεβαιώσουν τὰ ὅσα εἶχον γίνει, ἔτσι λοιπὸν καὶ ἐδῶ. Διατί λοιπὸν ὁ δεσμοφύλαξ δὲν ἔκανε τίποτε παρόμοιον; μολονότι βέβαια, ὅσα συνέβησαν εἰς τὸν Ἡρώδην, εἰς τίποτε δὲν ἦσαν μικρότερα ἀπὸ ὅσα συνέβησαν εἰς αὐτόν. Διότι ἡ ἔκπληξις ποὺ προκαλεῖται ἀπὸ τὸ νὰ ἴδῃ ἀνοικτὰς τὰς θύρας, δὲν εἶναι εἰς τίποτε μικροτέρα ἀπὸ τὴν ἔκπληξιν τοῦ νὰ μάθῃ ὅτι, ἐνῷ αἱ θύραι ἦσαν κλεισταί, ἐξῆλθεν ὁ φυλακισμένος. Ἂν καὶ αὐτὰ ἦτο δυνατὸν νὰ θεωρηθοῦν καὶ ὡς φαντασία, ἐνῷ ἐκεῖνο καθόλου, ἀφοῦ ἐγνωστοποιήθη μὲ ἀκρίβειαν. Ὥστε, ἐὰν καὶ αὐτὸς ἦτο τόσον πονηρός, θὰ ἦτο δυνατὸν νὰ φονεύσῃ τὸν Παῦλον, ὅπως ἐκεῖνος τοὺς στρατιώτας· ἀλλὰ δὲν ἦτο.

Ἐὰν δὲ ἐρωτήσῃ κάποιος, διατί ἐπέτρεψεν ὁ Θεὸς νὰ φονευθοῦν καὶ τὰ παιδιά, θὰ πέσωμεν εἰς μακρηγορίαν, πρᾶγμα ποὺ ἔπρεπε ἐξ ἀρχῆς νὰ λεχθῇ πρὸς ἐσᾶς. Τώρα, ὅμως, ἀφοῦ εὐχαριστήσωμεν πάρα πολὺ τὸν Παῦλον διὰ τὰ δεσμά, ἂς τελειώσωμεν τὸν λόγον, διότι ἔγινεν αἴτιος τόσων ἀγαθῶν δι' ἐμᾶς, ἀφοῦ σᾶς παρακαλέσωμεν, ὄχι μόνον νὰ μὴ δυσαρεστῆσθε, ἐὰν συμβῇ νὰ πάθετε κάτι διὰ τὸν Χριστόν, ἀλλὰ καὶ νὰ χαίρεσθε, ὅπως οἱ ἀπόστολοι, καὶ νὰ καυχᾶσθε, ὅπως ἔλεγεν ὁ Παῦλος· «Πολὺ εὐχαρίστως λοιπὸν θὰ καυχηθῶ μᾶλλον διὰ τὰς ἀδυναμίας μου»[19]. Διὰ τοῦτο ἤκουσεν ἀπὸ τὸν Θεόν· «Σοῦ εἶναι ἀρκετὴ ἡ χάρις μου»[20]. Ὁ Παῦλος διὰ τὰ δεσμὰ καυχᾶται, καὶ σὺ διὰ τὸν πλοῦτον μεγαλοφρονεῖς; Οἱ ἀπόστολοι ἔχαιρον, διότι κατηξιώθησαν νὰ μαστιγωθοῦν, καὶ σὺ ἐπιδιώκεις ἄνεσιν καὶ ἀπό-

νεσιν ζητεῖς καὶ τρυφήν; Πῶς οὖν θέλεις τῶν αὐτῶν ἐκείνοις τυχεῖν, ἀπεναντίας αὐτοῖς ὁδεύων ἐνταῦθα; «Καὶ νῦν», φησί, «πορεύομαι εἰς Ἱεροσόλυμα δεδεμένος τῷ Πνεύματι, τὰ ἐν αὐτοῖς συναντήσαντά μοι μὴ εἰδώς, πλὴν ὅτι τὸ Πνεῦμά μοι κατὰ πόλιν διαμαρτύρεται λέγον, ὅτι δεσμά με καὶ θλίψεις μένουσι». Τί οὖν ἀπέρχῃ, εἰ δεσμὰ καὶ θλίψεις σε μένουσι; Διὰ τοῦτο αὐτό, φησίν, ἵνα δεσμευθῶ διὰ Χριστόν, ἵνα ἀποθάνω δι' αὐτόν. «Οὐ γὰρ μόνον δεθῆναι, ἀλλὰ καὶ ἀποθανεῖν ἑτοίμως ἔχω ὑπὲρ τοῦ ὀνόματος τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ».

8. Οὐδὲν τῆς ψυχῆς ἐκείνης μακαριώτερον. Ἐν τίσι καυχᾶται; Ἐν δεσμοῖς, ἐν θλίψεσιν, ἐν ἁλύσει, ἐν στίγμασιν. «Ἐγὼ τὰ στίγματα τοῦ Ἰησοῦ Χριστοῦ», φησίν, «ἐν τῷ σώματί μου βαστάζω», καθάπερ τρόπαιόν τι μέγα· καὶ πάλιν, «Ἕνεκεν τοῦ Ἰσραήλ», φησί, «τὴν ἅλυσιν ταύτην περίκειμαι»· καὶ πάλιν, «Ἐν ᾗ πρεσβεύω ἐν ἁλύσει». Τί οὖν ἐστι τοῦτο; οὐκ αἰσχύνῃ, οὐδὲ δέδοικας τὴν οἰκουμένην δεσμώτης περιϊών; οὐ φοβῇ μή τις ἀσθένειαν τοῦ Θεοῦ σου καταγνῷ; μή τις διὰ τοῦτο οὐ μὴ προσέλθῃ; Οὐ τοιαῦτά μου, φησί, τὰ δεσμά· οἶδε καὶ ἐν βασιλείοις λάμπειν. «Ὥστε τοὺς δεσμούς μου», φησί, «φανεροὺς γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ, καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ πεποιθότας τοῖς δεσμοῖς μου περισσοτέρως τολμᾶν ἀφόβως λαλεῖν τὸν λόγον». Ὁρᾷς δεσμῶν ἰσχὺν μᾶλλον ἢ νεκρῶν ἀναστάσεως; Δεδεμένον με εἶδον, καὶ μᾶλλον θαρροῦσιν. Ὅπου γὰρ δεσμά, ἀνάγκη καὶ μέγα τι γενέσθαι ἐκεῖ· ὅπου θλῖψις, πάντως ἐκεῖ καὶ σωτηρία, πάντως ἐκεῖ ἄνεσις, πάντως ἐκεῖ με-

---

31. Πράξ. 20, 22-23.
32. Πράξ. 21, 13.
33. Γαλ. 6, 17.
34. Πράξ. 28, 20.
35. Ἐφεσ. 6, 20.
36. Φιλ. 1, 13-14.

λαυσιν; Πῶς λοιπὸν θέλεις νὰ λάβῃς τὴν ἰδίαν ἀμοιβὴν μὲ ἐκείνους, ὅταν ἐδῶ περιπατῇ εἰς ἀντίθετον ὁδόν; «Καὶ τώρα», λέγει, «δεμένος ἀπὸ τὸ ἅγιον Πνεῦμα, πηγαίνω εἰς τὴν Ἰερουσαλὴμ χωρὶς νὰ γνωρίζω τί θὰ μοῦ συμβῇ ἐκεῖ, παρὰ μόνον ὅτι τὸ ἅγιον Πνεῦμα εἰς κάθε πόλιν μὲ βεβαιώνει ὅτι μὲ περιμένουν φυλακίσεις καὶ θλίψεις»[31]. Διατί λοιπὸν πηγαίνεις, ἀφοῦ σὲ περιμένουν δεσμὰ καὶ θλίψεις; Διὰ τοῦτο ἀκριβῶς, λέγει, διὰ νὰ φυλακισθῶ διὰ τὸν Χριστόν, διὰ ν' ἀποθάνω δι' αὐτόν. Διότι «Εἶμαι πρόθυμος, ὄχι μόνον νὰ δεθῶ, ἀλλὰ καὶ ν' ἀποθάνω διὰ τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ»[32].

8. Τίποτε δὲν ὑπάρχει πιὸ ἀξιομακάριστον ἀπὸ ἐκείνην τὴν ψυχήν. Εἰς ποῖα πράγματα καυχᾶται; Εἰς τὰ δεσμά, εἰς τὰς θλίψεις, εἰς τὰς ἁλυσίδας, εἰς τὰ σημάδια τῶν πληγῶν. «Ἐγὼ βαστάζω», λέγει, «εἰς τὸ σῶμά μου, τὰ σημάδια τοῦ Κυρίου Ἰησοῦ»[33], ὡσὰν κάποιο μεγάλο τρόπαιον· καὶ πάλιν, «Ἐξ αἰτίας τῆς ἐλπίδος τοῦ Ἰσραήλ», λέγει, «εἶμαι δεμένος μὲ τὴν ἁλυσίδα αὐτήν»[34]· καὶ πάλιν· «δεμένος μὲ ἁλυσίδας ἐκτελῶ ἔργον πρεσβευτοῦ»[35]. Τί σημαίνει λοιπὸν αὐτό; Δὲν ἐντρέπεσαι καὶ δὲν φοβεῖσαι νὰ περιέρχεσαι δεμένος τὴν οἰκουμένην; Δὲν φοβεῖσαι μήπως κανεὶς νομίσῃ τὸν Θεόν σου ὡς ἀδυναμίαν; Μήπως κανεὶς δι' αὐτὸ δὲν προσέλθῃ εἰς τὴν πίστιν; Δὲν εἶναι τέτοια λέγει, τὰ δεσμά μου. Γνωρίζει νὰ λάμπῃ καὶ εἰς τὰ βασίλεια. «Ὥστε νὰ γίνῃ γνωστόν», λέγει, «εἰς ὅλον τὸν διοικητήριον καὶ εἰς ὅλους τοὺς λοιπούς, ὅτι εἶμαι εἰς τὴν φυλακὴν χάριν τοῦ Χριστοῦ, καὶ οἱ περισσότεροι ἀπὸ τοὺς ἀδελφοὺς ἐν Κυρίῳ, ἐπῆραν θάρρος ἀπὸ τὴν φυλάκισίν μου καὶ τολμοῦν ἀκόμη περισσότερον νὰ κηρύττουν τὸν λόγον χωρὶς φόβον»[36]. Βλέπεις ὅτι τὰ δεσμὰ ἔχουν μεγαλυτέραν δύναμιν ἀπὸ τὴν ἀνάστασιν τῶν νεκρῶν; Φυλακισμένον μὲ εἶδον, καὶ ἔχουν περισσότερον θάρρος. Διότι ὅπου ὑπάρχουν δεσμά, πρέπει καὶ κάτι μεγάλο νὰ γίνῃ ἐκεῖ· ὅπου θλῖψις, ὁπωσδήποτε ἐκεῖ ὑπάρχει καὶ σωτηρία, ἐκεῖ ἄνεσις, ἐκεῖ μεγάλα κατορθώματα. Διότι ὁ διά-

γάλα κατορθώματα. Ὁ γὰρ διάβολος ὅταν λακτίσῃ, τότε μάλιστα ὁ λόγος ἐπιδίδωσι.

Καὶ θέα πανταχοῦ τοῦτο γινόμενον. Ἐδεσμεύθη καὶ ἐν τῷ δεσμωτηρίῳ ταῦτα εἰργάσατο· «Ἐν αὐτοῖς» γάρ, φησί, «τοῖς δεσμοῖς μου». Ἐδεσμεύθη ἐν Ῥώμῃ, καὶ πλείονας ἐπηγάγετο· οὐ γὰρ αὐτὸς μόνος ἐθάρρει, ἀλλὰ καὶ ἄλλοι πολλοὶ δι' αὐτόν. Ἐδεσμεύθη ἐν Ἱεροσολύμοις, καὶ δεδεμένος δημηγορῶν τὸν βασιλέα κατέπληξε, καὶ τὸν ἄρχοντα εἰς φόβον ἤγαγεν· ἔμφοβος γὰρ γενόμενος ἀπέλυσεν αὐτόν, καὶ οὐκ ᾐσχύνετο παρὰ τοῦ δεδεμένου μανθάνων περὶ τῶν μελλόντων ὁ δήσας αὐτόν. Δεδεμένος ἔπλει, καὶ ναυάγιον ἔλυσε, καὶ τὸν χειμῶνα ἐπέδησεν. Ἐν δεσμοῖς ὄντος αὐτοῦ τὸ θηρίον ἐκεῖνο καθήψατο, καὶ μηδὲν λυμηνάμενον ἐξέπεσεν. Ἐδέθη ἐν Ῥώμῃ, καὶ δεδεμένος δημηγορῶν μυρίους ἐπεσπάσατο, ἀντὶ πάντων τοῦτο αὐτὸ προβαλλόμενος, τὴν ἅλυσιν λέγω.

Ἀλλ' οὐκ ἔστιν ἁλύσει δεθῆναι νῦν. Ἀλλ' ἔστιν ἑτέρα ἅλυσις, ἂν ἐθέλωμεν. Ποία δὴ αὕτη; Τὸ τῆς χειρὸς κρατεῖν, τὸ μὴ πρὸς πλεονεξίαν ἕτοιμον εἶναι. Κἂν ταύτῃ τῇ ἁλύσει δήσωμεν ἑαυτούς· ἀντὶ σιδηρίου γενέσθω ἡμῖν ὁ τοῦ Θεοῦ φόβος. Λύσωμεν τοὺς δεδεμένους ὑπὸ πενίας, ὑπὸ θλίψεως. Οὐκ ἔστιν ἴσον δεσμωτηρίου θύρας ἀνοῖξαι, καὶ ψυχὴν συγκεκλεισμένην ἀφεῖναι· οὐκ ἔστιν ἴσον λῦσαι δεσμὰ δεσμωτῶν δεδεμένων, καὶ τεθραυσμένους ἀπολῦσαι ἐν ἀφέσει. Τοῦτο ἐκείνου μεῖζόν ἐστιν· ἐκείνου μὲν γὰρ οὐδεὶς κεῖται μισθός, τούτου δὲ μυρίοι. Μακρὰ ἡ τοῦ Παύλου γέγονεν ἅλυσις, καὶ ἐπὶ πολὺ κατέσχεν ἡμᾶς· καὶ γάρ ἐστιν ὄντως μακρά, καὶ πάσης σειρᾶς χρυσῆς κοσμιωτέρα. Αὕτη τοὺς δεδεμένους καθάπερ διά τινος μηχανῆς ἕλκει πρὸς τὸν οὐρανόν, καὶ ὥσπερ χρυσῇ σειρὰ ἐξαρτηθεῖσα, ἀνέλκει πρὸς αὐτὸν

87. Φιλιπ. 1, 7.

βολος ὅταν κτυπήσῃ τότε πληγώνεται· ὅταν δέσῃ τοὺς δούλους τοῦ Θεοῦ, τότε περισσότερον καρποφορεῖ ὁ λόγος.

Καὶ πρόσεχε παντοῦ νὰ γίνεται αὐτό. Ἐφυλακίσθη, καὶ εἰς τὴν φυλακὴν ἔκανε αὐτά· διότι «εἰς αὐτήν», λέγει, «τὴν φυλάκισίν μου»[37]. Ἐφυλακίσθη εἰς τὴν Ρώμην καὶ περισσοτέρους προσείλκυσε πρὸς τὸν ἑαυτόν του· διότι ὄχι μόνον αὐτὸς εἶχε θάρρος, ἀλλὰ καὶ ἄλλοι πολλοὶ ἐλάμβανον ἀπὸ αὐτόν. Ἐφυλακίσθη εἰς τὰ Ἱεροσόλυμα, καὶ δεμένος ὁμιλῶν κατέπληξε τὸν βασιλέα καὶ ἐφόβισε τὸν ἄρχοντα· διότι ἐπειδὴ ἐφοβήθη τὸν ἀπέλυσε, καὶ δὲν ἐνετρέπετο νὰ μαθαίνῃ διὰ τὰ μέλλοντα ἀπὸ τὸν δεμένον, αὐτὸς ὁ ὁποῖος τὸν ἔδεσε. Δεμένος ἐταξίδευεν εἰς τὴν θάλασσαν· καὶ ἔσωσε τὸ ναυάγιον καὶ ἔδεσε τοὺς ἀνέμους. Ἐνῷ ἦτο δεμένος τὸν ἐδάγκωσεν ἐκεῖνο τὸ θηρίον, καὶ χωρὶς νὰ τὸν βλάψῃ καθόλου ἔπεσε κάτω. Ἐφυλακίσθη εἰς τὴν Ρώμην, καὶ ὁμιλῶν δεμένος προσείλκυσε χιλιάδας, προβάλλων ἀντὶ ὅλων αὐτό, δηλαδὴ τὴν ἀλυσίδα.

Ἀλλ' ὅμως δὲν εἶναι δυνατὸν σήμερον νὰ δεθῇ κανεὶς μὲ ἀλυσίδα. Ἀλλ' ὑπάρχει ἄλλη ἀλυσὶς ἐὰν θέλωμεν. Ποία λοιπὸν εἶναι αὐτή; Τὸ νὰ συγκρατῶμεν τὰ χέρια μας, νὰ μὴ εἶναι πρόθυμον διὰ πλεονεξίαν. Τοὐλάχιστον μὲ αὐτὴν τὴν ἀλυσίδα ἂς δέσωμεν τοὺς ἑαυτούς μας· σίδηρον ἂς γίνῃ εἰς ἐμᾶς ὁ φόβος τοῦ Θεοῦ. Ἂς λύσωμεν ὅσους εἶναι δεμένοι ἀπὸ πτωχείαν, ἀπὸ θλῖψιν. Δὲν εἶναι τὸ ἴδιον νὰ ἀνοίξῃ κανεὶς θύρας φυλακῆς καὶ νὰ ἀπελευθερώσῃ ψυχὴν κλεισμένην ἀπὸ παντοῦ καὶ στενοχωρουμένην· δὲν εἶναι ἴσον τὸ νὰ λύσῃ κανεὶς δεσμὰ ἀπὸ δεσμώτας, καὶ τὸ νὰ ἐλευθερώσῃ μὲ συγχώρησιν ψυχὴν συντετριμμένην. Αὐτὸ εἶναι μεγαλύτερον ἀπὸ ἐκεῖνο· διότι εἰς ἐκεῖνο μὲν δὲν ὑπάρχει κανεὶς μισθός, ἐνῷ εἰς αὐτὸ ἀμέτρητοι. Μακρὰ ἔγινεν ἡ ἀλυσὶς τοῦ Παύλου καὶ διὰ πολὺ μᾶς ἐκράτησε· καὶ εἶναι πράγματι μακρὰ καὶ πολυτιμωτέρα ἀπὸ κάθε χρυσῆν ἀλυσίδα. Αὐτὴ τοὺς δεμένους σύρει ὡσὰν κάποια μηχανὴ πρὸς τὸν οὐρανόν, καὶ ὡσὰν χρυσῆ ἀλυσὶς κρεμασμένη, ἀναβιβάζει εἰς τὸν

τὸν οὐρανόν· καὶ τὸ δὴ θαυμαστόν, κάτω δοθεῖσα, τοὺς δεδεμένους ἄνω ἕλκει. Καίτοι οὐχ αὕτη τῶν πραγμάτων ἡ φύσις· ἀλλ' ὅταν ὁ Θεὸς οἰκονομῇ, μὴ ζήτει πραγμάτων φύσιν μηδὲ ἀκολουθίαν, ἀλλὰ τὰ ὑπὲρ φύσιν καὶ ἀκολουθίαν.

Μάθωμεν μὴ ἐν ταῖς θλίψεσι καταπίπτειν, μηδὲ δυσχεραίνειν. Ὅρα γὰρ τὸν μακάριον τοῦτον. Μεμαστίγωτο, καὶ μεμαστίγωτο ἰσχυρῶς· «Πολλὰς γὰρ αὐτοῖς», φησίν, «ἐπιθέντες πληγάς»· καὶ ἐδέδετο, καὶ τοῦτο πάλιν ἰσχυρῶς· εἰ γὰρ τὴν ἐσωτέραν φυλακὴν ἐνέβαλεν αὐτόν, καὶ μετὰ πλείονος ἀσφαλείας. Καὶ ἐν τοσούτοις ὤν, κατὰ τὸ μεσονύκτιον, ὅτε καὶ οἱ σφόδρα ἀνειμένοι καθεύδουσιν, ἑτέρου δεσμοῦ χαλεπωτέρου τοῦ ὕπνου ἐπικειμένου, ᾖδον καὶ ὕμνουν τὸν Κύριον.

9. Τί τούτων γένοιτ' ἂν τῶν ψυχῶν ἀδαμαντινώτερον; Ἐνενόουν ὅτι καὶ οἱ παῖδες ἐν πυρὶ ᾖδον καὶ ἐν καμίνῳ· ἴσως ἐλογίζοντο, ὅτι ἡμεῖς οὐδὲν τοιοῦτον οὐδέπω πεπόνθαμεν. Ἀλλὰ καλῶς ποιῶν ὁ λόγος εἰς ἑτέρους ἡμᾶς πάλιν ἐξήνεγκε δεσμοὺς καὶ δεσμωτήριον ἕτερον. Τί πάθω; Βούλομαι σιγῆσαι, ἀλλ' οὐ δύναμαι. Ἕτερον δεσμωτήριον εὗρον ἐκείνου πολλῷ θαυμασιώτερον καὶ ἐκπληκτότερον. Ἀλλά μοι διανάστητε, ὡς νῦν ἀρχομένου τοῦ λόγου, καὶ ἀκμαζούσαις προσέλθετε ταῖς διανοίαις. Βούλομαι διακόψαι τὸν λόγον, καὶ οὐκ ἀνέχεται. Καθάπερ γάρ τις μεταξὺ πίνων οὐκ ἂν ἀνάσχοιτο διακόψαι, κἂν ὁτιοῦν τις ἐπαγγέλληται· οὕτω κἀγὼ τῆς κύλικος ἐπιλαβόμενος τῆς θαυμαστῆς τοῦ δεσμωτηρίου τῶν διὰ Χριστὸν δεδεμένων, οὐ δύναμαι παύσασθαι, οὐ δύναμαι σιγῆσαι. Εἰ γὰρ αὐτὸς ἐν δεσμωτηρίῳ καὶ ἐν νυκτὶ οὐκ ἐσίγησεν, οὐδὲν ἐν μάστιξιν, ἐγὼ σιγήσομαι καθήμενος ἡμέρας οὔσης, μετὰ πολλῆς τῆς ἀνέσεως φθεγ-

---

38. Πράξ. 16, 23.

ἴδιον τὸν οὐρανόν· καὶ τὸ πολὺ θαυμαστόν, ἐνῷ ἐδέθη κάτω, ἕλκει τοὺς δεμένους ἐπάνω. Ἂν καὶ δὲν εἶναι αὐτὴ ἡ φύσις τῶν πραγμάτων· ἀλλ' ὅταν κατευθύνῃ ὁ Θεός, μὴ ζητῇς τὴν φύσιν οὔτε τὰς συνεπείας της, ἀλλ' αὐτὰ τὰ ὁποῖα εὑρίσκονται ἐπάνω ἀπὸ τὴν φύσιν καὶ τὴν νομοτέλειάν της.

Ἂς μάθωμεν νὰ μὴ πίπτωμεν, οὔτε νὰ δυσανασχετοῦμεν εἰς τὰς θλίψεις. Διότι πρόσεχε αὐτὸν τὸν μακάριον. Ἐμαστιγώθη, καὶ ἐμαστιγώθη δυνατά· διότι, «Ἀφοῦ τοὺς ἔδωσαν πολλοὺς ραβδισμούς», λέγει, «καὶ τοὺς ἐγέμισαν πληγάς»[38]· καὶ ἐδέθη, καὶ αὐτὸ πάλιν μὲ σκληρότητα· διότι τὸν ἔρριψαν εἰς τὰ ἐνδότερα τῆς φυλακῆς καὶ μὲ περισσοτέραν ἀπὸ τὴν συνήθη ἀσφάλειαν. Καὶ ἐνῷ εὑρίσκετο εἰς τόσην ταλαιπωρίαν, κατὰ τὸ μεσονύκτιον, ὅταν καὶ αὐτοὶ οἱ ὁποῖοι εὑρίσκονται εἰς πολλὴν ἄνεσιν κοιμοῦνται, ἐπειδὴ ὑπάρχει ἄλλος φοβερώτερος δεσμός, ὁ ὕπνος εἰς τὴν κεφαλήν, αὐτοὶ ἔψαλλον καὶ ὕμνουν τὸν Κύριον.

9. Τί πιὸ ἀδαμάντινον θὰ ἦτο δυνατὸν νὰ ὑπάρξῃ ἀπὸ αὐτὰς τὰς ψυχάς; Ἐσκέπτοντο ὅτι καὶ οἱ τρεῖς παῖδες ἔψαλλον μέσα εἰς τὸ πῦρ καὶ εἰς τὴν κάμινον· ἴσως ἐσκέπτοντο ὅτι ἐμεῖς ἀκόμη δὲν ἐπάθομεν τίποτε τέτοιον. Ἀλλά, καλῶς κάμνων ὁ λόγος, εἰς ἄλλους δεσμοὺς μᾶς ὡδήγησε πάλιν καὶ εἰς ἄλλην φυλακήν. Τί ἔχω πάθει; Θέλω νὰ σιωπήσω, ἀλλὰ δὲν ἠμπορῶ. Εὑρῆκα ἄλλην φυλακήν, πολὺ πιὸ θαυμαστὴν καὶ πιὸ ἐκπληκτικὴν ἀπὸ ἐκείνην. Ἀλλὰ ὀρθώσατε τὴν προσοχήν σας, ὡσὰν ν' ἀρχίζῃ τώρα ὁ λόγος, καὶ προσέλθετε μὲ ἐνδυναμωμένον τὸν νοῦν. Θέλω νὰ διακόψω τὸν λόγον, καὶ δὲν δέχεται. Διότι ὅπως ὅταν κάποιος πίνῃ δὲν θὰ ἐδέχετο νὰ διακόψῃ, ὁ,τιδήποτε καὶ ἂν τοῦ ὑπόσχεται κανείς, ἔτσι καὶ ἐγώ, ἀφοῦ ἐπῆρα τὸ θαυμαστὸν ποτήριον τῆς φυλακῆς τῶν φυλακισμένων διὰ τὸν Χριστόν, δὲν ἠμπορῶ νὰ σταματήσω, δὲν ἠμπορῶ νὰ σιωπήσω. Διότι ἐὰν αὐτὸς μέσα εἰς τὴν φυλακὴν καὶ εἰς τὴν νύκτα δὲν ἐσιώπησεν, οὔτε εἰς τὰς μαστιγώσεις, θὰ σιωπήσω ἐγώ, ἐνῷ κάθομαι καὶ εἶναι ἡμέρα, ὁμιλῶν μὲ πολλὴν ἄνεσιν, πρᾶγμα ποὺ δὲν τὸ ἔπα-

γόμενος, τῶν δεδεμένων, τῶν μεμαστιγωμένων, τῶν ἐν μεσονυκτίῳ τοῦτο μὴ παθόντων; Οἱ παῖδες οὐκ ἐσίγων ἐν καμίνῳ καὶ ἐν πυρί· καὶ ἡμεῖς οὐκ αἰσχυνόμεθα σιγῶντες;

Ἴδωμεν οὖν τοῦτο τὸ δεσμωτήριον. Ἐδέθησαν καὶ ἐνταῦθα· εὐθέως καὶ ἐκ προοιμίων ἐδείκνυτο, ὅτι οὐκ ἔμελλον καίεσθαι, ἀλλ' ὡς εἰς δεσμωτήριον εἰσιέναι. Τί γὰρ δεσμεῖς τοὺς μέλλοντας ἐμπυρίζεσθαι; Ἐδέθησαν, καθὼς Παῦλος, καὶ πόδας καὶ χεῖρας· ἐδέθησαν μετὰ τοσούτου θυμοῦ. Καὶ γὰρ ἐκεῖνος εἰς τὴν ἐσωτέραν ἔβαλε φυλακήν, καὶ οὗτος ἐπὶ πολὺ καῆναι τὴν κάμινον ἐκέλευσεν. Ἀλλ' ἴδωμεν τὰ μετὰ ταῦτα. Ὑμνούντων ἐκείνων ἐσείετο τὸ δεσμωτήριον, καὶ ἀνεῴχθησαν αἱ θύραι· καὶ τούτων ὑμνούντων ἐλύθη τὰ δεσμὰ καὶ τῶν ποδῶν καὶ τῶν χειρῶν. Ἀνεῴχθη τὸ δεσμωτήριον, καὶ ἀνεῴχθησαν αἱ θύραι τῆς καμίνου· δρόσος γὰρ Πνεύματος διεσύριζεν.

Ἀλλ' ὅμως· πολλά με περιρρεῖ· οὐκ οἶδα ποῖον πρῶτον εἴπω, ποῖον δεύτερον. Διὸ παρακαλῶ, μή με τάξιν τις ἀπαιτείτω· πολλὴ γὰρ ἡ συγγένεια τῶν πραγμάτων. Ἐλύθησαν οἱ συνδεδεμένοι αὐτοῖς, ἀλλ' ἐκάθευδον· ἐνταῦθα δὲ ἀντὶ τούτου γέγονεν ἕτερόν τι· κατεκάησαν οἱ ἐμβαλόντες αὐτούς. Ἀλλ' ὅπερ ἐβουλόμην εἰπεῖν, εἶδε λελυμένους, καὶ προσέπεσεν αὐτοῖς· ὁ βασιλεὺς ἤκουσεν ὑμνούντων, καὶ τέσσαρας εἶδε περιπατοῦντας, καὶ ἐκάλεσεν αὐτούς. Καθάπερ οὖν ὁ Παῦλος οὐκ ἂν ἐξῆλθε, καίτοι δυνάμενος, ἕως ὁ ἐμβαλὼν ἐκάλεσεν αὐτὸν καὶ ἐξήγαγεν, οὕτως οὐδὲ οἱ τρεῖς παῖδες ἐξῆλθον, ἕως οὗ ὁ ἐμβαλὼν ἐξελθεῖν ἐκέλευσε. Τί ἀπὸ τούτου παιδευόμεθα; Μὴ σπεύδειν ἐν ταῖς ἐπαγωγαῖς, μηδὲ ἐπείγεσθαι ἐν ταῖς θλίψεσι, μηδὲ πάλιν λυόντων ἐμμένειν. Ἀλλ' οὗτος μὲν προσέπεσε· καὶ γὰρ εἰσελθεῖν ἠδύνατο, ἔνθα ἦσαν

θον οἱ δεμένοι, οἱ μαστιγωμένοι, οἱ ἀγρυπνοῦντες τὸ μεσονύκτιον; Οἱ παῖδες δὲν ἐσιώπων μέσα εἰς τὸ πῦρ καὶ εἰς τὴν κάμινον, καὶ ἐμεῖς δὲν θὰ ἐντραπῶμεν νὰ σιωπήσωμεν.

Ἂς ἴδωμεν λοιπὸν αὐτὴν τὴν φυλακήν. Ἐδέθησαν καὶ ἐδῶ· εἰς τὴν ἀρχὴν ἐφαίνετο ὅτι δὲν ἐπρόκειτο νὰ καοῦν, ἀλλὰ μόνον εἰς τὴν φυλακὴν θὰ κλεισθοῦν. Διότι διατί δένεις αὐτοὺς οἱ ὁποῖοι πρόκειται νὰ ριφθοῦν εἰς τὴν φωτιάν; Ἐδέθησαν, ὅπως ὁ Παῦλος, καὶ εἰς τὰ πόδια καὶ εἰς τὰ χέρια· ἐδέθησαν μὲ τόσον θυμόν. Διότι καὶ ἐκεῖνος εἰς τὸ ἐσωτερικὸν τῆς φυλακῆς τοὺς ἔρριψε, καὶ αὐτὸς διέταξε νὰ ἀναφθῇ δυνατὴ φωτιὰ εἰς τὴν κάμινον. Ἀλλ' ἂς ἴδωμεν τὴν συνέχειαν. Ἐνῷ ὕμνουν ἐκεῖνοι, ἐσείετο τὸ δεσμωτήριον, καὶ ἠνοίχθησαν αἱ θύραι· καὶ εἰς αὐτοὺς ἐνῷ ὕμνουν ἐλύθησαν τὰ δεσμὰ καὶ τῶν ποδιῶν καὶ τῶν χεριῶν. Ἠνοίχθη ἡ φυλακή, καὶ ἠνοίχθησαν αἱ θύραι τῆς καμίνου· διότι ἡ δρόσος τοῦ Πνεύματος ἐσφύριζε συνεχῶς καὶ ἐντόνως.

Ἀλλὰ πολλὰ μὲ κυκλώνουν· δὲν γνωρίζω ποῖον νὰ εἴπω πρῶτον καὶ ποῖον δεύτερον. Διὰ τοῦτο παρακαλῶ, ἂς μὴ ζητῇ κανεὶς ἀπὸ ἐμένα τάξιν· διότι ἔχουν στενὴν συγγένειαν τὰ πράγματα. Ἐλύθησαν ὅσοι εἶχον δεθῆ μαζὶ μὲ αὐτούς, ἀλλ' ἐκοιμῶντο· ἐδῶ ὅμως ἀντὶ τούτου ἔγινε κάτι ἄλλο· κατεκάησαν αὐτοὶ οἱ ὁποῖοι τοὺς ἔρριψαν εἰς τὸ πῦρ. Ἀλλ' αὐτὸ τὸ ὁποῖον ἤθελον νὰ εἴπω, αὐτὸς τοὺς εἶδε λυμένους καὶ ἔπεσεν εἰς τὰ πόδια των· ὁ βασιλεὺς τοὺς ἤκουσε νὰ ὑμνοῦν καὶ εἶδε τέσσαρας νὰ περιπατοῦν, καὶ τοὺς ἐκάλεσεν. Ὅπως ἀκριβῶς λοιπὸν ὁ Παῦλος δὲν ἐξῆλθεν, ἕως ὅτου, ἐκεῖνος ὁ ὁποῖος τὸν ἔβαλε φυλακήν, τὸν ἐκάλεσε καὶ τὸν ἔβγαλεν, ἔτσι οὔτε οἱ τρεῖς παῖδες ἐβγῆκαν, ἕως ὅτου ἐκεῖνος, ὁ ὁποῖος τοὺς ἔρριψεν εἰς τὴν κάμινον, προσέταξε. Τί διδασκόμεθα ἀπὸ αὐτό; Νὰ μὴ σπεύδωμεν εἰς τὰς προσκλήσεις, οὔτε νὰ βιαζώμεθα εἰς τὰς θλίψεις, ἀλλ' οὔτε νὰ ἐπιμένωμεν ἐνῷ μᾶς ἐλευθερώνουν. Ἀλλ' αὐτὸς μὲν προσεκύνησεν· διότι ἠμποροῦσε καὶ νὰ εἰσέλθῃ ἐκεῖ ὅ-

οἱ ἅγιοι· ἐκεῖνος δὲ πρὸς τὴν θύραν ἐλθών· οὐ γὰρ ἐτόλμα προσελθεῖν εἰς τὸ δεσμωτήριον τὸ ἔνδον, ὅπερ αὐτοῖς διὰ τοῦ πυρὸς κατεσκεύασε.

Καὶ θέα μοι τὰ ῥήματα. Οὗτός φησι· «Κύριοι, τί με δεῖ ποιεῖν ἵνα σωθῶ;»· ἐκεῖνος οὐ μετὰ τοσαύτης μὲν ταπεινοφροσύνης, οὐκ ἔλαττον δὲ φωνὴν ἡδίω ἀφῆκε, «Σεδράχ, Μισάκ, Ἀβδεναγώ, οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε, καὶ δεῦτε». Μεγάλη ἡ τιμή· «Οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου, ἐξέλθετε καὶ δεῦτε». Πῶς ἐξέλθωσιν, ὦ βασιλεῦ; Δεδεμένους ἐνέβαλες τῷ πυρί, τοσοῦτον ἐνεχρόνισαν τῷ πυρὶ χρόνον. Εἰ γὰρ ἀδαμάντινοι ἦσαν, εἰ γὰρ ὕλαι μεταλλικαί, τὸν ὕμνον λέγοντες ἐκεῖνον ἅπαντα οὐκ ἂν ἀπώλοντο; Διὰ τοῦτο μὲν οὖν ἐσώθησαν, ὅτι ὕμνουν· ᾐδέσθη τὴν προθυμίαν αὐτῶν τὸ πῦρ, ὕστερον ᾐδέσθη καὶ τὴν ᾠδὴν τὴν θαυμαστὴν ἐκείνην καὶ τοὺς ὕμνους.

Πῶς αὐτοὺς καλεῖς; προλαβὼν εἶπον, «Οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου»· τοῖς γὰρ τοῦ Θεοῦ δούλοις πάντα δυνατά. Εἰ γὰρ ἀνθρώπων εἰσὶ δοῦλοί τινες, καὶ ἐν τοῖς ἐκείνων οὐχ ἧττον ἰσχύουσι καὶ κρατοῦσι καὶ διατάττονται, πολλῷ μᾶλλον οἱ τοῦ Θεοῦ δοῦλοι. Τὴν ἡδίστην φωνὴν ἐκάλεσεν· ᾔδει τούτῳ μάλιστα κολακεύων αὐτούς. Εἰ γὰρ ἵνα δοῦλοι τοῦ Θεοῦ μένωσιν, εἰς πῦρ ἐνέβησαν, οὐκ ἦν αὐτοῖς ἑτέρα φωνὴ ταύτης ἡδίων· οὐκ ἄν, εἰ βασιλεῖς αὐτοὺς ἐκάλεσεν, οὐκ ἄν, εἰ τῆς οἰκουμένης δεσπότας, οὕτως ἂν αὐτοὺς ἦσεν, ὡς ὅτε εἶπεν, «Οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου». Καὶ τί θαυμάζεις; Τῇ γὰρ μεγάλῃ πόλει τῇ κρατούσῃ τῆς οἰκουμένης καὶ μέγα φρονούσῃ ἐπ' ἀξιώμασιν, ὡς ἀντίρροπον πρὸς ἀξίαν, μᾶλλον δὲ πολλῷ μεῖζον καὶ ἀσυγκρίτως μεῖζον καὶ ὑπατείας καὶ βασιλείας καὶ τῆς ἀρχῆς τῆς οἰκου-

---

39. Δαν. 3, 28.

που ἦσαν οἱ ἅγιοι· ἐκεῖνος ὅμως ἦλθε πρὸς τὴν θύραν· διότι δὲν ἐτόλμα νὰ προσέλθῃ εἰς τὸ ἐσωτερικὸν τῆς φυλακῆς, τὴν ὁποίαν εἶχεν ἑτοιμάσει διὰ νὰ τοὺς καύσῃ.

Καὶ πρόσεξε σὲ παρακαλῶ τοὺς λόγους. Αὐτὸς λέγει. «Κύριοι, τί πρέπει νὰ κάνω διὰ νὰ σωθῶ;». Ἐκεῖνος, βέβαια ὄχι μὲ τόσην ταπεινοφροσύνην, ἀλλ' ὄχι καὶ μὲ ὀλιγώτερον γλυκεῖαν φωνὴν εἶπε, «Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, δοῦλοι τοῦ ὑψίστου Θεοῦ, ἐξέλθετε καὶ πλησιάσατε»[39]. Μεγάλη ἦτο ἡ τιμή· «δοῦλοι τοῦ ὑψίστου Θεοῦ, ἐξέλθετε καὶ πλησιάσατε». Πῶς νὰ ἐξέλθουν, βασιλεῦ; Δεμένους τοὺς ἔβαλες μέσα εἰς τὸ πῦρ, τόσον χρόνον ἔμειναν μέσα εἰς τὴν φωτιάν. Ἐὰν λοιπὸν ἦσαν ἀδαμάντινοι, ἐὰν ἦσαν ἀπὸ μέταλλον δὲν θὰ ἠφανίζοντο ἕως ὅτου νὰ ἔλεγον ὁλόκληρον ἐκεῖνον τὸν ὕμνον; Διὰ τοῦτο λοιπὸν ἐσώθησαν, διότι ὕμνουν. Ἐσεβάσθη τὴν προθυμίαν των τὸ πῦρ, ὕστερον ἐσεβάσθη καὶ τὸν θαυμάσιον ὕμνον ἐκεῖνον καὶ τὰς ψαλμῳδίας.

Πῶς τοὺς ὀνομάζεις αὐτούς; Ὅπως προηγουμένως εἶπον, «δοῦλοι τοῦ ὑψίστου Θεοῦ»· διότι εἰς τοὺς δούλους τοῦ Θεοῦ τὰ πάντα εἶναι δυνατά. Διότι ἐὰν ὑπάρχουν ὡρισμένοι δοῦλοι ἀνθρώπων, οἱ ὁποῖοι καὶ εἰς τὰ πράγματα ἐκείνων ἠμποροῦν ὄχι ὀλιγώτερον νὰ ἐξουσιάζουν καὶ νὰ διατάσσουν, πολὺ περισσότερον οἱ δοῦλοι τοῦ Θεοῦ. Μὲ τὴν γλυκυτάτην προσφώνησιν τοὺς ἐκάλεσε· ἐγνώριζε πάρα πολὺ μὲ αὐτὸ νὰ τοὺς κολακεύῃ. Διότι ἐὰν διὰ νὰ μείνουν δοῦλοι τοῦ Θεοῦ εἰσῆλθον εἰς τὸ πῦρ, δὲν ὑπῆρχε δι' αὐτοὺς γλυκυτέρα προσφώνησις ἀπὸ αὐτήν· οὔτε ἐὰν τοὺς ἀπεκάλει βασιλεῖς, οὔτε κυρίους τῆς οἰκουμένης θὰ τοὺς ἐπῄνει τόσον, ὅσον ὅταν εἶπε· «δοῦλοι τοῦ ὑψίστου Θεοῦ». Καὶ διατί ἀπορεῖς; Ἀφοῦ καὶ ὁ Παῦλος εἰς τὴν μεγάλην πόλιν, ἡ ὁποία ἐπεκράτει εἰς ὅλην τὴν οἰκουμένην, καὶ ἦτο ὑπερήφανος διὰ τὰ ἀξιώματα, ὡσὰν νὰ ἤθελε νὰ δώσῃ ἰσορροπίαν εἰς τὸ ἀντίθετον μέρος τῆς πλάστιγγος, μᾶλλον δὲ πολὺ περισσότερον καὶ ἀσυγκρίτως μεγαλύτερον καὶ ἀπὸ τὴν ὑπατείαν καὶ ἀπὸ τὴν βασιλείαν καὶ ἀπὸ τὴν ἐξουσίαν ὅλης τῆς

μένης, ὁ Παῦλος τοῦτο τέθεικε γράφων· «Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ». «Οἱ δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου». Εἰ γὰρ τοσαύτην, φησί, ποιοῦνται σπουδήν, ὥστε δοῦλοι εἶναι, πάντως τούτῳ πείσομεν αὐτούς.

10. Ὅρα τοίνυν καὶ τὴν εὐλάβειαν τῶν παίδων. Οὐκ ἠγανάκτησαν, οὐκ ὠργίσθησαν, οὐδὲ ἀντεῖπον, ἀλλ' ἐξῆλθον. Εἰ γὰρ τιμωρίαν τὸ πρᾶγμα ἐνόμιζον, τὸ ἐμπεσεῖν εἰς τὴν κάμινον, κἂν ἤλγησαν πρὸς τὸν ἐμβαλόντα· νῦν δὲ οὐδὲν τούτων, ἀλλ' ὡς ἐξ αὐτοῦ προϊόντες τοῦ οὐρανοῦ, οὕτω προήεσαν. Καὶ ὃ περὶ τοῦ ἡλίου φησὶν ὁ προφήτης, ὅτι «Ὡς νυμφίος ἐκπορευόμενος ἐκ παστοῦ αὐτοῦ», τοῦτο καὶ περὶ τούτων εἰπών τις οὐκ ἂν ἁμάρτοι. Ἀλλὰ τούτου οὕτως ἐκπορευομένου ἐκεῖνοι τότε λαμπρότερον ἐξεπορεύοντο. Οὗτος μὲν γὰρ ἐξεπορεύετο τὴν οἰκουμένην φωτίζων τῷ αἰσθητῷ φωτί, ἐκεῖνοι δὲ τὴν οἰκουμένην φωτίζοντες ἑτέρως, νοητῶς λέγω. Διὰ γὰρ αὐτοὺς εὐθέως διάταγμα ἔπεμπεν ὁ βασιλεὺς ταῦτα ἔχον τὰ ῥήματα· «Ἤρεσεν ἐναντίον ἐμοῦ, τὰ σημεῖα καὶ τὰ τέρατα, ἃ ἐποίησεν ὁ Θεός, δηλῶσαι ὑμῖν, ὡς μεγάλα καὶ ἰσχυρά».

Ὥστε λαμπροτέραν ἐξῄεσαν ἀφιέντες ἀκτῖνα, φαιδρὰν μὲν οὖσαν καὶ ἐν αὐτοῖς τοῖς χωρίοις, μάλιστα δὲ πανταχοῦ ἐκταθῆναι δυναμένην διὰ τῶν γραμμάτων τῶν βασιλικῶν, καὶ λῦσαι τὸ πανταχοῦ τεταμένον σκότος. «Ἐξέλθετε, καὶ δεῦτε». Οὐκ ἐτόλμησε σβέσαι τὴν κάμινον, ἀλλὰ καὶ τούτῳ μάλιστα αὐτοὺς ἐτίμησε, τῷ πιστεῦσαι, ὅτι δυνήσονται μὴ μόνον ἔνδον περιπατεῖν, ἀλλὰ καὶ καιομένης αὐτῆς ἐξελθεῖν. Ἴδωμεν δέ, εἰ δοκεῖ, καὶ τοῦ δεσμοφύλακος τὰ ῥήματα.

---

40. Ρωμ. 1, 1.
41. Ψαλμ. 18, 6.
42. Δαν. 3, 32-33.

οἰκουμένης, αὐτὸ ἔγραψε, «Παῦλος δοῦλος Ἰησοῦ Χριστοῦ»[40]. «Οἱ δοῦλοι τοῦ ὑψίστου Θεοῦ». Διότι ἐάν, λέγει, δείχνουν τόσην προθυμίαν ὥστε νὰ εἶναι δοῦλοι τοῦ Θεοῦ, ὁπωσδήποτε τότε μὲ αὐτὸ θὰ τοὺς πείσωμεν.

10. Πρόσεχε λοιπὸν καὶ τὴν εὐλάβειαν τῶν παίδων. Δὲν ἠγανάκτησαν, οὔτε ὠργίσθησαν, οὔτε προέβαλον ἀντίρρησιν, ἀλλ' ἐξῆλθον. Ἐὰν λοιπὸν ἐθεώρουν ὡς βάσανον τὸ πρᾶγμα, τοὐλάχιστον θὰ εἶχον παράπονον δι' ἐκεῖνον ὁ ὁποῖος τοὺς ἔβαλε εἰς τὴν κάμινον· τώρα ὅμως τίποτε ἀπὸ αὐτά, ἀλλ' ὡσὰν νὰ προήρχοντο ἀπὸ τὸν ἴδιον τὸν οὐρανόν, ἔτσι προσῆλθον. Καὶ αὐτὸ ποὺ λέγει ὁ προφήτης διὰ τὸν ἥλιον, ὅτι «ὁμοιάζει μὲ νυμφίον λαμπροφορεμένον, ὁ ὁποῖος ἐξέρχεται ἀπὸ τὸν νυφικόν του θάλαμον»[41], ἐὰν τὸ εἴπῃ κανεὶς καὶ δι' αὐτούς, δὲν θ' ἀστοχήσῃ. Ἀλλ' ἐκεῖνοι ἐξήρχοντο τότε λαμπρότερον ἀπὸ ὅσον ὁ ἥλιος. Διότι αὐτὸς ἐξέρχεται διὰ νὰ φωτίζῃ τὴν οἰκουμένην μὲ τὸ αἰσθητὸν φῶς, ἐνῷ ἐκεῖνοι διὰ νὰ φωτίζουν τὴν οἰκουμένην κατὰ τρόπον διαφορετικόν, δηλαδὴ νοητῶς. Διὰ τοῦτο ἀπέστελλεν ἀμέσως διάταγμα δι' αὐτοὺς ὁ βασιλεύς, τὸ ὁποῖον περιεῖχεν αὐτοὺς τοὺς λόγους· «Ἤρεσεν εἰς ἐμὲ νὰ ἀναγγείλω εἰς σᾶς τὰ σημεῖα καὶ τὰ θαυμάσια τὰ ὁποῖα ὁ ὕψιστος Θεὸς ἔκανεν εἰς ἐμένα. Πόσον μεγάλα εἶναι τὰ σημεῖά του καὶ πόσον ἰσχυρὰ τὰ θαυμάσιά του!»[42].

Ὥστε ἐξῆλθον ἐκπέμποντες λαμπρότερον φῶς, τὸ ὁποῖον ἤστραπτε, καὶ ἠδύνατο νὰ ἐξαπλωθῇ καὶ εἰς αὐτὰ τὰ χωρία καὶ παντοῦ διὰ τοῦ βασιλικοῦ γράμματος καὶ νὰ διαλύσῃ τὸ σκότος τὸ ὁποῖον εἶχεν ἁπλωθῇ παντοῦ. «Ἐξέλθετε καὶ πλησιάσατε». Δὲν ἐτόλμησε νὰ σβήσῃ τὴν κάμινον, ἀλλὰ καὶ μὲ αὐτὸ πάρα πολὺ τοὺς ἐτίμησε, μὲ τὸ νὰ πιστεύσῃ δηλαδή, ὅτι θὰ δυνηθοῦν ὄχι μόνον μέσα νὰ περιπατοῦν, ἀλλὰ καὶ ἐνῷ ἔκαιε νὰ ἐξέλθουν. Ἂς ἴδωμεν δέ, ἐὰν θέλετε, καὶ τοὺς λόγους τοῦ δεσμοφύλακος.

«Κύριοι, τί με δεῖ ποιεῖν, ἵνα σωθῶ;». Τί ταύτης τῆς φωνῆς ἥδιον; Αὕτη σκιρτᾶν ἀγγέλους ποιεῖ· ἵνα ταύτην ἀκούσῃ τὴν φωνήν, καὶ δοῦλος ἐγένετο ὁ τοῦ Θεοῦ μονογενής· ταύτην πρὸς Πέτρον ἔλεγον τὴν φωνὴν οἱ παρὰ τὴν ἀρχὴν πιστεύσαντες· «Τί ποιήσομεν, ἵνα σωθῶμεν;». Καὶ τί φησι; «Πιστεύσατε, καὶ βαπτίσθητε». Ἡδέως ἂν καὶ εἰς γέενναν ἐνέπεσεν ὁ Παῦλος, ὥστε ταύτην ἀκοῦσαι τὴν φωνὴν παρὰ Ἰουδαίων, δι' ἐπιθυμίαν σωτηρίας καὶ ὑπακοῆς αὐτῶν. Ὅρα δέ· τὸ πᾶν αὐτοῖς ἐπιτρέπει, οὐδὲν περιεργάζεται. Ἀλλ' ἴδωμεν τὰ μετὰ ταῦτα.

Οὗτος οὐ λέγει, ἵνα σωθῶ, ἀλλὰ τρανοτέρα πάσης φωνῆς ἡ διδασκαλία γέγονε· καὶ εὐθέως γίνεται κῆρυξ. Οὐ δεῖται κατηχηθῆναι, καθάπερ ὁ δεσμοφύλαξ, ἀλλὰ τί; Ἀνακηρύττει τὸν Θεόν, καὶ ὁμολογεῖ τὴν δύναμιν. «Ἐπ' ἀληθείας οἶδα, ὅτι ὁ Θεὸς ὑμῶν αὐτός ἐστι Θεὸς τῶν θεῶν, καὶ Κύριος τῶν κυρίων· ὅτι ἐξαπέστειλε τὸν ἄγγελον αὐτοῦ, καὶ ἐρρύσατο ὑμᾶς ἀπὸ τῆς καμίνου». Καὶ τί μετὰ ταῦτα; Οὐχ εἷς δεσμοφύλαξ, ἀλλὰ πολλοὶ κατηχοῦνται διὰ τῶν γραμμάτων τῶν βασιλικῶν, διὰ τῆς θέας τῶν πραγμάτων. Ὅτι γὰρ οὐκ ἂν ἐψεύσατο ὁ βασιλεύς, παντί που δῆλον· οὐ γὰρ ἂν ἠθέλησε τοιαῦτα τοῖς αἰχμαλωτισθεῖσι μαρτυρῆσαι, οὐδὲ τὰ αὐτοῦ καταβαλεῖν· οὐκ ἂν ἠθέλησε τοσαύτης ἀνοίας δόξαν λαβεῖν. Ὥστε εἰ μὴ πολλὴ τῆς ἀληθείας ἡ περιφάνεια, οὐκ ἂν τοιαῦτα ἔγραψε, καὶ τοσούτων παρόντων. Ὁρᾶτε πόση τῶν δεσμῶν ἡ δύναμις; πόση τῆς ὑμνῳδίας τῆς ἐν θλίψει ἡ ἰσχύς; Οὐκ ἀπηγόρευσαν, οὐδὲ ἀνέπεσον, ἀλλὰ τότε σφοδροὶ ἦσαν, τότε πλείων ἡ προθυμία, εἰκότως.

11. «Ταῦτα ἐννοοῦντες· ἔτι ἓν ὑπολείπεται· διὰ τί ἐν μὲν τῷ δεσμωτηρίῳ οἱ δεδεμένοι ἐλύθησαν, ἐν δὲ τῇ καμίνῳ

---

43. Πράξ. 2, 37-38.
44. Δαν. 3, 28.

«Κύριοι, τί πρέπει νὰ κάνω διὰ νὰ σωθῶ;». Τί εἶναι πιὸ εὐχάριστον ἀπὸ αὐτοὺς τοὺς λόγους; Αὐτὰ κάνουν τοὺς ἀγγέλους νὰ σκιρτοῦν· διὰ ν' ἀκούσῃ αὐτοὺς τοὺς λόγους, καὶ δοῦλος ἔγινεν ὁ μονογενὴς Υἱὸς τοῦ Θεοῦ· αὐτοὺς τοὺς λόγους ἔλεγον πρὸς τὸν Πέτρον καὶ ἐκεῖνοι οἱ ὁποῖοι ἐπίστευσαν εἰς τὴν ἀρχήν· «τί πρέπει νὰ κάνωμεν, διὰ νὰ σωθῶμεν;»[42]. Καὶ τί λέγει; «Μετανοήσατε καὶ βαπτισθῆτε»[43]. Εὐχαρίστως θὰ ἔπιπτε καὶ μέσα εἰς τὴν γέενναν ὁ Παῦλος, διὰ ν' ἀκούσῃ αὐτοὺς τοὺς λόγους ἀπὸ τοὺς Ἰουδαίους, ἀπὸ ἐπιθυμίαν νὰ πιστέψουν καὶ νὰ σωθοῦν. Πρόσεχε δέ· τὰ πάντα ἐπιτρέπει εἰς αὐτούς, τίποτε δὲν ἐξετάζει. Ἀλλ' ἂς ἴδωμεν τὰ μετὰ ἀπὸ αὐτά.

Αὐτὸς δὲν λέγει, διὰ νὰ σωθῶ, ἀλλὰ ἀπὸ κάθε λόγον σαφεστέρα ἔγινεν ἡ διδασκαλία· καὶ ἀμέσως γίνεται κῆρυξ. Δὲν χρειάζεται νὰ κατηχηθῇ, ὅπως ὁ δεσμοφύλαξ, ἀλλὰ τί; Κηρύσσει τὸν Θεὸν καὶ ὁμολογεῖ τὴν δύναμίν του. «Ἀληθῶς ἐγνώρισα ὅτι ὁ Θεός σας εἶναι Θεὸς τῶν θεῶν, καὶ Κύριος τῶν κυρίων, ὁ ὁποῖος ἔστειλε τὸν ἄγγελόν του καὶ σᾶς ἔσωσεν ἀπὸ τὴν κάμινον»[44]. Καὶ τί ἔγινε μετὰ ἀπὸ αὐτά; Ὄχι ἕνας δεσμοφύλαξ, ἀλλὰ πολλοὶ κατηχοῦνται διὰ τοῦ βασιλικοῦ γράμματος, διὰ τοῦ ὅτι εἶδον τὰ ὅσα ἔγιναν. Διὰ τὸ ὅτι δὲ δὲν θὰ ἐψεύδετο ὁ βασιλεύς, ἀπὸ παντοῦ εἶναι φανερόν· διότι δὲν θὰ ἤθελε νὰ ἐπιβεβαιώσῃ τέτοια πράγματα δι' ἐκείνους τοὺς ὁποίους εἶχεν αἰχμαλωτίσει, οὔτε νὰ μειώσῃ τὰ ἰδικά του· οὔτε θὰ ἤθελε νὰ ἀποκτήσῃ φήμην τόσης ἀνοησίας. Ὥστε ἐὰν δὲν ἦτο τόσον ἐμφανὴς ἡ ἀλήθεια, δὲν θὰ ἔγραφεν αὐτὰ καὶ τὴν στιγμὴν μάλιστα ποὺ ἦσαν τόσοι ἄνθρωποι παρόντες. Βλέπετε πόση εἶναι ἡ δύναμις τῶν δεσμῶν; Πόση ἡ δύναμις τῆς ὑμνῳδίας μέσα εἰς τὴν θλῖψιν; Δὲν ἐπτοήθησαν, οὔτε ὀλιγοψύχησαν, ἀλλὰ τότε ἦσαν δυνατοί, τότε ἦτο μεγαλυτέρα ἡ προθυμία, καὶ κατὰ πολὺ φυσικὸν λόγον.

11. Αὐτὰ τὰ κατενοήσαμεν· ὑπολείπεται ἀκόμη ἕνα· διατί εἰς μὲν τὴν φυλακὴν οἱ φυλακισμένοι ἐλύθησαν, ἐνῷ εἰς

οἱ ἐμβαλόντες κατεκάησαν; Καίτοιγε ἐχρῆν τὸν βασιλέα τοῦτο παθεῖν· οὐ γὰρ οἱ δεσμοῦντες, οὐδὲ οἱ ἐμβάλλοντες τοσοῦτον ἥμαρτον, ὅσον ὁ κελεύων τοῦτο γενέσθαι. Τίνος οὖν ἕνεκεν ἐκεῖνοι ἀπώλοντο; Ἐνταῦθα οὐ πολλή τις χρεία τῆς ἀκριβολογίας. Ἀσεβεῖς γὰρ ἦσαν· διὰ τοῦτο ᾠκονόμητο, ἵνα δειχθῇ τοῦ πυρὸς ἡ ἰσχύς, καὶ μεῖζον τὸ θαῦμα γένηται· εἰ γὰρ τοὺς ἔξω οὕτω κατέφαγεν, οὓς ἔνδον εἶχε, πῶς ἀπαθεῖς ἐδείκνυ; ἵνα δήλη γένηται ἡ τοῦ Θεοῦ δύναμις. Καὶ μηδεὶς θαυμαζέτω, εἰ τὸν βασιλέα ἐν τάξει τοῦ δεσμοφύλακος ἔθηκα· τὸ γὰρ αὐτὸ εἰργάσατο. Οὐδὲν γὰρ οὗτος ἐκείνου λαμπρότερος ἦν· ἀπώναντο γὰρ ἀμφότεροι. Ἀλλ', ὅπερ ἔφην, ὅτι ἐν ταῖς θλίψεσιν ὄντες οἱ δίκαιοι, τότε μάλιστά εἰσι σφοδρότεροι, ὅταν ἐν δεσμοῖς ὦσι. Τὸ γὰρ διὰ Χριστόν τι παθεῖν, πάσης παραμυθίας ἥδιον. Βούλεσθε ὑπομνήσω ὑμᾶς καὶ ἑτέρου δεσμωτηρίου; Ἀναγκαῖον ἀπὸ τῆς ἁλύσεως ταύτης ἐφ' ἕτερον ἐλθεῖν δεσμωτήριον.

Τὸ ποῖον βούλεσθε; τὸ τοῦ Ἱερεμίου; ἢ τὸ τοῦ Ἰωσήφ; ἢ τὸ Ἰωάννου; Χάρις τῇ Παύλου ἁλύσει· πόσα ἀνέῳξε τῷ λόγῳ δεσμωτήρια; Τὸ Ἰωάννου βούλεσθε; Ἐδέθη καὶ οὗτός ποτε διὰ τὸν Χριστὸν καὶ τὸν τοῦ Θεοῦ νόμον. Τί οὖν; ἄρα ἤργει ἐν τῷ δεσμωτηρίῳ ὤν; οὐχὶ δὲ ἐκεῖθεν πέμψας ἐκ τοῦ δεσμωτηρίου ἔλεγε τοῖς μαθηταῖς αὐτοῦ, «Πορευθέντες εἴπατε τῷ Χριστῷ, σὺ εἶ ὁ ἐρχόμενος ἢ ἕτερον προσδοκῶμεν;». Καὶ ἐκεῖ ὢν ἐδίδασκεν· οὐ γὰρ δὴ ἠμέλει. Ἀλλ' Ἱερεμίας οὐχὶ προεφήτευσε περὶ τοῦ Βαβυλωνίου, πάντα τὰ αὐτοῦ καὶ ἐκεῖ ποιῶν; Τί οὖν ὁ Ἰωσήφ; οὐχὶ δεκατρία ἔτη ἐδέδετο; Τί οὖν; οὐδὲ ἐκεῖ τῆς ἀρετῆς ἐπελάθετο; Ἔ-

45. Ματθ. 11, 3.

τὴν κάμινον ἐκεῖνοι οἱ ὁποῖοι ἔβαλον μέσα τοὺς παῖδας ἐκάησαν; Ἂν καὶ βέβαια ἔπρεπεν ὁ βασιλεὺς νὰ τὸ πάθῃ αὐτό· διότι οὔτε αὐτοὶ οἱ ὁποῖοι τοὺς ἔδεσαν, οὔτε αὐτοὶ οἱ ὁποῖοι τοὺς ἔρριψαν μέσα ἡμάρτησαν τόσον, ὅσον ἐκεῖνος ὁ ὁποῖος διατάσσει νὰ γίνουν αὐτά. Διατί λοιπὸν ἐκεῖνοι ἐκάησαν; ἐδῶ δὲν χρειάζεται πολλὴ ἐξέτασις. Διότι ἦσαν ἀσεβεῖς· διὰ τοῦτο ἐπρονοήθη, διὰ νὰ δειχθῇ συγχρόνως καὶ ἡ δύναμις τοῦ πυρὸς καὶ νὰ γίνῃ μεγαλύτερον τὸ θαῦμα· διότι ἐὰν ἐκείνους οἱ ὁποῖοι ἦσαν ἔξω ἀπὸ τὴν κάμινον τόσον κατέκαυσε τὸ πῦρ, ἐκείνους τοὺς ὁποίους εἶχε μέσα πῶς τοὺς ἄφησεν ἀβλαβεῖς; Διὰ νὰ γίνῃ φανερὰ ἡ δύναμις τοῦ Θεοῦ. Καὶ κανεὶς ἂς μὴ ἀπορῇ διὰ τὸ ὅτι ἔθεσα τὸν βασιλέα εἰς τὴν τάξιν τοῦ δεσμοφύλακος· διότι τὸ ἴδιον ἔκανεν. Εἰς τίποτε λοιπὸν δὲν ἦτο λαμπρότερος αὐτὸς ἀπὸ ἐκεῖνον· καὶ διότι καὶ οἱ δύο ὠφελήθησαν. Ἀλλ' αὐτὸ τὸ ὁποῖον εἶπον, εὑρισκόμενοι οἱ ἅγιοι εἰς τὰς θλίψεις, τότε εἶναι δυνατότεροι, ὅταν εὑρίσκωνται εἰς τὴν φυλακήν. Διότι τὸ νὰ πάθῃ κανεὶς κάτι διὰ τὸν Χριστόν, εἶναι γλυκύτερον ἀπὸ κάθε παρηγορίαν. Θέλετε νὰ σᾶς θυμίσω καὶ ἄλλην φυλακήν; Εἶναι ἀνάγκη ἀπὸ τὴν ἀλυσίδα αὐτὴ νὰ ἔλθωμεν εἰς ἄλλην φυλακήν.

Ποίαν θέλετε; Τὴν τοῦ Ἱερεμίου; Ἢ τὴν τοῦ Ἰωσήφ; Ἢ τὴν τοῦ Ἰωάννου; Χάρις τοῦ Θεοῦ εἰς τὴν ἀλυσίδα τοῦ Παύλου· πόσας φυλακὰς ἤνοιξε διὰ τοῦ λόγου; Θέλετε τοῦ Ἰωάννου; Ἐφυλακίσθη καὶ αὐτὸς κάποτε διὰ τὸν Χριστὸν καὶ τὸν νόμον τοῦ Θεοῦ. Τί λοιπόν; Ἆρά γε ἔμενεν ἀδρανὴς ἐνῷ ἦτο εἰς τὴν φυλακήν; Ἀπὸ ἐκεῖ ἀπὸ τὸ δεσμωτήριον δὲν ἀπέστειλε τοὺς μαθητάς του νὰ εἴπουν, «Σὺ εἶσαι ἐκεῖνος, ὁ ὁποῖος πρόκειται νὰ ἔλθῃ ἢ πρέπει νὰ περιμένωμεν ἄλλον;»[45]. Καὶ ἐκεῖ εὑρισκόμενος ἐδίδασκε· διότι δὲν ἠδιαφόρει. Μήπως ὁ Ἱερεμίας δὲν πφοεφήτευσε περὶ τοῦ Βαβυλωνίου, πραγματοποιῶν ὅλα τὰ ἰδικά του καὶ ἐκεῖ; Καὶ ὁ Ἰωσήφ; Δὲν ἐφυλακίσθη δεκατρία ἔτη; Ἀλλὰ τί; Οὔτε καὶ ἐκεῖ ἐλησμόνησε τὴν ἀρετήν. Ἀκόμη ἓν ἀφοῦ εἴπωμεν

τι ἑνὸς εἰπόντες δεσμούς, καταπαύσωμεν τὸν λόγον. Ἐδέθη καὶ ὁ δεσπότης ὁ ἡμέτερος, ὁ τὴν οἰκουμένην λύσας τῶν ἁμαρτημάτων· ἐδέθησαν χεῖρες αἱ μυρία ἐργασάμεναι καλά. «Δήσαντες γὰρ αὐτόν, ἤγαγον πρὸς Καϊάφαν»· καὶ ἐδέδειτο ὁ τοσαῦτα θαυματουργήματα ἐργασάμενος.

Ταῦτα ἐννοοῦντες, μηδέποτε δυσχεραίνωμεν, ἀλλὰ κἂν δεθῶμεν, χαίρωμεν· κἂν μὴ ἐν τοῖς δεσμοῖς ὦμεν, ὡς συνδεδεμένοι. Ὁρᾷς ὅσον ἀγαθὸν ὁ δεσμός; Ταῦτα πάντα εἰδότες, χάριν ἀναπέμπωμεν ὑπὲρ πάντων τῷ Θεῷ, ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

46. Ματθ. 26, 57.

διὰ τὰ δεσμά, θὰ τελειώσωμεν τὸν λόγον. Ἐδέθη καὶ ὁ ἰδικός μας Κύριος, ὁ ὁποῖος ἔλυσε τὴν οἰκουμένην ἀπὸ τὰς ἁμαρτίας· ἐδέθησαν τὰ χέρια ἐκεῖνα τὰ ὁποῖα ἔκαναν ἄπειρα καλά. Διότι, λέγει, «ἀφοῦ τὸν ἔδεσαν, τὸν ὡδήγησαν εἰς τὸν Καϊάφαν»[46]· καὶ ἐδέθη ἐκεῖνος ὁ ὁποῖος ἔκανε τόσα θαύματα.

Αὐτὰ ἀναλογιζόμενοι, ἂς μὴ δυσανασχετῶμεν ποτέ, ἀλλὰ καὶ ἂν φυλακισθῶμεν, ἂς χαιρώμεθα· καὶ ἂν δὲν εἴμεθα δεμένοι, ἂς εἴμεθα ὡσὰν δεμένοι. Βλέπεις πόσον μεγάλο ἀγαθὸν εἶναι ὁ δεσμός; Αὐτὰ ὅλα ἀφοῦ ἐγνωρίσαμεν, ἂς ἀναπέμπωμεν εὐχαριστίαν εἰς τὸν Θεόν, ἐν Χριστῷ Ἰησοῦ τοῦ Κυρίου ἡμῶν, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ συγχρόνως καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Θ′
Ἐφ. 4, 1-3

«*Παρακαλῶ οὖν ὑμᾶς ἐγώ, ὁ δέσμιος ἐν Κυρίῳ, ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε, μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητος, μετὰ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ, σπουδάζοντες τηρεῖν τὴν ἑνότητα τοῦ Πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης*».

1. Ἀπεδείχθη τῆς ἁλύσεως μεγάλη ἡ ἰσχὺς τοῦ Παύλου, καὶ σημείων λαμπροτέρα. Οὐ μάτην οὖν, ὡς ἔοικε, ταύτην προβάλλεται, οὐδὲ εἰκῇ, ἀλλ' ὡς δι' αὐτῆς δυσωπήσων. «Ἀξίως», φησί, περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε». Πῶς; «Μετὰ πάσης ταπεινοφροσύνης, μετὰ πραότητος καὶ μακροθυμίας, ἀνεχόμενοι ἀλλήλων ἐν ἀγάπῃ». Οὐχ ἁπλῶς τὸ δέσμιον εἶναι καλόν, ἀλλὰ τὸ διὰ Χριστόν. Διὰ τοῦτό φησιν, «ἐν Κυρίῳ», ὁ δέσμιος διὰ Χριστόν. Οὐδὲν τούτου ἴσον. Ἀλλὰ πάλιν ἡμᾶς ἀποσύρει τῶν προκειμένων ἡ ἅλυσις καὶ περισπᾷ, καὶ ἀντιπεσεῖν οὐχ ὑπομένομεν, ἀλλ' ἑλκόμεθα ἑκόντες καὶ βουλόμενοι καὶ εὐχόμενοι. Καὶ εἴθε ἀεὶ περὶ τῆς ἁλύσεως Παύλου διαλέγεσθαι ἦν.

Ἀλλὰ μὴ ναρκήσητε· προσέστη γάρ μοι ζήτημα νῦν. Ἐπειδὴ γὰρ ἀπολογούμενος πρὸς τὸν Ἀγρίππαν ἔλεγεν, «Εὐξαίμην ἂν τῷ Θεῷ, καὶ ἐν ὀλίγῳ καὶ ἐν μεγάλῳ οὐ μόνον σέ, ἀλλὰ καὶ πάντας τοὺς ἀκούοντάς μου σήμερον γενέσθαι τοιούτους, ὁποῖος καὶ ἐγώ εἰμι, παρεκτὸς τῶν δεσμῶν τούτων»· οὐχ ὡς ἀπευκτὸν τὸ πρᾶγμα νομίζων, ταῦτα ἔλεγε, μὴ γένοιτο· οὐ γὰρ ἄν, εἴγε ἀπευκτὸν ἦν, ἐκαυχᾶτο ἐπὶ τοῖς δεσμοῖς, ἐπὶ ταῖς φυλακαῖς, ἐπὶ ταῖς ἄλλαις θλίψεσι· καὶ

---

1. Ἐφεσ. 4, 1-3.
2. Πράξ. 26, 29.

ΛΟΓΟΣ Θ΄
Ἐφ. 4, 1-3

«Σᾶς παρακαλῶ λοιπὸν ἐγὼ ὁ φυλακισμένος διὰ τὸν Κύριον, νὰ φέρεσθε ἀντάξια πρὸς τὴν κλῆσιν, τὴν ὁποίαν ἐλάβατε, μὲ κάθε ταπεινοφροσύνην καὶ πραότητα, μὲ ὑπομονὴν εἰς τὸ νὰ ἀνέχεσθε ὁ ἕνας τὸν ἄλλον μὲ ἀγάπην, καὶ νὰ φροντίζετε νὰ διατηρῆτε τὴν ἑνότητα τοῦ Πνεύματος διὰ τοῦ συνδέσμου τῆς εἰρήνης»[1].

Ἀπεδείχθη μεγάλη ἡ δύναμις τῆς ἀλυσίδος τοῦ Παύλου καὶ λαμπροτέρα ἀπὸ τὰ θαύματα. Ὄχι μάταια λοιπόν, ὅπως φαίνεται, οὔτε τυχαῖα προβάλλει αὐτήν, ἀλλὰ διὰ νὰ παρακινήσῃ. «Νὰ φέρεσθε ἀντάξια», λέγει, «πρὸς τὴν κλῆσιν, τὴν ὁποίαν ἐλάβατε». Πῶς; «Μὲ κάθε ταπεινοφροσύνην καὶ πραότητα, μὲ ὑπομονὴν εἰς τὸ νὰ ἀνέχεσθε ὁ ἕνας τὸν ἄλλον μὲ ἀγάπην». Καλὸν δὲν εἶναι ἁπλῶς τὸ νὰ εἶναι κανεὶς φυλακισμένος, ἀλλὰ τὸ νὰ εἶναι διὰ τὸν Χριστόν. Τίποτε δὲν εἶναι ἴσον πρὸς αὐτό. Ἀλλὰ πάλιν μᾶς παρασύρει καὶ μᾶς ἀποσπᾷ ἀπὸ τὸ θέμα ἡ ἀλυσίς, καὶ δὲν ἠμποροῦμεν ν' ἀντισταθῶμεν, ἀλλ' ἑλκόμεθα θέλοντες καὶ ἐπιθυμοῦντες καὶ εὐχόμενοι δι' αὐτό. Καὶ εἴθε νὰ ἦτο δυνατὸν νὰ ὡμιλούσαμεν πάντοτε διὰ τὴν ἀλυσίδα τοῦ Παύλου.

Ἀλλὰ μὴ χαλαρώσετε· διότι ἦλθε εἰς τὸν νοῦν μου ἕνα ζήτημα τώρα. Ὅταν λοιπὸν ἔλεγεν ἐνῷ ἀπελογεῖτο εἰς τὸν Ἀγρίππαν, «Θὰ ηὐχόμην εἰς τὸν Θεόν, εἴτε εἰς σύντομον, εἴτε εἰς μακρὸν χρόνον, ὄχι μόνον ἐσύ, ἀλλὰ καὶ ὅλοι ὅσοι μὲ ἀκούουν σήμερον, νὰ γίνουν τέτοιοι, ὅπως εἶμαι ἐγώ, ἐκτὸς ἀπὸ τὰς ἀλυσίδας»[2], δὲν ἔλεγεν αὐτά, ὡσὰν νὰ ἐθεώρει τὸ πρᾶγμα ὡς κάτι ποὺ ἠμποροῦσε νὰ γίνῃ, μὴ γένοιτο! Διότι δὲν θὰ ἐκαυχᾶτο διὰ τὰ δεσμά του ἐὰν ἦτο ἀπευκτέον πρᾶγμα, καὶ διὰ τὰς φυλακὰς καὶ διὰ τὰς ἄλλας

γράφων ἔλεγεν, «Ἥδιστα καυχήσομαι ἐν ταῖς ἀσθενείαις μου»· ἀλλὰ τί; Τοῦτο αὐτὸ τεκμήριον ἦν τοῦ μεγάλα ἡγεῖσθαι τὰ δεσμά. Ὥσπερ καὶ Κορινθίοις γράφων ἔλεγε· «Γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα, οὔπω γὰρ ἠδύνασθε»· οὕτω δὴ καὶ ἐνταῦθα, οὐκ ἠδύναντο ἀκοῦσαι τὸ κάλλος, οὐδὲ τὸν κόσμον, οὐδὲ τὴν ὠφέλειαν τῶν δεσμῶν. Διὰ τοῦτό φησιν, «ἐκτὸς τῶν δεσμῶν τούτων».

Τοῖς μέντοι Ἑβραίοις οὐχ οὕτως, ἀλλὰ παρῄνει συνδεδέσθαι τοῖς δεδεμένοις. Διὰ τοῦτο καὶ αὐτὸς ἔχαιρεν ἐπὶ τοῖς δεσμοῖς, καὶ ἐδεσμεῖτο, καὶ μετὰ τῶν δεσμωτῶν ἀπήγετο εἰς φυλακήν. Μεγάλη τῆς ἁλύσεως Παύλου ἡ ἰσχύς· ἀρκεῖ ἀντὶ πάντων τοῦτο τὸ θέαμα, δεδεμένον ἰδεῖν Παῦλον, καὶ ἐξαγόμενον ἀπὸ τοῦ δεσμωτηρίου. Δεδεμένον ἰδεῖν καὶ ἔνδον καθήμενον, ποίας ἡδονῆς τοῦτο οὐ μεῖζον; τίνος οὐκ ἂν τιμήσαιμι τὸ πρᾶγμα; Οὐχ ὁρᾶτε τοὺς βασιλέας, τοὺς ὑπάτους ἐπὶ ζεύγους φερομένους καὶ χρυσοφοροῦντας, καὶ τοὺς δορυφοροῦντας πάντα ἔχοντας χρυσᾶ, χρυσᾶ τὰ δόρατα, χρυσᾶς τὰς ἀσπιδίσκας, χρυσᾶ τὰ ἱμάτια, ἵππους χρυσοφόρους; Πόσον τῆς θέας ἐκείνης τοῦτο τερπνότερον; Ἅπαξ ἂν ηὐξάμην Παῦλον ἰδεῖν ἐκ τοῦ δεσμωτηρίου μετὰ τῶν δεσμῶν ἐξιόντα ἢ μυριάκις ἐκείνους μετὰ τῆς δορυφορίας ἐκείνης παραπεμπομένους. Πόσους οἴεσθε ἀγγέλους προηγεῖσθαι αὐτοῦ, ὅτε ἐξήγετο οὕτω;

Καὶ ὅτι οὐ ψεύδομαι, ἀπό τινος παλαιᾶς ἱστορίας τὸ πρᾶγμα ὑμῖν ποιήσω φανερόν. Ἑλισσαῖος ὁ προφήτης - τάχα δὲ ἴστε τὸν ἄνδρα - τοῦ βασιλέως Συρίας ἐκπεπολεμωμένου πρὸς τὸν Ἰσραὴλ βασιλέα, καθήμενος παρ' ἑαυτῷ, ἅπαντα, ἅπερ ἐκεῖνος ἐν τοῖς ταμείοις μετὰ τῶν κοινωνούντων αὐτῷ τῆς γνώμης ἐβουλεύετο, εἰς μέσον ἐξέφερε, καὶ ἀκύρους ἐποίει τοῦ βασιλέως τὰς βουλάς, τὰ ἀπόρρητα προλέγων,

---

3. Β' Κορ. 12, 9.
4. Α' Κορ. 3, 2.
5. Ἑβρ. 13, 3.

θλίψεις· καὶ γράφων ἔλεγεν· «Πολὺ εὐχαρίστως λοιπὸν θὰ καυχηθῶ διὰ τὰς ἀδυναμίας μου»[3]. Ἀλλὰ τί; Αὐτὸ τὸ ἴδιον ἦτο ἀπόδειξις ὅτι ἐθεώρει μεγάλης ἀξίας τὰ δεσμά. Ὅπως ἀκριβῶς ἔλεγε καὶ ὅταν ἔγραφε πρὸς τοὺς Κορινθίους· «Γάλα σᾶς ἐπότισα, ὄχι στερεὰν τροφήν, διότι δὲν ἠμπορούσατε νὰ τὴν δεχθῆτε»[4]. Ἔτσι λοιπὸν καὶ ἐδῶ, δὲν ἠμποροῦσαν νὰ δεχθοῦν τὸ κάλλος, οὔτε τὴν τιμήν, οὔτε τὴν ὠφέλειαν τῶν δεσμῶν. Διὰ τοῦτο λέγει «ἐκτὸς ἀπὸ αὐτὰ τὰ δεσμά».

Εἰς τοὺς Ἑβραίους ὅμως δὲν ἔγραφεν ἔτσι, ἀλλὰ τοὺς παρώτρυνε νὰ φυλακισθοῦν μαζὶ μὲ τοὺς φυλακισμένους[5]. Διὰ τοῦτο καὶ ὁ ἴδιος ἔχαιρεν εἰς τὰ δεσμά, καὶ ἐφυλακίζετο, καὶ μαζὶ μὲ τοὺς δεσμώτας ὡδηγεῖτο εἰς τὴν φυλακήν. Μεγάλη ἡ δύναμις τῆς ἁλυσίδος τοῦ Παύλου· εἶναι ἀρκετὸν ἀντὶ ὅλων τῶν ἀγαθῶν αὐτὸ τὸ θέαμα, τὸ νὰ ἴδῃ κανεὶς δεμένον τὸν Παῦλον καὶ νὰ ἐξάγεται ἀπὸ τὴν φυλακήν. Τὸ νὰ τὸν ἴδῃ κανεὶς δεμένον καὶ νὰ κάθεται μέσα, ἀπὸ ποίαν ἡδονὴν δὲν εἶναι μεγαλύτερον αὐτό; Μὲ τί δὲν θὰ ἐτίμων αὐτὸ τὸ πρᾶγμα; Δὲν βλέπετε τοὺς βασιλεῖς, τοὺς ὑπάτους νὰ φέρωνται εἰς ἅμαξαν μὲ δύο ἵππους καὶ ἐνδεδυμένους μὲ χρυσόν, καὶ τοὺς ἀκολούθους νὰ ἔχουν τὰ πάντα χρυσᾶ, χρυσᾶ τὰ δόρατα, χρυσᾶς τὰς ἀσπίδας, χρυσᾶ τὰ ἐνδύματα, ἵππους χρυσοφορεμένους; Πόσον τερπνότερον εἶναι αὐτὸ ἀπὸ ἐκεῖνο τὸ θέαμα; Θὰ ηὐχόμην νὰ ἴδω μίαν φορὰν τὸν Παῦλον νὰ ἐξέρχεται ἀπὸ τὴν φυλακὴν μὲ τὰ δεσμά, παρὰ χιλιάδας φορὰς ἐκείνους νὰ περνοῦν εἰς πομπὴν μαζὶ μὲ ἐκείνην τὴν ἀκολουθίαν των. Πόσοι ἄγγελοι νομίζετε ὅτι θὰ προηγοῦντο αὐτοῦ, ὅταν ὁδηγεῖτο ἔτσι;

Καὶ διὰ τὸ ὅτι δὲν ψεύδομαι, θὰ κάνω φανερὸν τὸ πρᾶγμα ἀπὸ κάποιαν παλαιὰν ἱστορίαν. Ὁ προφήτης Ἐλισσαῖος — ἴσως νὰ γνωρίζετε τὸν ἄνδρα —, ἐνῷ ὁ βασιλεὺς τῆς Συρίας εἶχεν ἐμπλακῆ εἰς πόλεμον μὲ τὸν βασιλέα τοῦ Ἰσραήλ, καθήμενος πλησίον του, ὅλα, ὅσα ἀπεφάσιζεν ἐκεῖνος μὲ τοὺς συμβούλους του εἰς τὸ διοικητήριόν του, τὰ ἐφανέρωνε καὶ ἠχρήστευε τὰ σχέδια τοῦ βασιλέως μὲ τὸ νὰ λέγῃ

καὶ οὐκ ἀφιεὶς εἰς τὰς παγίδας, ἃς ἐκεῖνος ἐτίθει, ἐμπεσεῖν. Ἐλύπει τοῦτο τὸν βασιλέα, καὶ ἀθυμῶν, ἐν ἀπορίᾳ πλείονι καθειστήκει, οὐκ ἔχων μαθεῖν τὸν ἐκφέροντα ἅπαντα καὶ ἐπιβουλεύοντα, καὶ τὰς μηχανὰς ἀκυροῦντα τὰς τούτου. Ἀπορoῦντι τοίνυν αὐτῷ καὶ τὴν αἰτίαν ζητοῦντι εἶπέ τις τῶν ὑπασπιστῶν, ὅτι δὴ προφήτης εἴη τις Ἑλισσαῖος ἐν Σαμαρείᾳ καθήμενος, οὐκ ἐῶν ἑστάναι τὴν τοῦ βασιλέως γνώμην, ἀλλὰ πάντα ἐκφέρων. Ἐκεῖνος ἐνόμισεν εἰρηκέναι τὸ πᾶν. Οὐδὲν ἀθλιώτερον τούτου. Δέον τιμῆσαι τὸν ἄνδρα, θαυμάσαι, ἐκπλαγῆναι, εἰ δὴ τοσαύτην ἔχει τὴν ἰσχύν, ὡς ἀπὸ τοσούτων σταδίων καθήμενον, πάντα τὰ ἐν τῷ ταμιείῳ τοῦ βασιλέως, οὐδενὸς ἀπαγγέλλοντος, εἰδέναι· τοῦτο μὲν οὐκ ἐποίησε, παροξυνθεὶς δέ, καὶ τῆς ὀργῆς γενόμενος μόνης ἱππέας καὶ ὁπλίτας συντάξας, πέμπει παραστήσων τὸν προφήτην. Ἦν δὲ τῷ Ἑλισσαίῳ μαθητὴς ἐν προπυλαίοις ἔτι τῆς προφητείας, ἀπέχων τῶν τοιούτων ἀποκαλύψεων ἀξιοῦσθαι.

Ἐπέστησαν οἱ στρατιῶται τοῦ βασιλέως, ὡς δήσοντες τὸν ἄνδρα, μᾶλλον δὲ τὸν προφήτην. Πάλιν εἰς δεσμοὺς ἐμπίπτομεν, καὶ πάντοθεν οὗτος ὁ λόγος οὕτως ὑφαίνεται. Καὶ ἰδὼν ὁ μαθητὴς τῶν στρατιωτῶν τὸ πλῆθος, ἐξέστη, καὶ περιδεὴς καὶ ἔντρομος προσδραμὼν τῷ διδασκάλῳ, τὴν συμφορὰν ἀπήγγειλεν, ὡς ᾤετο, καὶ τὸν ἄφυκτον ἐμήνυσε κίνδυνον. Κατεγέλασεν ὁ προφήτης, ὅτι τὰ οὐκ ἄξια δέους ἐδεδοίκει, καὶ παρῄνει θαρρεῖν. Ἐκεῖνος δὲ ἀτελὴς ἔτι ὤν, οὐκ ἐπείθετο, ἀλλ' ἔτι ὑπὸ τῆς ὄψεως ἐκπληττόμενος, ἐνέκειτο τῷ φόβῳ. Τί οὖν ὁ προφήτης; «Κύριε, ἄνοιξον τοὺς ὀφθαλμοὺς τοῦ παιδαρίου τούτου, καὶ ἰδέτω ὅτι πλείους εἰ-

ἀπὸ πρὶν τὰ ἀπόρρητα καὶ νὰ μὴ ἀφήνῃ τοὺς Ἰσραηλίτας νὰ πίπτουν εἰς τὰς παγίδας του. Αὐτὸ ἐστενοχωροῦσε τὸν βασιλέα καὶ μικροψυχῶν περιέπιπτε εἰς μεγαλυτέραν στενοχωρίαν, μὴ ἠμπορῶν νὰ μάθῃ ἐκεῖνον ὁ ὁποῖος ἐγνωστοποίει τὰ πάντα καὶ τὸν ἐπεβουλεύετο καὶ ἔκαμνεν ἄχρηστα τὰ σχέδιά του. Ἐνῷ λοιπὸν ἐστενοχωρεῖτο καὶ ἔψαχνε νὰ εὕρῃ τὴν αἰτίαν, εἶπε κάποιος ἀπὸ τοὺς ὑπασπιστάς του, ὅτι ἦτο κάποιος προφήτης Ἑλισσαῖος ὁ ὁποῖος ἐκάθητο εἰς τὴν Σαμάρειαν, ὁ ὁποῖος δὲν ἄφηνε νὰ πραγματοποιηθοῦν τὰ σχέδια τοῦ βασιλέως, ἀλλὰ τὰ ἐφανέρωνεν ὅλα. Ἐκεῖνος ἐνόμισεν ὅτι εὑρῆκε τὸ πᾶν. Τίποτε ἀθλιώτερον ἀπὸ αὐτό. Ἔπρεπε νὰ τιμήσῃ τὸν ἄνδρα, νὰ θαυμάσῃ, νὰ ἐκπλαγῇ, ἐφ' ὅσον ἔχει τόσην δύναμιν, ὥστε ἐνῷ ἐκάθητο εἰς τόσην ἀπόστασιν, ὅλα ὅσα ἐσχεδιάζοντο εἰς τὸ διοικητήριον τοῦ βασιλέως, ἐνῷ κανεὶς δὲν τοῦ τὸ ἀνήγγελλε, νὰ τὸ γνωρίζῃ· δὲν ἔκανε μὲν αὐτό, ἀλλ' ἀφοῦ ἐξωργίσθη καὶ κατελήφθη μόνον ἀπὸ θυμόν, συνέταξε ἱππεῖς καὶ ὁπλίτας καὶ τοὺς στέλλει νὰ φέρουν ἐμπρός του τὸν προφήτην. Ὑπῆρχε δὲ πλησίον τοῦ Ἑλισσαίου κάποιος μαθητὴς εὑρισκόμενος εἰς τὰ πρόθυρα τοῦ προφητικοῦ χαρίσματος, ὁ ὁποῖος ἀπεῖχεν ἀκόμη ἀπὸ τοῦ ν' ἀξιωθῇ τέτοιας ἀποκαλύψεις.

Ἔφτασαν οἱ στρατιῶται τοῦ βασιλέως, διὰ νὰ δέσουν τὸν ἄνδρα, μᾶλλον δὲ τὸν προφήτην. Πάλιν ἐπάνω εἰς δεσμὰ πίπτομεν, καὶ ἀπὸ παντοῦ αὐτὸς ὁ λόγος ἔτσι ὑφαίνεται. Καὶ ὅταν εἶδεν ὁ μαθητὴς τὸ πλῆθος τῶν στρατιωτῶν ἐταράχθη, καὶ γεμᾶτος φόβον καὶ τρόμον ἀφοῦ προσέτρεξεν εἰς τὸν διδάσκαλόν του, ἀνήγγειλε τὴν συμφοράν, ὅπως ἐνόμιζε, καὶ ἐμήνυσε τὸν ἀναπόφευκτον κίνδυνον. Ἐγέλασεν ὁ προφήτης, διότι ἐφοβεῖτο τὰ ἀνάξια φόβου, καὶ τὸν παρώτρυνε νὰ ἔχῃ θάρρος. Ἐκεῖνος ὅμως ἐπειδὴ ἦτο ἀτελὴς ἀκόμη, δὲν ἐπείθετο, ἀλλ' ἐκπληττόμενος ἀκόμη περισσότερον ἀπὸ τὴν ἐμφάνισίν του, παρέμενε φοβισμένος. Τί ἔκανε λοιπὸν ὁ προφήτης; «Κύριε, ἄνοιξε τώρα τοὺς ὀφθαλμούς του, ὥστε νὰ ἴδῃ. Καὶ ἤνοιξεν ὁ Κύριος τοὺς ὀφθαλ-

σιν οἱ μεθ' ἡμῶν ὑπὲρ τοὺς μετ' αὐτῶν». Καὶ ἄφνω τὸ ὄρος ὅλον ὁρᾷ, ὅπερ ὁ προφήτης ᾤκει τότε, ἵππων πυρίνων καὶ ἁρμάτων τοιούτων ἐμπεπλησμένον. Τοῦτο δὲ οὐδὲν ἕτερον ἦν, εἰ μὴ ἀγγέλων παρατάξεις. Εἰ δὲ Ἐλισσαίῳ ὑπὲρ τούτου μόνου τοσαύτη παρείπετο τάξις ἀγγέλων, τί Παύλῳ;

Τοῦτο καὶ ὁ προφήτης Δαυῒδ ἔλεγε· «Παρεμβαλεῖ ἄγγελος Κυρίου κύκλῳ τῶν φοβουμένων αὐτόν»· καὶ πάλιν· «Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου». Καὶ τί λέγω ἀγγέλους; αὐτὸς ὁ δεσπότης τότε μετ' αὐτοῦ ἦν ἐξιόντος. Οὐ γὰρ δήπου τῷ μὲν Ἀβραὰμ ὠπτάνετο, μετὰ δὲ τούτου οὐκ ἦν· αὐτὸς γὰρ ἐπηγγείλατο λέγων· «Ἐγώ εἰμι μεθ' ὑμῶν πάσας τὰς ἡμέρας ἕως τῆς συντελείας τοῦ αἰῶνος». Καὶ πάλιν ὀφθεὶς αὐτῷ, ἔλεγε· «Μὴ φοβοῦ, ἀλλὰ λάλει, ὅτι ἐγώ εἰμι μετὰ σοῦ, καὶ οὐδεὶς ἐπιθήσεταί σοι τοῦ κακῶσαί σε». Καὶ κατ' ὄναρ δὲ αὐτῷ ἐπέστη λέγων· «Θάρσει· ὡς γὰρ διεμαρτύρω τὰ περὶ ἐμοῦ εἰς Ἰερουσαλήμ, οὕτω σε δεῖ καὶ εἰς Ρώμην μαρτυρῆσαι». Ἀεὶ μὲν οὖν οἱ ἅγιοι θαυμαστοί, καὶ πολλῆς γέμουσι χάριτος, μάλιστα δὲ ὅταν διὰ Χριστὸν κινδυνεύωσιν, ὅταν δέσμιοι γίνωνται. Καθάπερ γὰρ στρατιώτης γενναῖος ἀεὶ μὲν καὶ ἁπλῶς ἡδὺ θέαμα τοῖς ὁρῶσι γίνεται, μάλιστα δὲ ὅταν ἑστήκῃ καὶ παρατάττηται παρ' αὐτὸν τὸν βασιλέα· οὕτω δὴ καὶ Παῦλον ἐννόησον, ὅσον ἦν ἰδεῖν μετὰ τῶν δεσμῶν αὐτὸν διδάσκοντα. Εἴπω τις μεταξὺ νῦν ὑπελθόν με νόημα; Ὁ μακάριος μάρτυς Βαβύλας ἐδέθη καὶ αὐτὸς ἀπὸ τῆς αὐ-

6. Δ' Βασ. 6, 17.
7. Ψαλμ. 33, 8.
8. Ψαλμ. 90, 92.
9. Ματθ. 28, 20.
10. Πράξ. 18, 9.
11. Πράξ. 23, 11.

μοὺς τοῦ νεανίου καὶ εἶδε»[6]. Καὶ ἐξαφνικὰ βλέπει ὁλόκληρον τὸ ὄρος, εἰς τὸ ὁποῖον ἐκατοικοῦσε τότε ὁ προφήτης, νὰ ἔχῃ γεμίσει ἀπὸ πυρίνους ἵππους καὶ ἅρματα. Τοῦτο δὲ τίποτε ἄλλο δὲν ἦτο, παρὰ στρατιαὶ ἀγγέλων. Ἐὰν δὲ εἰς τὸν Ἐλισσαῖον διὰ τοῦτο μόνον ἠκολούθει τόσον μεγάλη παράταξις ἀγγέλων, τί θὰ ἐγίνετο εἰς τὸν Παῦλον;

Αὐτὸ ἔλεγε καὶ ὁ προφήτης Δαυίδ· «Ἄγγελος Κυρίου θὰ στρατοπεδεύῃ γύρω ἀπὸ τοὺς φοβουμένους τὸν Κύριον καὶ θ' ἀπαλλάσσῃ αὐτοὺς ἀπὸ τὸν κίνδυνον»[7]. Καὶ πάλιν· «Θὰ σὲ παραλάβουν οἱ ἄγγελοι εἰς τὰ χέριά των καὶ θὰ σὲ ὁδηγοῦν, διὰ νὰ μὴ σκοντάψῃς οὔτε τὸ ἕνα σου πόδι εἰς κάποιον λίθον»[8]. Καὶ τί λέγω διὰ τοὺς ἀγγέλους; Ὁ ἴδιος ὁ Κύριος εὑρίσκετο τότε μαζί του ὅταν ἐξήρχετο. Διότι βεβαίως δὲν ὑπῆρχε μόνον ὅταν ἐνεφανίζετο εἰς τὸν Ἀβραάμ, ἀλλὰ καὶ μετὰ ἀπὸ αὐτό· διότι ὁ ἴδιος ὑπεσχέθη λέγων· «Καὶ ἰδοὺ ἐγὼ εἶμαι μαζί σας ὅλας τὰς ἡμέρας μέχρι τῆς συντελείας τοῦ κόσμου»[9]. Καὶ πάλιν ἀφοῦ ἐνεφανίσθη εἰς αὐτὸν ἔλεγε· «Μὴ φοβεῖσαι, ἀλλὰ νὰ ὁμιλῇς καὶ νὰ μὴ σιωπήσῃς, διότι ἐγὼ εἶμαι μαζί σου, καὶ κανεὶς δὲν θὰ ἐπιχειρήσῃ νὰ σὲ κακοποιήσῃ»[10]. Καὶ εἰς ὄνειρον δὲ ἐπεσκέφθη αὐτὸν λέγων· «Ἔχε θάρρος Παῦλε. Διότι ὅπως ἐμαρτύρησες δι' ἐμὲ εἰς τὴν Ἰερουσαλήμ, ἔτσι πρέπει νὰ δώσῃς μαρτυρίαν καὶ εἰς τὴν Ρώμην»[11]. Πάντοτε μὲν λοιπὸν οἱ ἅγιοι εἶναι θαυμαστοὶ καὶ γεμᾶτοι ἀπὸ πολλὴν χάριν, πολὺ περισσότερον ὅμως ὅταν κινδυνεύουν διὰ τὸν Χριστόν, ὅταν φυλακίζωνται. Διότι ὅπως ἀκριβῶς ὁ στρατιώτης εἶναι μὲν πάντοτε γενναῖος καὶ γίνεται εὐχάριστον θέαμα εἰς ἐκείνους οἱ ὁποῖοι τὸν βλέπουν εἰς τὴν συνήθη μορφήν, πολὺ περισσότερον ὅμως ὅταν ἔχῃ σταθῇ καὶ παραταχθῇ εἰς τὸ πλευρὸν τοῦ ἰδίου τοῦ βασιλέως. Ἔτσι λοιπὸν νὰ σκεφθῇς καὶ τὸν Παῦλον, πόσον εὐχάριστον ἦτο νὰ τὸν ἴδῃς νὰ διδάσκῃ μὲ τὰ δεσμά. Νὰ εἴπω ὡς εἰς παρένθεσιν κάτι τὸ ὁποῖον ἦλθεν εἰς τὴν σκέψιν μου τώρα; Ὁ μακάριος μάρτυς Βαβύλας ἐφυλακίσθη καὶ αὐτὸς διὰ τὴν ἰδίαν αἰτίαν, διὰ τὴν

τῆς αἰτίας, ἀφ' ἧς καὶ Ἰωάννης, βασιλέα παρανομοῦντα ἐλέγξας. Οὗτος τελευτῶν ἐπέτρεψε τὰ δεσμὰ τεθῆναι μετὰ τοῦ σώματος, καὶ τὸ σῶμα δεδεμένον ταφῆναι· καὶ νῦν αἱ πέδαι κεῖνται μετὰ τῆς τέφρας. Τοσοῦτος ἦν αὐτῷ πόθος τῶν διὰ Χριστὸν δεσμῶν. «Σίδηρον διῆλθεν ἡ ψυχὴ αὐτοῦ», ὁ προφήτης φησὶ περὶ τοῦ Ἰωσήφ.

Ἤδη δὲ καὶ γυναῖκες τούτων ἔλαβον πεῖραν τῶν δεσμῶν. Ἀλλ' ἡμεῖς οὐ δεσμούμεθα. Οὐδὲ τοῦτο παραινῶ, καιροῦ νῦν οὐκ ὄντος. Μὴ δήσῃς τὰς χεῖρας, ἀλλὰ δῆσον τὴν διάνοιαν. Ἔστι καὶ ἄλλα δεσμά· οἱ ταῦτα μὴ φέροντες, ἐκεῖνα οἴσουσιν. Ἄκουε τοῦ Χριστοῦ λέγοντος· «Δήσατε αὐτοῦ χεῖρας καὶ πόδας». Ἀλλὰ μὴ γένοιτο πεῖραν ἐκείνων λαβεῖν, τούτων δὲ τῶν δεσμῶν ἐμπλησθῆναι γένοιτο. Διὰ ταῦτα ἔλεγεν· «Ἐγὼ ὁ δέσμιος ἐν Κυρίῳ παρακαλῶ ὑμᾶς ἀξίως περιπατῆσαι τῆς κλήσεως ἧς ἐκλήθητε».

2. Ποίας δὴ ταύτης; Σῶμα ἐκλήθητε, φησί· κεφαλὴν ἔχετε τὸν Χριστόν· συνήγειρε καὶ συνεκάθισεν ὑμᾶς ἐχθροὺς ὄντας, καὶ μυρία ὅσα ἐργασαμένους κακά. Μεγάλη ἡ κλῆσις, καὶ ἐπὶ μεγάλοις, οὐχ ὅτι ἀπ' ἐκείνων μόνον, ἀλλ' ὅτι καὶ ἐπὶ τοιαῦτα καὶ τοιούτῳ τρόπῳ. Πῶς δέ ἐστιν ἀξίως περιπατῆσαι; «Μετὰ πάσης ταπεινοφροσύνης». Ὁ τοιοῦτος ἀξίως περιπατεῖ· τοῦτο ἀρετῆς πάσης ὑπόθεσις. Ἂν ταπεινὸς ᾖς, καὶ ἐννοήσῃς τίς ὢν πῶς ἐσώθης, ἀφορμὴν πρὸς ἀρετὴν λαμβάνεις τὴν μνήμην, οὔτε ἐν δεσμοῖς ἐπαίρῃ, οὔτε αὐτοῖς τούτοις οἷς εἶπον, ἀλλ' εἰδὼς ὅτι τὸ πᾶν τῆς χάριτός ἐστι, συστέλλεις σαυτόν. Ὁ ταπεινόφρων καὶ εὐγνώμων δύναται εἶναι καὶ εὐχάριστος οἰκέτης. «Τί γὰρ ἔχεις, φησίν, «ὃ οὐκ ἔλαβες;». Ἄκουε δὲ πάλιν αὐτοῦ λέγοντος· «Περισσότερον

---

12. Ψαλμ. 104, 18.
13. Ματθ. 22, 13.
14. Α' Κορ. 4, 7.

οποίαν καὶ ὁ Ἰωάννης, ἐπειδὴ δηλαδὴ ἤλεγξε τὸν βασιλέα διότι παρανομοῦσεν. Ὅταν ἀπέθνησκε παρήγγειλε νὰ παραμείνουν τὰ δεσμὰ μὲ τὸ σῶμα, καὶ τὸ σῶμα νὰ ταφῇ δεμένον· καὶ τώρα αἱ χειροπέδαι εὑρίσκονται μαζὶ μὲ τὴν τέφραν. Τόσον πολὺ ἐπόθει τὰ δεσμὰ διὰ τὸν Χριστόν. «Ἡ ψυχή του ὑπέφερε τὴν ἀγωνίαν τῶν σιδηρῶν ἀλυσίδων»[12], λέγει ὁ προφήτης διὰ τὸν Ἰωσήφ.

Ἤδη δὲ καὶ αἱ γυναῖκες ἔλαβον πεῖραν αὐτῶν τῶν δεσμῶν. Ἐμεῖς ὅμως δὲν φυλακιζόμεθα. Οὔτε προτρέπω εἰς αὐτό, διότι τώρα δὲν εἶναι ὁ κατάλληλος καιρός. Μὴ δέσῃς τὰ χέρια σου, ἀλλὰ δέσε τὴν σκέψιν σου. Ὑπάρχουν καὶ ἄλλα δεσμά· ὅσοι δὲν ὑποφέρουν αὐτά, ἂς γνωρίσουν ἐκεῖνα. Ἄκουσε τὸν Χριστὸν ὁ ὁποῖος λέγει· «Δέσατέ του τὰ χέρια καὶ τὰ πόδια»[13]. Εἴθε ὅμως νὰ μὴ γίνῃ ποτὲ νὰ λάβωμεν πεῖραν ἐκείνων, ἀλλ' εἴθε νὰ πλουτήσωμεν ἀπὸ τὴν χάριν αὐτῶν τῶν δεσμῶν. Διὰ τοῦτο ἔλεγεν, «Σᾶς παρακαλῶ λοιπὸν ἐγὼ ὁ φυλακισμένος διὰ τὸν Κύριον, νὰ ζῆτε ἀντάξια πρὸς τὴν κλῆσιν, τὴν ὁποίαν ἐλάβετε».

2. Ποία ὅμως εἶναι αὐτή; Σῶμα ὠνομάσθητε, λέγει· κεφαλὴν ἔχετε τὸν Χριστόν· συνανύψωσε καὶ σᾶς ἐκάθισε μαζί του ἐνῷ ἤσασθε ἐχθροὶ καὶ εἴχατε διαπράξει ἄπειρα κακά. Μεγάλη εἶναι αὐτὴ ἡ κλῆσις καὶ εἰς μεγάλα πράγματα, ὄχι μόνον διότι προῆλθεν ἀπὸ αὐτά, οὔτε καὶ διότι ἰσχύει δι' αὐτά, ἀλλὰ καὶ διότι ἐδόθη μὲ αὐτὸν τὸν τρόπον. Πῶς ὅμως εἶναι δυνατὸν νὰ ζήσωμεν ἀντάξια; «Μὲ πᾶσαν ταπεινοφροσύνην». Αὐτὸς ζῇ ἀντάξια. Αὐτὸ εἶναι τὸ θεμέλιον κάθε ἀρετῆς. Ἂν εἶσαι ταπεινός, καὶ ἀναλογισθῇς ἐνῷ ἤσουν τέτοιος πῶς ἐσώθης, οὔτε εἰς τὰ δεσμὰ θὰ ὑπερηφανεύεσαι, οὔτε εἰς αὐτὰ τὰ ὁποῖα εἶπον, ἀλλὰ γνωρίζων ὅτι τὸ πᾶν εἶναι ἔργον τῆς χάριτος, θὰ ταπεινώνῃς τὸν ἑαυτόν σου. Ὁ ταπεινόφρων καὶ εὐγνώμων ἠμπορεῖ νὰ εἶναι καὶ εὐάρεστος δοῦλος. Διότι «τί ἔχεις», λέγει, «τὸ ὁποῖον δὲν ἔλαβες;»[14]. Ἄκουσε δὲ πάλιν τὸν ἴδιον ὁ ὁποῖος λέγει· «Ἀλλὰ

αὐτῶν πάντων ἐκοπίασα, οὐκ ἐγὼ δέ, ἀλλ' ἡ χάρις ἡ σὺν ἐμοί».

«Μετὰ πάσης», φησί, «ταπεινοφροσύνης», μὴ τῆς ἐν ῥήμασι, μηδὲ ἐν πράγμασι μόνοις, ἀλλὰ καὶ ἐν σχήματι καὶ ἐν φθέγματι· μὴ πρὸς τοῦτον μὲν ταπεινός, πρὸς δὲ ἐκεῖνον θρασύς· πρὸς πάντας ἔσο ταπεινός, κἂν φίλος ᾖ κἂν ἐχθρός, κἂν μέγας κἂν μικρός· τοῦτο ταπεινοφροσύνη. Καὶ ἐν τοῖς κατορθώμασιν ἔσο ταπεινός. Ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος, «Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι», καὶ τοῦτο πρῶτον τιθέντος. Διὰ τοῦτο καὶ αὐτός φησι· «Μετὰ πάσης ταπεινοφροσύνης καὶ πραότητος καὶ μακροθυμίας». Ἔστι γὰρ ταπεινὸν μὲν εἶναι, ὀξὺν δὲ καὶ ὀργίλον, ἀλλ' οὐδὲν ὄφελος· πολλάκις γὰρ ὑπὸ τῆς ὀργῆς κατεχόμενος, πάντα ἀπώλεσεν.

«Ἀνεχόμενοι», φησίν, ἀλλήλων ἐν ἀγάπῃ». Πῶς ἀνέχεσθαι δυνατόν, ἂν ὀργίλος ᾖ, ἂν κακήγορος; Εἶπε τὸν τρόπον· «ἐν ἀγάπῃ». Εἰ τοῦ πλησίον, φησίν, οὐκ ἀνέχῃ, πῶς σοῦ ἀνέξεται ὁ Θεός; εἰ αὐτὸς τὸν ὁμόδουλον οὐ φέρεις, πῶς σὲ οἴσει ὁ δεσπότης; Ἔνθα ἂν ᾖ ἀγάπη, πάντα οἰστά ἐστι. «Σπουδάζοντες», φησί, «τηρεῖν τὴν ἑνότητα τοῦ Πνεύματος ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης». Δῆσον οὖν τὰς χεῖρας τῇ ἐπιεικείᾳ. Πάλιν τὸ καλὸν ὄνομα, ὁ δεσμός· ἀφήκαμεν αὐτόν, καὶ αὐτὸς ἡμῖν πάλιν ἐπέδραμε. Καλὸς ἐκεῖνος ὁ δεσμός, καλὸς καὶ οὗτος· καὶ ἐκεῖνος ἀπὸ τούτου τίκτεται. Σύνδησον σαυτὸν τῷ ἀδελφῷ· οἱ τοιοῦτοι ἅπαντα κούφως φέρουσιν οἱ συνδεδεμένοι τῇ ἀγάπῃ. Σαυτὸν ἐκείνῳ πρόσδησον, κἀκεῖνόν σοι· ἀμφοτέρων σὺ κύριος· ὃν γὰρ ἂν βούλωμαι ποιῆσαι φίλον, δυνήσομαι μετ' εὐκολίας. «Σπουδά-

15. Α' Κορ. 15, 10.
16. Ματθ. 5, 3

περισσότερον ἀπὸ ὅλους αὐτοὺς ἐκοπίασα, ὄχι ὅμως ἐγώ, ἀλλ' ἡ χάρις τοῦ Θεοῦ ποὺ εἶναι μαζί μου»[15].

«Μὲ πᾶσαν ταπεινοφροσύνην», λέγει, ὄχι μόνον εἰς τοὺς λόγους, οὔτε εἰς τὰ πράγματα, ἀλλὰ καὶ εἰς τὴν μορφὴν καὶ εἰς τὴν ὁμιλίαν· ὄχι ὡς πρὸς μὲν τὸ ἓν ταπεινός, ὡς πρὸς τὸ ἄλλο δὲ θρασύς· πρὸς ὅλους νὰ εἶσαι ταπεινός, εἴτε φίλος εἶναι, εἴτε ἐχθρός, εἴτε μεγάλος εἴτε μικρός· αὐτὸ εἶναι ταπεινοφροσύνη. Καὶ εἰς τὰ κατορθώματα· νὰ εἶσαι ταπεινός. Διότι ἄκουσε τὸν Χριστὸν ὁ ὁποῖος λέγει, «Μακάριοι εἶναι οἱ ταπεινόφρονες»[16], καὶ θέτει αὐτὸ πρῶτον ἀπὸ ὅλα. Διὰ τοῦτο καὶ ὁ Παῦλος λέγει· «Μὲ πᾶσαν ταπεινοφροσύνην καὶ πραότητα, μὲ ὑπομονὴν εἰς τὸ νὰ ἀνέχεσθε ὁ ἕνας τὸν ἄλλον μὲ ἀγάπην». Διότι εἶναι δυνατὸν νὰ εἶναι μὲν κάποιος ταπεινός, νὰ εἶναι ὅμως καὶ ὀξύθυμος καὶ ὀργίλος, ἀλλὰ δὲν ὠφελεῖ καθόλου αὐτό. Διότι πολλὰς φορὰς κυριευόμενος ἀπὸ τὴν ὀργήν, καταστρέφει τὰ πάντα.

«Εἰς τὸ νὰ ἀνέχεσθε», λέγει, «ὁ ἕνας τὸν ἄλλον μὲ ἀγάπην». Πῶς εἶναι δυνατὸν νὰ ἀνέχεσαι, ἂν εἶσαι ὀργίλος καὶ κακολόγος; Εἶπε τὸν τρόπον· «μὲ ἀγάπην». Ἐὰν δὲν ἀνέχεσαι τὸν πλησίον, λέγει, πῶς θὰ σὲ ἀνεχθῇ ὁ Θεός; Ἐὰν σὺ δὲν ὑποφέρῃς αὐτὸν ὁ ὁποῖος εἶναι σύνδουλός σου, πῶς θὰ σὲ ὑπομείνῃ ὁ Κύριος. Ὅπου ὑπάρχει ἀγάπη, ὅλα εἶναι ὑποφερτά. «Καὶ νὰ φροντίζετε», λέγει, «νὰ διατηρῆτε τὴν ἑνότητα τοῦ Πνεύματος διὰ τοῦ συνδέσμου τῆς εἰρήνης». Δέσε λοιπὸν τὰ χέρια σου διὰ τῆς ἐπιεικείας. Πάλιν ἡ ὡραία λέξις, ὁ δεσμός· ἐμεῖς τὸν ἀφήσαμεν καὶ αὐτὸς πάλιν εἰς ἐμᾶς προσέτρεξε. Καλὰ εἶναι ἐκεῖνα τὰ δεσμά, καλὰ καὶ αὐτά· καὶ ἐκεῖνα ἀπὸ αὐτὰ γεννῶνται. Σύνδεσε τὸν ἑαυτόν σου μὲ τὸν ἀδελφόν· αὐτοὶ ποὺ εἶναι συνδεδεμένοι μὲ ἀγάπην, τὰ πάντα ὑποφέρουν ὡς ἐλαφρόν ζυγὸν καὶ ὄχι βαρύν. Δέσε τὸν ἑαυτόν σου μὲ ἐκεῖνον, καὶ ἐκεῖνον μὲ ἐσένα· σὺ εἶσαι κύριος διὰ νὰ κάνῃς καὶ τὰ δύο· διότι ὅποιον θέλω νὰ κάνω φίλον, θὰ τὸ κάνω μὲ εὐκολίαν. «Καὶ νὰ φροντίζετε», λέγει· δὲν τὸ λέγει αὐτὸ τυχαίως καὶ ὡς σχῆμα

ζοντες», φησίν· οὐχ ἁπλῶς, οὐδὲ τοῦ τυχόντος ἐστί. «Σπουδάζοντες», φησί, «τηρεῖν τὴν ἑνότητα τοῦ Πνεύματος».

3. Τί ἐστιν ἑνότης Πνεύματος; Καθάπερ ἐν σώματι πνεῦμά ἐστι τὸ πάντα συνέχον, καίτοιγε ἐν διαφόροις μέλεσιν· οὕτω καὶ ἐνταῦθα. Διὰ γὰρ τοῦτο τὸ Πνεῦμα ἐδόθη, ἵνα τοὺς γένει καὶ τρόποις διαφόροις διεστηκότας ἑνώσῃ. Ὁ γὰρ γέρων καὶ ὁ νέος, ὁ πένης καὶ ὁ πλούσιος, ὁ παῖς καὶ ὁ ἔφηβος, ἡ γυνὴ καὶ ὁ ἀνήρ, καὶ πᾶσα ψυχὴ ἕν τι γίνεται, καὶ μᾶλλον ἢ εἰ σῶμα ἓν ἦν. Ταύτης γὰρ τῆς συγγενείας πολλῷ μεῖζον ἐκείνη, καὶ πλείων ἡ ἀκρίβεια αὕτη ἡ τῆς ἑνώσεως. Ἡ γὰρ τῆς ψυχῆς συνάφεια ἀκριβεστέρα ἐστίν, ὅσῳ καὶ ἁπλῆ καὶ μονοειδής ἐστι.

Πῶς δὲ αὕτη φυλάττεται; «Ἐν τῷ συνδέσμῳ τῆς εἰρήνης». Οὐκ ἔστιν ἐν ἔχθρᾳ καὶ διαστάσει ταύτην εἶναι. «Ὅπου γὰρ ἔρις ἐν ὑμῖν», φησί, «καὶ ζῆλοι καὶ διχοστασίαι, οὐχὶ σαρκικοί ἐστε, καὶ κατὰ ἄνθρωπον περιπατεῖτε;». Καθάπερ γὰρ τὸ πῦρ, ὅταν μὲν ξηρὰ εὕρῃ ξύλα, μίαν τὰ πάντα ἐργάζεται πυράν, ὅταν δὲ ὑγρά, οὐδὲ ἐνεργεῖ οὐδὲ συγκολλᾶται· οὕτω καὶ ἐνταῦθα· οὐδὲν τῶν ψυχρῶν αὐτὴν συσφίγξαι δυνήσεται, ἕκαστον δὲ ὡς ἐπὶ τὸ πολὺ τῶν θερμῶν. Ἀπὸ τούτου γοῦν καὶ ἡ θερμότης τῆς ἀγάπης τίκτεται· ἀπὸ τοῦ συνδέσμου τῆς εἰρήνης βούλεται συνδῆσαι πάντας ἡμᾶς. Καθάπερ γάρ, φησίν, ἐὰν θέλῃς σαυτὸν ἑτέρῳ προσδῆσαι, ἄλλως οὐ δυνήσῃ, ἀλλ' ἢ διὰ τοῦ κἀκεῖνον σαυτῷ προσδῆσαι· εἰ μέντοι ἐθέλοις διπλοῦν ποιῆσαι τὸν δεσμόν, χρὴ κἀκεῖνόν σοι προσδεθῆναι· οὕτω καὶ ἐνταῦθα ἀλλήλοις προσδεδέσθαι βούλεται, οὐχ ἁπλῶς εἰρηνεύειν, οὐδὲ ἁπλῶς φιλεῖν, ἀλλ' ἓν πάντας εἶναι, μίαν ψυχήν.

---

17. Α' Κορ. 3, 3.

λόγου. «Καὶ νὰ φροντίζετε», λέγει, «νὰ τηρῆτε τὴν ἑνότητα τοῦ Πνεύματος».

3. Τί εἶναι ἑνότης Πνεύματος; Ὅπως ἀκριβῶς εἰς τὸ σῶμα ὑπάρχει πνεῦμα τὸ ὁποῖον συνέχει τὰ πάντα, ἂν καὶ εἰς διάφορα μέλη, ἔτσι καὶ ἐδῶ. Διότι διὰ τοῦτο ἐδόθη τὸ Πνεῦμα, διὰ νὰ ἑνώσῃ ἐκείνους οἱ ὁποῖοι εἶναι χωρισμένοι κατὰ τὰ γένη καὶ κατὰ τοὺς τρόπους. Διότι ὁ γέρων καὶ ὁ νέος, ὁ πτωχὸς καὶ ὁ πλούσιος, τὸ παιδὶ καὶ ὁ ἔφηβος, ἡ γυναίκα καὶ ὁ ἄνδρας καὶ κάθε ψυχὴ γίνεται ἕνα, καὶ περισσότερον ἀπὸ ὅσον ἐὰν ἦτο ἕνα σῶμα. Διότι ἀπὸ αὐτὴν τὴν συγγένειαν πολὺ μεγαλυτέρα εἶναι ἐκείνη, καὶ αὐτὴ ἡ ἕνωσις εἶναι τελειοτέρα. Διότι ἡ ἕνωσις τῆς ψυχῆς εἶναι τελειοτέρα, ὅσον καὶ πιὸ ἁπλῆ καὶ ἀσύνθετος εἶναι αὐτή.

Πῶς ὅμως διατηρεῖται αὐτή; «Διὰ τοῦ συνδέσμου τῆς εἰρήνης». Δὲν εἶναι δυνατὸν νὰ ζῇ αὐτὴ μέσα εἰς ἔχθραν καὶ διχόνοιαν. Διότι «ὅταν ὑπάρχῃ μεταξύ σας», λέγει, «ζηλοτυπία καὶ φιλονεικία καὶ διαίρεσις, δὲν εἶσθε τότε γήϊνοι καὶ δὲν φέρεσθε ὡσὰν κοινοὶ ἄνθρωποι;». Διότι ὅπως ἀκριβῶς τὸ πῦρ, ὅταν μὲν εὕρῃ ξηρὰ φύλα, εἰς μίαν φωτιὰν μετατρέπει τὰ πάντα, ἐνῷ ὅταν εἶναι ὑγρά, οὔτε ἐνεργεῖ ἐπάνω των, οὔτε τὰ ἀνάπτει, ἔτσι καὶ ἐδῶ· τίποτε ἀπὸ ὅσα ψυχραίνουν τὴν ἀγάπην δὲν ἠμπορεῖ νὰ τὴν κάνῃ νὰ συνενώνῃ, ἐνῷ αὐτὸ ἠμπορεῖ νὰ τὸ κάνῃ, ὡς ἐπὶ τὸ πλεῖστον, τὸ καθένα ἀπὸ ὅσα τὴν θερμαίνουν. Ἀπὸ αὐτὸ λοιπὸν γεννᾶται καὶ ἡ θερμότης τῆς ἀγάπης· ἀπὸ τὸν σύνδεσμον τῆς εἰρήνης θέλει νὰ δέσῃ μαζὶ ὅλους ἐμᾶς. Ὅπως ἀκριβῶς δηλαδή, λέγει, ἐὰν θέλῃς νὰ προσδέσῃς τὸν ἑαυτόν σου εἰς κάποιον ἄλλον, δὲν θὰ ἠμπορέσῃς νὰ τὸ κάνῃς αὐτὸ μὲ ἄλλον τρόπον, παρὰ μὲ τὸ νὰ προσδέσῃς καὶ ἐκεῖνον εἰς τὸν ἑαυτόν σου· ἐὰν βεβαίως θέλῃς νὰ κάνῃς διπλοῦν τὸν δεσμόν, πρέπει καὶ ἐκεῖνος νὰ προσδεθῇ εἰς ἐσένα· ἔτσι καὶ ἐδῶ θέλει νὰ συνδεθοῦν μεταξύ των, ὄχι ἁπλῶς νὰ εἰρηνεύουν, οὔτε ἁπλῶς ν' ἀγαποῦν, ἀλλὰ νὰ εἶναι ὅλοι ἕνα, μία ψυχή.

Καλὸς οὗτος ὁ δεσμός· τούτῳ τῷ δεσμῷ καὶ ἀλλήλοις καὶ πρὸς τὸν Θεὸν συνδήσωμεν ἑαυτούς. Οὐ θλίβει, οὐ πιέζει τὰς δεδεμένας χεῖρας οὗτος ὁ δεσμός, ἀλλ᾽ ἀνίησι, καὶ ἐν εὐρυχωρίᾳ καθίστησι πολλῇ, καὶ τῶν λελυμένων μᾶλλον εὐθυμεῖσθαι ποιεῖ. Ὁ ἰσχυρὸς καὶ δεδεμένος μετὰ τοῦ ἀσθενοῦς διαβαστάζει τε ἐκεῖνον, καὶ οὐκ ἀφίησιν ἀπολέσθαι· κἂν μετὰ τοῦ ῥαθύμου προσδεθῇ, διεγείρει μᾶλλον αὐτόν. «Ἀδελφὸς γὰρ ὑπὸ ἀδελφοῦ βοηθούμενος», φησίν, «ὡς πόλις ὀχυρά». Ταύτην τὴν ἅλυσιν οὐχ ὁδῶν διάστημα κωλῦσαι δύναται, οὐκ οὐρανός, οὐ γῆ, οὐ θάνατος, οὐκ ἄλλο οὐδέν, ἀλλὰ πάντων ἐστὶ κρείττω καὶ ἰσχυροτέρα. Αὕτη καὶ ἀπὸ μιᾶς τεχθεῖσα ψυχῆς, δύναται πολλοὺς ὁμοῦ περιλαβεῖν. Ἄκουε γὰρ Παύλου λέγοντος· «Οὐ στενοχωρεῖσθε ἐν ἡμῖν, στενοχωρεῖσθε δὲ ἐν τοῖς σπλάγχνοις ὑμῶν· πλατύνθητε καὶ ὑμεῖς».

Τί δὴ οὖν τοῦτον λυμαίνεται τὸν δεσμόν; Χρημάτων ἔρως, φιλαρχίας, δόξης, καὶ τῶν ἄλλων τῶν τοιούτων· χαύνους αὐτοὺς ποιεῖ καὶ διακόπτει. Πῶς οὖν ἵνα μὴ διακοπῶσιν; Ἐὰν ταῦτα ἐκποδὼν γένηται, καὶ μηδὲν παρενοχλῇ τῶν διαφθειρόντων τὴν ἀγάπην. Ἄκουε γὰρ τοῦ Χριστοῦ λέγοντος· «Ὅταν πληθυνθῇ ἡ ἀνομία, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν». Οὐδὲν οὕτως ἐναντίον ἀγάπῃ, ὡς ἁμαρτία, καὶ οὐ λέγω τῇ πρὸς τὸν Θεόν, ἀλλὰ τῇ πρὸς τὸν πλησίον. Πῶς οὖν λῃσταὶ εἰρηνεύουσι, φησί; Πότε, εἰπέ μοι; Οὐχ ὅταν λῃστρικῷ τρόπῳ χρήσωνται. Ἂν γὰρ ἐν αὐτοῖς, οἷς ἂν διανέμωνται, μὴ τοὺς νόμους φυλάττωσι τοὺς τοῦ δικαίου, καὶ ἑκάστῳ ἀπονέμωσι τὸ δίκαιον, εὑρήσεις κἀκείνους ἐν πολέμοις καὶ μάχαις. Ὥστε οὐδὲ ἐν τοῖς κακοῖς τὴν εἰρήνην ἔ-

---

18. Παροιμ. 18, 19.
19. Β΄ Κορ. 6, 12-13.
20. Ματθ. 24, 12.

Καλὸς εἶναι αὐτὸς ὁ δεσμός· μὲ αὐτὸν τὸν δεσμὸν καὶ μεταξύ μας καὶ μὲ τὸν Θεὸν ἂς συνδέσωμεν τοὺς ἑαυτούς μας. Δὲν πονεῖ οὔτε πιέζει τὰ δεμένα χέρια αὐτὸς ὁ δεσμός, ἀλλὰ ἐλευθερώνει καὶ μᾶς ὁδηγεῖ εἰς πολλὴν εὐρυχωρίαν, καὶ μᾶς κάνει περισσότερον νὰ αἰσθανώμεθα λυμένοι. Ὅταν ὁ ἰσχυρὸς εἶναι δεμένος μαζὶ μὲ τὸν ἀσθενῆ, στηρίζει καὶ ἐκεῖνον καὶ δὲν τὸν ἀφήνει νὰ χαθῇ· καὶ ἂν συνδεθῇ μὲ τὸν ὀκνηρόν, διεγείρει αὐτὸν εἰς τὸ νὰ εἶναι πρόθυμος. Διότι «ὅταν ὁ ἕνας ἀδελφὸς βοηθῆται ὑπὸ ἄλλου ἀδελφοῦ», λέγει, «εἶναι καὶ οἱ δύο ὡς ἡ ὠχυρωμένη πόλις»[18]. Αὐτὴν τὴν ἀλυσίδα οὔτε ἡ ἀπόστασις τῶν ὁδῶν ἠμπορεῖ νὰ τὴν ἐμποδίσῃ, οὔτε ὁ οὐρανός, οὔτε ἡ γῆ, οὔτε ὁ θάνατος, οὔτε τίποτε ἄλλο, ἀλλ' εἶναι ἰσχυροτέρα καὶ δυνατωτέρα ἀπὸ ὅλα. Αὐτὴ ἡ ἀγάπη, καὶ ἀπὸ μίαν ψυχὴν ἐὰν γεννηθῇ, ἠμπορεῖ νὰ συμπεριλάβῃ πολλοὺς μαζί. Διότι ἄκουσε τὸν Παῦλον ὅταν λέγῃ· «Δὲν ὑπάρχουν περιορισμοὶ ἐκ μέρους μας· ὁ περιορισμὸς εἶναι εἰς τὰ ἰδικά σας αἰσθήματα. Ἀνταποδώσατε τὰ ἴδια, ἀνοίξατε καὶ σεῖς τὴν καρδίαν σας»[19].

Τί καταστρέφει λοιπὸν αὐτὸν τὸν δεσμόν; Ἡ ἀγάπη τῶν χρημάτων, τῆς ἐξουσίας, τῆς δόξης καὶ τῶν ἄλλων ὅσα εἶναι ὅμοια μὲ αὐτά· αὐτὰ τοὺς ἀποχαυνώνουν καὶ τοὺς κατακόπτουν. Πῶς λοιπὸν νὰ μὴ κατακοποῦν; Ὅταν αὐτὰ ἀπομακρύνωνται καὶ τίποτε δὲν ἐμποδίζῃ αὐτοὺς οἱ ὁποῖοι καταστρέφουν τὴν ἀγάπην. Διότι ἄκουσε τὸν Χριστὸν ὁ ὁποῖος λέγει· «Καὶ ἐπειδὴ θὰ πληθυνθῇ ἡ ἀνομία, θὰ ψυχρανθῇ ἡ ἀγάπη τῶν πολλῶν»[20]. Τίποτε δὲν εἶναι τόσον ἐνάντιον εἰς τὴν ἀγάπην, ὅσον ἡ ἁμαρτία, καὶ δὲν ἐννοῶ μόνον τὴν πρὸς τὸν Θεὸν ἀγάπην, ἀλλὰ καὶ τὴν πρὸς τὸν πλησίον. Πῶς λοιπόν, λέγει, οἱ λησταὶ ἔχουν μεταξύ των εἰρήνην; Πότε; εἰπέ μου. Ἀσφαλῶς ὄχι ὅταν ληστεύωνται μεταξύ των. Διότι ἐὰν μεταξύ των, εἰς ὅσα μοιράζωνται, δὲν φυλάξουν τοὺς νόμους τοῦ δικαίου καὶ δὲν ἀποδώσουν εἰς τὸν καθένα ὅ,τι τοῦ ἀναλογεῖ, θὰ εὕρῃς καὶ ἐκείνους νὰ εὑρίσκωνται εἰς πόλεμον καὶ συγκρούσεις. Ὥστε οὔτε εἰς τὰ κακὰ

στιν εὑρεῖν· πανταχοῦ δὲ ταύτην ἔστιν εὑρεῖν, ὅπου ἂν μετὰ δικαιοσύνης καὶ ἀρετῆς βιῶσιν.

Ἀλλὰ τί; ἀντερασταὶ μὴ εἰρηνεύουσιν; Οὐδαμῶς. Ἀλλὰ τίνα βούλει εἴπω; Πλεονέκτης μετὰ πλεονέκτου οὐκ ἂν εἰρηνεύσειέ ποτε· ὡς εἴγε μὴ ἦσαν δίκαιοι καὶ ἐπιεικεῖς καὶ ἀδικούμενοι μεταξὺ αὐτῶν, διεσπάσθη ἂν τὸ γένος. Καθάπερ δύο θηρίων σφόδρα πεινώντων, ἂν μή τι γένηται μέσον τὸ δυνάμενον ὑπ' αὐτῶν ἀναλωθῆναι, ἑαυτὰ κατεσθίουσιν· οὕτω καὶ ἐπὶ τῶν πλεονεκτῶν καὶ τῶν κακῶν ἐγένετο ἄν. Ὥστε οὐκ ἔνι εἰρήνην εἶναι, μὴ πρότερον ἀρετῆς κατορθωθείσης. Κατασκευάσωμεν πόλιν πάντων πλεονεκτῶν καί ἰσοτίμων, καὶ μηδεὶς φερέτω τὸ ἀδικεῖσθαι, ἀλλὰ πάντες ἀδικείτωσαν· μὴ δύναται συστῆναι ἡ πόλις ἐκείνη; Οὐδαμῶς. Ἀλλὰ μοιχῶν ἐστιν εἰρήνη; Ἀλλ' οὐχὶ εὑρήσεις οὐδὲ δύο ὁμονοοῦντας.

Ὥστε οὐδὲν τούτου αἴτιον πάλιν ἢ τὸν τὴν ἀγάπην ψυγῆναι· τοῦ δὲ τὴν ἀγάπην ψυγῆναι αἴτιον τὸ πληθυνθῆναι τὴν ἀνομίαν. Εἰ γὰρ φιλαυτίαν ἄγει τοῦτο, καὶ διαιρεῖ καὶ σχίζει τὸ σῶμα, καὶ χαυνοῖ καὶ διασπᾷ. Ἔνθα δὲ ἀρετή, τὸ ἐναντίον ποιεῖ. Ὁ μὲν γὰρ ἐνάρετος καὶ χρημάτων κρείττων, κἂν μυρίοι ὦσιν ἐν πενίᾳ, δύναιτ' ἂν εἶναι εἰρηνικός· οἱ δὲ πλεονέκται, κἂν δύο ὦσιν, οὐδέποτε δύνανται ἐν εἰρήνῃ εἶναι. Ὥστε ἂν ἡμεῖς ὦμεν ἐνάρετοι, ἡ ἀγάπη οὐκ ἀπολεῖται· ἀπὸ γὰρ ἀγάπης ἡ ἀρετή, καὶ ἀπὸ ἀρετῆς ἡ ἀγάπη. Καὶ πῶς, ἐγὼ λέγω. Ὁ ἐνάρετος οὐ προτιμᾷ χρήματα φιλίας, οὐδὲ μνησίκακός ἐστιν, οὐδὲ ἀδικεῖ τὸν πλησίον, οὐχ ὑβρίζει, φέρει πάντα γενναίως. Ἀπὸ τούτων ἡ ἀγάπη συνίσταται. Πάλιν

εἶναι δυνατὸν νὰ εὕρωμεν τὴν εἰρήνην· εἶναι δυνατὸν ὅμως παντοῦ νὰ εὕρωμεν αὐτήν, ὅπου ζοῦν μὲ δικαιοσύνην καὶ ἀρετήν.

Ἀλλὰ μήπως ἔχουν εἰρήνην οἱ ἀντερασταί; Καθόλου. Ἀλλὰ διὰ ποῖον θέλεις νὰ εἴπω; Ὁ πλεονέκτης μὲ τὸν πλεονέκτην δὲν θὰ εἰρήνευε ποτέ· διότι ἐὰν βεβαίως δὲν ἦσαν οἱ ἄνθρωποι δίκαιοι καὶ ἐπιεικεῖς μεταξύ των, θὰ εἶχε διασπασθῆ τὸ γένος. Ὅπως ἀκριβῶς δύο θηρία τὰ ὁποῖα πεινοῦν πολύ, ἂν δὲν παρουσιασθῇ ἐμπρός των κάτι τὸ ὁποῖον ἠμποροῦν νὰ φάγουν, κατατρώγονται μεταξύ των, ἔτσι θὰ ἐγίνετο καὶ μὲ τοὺς πλεονέκτας καὶ τοὺς κακούς. Ὥστε δὲν εἶναι δυνατὸν νὰ ὑπάρχῃ εἰρήνη, ἐὰν προηγουμένως δὲν ἔχῃ κατορθωθῆ ἡ ἀρετή. Ἂς ὑποθέσωμεν ὅτι κατασκευάζομεν μίαν πόλιν, ὅπου ὅλοι οἱ πολῖται εἶναι πλεονέκται καὶ ἔχουν τὴν ἰδίαν ἀξίαν καὶ τὰ ἴδια δικαιώματα, καὶ κανεὶς δὲν ἀνέχεται ν' ἀδικῆται, ἀλλὰ ὅλοι ἀδικοῦν· μήπως εἶναι δυνατὸν νὰ σταθῇ ἐκείνη ἡ πόλις; Καθόλου. Ἀλλὰ μήπως ὑπάρχει εἰρήνη μεταξὺ μοιχῶν; Δὲν θὰ εὕρῃς ὅμως οὔτε δύο νὰ ὁμονοοῦν.

Ὥστε καμμία ἄλλη αἰτία δὲν ὑπάρχει πάλιν, παρὰ τὸ ὅτι ἐψυχράνθη ἡ ἀγάπη· ἡ δὲ αἰτία διὰ τὸ ὅτι ἐψυχράνθη ἡ ἀγάπη, εἶναι ὅτι ἐπληθύνθη ἡ ἀνομία. Διότι αὐτὸ παρασύρει εἰς φιλαυτίαν καὶ διαιρεῖ καὶ σχίζει τὸ σῶμα καὶ ἀποχαυνώνει καὶ διασπᾷ. Ὅπου ὅμως ὑπάρχει ἀρετή, κάνει τὸ ἀντίθετον. Διότι ὁ μὲν ἐνάρετος, καὶ ὅταν εἶναι κύριος χρημάτων καὶ ὅταν εἶναι χιλιάδες εἰς πτωχείαν, δύναται νὰ εἶναι εἰρηνικός· ἐνῷ οἱ πλεονέκται, ἀκόμη καὶ ἂν εἶναι δύο, οὐδέποτε ἠμποροῦν νὰ εἰρηνεύσουν. Ὥστε ἐὰν ἐμεῖς εἴμεθα ἐνάρετοι, ἡ ἀγάπη δὲν ἀφανίζεται. Διότι ἀπὸ τὴν ἀγάπην γεννᾶται ἡ ἀρετή, καὶ ἡ ἀρετὴ ἀπὸ τὴν ἀγάπην. Καὶ θὰ σᾶς εἴπω μὲ ποῖον τρόπον. Ὁ ἐνάρετος δὲν προτιμᾷ τὰ χρήματα ἀπὸ τὴν φιλίαν, οὔτε μνησίκακος εἶναι, οὔτε ἀδικεῖ τὸν πλησίον, οὔτε ὑβρίζει, ὑπομένει τὰ πάντα μὲ γενναιότητα. Ἀπὸ αὐτὰ συνίσταται ἡ ἀγάπη. Καὶ πάλιν, ἐκεῖνος ὁ ὁποῖος

ὁ ἀγαπῶν, πάντα ταῦτα ὑφίσταται. Οὕτως ἀλλήλων ἐστὶ κατασκευαστικά. Καὶ τοῦτο μὲν ἐντεῦθεν δείκνυται, ὅτι ἀπὸ ἀρετῆς ἡ ἀγάπη· τῷ γὰρ εἰπεῖν, «Ὅταν πληθυνθῇ ἡ ἀνομία, ψυγήσεται ἡ ἀγάπη», τοῦτο ἐδήλωσεν· ὅτι δὲ ἀπὸ ἀγάπης ἡ ἀρετή, «Ὁ ἀγαπῶν τὸν πλησίον, νόμον ἐπλήρωσε», φησίν. Ὥστε ἓν τῶν δύο εἶναι χρή, ἢ σφόδρα φιλικὸν καὶ ἐρώμενον ἢ σφόδρα ἐνάρετον. Ὁ γὰρ τὸ ἓν ἔχων, ἐξ ἀνάγκης καὶ τὸ ἕτερον κέκτηται· καὶ τοὐναντίον, ὁ μὴ εἰδὼς φιλεῖν, καὶ πονηρὰ ἐργάσεται πολλά· ὁ πονηρὰ ἐργαζόμενος, οὐδὲ φιλεῖν οἶδε.

4. Μεταδιώξωμεν τοίνυν τὴν ἀγάπην· φρούριον γάρ ἐστι πρὸς τὸ μηδὲν συγχωρῆσαι ἡμᾶς κακὸν παθεῖν. Συνδήσωμεν τοίνυν ἑαυτούς. Μηδὲν δολερὸν ἔστω παρ' ἡμῖν, μηδὲν ὕπουλον· οὐδὲν γὰρ εὑρίσκεται τοιοῦτον, ἔνθα ἂν ᾖ φιλία. Εἶπε δὲ τοῦτο καὶ ἄλλος σοφός τις ἀνήρ· «Ἐπὶ φίλον ἐὰν καὶ σπάσῃς ῥομφαίαν, μὴ ἀπελπίσῃς· ἔστι γὰρ ἐπάνοδος· ἐπὶ φίλον ἐὰν ἀνοίξῃς τὸ στόμα, μὴ ἀπογνῷς· ἔστι γὰρ διαλλαγή, ἄνευ ὀνειδισμοῦ, καὶ μυστηρίων ἀποκαλύψεως, καὶ πληγῆς δολίας· ἐν τούτοις ἀποφεύγει φίλος»· ἐν ἀποκαλύψει μυστηρίων· Ἂν πάντες τοίνυν ὦμεν φίλοι, οὐδὲ μυστηρίων δεῖ· ὥσπερ γὰρ αὐτός τις πρὸς ἑαυτὸν οὐδὲν ἔχει μυστήριον, οὐδὲ αὐτὸς ἑαυτὸν κρύπτειν δυνήσεται· οὕτως οὐδὲ τοὺς φίλους. Οὐκ ὄντων οὖν μυστηρίων, ἀδύνατος ἡ ἐκ τούτου διακοπή. Δι' οὐδὲν γὰρ ἔχομεν μυστήρια ἢ διὰ τὸ μὴ πᾶσι θαρρεῖν· ὥστε ὁ ψυγμὸς τῆς ἀγάπης πεποίηκε μυστήρια. Τί γὰρ ἔχεις μυστήριον; ἀδικῆσαι τὸν πλησίον βούλει; ἢ κωλύεις ἀγαθοῦ τινος

---

21. Ρωμ. 13, 8.
22. Σοφ. Σειρ. 22, 21-22.

ἀγαπᾷ, ὅλα αὐτὰ τὰ θέτει πλησίον. Ἔτσι βοηθοῦνται καὶ συγκροτοῦνται μεταξύ των. Καὶ αὐτὸ μὲν ἀποδεικνύεται ἐδῶ, ὅτι ἀπὸ τὴν ἀρετὴν γεννᾶται ἡ ἀγάπη· διότι μὲ τὸ νὰ εἴπῃ, «Ὅταν θὰ πληθυνθῇ ἡ ἀνομία, τότε θὰ ψυχρανθῇ ἡ ἀγάπη», αὐτὸ ἐφανέρωσε· διὰ τὸ ὅτι δὲ ἀπὸ τὴν ἀγάπη γεννᾶται ἡ ἀρετή, «ἐκεῖνος ὁ ὁποῖος ἀγαπᾷ τὸν πλησίον ἔχει ἐκπληρώσει τὸν νόμον»[11], λέγει. Ὥστε ἕνα ἀπὸ τὰ δύο πρέπει νὰ ὑπάρχῃ, ἢ νὰ εἶναι κανεὶς πολὺ φιλικὸς καὶ ν' ἀγαπᾷ ἢ πολὺ ἐνάρετος. Διότι ἐκεῖνος ὁ ὁποῖος ἔχει τὸ ἕνα ἀποκτᾷ κατ' ἀνάγκην καὶ τὸ ἄλλο· καὶ τὸ ἀντίθετον, ἐκεῖνος ὁ ὁποῖος δὲν ἀγαπᾷ, θὰ διαπράξῃ καὶ πολλὰ κακά· ἐκεῖνος ὁ ὁποῖος διαπράττει τὸ κακόν, οὔτε ν' ἀγαπᾷ γνωρίζει.

4. Ἂς ἐπιδιώξωμεν λοιπὸν τὴν ἀγάπην· διότι εἶναι φρούριον εἰς τὸ νὰ μὴ ἐπιτρέψῃ νὰ πάθωμεν κανένα κακόν. Ἂς συνδέσωμεν λοιπὸν τοὺς ἑαυτούς μας. Τίποτε δόλιον ἢ ὕπουλον ἂς μὴ ὑπάρχῃ μεταξύ μας. Τίποτε τέτοιον δὲν ὑπάρχει, ὅπου ὑπάρχει ἡ ἀγάπη. Τὸ εἶπε δὲ αὐτὸ καὶ κάποιος ἄλλος σοφὸς ἄνδρας· «Εἰς φίλον καὶ ἂν ἀκόμη σύρῃς τὸ ξίφος, μὴ ἀπελπισθῇς· διότι ὑπάρχει ὁδὸς ἐπιστροφῆς· εἰς φίλον καὶ ἂν ὁμιλήσῃς μὲ θυμόν, μὴ ἔλθῃς εἰς ἀπόγνωσιν· διότι ὑπάρχει δυνατότης συνδιαλλαγῆς. Μόνον εἰς τὸ νὰ τὸν ἐξευτελίσῃς, καὶ εἰς τὸ ν' ἀποκαλύψῃς μυστικά, καὶ νὰ τὸν πληγώσῃς μὲ δόλον, δὲν ὑπάρχει συμφιλίωσις· διότι αὐτὰ ἀποδιώκουν κάθε φίλον»[12]· εἰς τὸ ν' ἀποκαλύψῃς δηλαδὴ μυστικά. Ἂν λοιπὸν εἴμεθα ὅλοι φίλοι, οὔτε μυστικὰ χρειάζονται· διότι ὅπως ἀκριβῶς κανεὶς δὲν ἔχει μυστικὰ ἀπὸ τὸν ἑαυτόν του, οὔτε ἠμπορεῖ ν' ἀποκρύψῃ κάτι ἀπὸ τὸν ἑαυτόν του, ἔτσι οὔτε ἀπὸ φίλους. Ἐὰν δὲν ὑπάρχουν λοιπὸν μυστικά, εἶναι ἀδύνατος ἡ διακοπὴ τῆς φιλίας. Διότι διὰ κανένα ἄλλον λόγον δὲν ἔχομεν μυστικά, παρὰ διότι δὲν ἔχομεν θάρρος πρὸς ὅλους· ὥστε τὸ ὅτι ἐψυχράνθη ἡ ἀγάπη δημιουργεῖ μυστικά. Διότι τί ἔχεις μυστικόν; Θέλεις ν' ἀδικήσῃς τὸν πλησίον; Ἢ τὸν ἐμποδίζεις νὰ μετάσχῃ εἰς τὴν ἀπόλαυσιν κάποιου ἀγαθοῦ, καὶ δι' αὐτοῦ κρύπτεις τὰ

μετέχειν, καὶ διὰ τοῦτο κρύπτεις; Ἀλλ' οὐδὲν τούτων· ἀλλ' αἰσχύνῃ; Οὐκοῦν τοῦ μὴ θαρρεῖν τοῦτο τεκμήριον. Ἂν μὲν οὖν ἀγάπη ᾖ, οὐκ ἔσται μυστηρίων ἀποκάλυψις, ἀλλ' οὐδὲ ὀνειδισμός.

Τί γάρ, εἰπέ μοι; τίς ἂν τῇ ἑαυτοῦ ψυχῇ ὀνειδίσειεν; Εἰ δὲ καὶ γένοιτο, ἐπὶ κέρδει. Ἐπεὶ καὶ παισὶν ὀνειδίζομεν, δακεῖν αὐτοὺς βουλόμενοι· καὶ ὁ Χριστὸς τότε ἤρξατο ὀνειδίζειν τὰς πόλεις, λέγων, «Οὐαί σοι Χωραζίν, οὐαί σοι Βηθσαϊδά», ἵνα ὀνειδισμῶν ἀπαλλάξῃ. Οὐδὲν γὰρ οὕτω δύναται καθάψασθαι διανοίας, καὶ διαναστῆσαι μᾶλλον αὐτήν καὶ παρειμένην ἀνορθῶσαι. Μὴ δὴ ὀνειδίζωμεν ἁπλῶς ἀλλήλους. Τί γάρ; ἐπὶ χρήμασιν αὐτὸν ὀνειδίσεις; Μηδαμῶς, εἴγε κοινὰ τὰ ὄντα κέκτησαι. Ἀλλ' ἐπὶ ἁμαρτήμασιν; Ἀλλ' οὐδὲ τοῦτο, ἀλλὰ μᾶλλον διορθώσεις. «Καὶ πληγῆς», φησί, «δολίας». Τίς δὲ ἑαυτὸν ἀναιρήσει; τίς δὲ πλήξει; Οὐδὲ εἷς.

Διώκωμεν τοίνυν τὴν ἀγάπην. Οὐκ εἶπεν ἁπλῶς, ἀγαπῶμεν, ἀλλά, διώκωμεν. Πολλῆς δεῖ τῆς σπουδῆς· ταχέως ἀφανίζεται, ὀξεῖα πρὸς ἀναχώρησίν ἐστι· τοσαῦτα ἐν τῷ βίῳ τῷ πράγματι τούτῳ λυμαίνεται. Ἂν διώκωμεν αὐτήν, οὐ φθάσει ἀπελθεῖν, ἀλλὰ ταχέως αὐτὴν ἐξελκύσομεν. Ἡ ἀγάπη τοῦ Θεοῦ τῷ οὐρανῷ συνῆψε τὴν γῆν· ἡ ἀγάπη τοῦ Θεοῦ τὸν ἄνθρωπον ἐπὶ τὸν θρόνον τὸν βασιλικὸν ἐκάθισεν· ἡ ἀγάπη τοῦ Θεοῦ τὸν Θεὸν ἔδειξεν ἐπὶ τῆς γῆς· ἡ ἀγάπη τοῦ Θεοῦ τὸν δεσπότην δοῦλον ἐποίησεν· ἡ ἀγάπη τοῦ Θεοῦ ὑπὲρ τῶν ἐχθρῶν τὸν ἀγαπητόν, ὑπὲρ τῶν μισούντων τὸν Υἱόν, ὑπὲρ τῶν δούλων τὸν δεσπότην, ὑπὲρ τῶν ἀνθρώπων τὸν Θεόν, ὑπὲρ οἰκετῶν τὸν ἐλεύθερον ἐκδοθῆναι ἐποίησε. Καὶ οὐδὲ μέχρι τούτου ἔστη, ἀλλὰ καὶ ἐπὶ μείζονα ἡμᾶς ἐκάλεσεν. Οὐ γὰρ ἀπήλ-

23. Λουκᾶ 10, 13.
24. Α' Κορ. 14, 1.

ἔργα σου; Τίποτε ἀπὸ αὐτά· ἀλλ' ἐντρέπεσαι; Λοιπὸν αὐτὸ εἶναι ἀπόδειξις τοῦ ὅτι δὲν ὑπάρχει οἰκειότης καὶ θάρρος. Ἂν λοιπὸν ὑπάρχῃ ἀγάπη, δὲν θὰ ὑπάρχῃ ἀποκάλυψις μυστικῶν ἀλλ' οὔτε περιφρόνησις καὶ ἐξευτελισμός.

Διότι, εἰπέ μου, ποῖος θὰ ἐκατηγόρει τὴν ἰδικήν του ψυχήν; Ἐὰν ὅμως γίνῃ, θὰ γίνῃ πρὸς ὄφελος. Διότι καὶ τὰ παιδιὰ τὰ κατηγοροῦμεν, ἀλλ' ἐπειδὴ θέλομεν νὰ τὰ παιδεύσωμεν· καὶ ὁ Χριστὸς τότε ἤρχισε νὰ κατηγορῇ τὰς πόλεις, λέγων· «Ἀλλοίμονον εἰς ἐσὲ Χοραζίν, ἀλλοίμονον εἰς ἐσέ, Βηθσαϊδά»[23], ἀλλὰ διὰ ν' ἀπαλλάξῃ αὐτὰς ἀπὸ τὴν κατηγορίαν εἰς τὴν κρίσιν. Διότι τίποτε δὲν δύναται νὰ καταπραΰνῃ τόσον τὴν διάνοιαν καὶ νὰ τὴν ἀνασηκώσῃ καὶ ἐνῷ εἶναι ἀποχαυνωμένη νὰ τὴν ἀνορθώσῃ. Ἂς μὴ κατηγοροῦμεν λοιπὸν ὁ ἕνας τὸν ἄλλον χωρὶς λόγον. Διότι τί; διὰ χρήματα κατηγορεῖς αὐτόν; Καθόλου, ἐὰν βεβαίως ὅλα ὅσα ἀποκτᾷς εἶναι κοινά. Μήπως δι' ἁμαρτίας; Οὔτε ὅμως δι' αὐτό, ἀλλὰ μᾶλλον τὸ κάνεις πρὸς διόρθωσιν. «Καὶ νὰ τὸν πληγώσῃς», λέγει, «μὲ δόλον». Ποῖος ὅμως θὰ φονεύσῃ τὸν ἑαυτόν του; ποῖος θὰ πληγώσῃ; κανείς.

Ἂς ἐπιδιώκωμεν λοιπὸν τὴν ἀγάπην. Δὲν εἶπεν ἁπλῶς ν' ἀγαπῶμεν, ἀλλὰ νὰ ἐπιδιώκωμεν[24]. Χρειάζεται πολλὴ φροντίς· ταχέως ἐξαφανίζεται, ἀλλ' εἶναι καὶ πολὺ ταχεῖα εἰς τὸ ν' ἀναχωρῇ· τόσα πράγματα εἰς αὐτὴν τὴν ζωὴν τὴν καταστρέφουν. Ἂν τὴν ἐπιδιώκωμεν, δὲν θὰ προφθάσῃ νὰ ἀπέλθῃ, ἀλλὰ ταχέως θὰ τὴν συγκρατήσωμεν. Ἡ ἀγάπη τοῦ Θεοῦ ἥνωσε τὸν οὐρανὸν μὲ τὴν γῆν· ἡ ἀγάπη τοῦ Θεοῦ ἐκάθισε τὸν ἄνθρωπον εἰς τὸν βασιλικὸν θρόνον· ἡ ἀγάπη τοῦ Θεοῦ ἐφανέρωσε τὸν Θεὸν ἐπὶ τῆς γῆς· ἡ ἀγάπη τοῦ Θεοῦ ἔκανε τὸν Κύριον δοῦλον· ἡ ἀγάπη τοῦ Θεοῦ ἔκανε νὰ σταυρωθῇ πρὸς χάριν τῶν ἐχθρῶν ὁ ἀγαπητός, πρὸς χάριν τῶν μισούντων ὁ Υἱός, πρὸς χάριν τῶν δούλων ὁ δεσπότης, πρὸς χάριν τῶν ἀνθρώπων ὁ Θεός, πρὸς χάριν τῶν δούλων ὁ ἐλεύθερος. Καὶ οὔτε μέχρι ἐδῶ ἐσταμάτησεν, ἀλλὰ καὶ εἰς μεγαλύτερα μᾶς ἐκάλεσε. Διότι δὲν μᾶς ἀπήλλα-

λαξεν ἡμᾶς τῶν προτέρων κακῶν, ἀλλὰ καὶ πολλῷ μείζονα δώσειν ἕτερα ἐπηγγείλατο. Ὑπὲρ δὴ τούτων εὐχαριστήσαντες τῷ Θεῷ, πᾶσαν ἀρετὴν μετέλθωμεν, καὶ πρὸ πάντων τὴν ἀγάπην μετὰ ἀκριβείας κατορθώσωμεν, ἵνα καταξιωθῶμεν ἐπιτυχεῖν τῶν ἐπηγγελμένων ἀγαθῶν, χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ Πατρὶ ἅμα τῷ ἁγίῳ Πνεύματι, δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ξεν ἀπὸ τὰ προηγούμενα κακὰ μόνον, ἀλλὰ καὶ ὑπεσχέθη ὅτι θὰ μᾶς δωρήσῃ ἄλλα πολὺ μεγαλύτερα. Ὑπὲρ ὅλων αὐτῶν λοιπὸν ἀφοῦ εὐχαριστήσωμεν τὸν Θεόν, κάθε ἀρετὴν ἂς ἀποκτήσωμεν, διὰ νὰ καταξιωθῶμεν νὰ ἐπιτύχωμεν τὰ ἀγαθὰ ποὺ μᾶς ἔχει ὑποσχεθῆ μὲ τὴν χάριν καὶ τὴν φιλανθρωπίαν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Πατέρα καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ Ι΄
Ἐφ. 4, 4

«Ἓν σῶμα καὶ ἓν Πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν».

1. Ὅταν ἐπί τι μεῖζον παρακαλῇ ὁ μακάριος Παῦλος, συνετὸς ὢν σφόδρα καὶ πνευματικός, ἀπὸ τῶν ἐν τοῖς οὐρανοῖς ποιεῖται τὴν παράκλησιν, τοῦτο δὴ αὐτὸ παρὰ τοῦ Κυρίου μεμαθηκώς· καθὼς καὶ ἀλλαχοῦ φησι· «Περιπατεῖτε ἐν ἀγάπῃ, καθὼς καὶ ὁ Θεὸς ἠγάπησεν ἡμᾶς, καὶ παρέδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν»· καὶ πάλιν, «Τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ». Τοῦτο δὴ καὶ ἐνταῦθα ποιεῖ. Ὅταν γὰρ ᾖ τὰ ὑποδείγματα μεγάλα τὰ προκείμενα, σφοδρός ἐστιν ὁ ζῆλος καὶ ὁ πόθος. Τί γάρ φησιν, εἰς ἑνότητα προτρέπων ὑμᾶς; «Ἓν σῶμα καὶ ἓν Πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν· εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα».

Τί δέ ἐστιν, «ἓν σῶμα»; Οἱ πανταχοῦ τῆς οἰκουμένης πιστοί, καὶ ὄντες καὶ γενόμενοι καὶ ἐσόμενοι. Πάλιν καὶ οἱ πρὸ τῆς τοῦ Χριστοῦ παρουσίας εὐηρεστηκότες, ἕν σῶμά εἰσι. Πῶς; Ὅτι κἀκεῖνοι τὸν Χριστὸν ᾔδεσαν. Πόθεν δῆλον; «Ἀβραὰμ ὁ πατὴρ ὑμῶν ἠγαλλιάσατο, ἵνα ἴδῃ τὴν ἡμέραν τὴν ἐμήν, καὶ εἶδε, καὶ ἐχάρη»· καὶ πάλιν, «Εἰ ἐπιστεύετε», φησί, «Μωϋσῇ, ἐπιστεύετε ἂν ἐμοί· περὶ γὰρ ἐμοῦ ἐκεῖνος ἔγραψε», καὶ οἱ προφῆται. Οὐκ ἂν δὲ ἔγραψαν περὶ οὗ ἠγνόουν· οὐ γὰρ ἠγνόουν ἃ ἔλεγον. Εἰδότες δὲ αὐτόν, καὶ προσεκύνουν. Ὥστε κἀκεῖνοι ἓν σῶμα. Οὐ

---

1. Ἐφεσ. 4, 4.
2. Ἐφεσ. 5, 2.
3. Φιλιπ. 2, 5-6.
4. Ἐφεσ. 4, 4-5.
5. Ἰωάν. 8, 56.
6. Ἰωάν. 5, 46.

ΛΟΓΟΣ Ι΄
Ἐφ. 4, 4

«Ἕνα σῶμα ὑπάρχει καὶ ἕνα Πνεῦμα, καθὼς καὶ μία εἶναι ἡ ἐλπὶς τῆς κλήσεώς σας»[1].

1. Ὅταν προτρέπῃ διὰ κάτι μεγαλύτερον ὁ μακάριος Παῦλος, ἐπειδὴ εἶναι πολὺ συνετὸς καὶ πνευματικός, ἀπὸ τὰ εἰς τοὺς οὐρανοὺς κάμνει τὴν προτροπήν, ὅπως ἐδιδάχθη αὐτὸ ἀπὸ τὸν Κύριον καθὼς καὶ ἀλλοῦ λέγει· «Νὰ ζῆτε μὲ ἀγάπην ὅπως καὶ ὁ Χριστὸς μᾶς ἠγάπησε καὶ παρέδωσε τὸν ἑαυτόν του δι' ἐμᾶς»[2]· καὶ πάλιν· «Ἂς ἐπικρατῇ μεταξύ σας τὸ ἴδιον φρόνημα, τὸ ὁποῖον ὑπῆρχε καὶ εἰς τὸν Ἰησοῦν Χριστόν, ὁ ὁποῖος, ἂν καὶ εἶχε θεϊκὴν ὕπαρξιν, δὲν ἐθεώρησε τὸ ὅτι ἦτο ἴσος πρὸς τὸν Θεὸν ὡσὰν κάτι πρὸς ἁρπαγμόν»[3]. Αὐτὸ λοιπὸν κάνει καὶ ἐδῶ. Διότι ὅταν τὰ παραδείγματα τὰ ὁποῖα προβάλλονται εἶναι μεγάλα, εἶναι δυνατὸς ὁ ζῆλος καὶ ὁ πόθος. Διατί ὅμως, λέγει, μᾶς προτρέπει εἰς ἑνότητα; «Ἕνα σῶμα ὑπάρχει καὶ ἕνα Πνεῦμα, καθὼς καὶ μία εἶναι ἡ ἐλπὶς τῆς κλήσεώς σας, τὴν ὁποίαν ἐλάβετε. Ἕνας εἶναι ὁ Κύριος, μία ἡ πίστις, ἕνα τὸ βάπτισμα»[4].

Τί σημαίνει ὅμως «ἓν σῶμα»; Ὅλοι οἱ πιστοὶ τῆς οἰκουμένης, ὅπου εὑρίσκονται, καὶ ὅσοι εἶναι, καὶ ὅσοι ἔγιναν, καὶ ὅσοι θὰ γίνουν. Ἐπίσης καὶ ὅσοι εὐηρέστησαν τὸν Θεὸν πρὸ τῆς παρουσίας τοῦ Χριστοῦ, εἶναι ἕνα σῶμα. Πῶς; Διότι καὶ ἐκεῖνοι ἐγνώριζον τὸν Χριστόν. Ἀπὸ ποὺ εἶναι φανερόν; «Ὁ Ἀβραάμ, ὁ πατήρ σας, ᾐσθάνθη ἀγαλλίασιν, διότι ἐπρόκειτο νὰ ἴδῃ τὴν ἡμέραν μου καὶ εἶδε καὶ ἐχάρη»[5]. Καὶ πάλιν, «Ἐὰν ἐπιστεύατε εἰς τὸν Μωϋσῆν», λέγει, «θὰ ἐπιστεύατε καὶ εἰς ἐμέ, διότι δι' ἐμὲ ἔγραψεν ἐκεῖνος»[6], καὶ οἱ προφῆται. Δὲν θὰ ἔγραφον ὅμως δι' ἐκεῖνον τὸν ὁποῖον ἠγνόουν· διότι δὲν ἠγνόουν ὅσα ἔλεγον. Ἐφ' ὅσον δὲ ἐγνώριζον αὐτόν, τὸν προσεκύνουν. Ὥστε καὶ ἐκεῖνοι εἶναι

διέστηκε σῶμα πνεύματος, ἐπεὶ οὐκ ἂν εἴη σῶμα. Καὶ γὰρ καὶ ἡμῖν ἔθος ἐπὶ τῶν ἡνωμένων καὶ πολλὴν τὴν ἀκολουθίαν ἐχόντων λέγειν, ἓν σῶμά ἐστιν.

Οὕτω καὶ ἡμεῖς ἐπὶ τῆς ἑνώσεως τὸ σῶμα λαμβάνομεν. Μία κεφαλή· εἰ δὲ μία κεφαλή, καὶ ἓν σῶμα. Τὸ σῶμα ἐξ ἐντίμων καὶ ἀτίμων σύγκειται μελῶν· πλὴν ἀλλ' οὔτε τοῦ φαυλοτάτου τὸ μεῖζον κατεξανίσταται, οὔτε τούτῳ ἐκεῖνο διαφθονεῖται. Καίτοιγε οὐ τὴν αὐτὴν συντέλειαν τὰ πάντα εἰσφέρει, ἀλλὰ κατὰ μὲν τὸν τῆς ἀνάγκης λόγον, καὶ ὅτι πάντα ἀναγκαίως γεγένηται, καὶ εἰς χρείας διαφόρους, πάντα ὁμότιμα· ἔστι δὲ τὰ μὲν καιριώτατα, τὰ δὲ ἥττονα. Οἷον, ἡ κεφαλὴ παντὸς τοῦ σώματός ἐστι κυριωτέρα, τάς τε αἰσθήσεις πάσας ἐν ἑαυτῇ ἔχουσα, καὶ τὸ τῆς ψυχῆς ἡγεμονικόν, καὶ κεφαλῆς ἄνευ ζῆσαι οὐκ ἔνι· ποδῶν δὲ ἐκκοπέντων πολλοὶ πολὺν χρόνον ἐβίωσαν. Ὥστε οὐ τῇ θέσει μόνον αὕτη βελτίων ἐκείνων, ἀλλὰ καὶ αὐτῇ τῇ ἐνεργείᾳ καὶ τῇ τάξει.

Τί δὴ τοῦτο λέγω; Εἰσὶν ἐν τῇ ἐκκλησίᾳ πολλοί, εἰσὶν εἰς ὕψος ἀνωρθωμένοι, καθάπερ ἡ κεφαλή, τὰ οὐράνια περισκοποῦντες, καθάπερ οἱ ὀφθαλμοὶ οἱ ἐν τῇ κεφαλῇ, πολὺ τῆς γῆς ἀφεστηκότες, οὐδὲν ἔχοντες κοινὸν πρὸς αὐτήν· ἄλλοι δὲ ποδῶν τάξιν ἐπέχουσι, τὴν γῆν πατοῦντες, ποδῶν μέντοι ὑγιεινῶν. Οὐ γὰρ τὸ τὴν γῆν πατεῖν ἔγκλημα ποδῶν, ἀλλὰ τὸ εἰς πονηρίαν τρέχειν· «Οἱ πόδες γὰρ αὐτῶν», εἰς πονηρίαν τρέχουσι». Μηδὲ οὗτοι, φησί, μέγα φρονείτωσαν κατὰ τῶν ποδῶν, μηδὲ ἐκεῖνοι τούτοις βασκαινέτωσαν· ἐπεὶ τὸ οἰκεῖον ἑκάστου κάλλος ἀνῄρηται, καὶ ἡ

7. Ἡσ. 59, 7.

ἕνα σῶμα. Δὲν χωρίζει τὸ σῶμα ἀπὸ τὸ πνεῦμα, ἐπειδὴ δὲν θὰ ἦτο τότε σῶμα. Ἀλλὰ καὶ εἰς ἐμᾶς ὑπάρχει συνήθεια νὰ λέγωμεν δι' ὅσα εἶναι ἡνωμένα καὶ εἶναι στενὰ συνδεδεμένα μεταξύ των, ὅτι εἶναι ἕνα σῶμα.

Ἔτσι καὶ ἡμεῖς χρησιμοποιοῦμεν ὡς παράδειγμα διὰ τὴν ἕνωσιν τὸ σῶμα. Μία κεφαλή· ἐὰν ὅμως μία εἶναι ἡ κεφαλή, ἕνα εἶναι καὶ τὸ σῶμα. Τὸ σῶμα συνίσταται ἀπὸ μέλη τιμώμενα καὶ μή· ἀλλ' ὅμως οὔτε τὸ πλέον τιμώμενον ἐπαναστατεῖ κατὰ τοῦ ἀσχημοτέρου, οὔτε αὐτὸ φθονεῖ τὸ ἄλλο, καὶ παρὰ τὸ γεγονὸς ὅτι δὲν προσφέρουν ὅλα τὴν ἰδίαν βοήθειαν, ἀλλὰ συμφώνως πρὸς τὴν ἀνάγκην τὴν ὁποίαν καλύπτουν, διότι ὅλα δι' ἀνάγκην ἔγιναν καὶ διὰ διαφόρους ἀνάγκας, παρ' ὅλα αὐτὰ ὅλα εἶναι ἰσότιμα· ἀλλ' ὅμως ἄλλα εἶναι πάρα πολὺ χρήσιμα, ἄλλα δὲ ὀλιγώτερον. Ὅπως, ἡ κεφαλὴ εἶναι ἡ κυριωτέρα ἀπὸ ὅλον τὸ σῶμα, τὰ ἄλλα δὲ ὀλιγώτερον· διότι ἔχει μέσα της ὅλας τὰς αἰσθήσεις καὶ τὸ ἡγεμονικὸν τῆς ψυχῆς, καὶ δὲν εἶναι δυνατὸν νὰ ζήσῃ κανεὶς χωρὶς κεφαλήν· ἐνῷ πολλοὶ ἔζησαν, ἂν καὶ τοὺς εἶχον κοπῆ τὰ πόδια ἐπὶ πολὺν χρόνον. Ὥστε, ὄχι μόνον ὡς πρὸς τὴν θέσιν εἶναι αὐτὴ καλυτέρα ἀπὸ ἐκεῖνα, ἀλλὰ καὶ ὡς πρὸς αὐτὰς τὰς ἐνεργείας καὶ τὴν τάξιν.

Διατί ὅμως λέγω αὐτά; Ὑπάρχουν εἰς τὴν ἐκκλησίαν πολλοί, ποὺ εἶναι ἀνωρθωμένοι εἰς ὕψος, ὅπως ἀκριβῶς ἡ κεφαλή, οἱ ὁποῖοι ἀτενίζουν ἀπὸ ὕψος εἰς τὰ οὐράνια, ὅπως οἱ ὀφθαλμοὶ οἱ εὑρισκόμενοι εἰς τὴν κεφαλήν, καὶ ἀπέχουν πολὺ ἀπὸ τὴν γῆν, μὴ ἔχοντες τίποτε κοινὸν πρὸς αὐτήν· ἄλλοι πάλιν ἐπέχουν θέσιν ποδῶν, πατοῦντες εἰς τὴν γῆν, ἀλλὰ ποδῶν ὑγιῶν κατὰ τὴν πίστιν. Καθ' ὅσον ἔγκλημα τῶν ποδῶν δὲν εἶναι τὸ νὰ πατοῦν εἰς τὴν γῆν, ἀλλὰ τὸ νὰ τρέχουν εἰς τὰ πονηρὰ ἔργα· διότι, λέγει, «οἱ πόδες αὐτῶν τρέχουν πρὸς τὸ κακόν»[7]. Οὔτε αὐτοί, λέγει, ἂς μὴ μεγαλοφρονοῦν κατὰ τῶν ποδῶν, οὔτε ἐκεῖνοι ἂς μὴ φθονοῦν αὐτούς· ἐπειδὴ ἔτσι τὸ ἰδιαίτερον κάλλος ἑκάστου μέλους ἀφανίζεται, καὶ ἐμποδίζεται ἡ ἀνεξάρτητος σχέσις·

χρεία ἡ αὐτοτελὴς ἐμπεπόδισται· καὶ ὁ τῷ πλησίον ἐπιβουλεύων, ἑαυτῷ πρῶτον ἐπεβούλευσεν. Ἄν τε γὰρ οἱ πόδες μὴ βουληθῶσι κομίσαί που τὴν κεφαλὴν εἰς ἔξοδον ἀναγκαίαν, καὶ ἑαυτοῖς ἐλυμήνατο διὰ τῆς ἀκινησίας καὶ τοῦ ὄκνου· ἄν τε ἡ κεφαλὴ μηδεμίαν βουληθῇ τῶν ποδῶν ποιήσασθαι τὴν πρόνοιαν, αὐτὴ πρώτη τὴν βλάβην ἐδέξατο.

Ἀλλ' ἐκεῖνα μὲν εἰκότως ἀλλήλων οὐ κατεξανίσταται· φυσικῶς γὰρ οὕτω τέτακται· ἄνθρωπον δὲ πῶς δυνατὸν ἀνθρώπου μὴ κατεξαναστῆναι; Οὐδὲ γὰρ ἀγγέλων κατεξανίσταται· ἐπειδὴ οὔτε ἐκεῖνοι τῶν ἀρχαγγέλων· οὐδὲ ἐμοῦ πάλιν τὰ ἄλογα μεῖζόν τι φρονῆσαι δύναται· ἔνθα δὲ ὁμότιμος ἡ φύσις, μία ἡ δωρεά, καὶ οὐδὲν οὗτος ἐκείνου πλέον ἔσχηκε, πῶς οὐ μὴ κατεξαναστῇ; Καὶ μὴν διὰ ταῦτα κατεξαναστῆναι οὐκ ὀφείλεις κατὰ τοῦ πλησίον. Εἰ γὰρ πάντα κοινά, καὶ οὐδὲν ἕτερος ἑτέρου πλέον ἔχει, πόθεν ἡ ἀπόνοια; Φύσεως μετέχομεν τῆς αὐτῆς, ψυχῆς καὶ σώματος ὁμοίως, τὸν αὐτὸν ἀναπνέομεν ἀέρα ταῖς αὐταῖς κεχρήμεθα τροφαῖς· πόθεν ἡ ἐξανάστασις; Καὶ μὴν τὸ δύνασθαι διὰ τὴν ἀρετὴν τῶν ἀσωμάτων περιγίνεσθαι δυνάμεων ἱκανὸν εἰς ἀλαζονείαν ἀγαγεῖν· μᾶλλον δὲ οὐκ ἂν εἴη τοῦτο ἀλαζονεία.

Ἐγὼ γὰρ εἰκότως κατὰ τοῦ δαίμονος μέγα φρονῶ, καὶ σφόδρα μέγα. Καὶ ὅρα καὶ Παῦλος πῶς μέγα ἐφρόνει κατὰ τοῦ δαίμονος. Ὅτε γὰρ μεγάλα περὶ αὐτοῦ ἔλεγε καὶ θαυμαστὰ ὁ δαίμων, ἐπεστόμισεν αὐτόν, οὐδὲ κολακεύοντος ἀνασχόμενος. Λεγούσης γὰρ ἐκείνης τῆς παιδίσκης τῆς τὸ πνεῦμα τοῦ πύθωνος ἐχούσης, «Οὗτοι οἱ ἄνθρωποι δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσίν, οἵτινες καταγγέλλουσιν ἡμῖν ὁδὸν

8. Πράξ. 16, 17.

καὶ ἐκεῖνος ὁ ὁποῖος ἐπιβουλεύεται τὸν πλησίον του, πρῶτον τὸν ἑαυτόν του ἐπεβουλεύθη. Διότι ἂν οἱ πόδες δὲν θελήσουν νὰ μεταφέρουν κάπου τὴν κεφαλὴν εἰς κάποιαν ἔξοδον ἀπαραίτητον, καὶ τοὺς ἑαυτούς των ἔβλαψαν ἐξ αἰτίας τῆς ὀκνηρίας των καὶ τῆς ἀκινησίας των· καὶ ἐὰν ἡ κεφαλὴ δὲν θελήσῃ νὰ λάβῃ οὐδεμίαν πρόνοιαν διὰ τοὺς πόδας, πρώτη αὐτὴ ἐδέχθη τὴν βλάβην.

'Αλλ' ἐκεῖνα μὲν ὀρθῶς δὲν ἐπαναστατοῦν μεταξύ των· διότι ἐκ φύσεως ἔτσι ἔχουν ταχθῆ· πῶς δὲν εἶναι δυνατὸν νὰ μὴ ἐπαναστατήσῃ ἄνθρωπος ἐναντίον ἀνθρώπου; Διότι δὲν ἐπαναστατεῖ ἐναντίον ἀγγέλων, ἐπειδὴ οὔτε ἐκεῖνοι ἐπαναστατοῦν κατὰ τῶν ἀρχαγγέλων· οὔτε πάλιν τὰ ἄλογα ὄντα ἠμποροῦν νὰ σκεφθοῦν ὑψηλότερα ἀπὸ ἐμένα εἰς κάτι· ὅπου ὅμως εἶναι ἰσότιμος ἡ φύσις καὶ εἶναι μία καὶ ἡ δωρεά, καὶ τίποτε περισσότερον δὲν ἔχει αὐτὸς ἀπὸ ἐκεῖνον, πῶς δὲν θὰ ἐπαναστατήσῃ; 'Αλλ' ὅμως ἀκριβῶς δι' αὐτὰ ὀφείλεις νὰ μὴ ἐπαναστατῇς ἐναντίον τοῦ πλησίον σου. Διότι ἐὰν τὰ πάντα εἶναι κοινὰ καὶ δὲν ἔχῃ τίποτε περισσότερον ὁ ἕνας ἀπὸ τὸν ἄλλον, ἀπὸ ποῦ ἡ ἀνόητος τόλμη; Μετέχομεν εἰς τὴν αὐτὴν φύσιν, εἰς ψυχὴν καὶ σῶμα ὁμοίως, ἀναπνέομεν τὸν ἴδιον ἀέρα, χρησιμοποιοῦμεν τὰς αὐτὰς τροφάς· ἀπὸ ποῦ ἡ ἐπανάστασις; Καὶ ὅμως τὸ ὅτι ἠμποροῦμεν νὰ ὑπερβαίνωμεν ἐξ αἰτίας τῆς ἀρετῆς τὰς ἀσωμάτους δυνάμεις, εἶναι ἀρκετὸν νὰ μᾶς ὁδηγήσῃ εἰς ἀλαζονείαν· μᾶλλον ὅμως δὲν θὰ ἦτο τοῦτο ἀλαζονεία.

'Εγὼ λοιπὸν δικαιολογημένα μεγαλοφρονῶ κατὰ τοῦ δαίμονος, καὶ πάρα πολὺ μάλιστα. Καὶ πρόσεχε πῶς καὶ ὁ Παῦλος ἐμεγαλοφρόνει κατὰ τοῦ δαίμονος. Ὅταν δηλαδὴ ὁ δαίμων ἔλεγε δι' αὐτὸν πράγματα μεγάλα καὶ θαυμαστά, τοῦ ἔφραξε τὸ στόμα, μὴ ἀνεχόμενος αὐτὸν οὔτε νὰ τὸν κολακεύσῃ. Διότι ὅταν ἔλεγεν ἐκείνη ἡ παιδίσκη ἡ ὁποία εἶχε καταληφθῆ ἀπὸ τὸ ἀκάθαρτον πνεῦμα τοῦ Πύθωνος, «Αὐτοὶ οἱ ἄνθρωποι εἶναι δοῦλοι τοῦ Θεοῦ τοῦ Ὑψίστου, καὶ σᾶς ἀναγγέλλουν τὸν δρόμον τῆς σωτηρίας»[8], ἀφοῦ τὴν ἐπε-

σωτηρίας», ἐπιτιμήσας σφοδρῶς ἐπεστόμισεν αὐτοῦ τὴν ἀναίσχυντον γλῶτταν. Καὶ πάλιν ἀλλαχοῦ γράφει λέγων· «Συντρίψει ὁ Θεὸς τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν ἐν τάχει». Μή τι τὸ τῆς φύσεως παρηλλαγμένον ἐποίησεν; Ὁρᾷς ὅτι οὐδὲν ποιεῖ τὸ τῶν φύσεων μέσον; Διὰ τὴν προαίρεσιν, φησίν, ἐπειδὴ τῇ προαιρέσει πολὺ χείρους ἁπάντων εἰσίν· ἀγγέλου δὲ οὐ κατεξανίσταμαι· πολὺ γὰρ τὸ μέσον ἐμοῦ κἀκείνου. Καὶ μὴν ἀνθρώπου κατεξανίστασθαι οὐκ ὀφείλεις μᾶλλον ἢ ἀγγέλου. Ὁ μὲν γὰρ ἄγγελος τῇ φύσει σου διέστηκεν, ὅπερ οὔτε ἐγκώμιον ἐκείνου, οὔτε κακία γένοιτο· ἄνθρωπος δὲ ἀνθρώπου οὐκέτι φύσει, ἀλλὰ προαιρέσει διέστηκε· καὶ ἔστι καὶ ἐν ἀνθρώποις ἄγγελος.

Ὥστε εἰ κατ' ἀγγέλων μὴ κατεξανίστασαι, πολλῷ μᾶλλον κατὰ ἀνθρώπων τῶν ἐν τῇ φύσει ταύτῃ γενομένων ἀγγέλων. Εἰ γὰρ γένοιτο ἐν ἀνθρώποις ἐνάρετος οὕτως ὡς ἄγγελος, πολύ σου μᾶλλον οὗτος μείζων, ἢ ἐκεῖνός ἐστι. Τί δήποτε; Ὅτι ὅπερ ἀπὸ φύσεως ἔσχεν ἐκεῖνος, τοῦτο κατώρθωσεν ἀπὸ προαιρέσεως αὐτός· καὶ ὅτι ἀπῴκισταί σου ὁ ἄγγελος καὶ τῷ τόπῳ, καὶ τὸν οὐρανὸν οἰκεῖ· οὗτος δὲ ἀναστρέφεται μετὰ σοῦ καὶ δίδωσί σοι τοῦ ζήλου ῥοπήν. Καὶ μὴν οὗτος ἀπῴκισται μᾶλλον ἢ ἐκεῖνος· «Ἡμῶν γάρ», φησί, «τὸ πολίτευμα ἐν οὐρανοῖς». Ὅτι δὲ μᾶλλον οὗτος ἀπῴκισται, ἄκουσον ποῦ αὐτοῦ κάθηται ἡ κεφαλή· εἰς τὸν θρόνον, φησί, τὸν βασιλικόν· ὅσῳ δὲ πόρρω ἡμῶν ὁ θρόνος, τοσούτῳ καὶ οὗτος.

2. *Ἀλλ' ὁρῶ τιμῆς ἀπολαύοντα, φησί, καὶ εἰς ζηλοτυπίαν ἄγομαι. Τοῦτο γάρ ἐστιν ὃ πάντα ἄνω καὶ κάτω πεποίηκε, καὶ οὐ τὴν οἰκουμένην μόνον, ἀλλὰ καὶ τὴν Ἐκκλη-*

---

9. Ρωμ. 6, 20.
10. Φιλιπ. 3, 20.

τίμησεν πολὺ αὐστηρά, ἔκλεισε τὴν ἀναίσχυντον γλῶσσαν του. Καὶ πάλιν ἀλλοῦ γράφει· «Ὁ δὲ Θεὸς τῆς εἰρήνης θὰ συντρίψῃ συντόμως τὸν Σατανᾶν κάτω ἀπὸ τοὺς πόδας σας»[9]. Μήπως τὸν ἔκανε νὰ ὑπερέχῃ τίποτε ἀπὸ τὴν φύσιν του; Βλέπεις ὅτι τίποτε δὲν κάνει τὸ μέτρον τῶν φύσεων; Ἐξ αἰτίας τῆς προαιρέσεως, λέγει, διότι ὡς πρὸς τὴν προαίρεσιν εἶναι πολὺ χειρότεροι ἀπὸ ὅλους. Ἐναντίον ἀγγέλου ὅμως δὲν ἐπαναστατῶ· διότι μεγάλη εἶναι ἡ διαφορὰ μεταξὺ ἐμοῦ καὶ ἐκείνου. Καὶ ὅμως ὀφείλεις περισσότερον νὰ μὴ ἐπαναστατῇς ἐναντίον ἀνθρώπου, παρὰ ἐναντίον ἀγγέλου. Διότι ὁ μὲν ἄγγελος διαφέρει ἀπὸ τὴν φύσιν σου, πρᾶγμα τὸ ὁποῖον δὲν θὰ ἠμποροῦσε νὰ γίνῃ οὔτε ἐγκώμιον δι' ἐκεῖνον, οὔτε ἀφορμὴ διὰ κακίαν. Ὁ ἄνθρωπος ὅμως διαφέρει ἀπὸ τὸν ἄνθρωπον, ὄχι ὡς πρὸς τὴν φύσιν, ἀλλ' ὡς πρὸς τὴν προαίρεσιν· καὶ ὑπάρχει καὶ μεταξὺ τῶν ἀνθρώπων ἄγγελος.

Ὥστε ἐὰν ἐναντίον τῶν ἀγγέλων δὲν ἐπαναστατῇς, πολὺ περισσότερον δὲν πρέπει νὰ τὸ κάνῃς αὐτὸ ἐναντίον ἀνθρώπων οἱ ὁποῖοι μέσα εἰς τὴν ἀνθρωπίνην φύσιν ἔγιναν ἄγγελοι. Διότι ἐὰν ἦτο δυνατὸν νὰ ὑπάρξῃ μεταξὺ τῶν ἀνθρώπων κάποιος ἐνάρετος ὡσὰν ἄγγελος, πολὺ μεγαλύτερος θὰ ἦτο αὐτός, παρὰ ἐκεῖνος. Διατί ἆρά γε; Διότι αὐτὸ τὸ ὁποῖον ἔχει ἐκεῖνος ἐκ φύσεως, τὸ κατώρθωσεν αὐτὸς ἐκ προαιρέσεως· καὶ διότι καὶ ὡς πρὸς τὸν τόπον ὁ ἄγγελος εὑρίσκεται μακρὰν ἀπὸ ἐσένα καὶ κατοικεῖ τὸν οὐρανόν· ὁ συνάνθρωπός σου ὅμως σὲ συναναστρέφεται καὶ γίνεται δι' ἐσὲ αἴτιος φθόνου. Καὶ ὅμως αὐτὸς ἀπέχει περισσότερον παρὰ ἐκεῖνος· «Ἡ πατρὶς ὅμως ἡ ἰδική μας εἶναι εἰς τοὺς οὐρανούς»[10]. Διὰ τὸ ὅτι δὲ αὐτὸς περισσότερον ἀπέχει καὶ κατοικεῖ εἰς τὸν οὐρανόν, ἄκουσε ποῦ κάθεται ἡ κεφαλή του· εἰς τὸν θρόνον, λέγει, τὸν βασιλικόν· ὅσον μακρὰν δὲ εὑρίσκεται ἀπὸ ἐμᾶς ὁ θρόνος, τόσον καὶ αὐτὸς ἀπέχει.

2. Ἀλλὰ βλέπω αὐτὸν ν' ἀπολαμβάνῃ τιμῆς, λέγει, καὶ ὁδηγοῦμαι εἰς ζηλοτυπίαν. Ἀλλ' αὐτὸ εἶναι ἐκεῖνο τὸ ὁποῖον ἔκανε τὰ πάντα ἄνω - κάτω, καὶ ὄχι μόνον τὴν οἰκουμένην,

σίαν μυρίων ἐνέπλησε θορύβων. Καὶ καθάπερ εἰς λιμένα γαληνὸν πνεύματα ἄγρια ἐξ ἐναντίας ἐμπεσόντα πάσης σπιλάδος καὶ παντὸς πορθμοῦ ἐπισφαλέστερον αὐτὸν καθίστησιν· οὕτω δὴ καὶ ὁ τῆς δόξης ἔρως ἐπεισελθὼν πάντα ἀνέτρεψε καὶ συνέχεε. Παραγεγόνατε πολλάκις ἐμπρησμῷ οἰκιῶν μεγάλων· εἴδετε πῶς ἄνεισιν εἰς τὸν οὐρανὸν ὁ καπνός, καὶ μηδενὸς προσιόντος σβέσαι τὸ κακόν, ἀλλὰ τὸ καθ' ἑαυτὸν ἑκάστου σκοπουμένου, μετὰ πολλῆς τῆς ἡσυχίας τὸ πῦρ ἅπαντα ἐπινέμεται· καὶ περιέστηκε μὲν πολλάκις κύκλῳ πᾶσα ἡ πόλις, περιεστήκασι δὲ θεαταὶ κακῶν, οἱ σύμμαχοι οὐδὲ βοηθοί· καὶ ἔστιν ἰδεῖν οὐδὲν ποιοῦντας ἅπαντας τοὺς περιεστῶτας, ἀλλ' ἕκαστον αὐτῶν τὴν χεῖρα ἐκτείνοντα, καὶ τῷ προσφάτως ἐλθόντι πρὸς τὸν τόπον ἐπιδεικνύντα, ἢ διὰ θυρίδος λαμπάδα ἐξαλλομένην συνεχῶς ἢ δοκοὺς καταρριπτομένους ἢ περίβολον ὁλόκληρον τῶν ἐρεισμάτων ἀποσπασθέντα καὶ πρὸς τὴν γῆν ἐπειγόμενον.

Εἰσὶ δὲ πολλοὶ τῶν τολμηρῶν καὶ ῥιψοκινδύνων, οἳ καὶ πλησίον αὐτῶν γενέσθαι τῶν καιομένων οἰκοδομημάτων κατετόλμησαν, οὐχ ὥστε χεῖρα ὀρέξαι αὐτοῖς καὶ σβέσαι τὸ κακόν, ἀλλ' ὥστε ἡδυτέραν γενέσθαι τὴν θέαν, ἐκ τοῦ σύνεγγυς πάντα δυναμένων αὐτῶν περισκοπεῖν, ἃ τοὺς ἔξωθεν πολλάκις ἔλαθεν. Εἰ δὲ καὶ λαμπρὰ καὶ μεγάλη τύχοι οὖσα ἡ οἰκία, ἐλεεινὸν θέαμα καὶ πολλῶν αὐτοῖς δακρύων ἄξιον εἶναι δοκεῖ. Καὶ ἔστιν ἀληθῶς ἰδεῖν θέαμα ἐλεεινόν, κιόνων κεφαλὰς κόνιν γινομένας, πολλοὺς δὲ καὶ αὐτοὺς διακεκλασμένους, τοὺς μὲν τοῦ πυρὸς κατεργαζομένου, τοὺς δὲ πολλάκις τῶν οἰκοδομησάντων αὐτοὺς χειρῶν ὠθουσῶν, ὥστε μὴ πλείονα τροφὴν γενέσθαι τῷ πυρί. Ἔστι δὲ ἰδεῖν ἀγάλματα, ἃ μετὰ πολλοῦ τοῦ κόσμου, τῆς ὀροφῆς ἐπικειμένης, εἱστήκει, ἀνακαλυφθέντα, τῆς στέγης ἀφαιρεθείσης, καὶ ἐν αἰθρίῳ μετὰ πολλῆς τῆς ἀμορφίας ἑστηκότα.

ἀλλὰ καὶ τὴν ἐκκλησίαν ἐγέμισεν ἀπὸ ἀπείρους ταραχάς. Καὶ ὅπως εἰς γαλήνιον λιμένα ὅταν ἐπιπέσουν ἄγριοι ἄνεμοι καθιστοῦν αὐτὸν πλέον ἐπικίνδυνον ἀπὸ κάθε σκόπελον καὶ κάθε πορθμόν, ἔτσι λοιπὸν καὶ ὁ ἔρως τῆς δόξης τὰ πάντα ἀνατρέπει καὶ συγχέει. Παρευρέθητε πολλὰς φορὰς εἰς ἐμπρησμὸν μεγάλων οἰκιῶν· εἴδατε πῶς ἀνέρχεται ὁ καπνὸς εἰς τὸν οὐρανόν, καὶ ἐπειδὴ κανεὶς δὲν πλησιάζει διὰ νὰ σβήσῃ τὸ κακόν, ἀλλὰ σκέπτεται ὁ καθένας τὰ τοῦ ἑαυτοῦ του, μὲ πολλὴν ἄνεσιν τὸ πῦρ κατατρώγει τὰ πάντα· καὶ πολλὰς φορὰς ἐστάθη γύρω ἀπὸ τὴν φωτιὰν ὁλόκληρος ἡ πόλις, τὴν ἐκύκλωσαν δὲ θεαταὶ κακῶν, ὄχι ὅμως σύμμαχοι, οὔτε βοηθοί· καὶ εἶναι δυνατὸν νὰ ἴδῃς αὐτοὺς ὅλους ὅσοι ἔχουν συγκεντρωθῆ, νὰ μὴ κάμνουν τίποτε, ἀλλ' ὁ καθένας ἀπὸ αὐτοὺς ν' ἁπλώνῃ τὸ χέρι του καὶ νὰ δεικνύῃ εἰς ὁποιον ἔχει ἔλθει προσφάτως πρὸς τὸν τόπον, ἢ κάποιαν φλόγαν ν' ἀναπηδᾷ συνεχῶς διὰ κάποιας θυρίδος, ἢ δοκοὺς νὰ καταρρίπτωνται ἢ ὁλόκληρον τεῖχος νὰ ἀποσπᾶται καὶ νὰ γκρεμίζεται πρὸς τὴν γῆν.

Ὑπάρχουν δὲ πολλοὶ ἀπὸ τοὺς τολμηροὺς καὶ ριψοκινδύνους, οἱ ὁποῖοι κατετόλμησαν καὶ νὰ πλησιάσουν τὰ καιόμενα οἰκοδομήματα, ὄχι διὰ νὰ βοηθήσουν καὶ νὰ σβήσουν τὴν πυρκαϊάν, ἀλλὰ διὰ ν' ἀπολαύσουν γλυκύτερον τὴν θέαν, διότι ἐκ τοῦ πλησίον ἠμποροῦν νὰ παρατηροῦν ὅλα ἐκεῖνα τὰ ὁποῖα διαφεύγουν τὴν προσοχὴν τῶν ἔξω. Ἐὰν δὲ τύχῃ νὰ εἶναι καὶ λαμπρὰ καὶ μεγάλη ἡ οἰκία, εἶναι θέαμα ἀξιολύπητον, κιονόκρανα νὰ γίνωνται σκόνη, πολλοὺς κίονας νὰ θραύωνται εἰς τὰ δύο, καὶ ἄλλους μὲν νὰ κατατρώγωνται ὑπὸ τοῦ πυρός, ἄλλας δὲ πολλὰς φορὰς νὰ τοὺς ὠθοῦν τὰ χέρια τὰ ὁποῖα τοὺς οἰκοδόμησαν, διὰ νὰ μὴ δοθῇ περισσοτέρα τροφὴ εἰς τὸ πῦρ. Εἶναι δὲ δυνατὸν νὰ ἴδῃς ἀγάλματα, τὰ ὁποῖα ἵστανται μὲ πολὺν διάκοσμον ὅσον χρόνον ὑπάρχει ἐπάνω ἀπὸ αὐτὰ ἡ στέγη, ν' ἀποκαλύπτωνται ἀφαιρεθείσης τῆς στέγης καὶ νὰ ἵστανται εἰς τὸ αἴθριον μὲ πολλὴν ἀσχημίαν.

Τί δὲ τὸν πλοῦτον τὸν ἔνδον ἐναποκείμενόν τις διηγήσαιτο; τὰ ἱμάτια τὰ χρυσᾶ, καὶ τὰ σκεύη τὰ ἀργυρᾶ; Καὶ ἔνθα μόλις ὁ δεσπότης εἰσῄει μετὰ τῆς ἑαυτοῦ συζύγου, ἔνθα τῶν πολλῶν ἱματίων καὶ ἀρωμάτων τὸ ταμιεῖον ἦν, τῶν λίθων τῶν πολυτελῶν, ἅπαντα μιᾶς πυρᾶς γενόμενα, καὶ βαλανευταὶ καὶ κοπρῶναι καὶ δραπέται καὶ πάντες λοιπὸν ἔνδον, καὶ πάντα τὰ ἔνδον ὕδωρ καὶ πῦρ καὶ πηλὸς καὶ κόνις καὶ ξύλα ἡμίκαυστα. Τί δὲ τὴν εἰκόνα ταύτην ἐπὶ πλεῖον ἐξέτεινα; Οὐχ ἁπλῶς οἰκίας ἐμπρησμὸν ὑπογράψαι βουλόμενος· τί γάρ μοι τούτου μέλει; ἀλλὰ παραστῆσαι βουλόμενος τοῖς ὑμετέροις ὀφθαλμοῖς, ὡς οἷόν τε, τὰ τῆς Ἐκκλησίας κακά. Καθάπερ γὰρ ἐμπρησμὸς ὄντως ἢ σκηπτός τις ἄνωθεν φερόμενος, οὕτως εἰς αὐτὸν κατηνέχθη τῆς Ἐκκλησίας τὸν ὄροφον καὶ οὐδένα διανίστησιν· ἀλλὰ τῆς οἰκίας τῆς πατρῴας καιομένης, καθεύδομεν ὕπνον τινὰ βαθὺν καὶ ἀναίσθητον.

Τίνος γὰρ οὐχ ἥψατο τοῦτο τὸ πῦρ; ποίων ἀγαλμάτων τῶν ἐν τῇ Ἐκκλησίᾳ ἑστηκότων; Ἐκκλησία γὰρ οὐδὲν ἕτερόν ἐστιν, ἀλλ' ἢ διὰ τῶν ἡμετέρων ψυχῶν οἰκοδομία. Ἡ δὲ οἰκία αὕτη οὐκ ἔστιν ἰσότιμος ἅπασα, ἀλλὰ τῶν εἰς αὐτὴν συντελούντων λίθων οἱ μέν εἰσι λαμπροὶ καὶ φαιδροί, οἱ δὲ ἐκείνων μὲν ἐλάττους καὶ ἀμαυρότεροι, πολλῷ δὲ ἐκείνων βελτίους. Ἔστιν ἰδεῖν ἐνταῦθα πολλοὺς καὶ χρυσοῦ τάξιν ἐπέχοντας, χρυσοῦ τοῦ κοσμοῦντος τὸν ὄροφον· ἔστιν ἰδεῖν καὶ τὸν ἀπὸ ἀγαλμάτων κόσμον ἄλλους παρεχομένους πολλούς· ἔστιν ἰδεῖν ὡς στύλους ἑστῶτας. Οἶδε γὰρ καὶ ἀνθρώπους στύλους καλεῖν, οὐ τῇ δυνάμει μόνον, ἀλλὰ καὶ τῷ κάλλει πολὺν παρέχοντας κόσμον, κεφαλὰς ἔχοντας κε-

Πῶς δὲ νὰ διηγηθῇ κανεὶς τὸν πλοῦτον τὸν εὑρισκόμενον μέσα; τὰ χρυσᾶ ἐνδύματα καὶ τὰ ἀργυρᾶ σκεύη; Καὶ ἐκεῖ ὅπου σπάνια εἰσήρχετο ὁ οἰκοδεσπότης μετὰ τῆς συζύγου του, ἐκεῖ ὅπου ἦτο τὸ ταμεῖον τῶν πολλῶν ἐνδυμάτων καὶ ἀρωμάτων, τῶν πολυτελῶν λίθων, ὅλα ἔγιναν τροφὴ τῆς μιᾶς πυρᾶς, καὶ οἱ χῶροι τῶν λουτρῶν καὶ οἱ χῶροι ἀνάγκης καὶ οἱ κρυψῶνες καὶ ὅλα τὰ ὑπόλοιπα ποὺ εὑρίσκονται μέσα καὶ ὅλα τὰ εὑρισκόμενα μέσα ἔγιναν ἕνα κρᾶμα ἀπὸ ὕδωρ, πῦρ καὶ πηλὸν καὶ σκόνην καὶ ξύλα ἡμίκαυστα. Διατί ὅμως ὡμίλησα τόσον λεπτομερῶς διὰ τὴν εἰκόνα αὐτήν; Ὄχι διότι ἤθελον ἁπλῶς νὰ περιγράψω τὸν ἐμπρησμὸν τῆς οἰκίας· διότι τί μὲ ἐνδιαφέρει αὐτό; ἀλλ' ἐπειδὴ ἤθελον νὰ παραστήσω εἰς τοὺς ὀφθαλμούς σας κατὰ κάποιον τρόπον τὰ κακὰ τῆς Ἐκκλησίας. Διότι πράγματι ὡσὰν ἐμπρησμὸς ἢ κάποιος κεραυνὸς ποὺ πίπτει ἀπὸ ἐπάνω, ἔτσι κατέπεσαν τὰ κακὰ εἰς τὴν ὀροφὴν τῆς Ἐκκλησίας καὶ κανεὶς δὲν σπεύδει νὰ τὴν σώσῃ· ἀλλ' ἐνῷ καίεται ἡ πατρικὴ οἰκία κοιμώμεθα ὕπνον βαθὺν μὴ ἔχοντες αἴσθησιν τῶν ὅσων συμβαίνουν.

Ποῖον λοιπὸν δὲν θὰ προσέβαλλεν αὐτὸ τὸ πῦρ; ποῖα κοσμήματα ποὺ εὑρίσκονται μέσα εἰς τὴν Ἐκκλησίαν; Ἀλλ' ἐκκλησία δὲν εἶναι τίποτε ἄλλο, παρὰ οἰκοδομὴ ἀποτελουμένη ἀπὸ τὰς ψυχάς μας. Αὐτὴ δὲ ἡ οἰκία δὲν εἶναι εἰς ὅλα τὰ μέρη ἰσότιμος, ἀλλ' ἀπὸ τοὺς λίθους οἱ ὁποῖοι τὴν ἀποτελοῦν, ἄλλοι μὲν εἶναι λαμπροὶ καὶ ἀστραφτεροί, ἄλλοι δὲ κατώτεροι μὲν ἀπὸ ἐκείνους καὶ ἀφανέστεροι, πολὺ καλύτεροι ὅμως ἀπὸ ἐκείνους. Εἶναι δυνατὸν νὰ ἴδῃς ἐδῶ πολλοὺς νὰ ἐπέχουν καὶ θέσιν χρυσοῦ, χρυσοῦ ὁ ὁποῖος στολίζει τὴν ὀροφήν· εἶναι δυνατὸν νὰ ἴδῃς πολλοὺς ἄλλους νὰ δίδουν πολλὴν ἀπὸ τὴν λαμπρότητα τῶν κοσμημάτων· καὶ εἶναι δυνατὸν νὰ ἴδῃς ἄλλους νὰ ἵστανται ὡσὰν στύλοι. Διότι συνηθίζει καὶ ἀνθρώπους νὰ ὀνομάζῃ στύλους, ὄχι μόνον ὡς πρὸς τὴν δύναμιν, ἀλλὰ καὶ ὡς πρὸς τὸ κάλλος νὰ παρέχουν πολὺν στολισμόν, ἔχοντες τὰς κεφαλὰς χρυσάς. Ἠμπορεῖς

χρυσωμένας. Ἔστι πλῆθος ἰδεῖν, ὡς ἐπὶ πολὺ τὸ διάστημα καὶ τὴν εὐρυχωρίαν εἶναι τῶν περιβόλων.

Τὸ μὲν γὰρ πολὺ πλῆθος τὴν τάξιν ἐπέχει τῶν λίθων τῶν τοὺς τοίχους οἰκοδομούντων· μᾶλλον δὲ ἐπὶ λαμπροτέραν ἐλθεῖν εἰκόνα δεῖ. Αὕτη ἡ Ἐκκλησία οὐκ ἀπὸ τῶν λίθων τούτων ᾠκοδόμηται, ἀλλ' ἀπὸ τοῦ χρυσοῦ καὶ τοῦ ἀργύρου καὶ τῶν λίθων τῶν τιμίων, καὶ πολὺς πανταχοῦ διέσπαρται ὁ χρυσός. Ἀλλ' ὢ τῶν πικρῶν δακρύων· πάντα γὰρ ταῦτα κατέφλεξε τῆς κενοδοξίας ἡ τυραννίς, ἡ παμφάγος αὕτη φλόξ, καὶ οὐδεὶς ἀνωτέρω τοῦ πράγματος γέγονεν· ἀλλ' ἑστήκαμεν τὴν μὲν φλόγα θαυμάζοντες, σβέσαι δὲ τὸ κακὸν οὐκέτι δυνάμενοι. Κἂν σβέσωμεν δὲ πρὸς βραχὺν καιρόν, ἀλλὰ πάλιν μετὰ δύο καὶ τρεῖς ἡμέρας, ὥσπερ ἀπό τινος σποδιᾶς σπινθὴρ ἐντυφόμενος ἀνέτρεψεν ἅπαντα, καὶ ὅσα τοῖς πρότερον κατειργάσατο, οὕτω δὴ καὶ ἐνταῦθα γίνεται. Καὶ γὰρ καὶ ἐπὶ τῆς πυρκαϊᾶς τοῦτο συμβαίνειν ἔθος ἐστί. Τὸ δὲ αἴτιον, τῶν στύλων αὐτῶν τῆς Ἐκκλησίας τὰ ἐρείσματα διέφαγεν ἡμᾶς, τοὺς τὸν ὄροφον ἀνέχοντας, καὶ πρότερον πᾶσαν συγκροτοῦντας τὴν οἰκοδομίαν περιέβαλε τῷ πυρί. Διὰ τοῦτο καὶ εἰς τοὺς λοιποὺς τοίχους εὔκολος γέγονεν ἡ διαδρομή. Καὶ γὰρ ἐπὶ τῶν οἰκοδομημάτων, ὅταν μὲν ξύλων ἐπιλάβηται, μᾶλλον ὁπλίζεται κατὰ τῶν λίθων· ὅταν δὲ τοὺς στύλους κατενέγκῃ καὶ ῥίψῃ χαμαί, οὐδὲν δεῖται λοιπὸν τὰ λοιπὰ τῇ φλογὶ κατεργάσασθαι. Τῶν γὰρ ἐρειδόντων καὶ ὑποστηριζόντων τὰ ἄνω καταπιπτόντων, αὐτόματα κἀκεῖνα καὶ μετὰ πολλῆς τῆς ἑτοιμότητος τούτοις ἕπεται.

Οὕτω δὴ καὶ νῦν γέγονεν ἐπὶ τῆς Ἐκκλησίας· πάντων τὸ πῦρ ἐπελάβετο. Τιμὰς τὰς παρὰ ἀνθρώπων ζητοῦμεν καὶ περὶ τὴν δόξαν ἐκκαιόμεθα καὶ οὐκ ἀκούομεν τοῦ Ἰὼβ λέγοντος· «Εἰ καὶ ἁμαρτὼν ἀκουσίως, διετράπην πολυοχλίαν». Εἶδες ψυχὴν ἐνάρετον; Οὐκ ᾐσχύνθην, φησίν, ἐναντίον τοῦ πλήθους παντὸς εἰπεῖν τὰ ἀκούσια ἁμαρτήματα. Εἰ

11. Ἰὼβ 31, 33-34.

νὰ ἴδῃς πλῆθος, διότι εἶναι πολὺς ὁ τόπος καὶ ἡ εὐρυχωρία τῶν περιβόλων.

Τὸ πολὺ πλῆθος λοιπὸν ἐπέχει τὴν θέσιν τῶν λίθων οἱ ὁποῖοι οἰκοδομοῦν τοὺς τοίχους· μᾶλλον ὅμως πρέπει νὰ ἔλθωμεν εἰς λαμπροτέραν εἰκόνα. Αὐτὴ ἡ Ἐκκλησία δὲν ἔχει οἰκοδομηθῇ ἀπὸ αὐτοὺς τοὺς λίθους, ἀλλ' ἀπὸ τὸν χρυσὸν καὶ τὸν ἄργυρον καὶ τοὺς πολυτίμους λίθους, καὶ εἶναι πολὺς χρυσὸς διεσκορπισμένος παντοῦ. Ἀλλ', ὢ πικρὰ δάκρυα· διότι ὅλα αὐτὰ τὰ ἔχει κατακαύσει ἡ τυραννία τῆς κενοδοξίας, αὐτὴ ἡ παμφάγος φλόγα, καὶ κανεὶς δὲν ἐστάθη ἐπάνω ἀπὸ αὐτὸ τὸ πρᾶγμα· ἀλλ' ἐστάθημεν θαυμάζοντες μὲν τὴν φλόγα, μὴ δυνάμενοι ὅμως νὰ ἐξαλείψωμεν τὸ κακόν. Καὶ ἂν τὸ σβήσωμεν δι' ὀλίγον χρόνον, πάλιν ὅμως μετὰ ἀπὸ δύο ἢ τρεῖς ἡμέρας, ὡσὰν σπινθὴρ κρυφοκαίων εἰς κάποιον σημεῖον τῆς στάκτης ἀνέτρεψε τὰ πάντα, καὶ ὅσα κακὰ ἐπροξένησε προηγουμένως, τὰ ἴδια προξενεῖ καὶ πάλιν. Διότι καὶ εἰς τὴν πυρκαϊὰν συνήθως αὐτὸ συμβαίνει. Ἡ δὲ αἰτία εἶναι ὅτι ἡ φλόγα κατέφαγεν τὰ στηρίγματα τῶν στύλων τῆς Ἐκκλησίας οἱ ὁποῖοι συνεκράτουν τὴν ὀροφήν, καὶ ἐνῷ προηγουμένως συνεκράτουν ὅλην τὴν οἰκοδομήν, τοὺς περιεκύκλωσεν τὸ πῦρ. Διὰ τοῦτο καὶ ἡ ἔφοδος αὐτοῦ ἔγινεν πολὺ εὔκολα καὶ εἰς τοὺς ὑπολοίπους τοίχους. Καθ' ὅσον εἰς τὰ οἰκοδομήματα, ὅταν μὲν προσβάλῃ τὰ ξύλα, περισσότερον ὁπλίζεται ἐναντίον τῶν λίθων· ὅταν ὅμως κατορθώσῃ καὶ ρίψῃ κάτω τοὺς στύλους, τίποτε πλέον δὲν ἐμποδίζει τὴν φλόγα νὰ κάψῃ καὶ τὰ ὑπόλοιπα. Διότι ὅταν καταπίπτουν ἐκεῖνα τὰ ὁποῖα συγκρατοῦν καὶ ὑποστηρίζουν τὰ ἐπάνω, αὐτομάτως καὶ ἐκεῖνα καὶ μάλιστα μὲ πολλὴν εὐχέρειαν ἀκολουθοῦν αὐτά.

Τὸ ἴδιο λοιπὸν καὶ τώρα συνέβη εἰς τὴν Ἐκκλησίαν· τὰ πάντα προσέβαλεν τὸ πῦρ. Ζητοῦμεν τιμὰς ἀπὸ τοὺς ἀνθρώπους καὶ φλογιζόμεθα διὰ τὴν δόξαν, καὶ δὲν ἀκούομεν τὸν Ἰὼβ ὁ ὁποῖος λέγει· «Ἂν καὶ ἡμάρτησα χωρὶς τὴν θέλησίν μου, δὲν ἐντράπην τὸ μέγα πλῆθος»[11]. Εἶδες ἐνάρετον ψυχήν; Δὲν ἐντράπην, λέγει, ἐνώπιον ὅλου τοῦ πλήθους

δὲ ἐκεῖνος οὐκ ᾐσχύνετο, πολλῷ μᾶλλον ἡμᾶς ἐχρῆν τοῦτο ποιεῖν. «Λέγε γὰρ σύ», φησί, «τὰς ἁμαρτίας σου πρῶτος, ἵνα δικαιωθῇς». Πολλὴ γέγονεν ἡ σφοδρότης τούτου τοῦ κακοῦ, πάντα ἀνατέτραπται καὶ ἠφάνισται. Τιμῆς δοῦλοι γεγόναμεν, ἀφέντες τὸν Θεόν. Οὐκέτι τοῖς ἀρχομένοις ἐπιπλῆξαι δυνάμεθα, τῷ αὐτῷ καὶ αὐτοὶ κατεχόμενοι πυρετῷ· καὶ αὐτοὶ δεόμεθα ἰατρείας, οἱ ταχθέντες εἰς τὸ θεραπεύειν τοὺς ἄλλους ὑπὸ τοῦ Θεοῦ. Ποία λοιπὸν ἐλπὶς σωτηρίας ὑπολείπεται, τῶν ἰατρευόντων καὶ αὐτῶν τῆς ἑτέρων δεομένων χειρός;

3. Ταῦτα οὐχ ἁπλῶς εἶπον, οὐδὲ μάτην ὀδύρομαι, ἀλλ' ἵνα κοινῇ πάντες μετὰ γυναικῶν καὶ παίδων σποδὸν καταπασάμενοι, σάκκον περιζωσάμενοι, νηστείαν ἐπιτείνωμεν, τὸν Θεὸν παρακαλέσωμεν αὐτὸν ἡμῖν χεῖρα ὀρέξαι καὶ σβέσαι τὸν δεινόν. Τῆς γὰρ ἐκείνου χειρὸς ὄντως χρεία, τῆς μεγάλης, τῆς θαυμαστῆς. Μείζονα τῶν Νινευϊτῶν γενέσθαι δεῖ παρ' ἡμῶν. «Ἔτι τρεῖς ἡμέραι», φησί, «καὶ Νινευῒ καταστραφήσεται». Φοβερὸν τὸ κήρυγμα, καὶ πολλῆς γέμον τῆς ἀπειλῆς· πῶς γὰρ οὔ; μετὰ τρεῖς ἡμέρας προσδοκᾶν τὴν πόλιν αὐτοῖς ἔσεσθαι τάφον καὶ μιᾷ τιμωρίας ἰδέᾳ πάντας ἀπολέσθαι. Εἰ γὰρ ὅταν συμβῇ κατὰ τὸν αὐτὸν καιρὸν ἐν οἰκίᾳ μιᾷ δύο παῖδας ἀπολέσθαι, ἀφόρητον γίνεται τὸ δεινόν, καὶ εἰ τῷ Ἰὼβ τοῦτο μάλιστα πάντων ἔδοξεν εἶναι ἀφόρητον, ὅτι πᾶσιν αὐτοῦ τοῖς παισὶν ἐπέπεσεν ὁ ὄροφος καὶ οὕτως ἀνηρέθησαν, τί ἦν ἰδεῖν, οὐ μίαν οἰκίαν, οὐδὲ δύο παῖδας, ἀλλ' ἔθνος δώδεκα μυριάδων ὑπὸ τῶν ὀρόφων καταχωννύμενον; Ἴστε ἡλίκον τὸ δεινόν.

Καὶ γὰρ καὶ ἡμῖν πρώην γέγονεν ἡ ἀπειλή, οὐ προφή-

---

12. Ἠσ. 43, 26.
13. Ἰωνᾶς 3, 4.

νὰ εἴπω τὰ ἀκούσια ἁμαρτήματά μου. Ἐὰν δὲ ἐκεῖνος δὲν ἐντρέπετο, πολὺ περισσότερον ἐμεῖς ἔπρεπε νὰ τὸ κάνωμεν αὐτό. Διότι λέγει· «Νὰ λέγῃς σὺ πρῶτος τὰς ἁμαρτίας σου διὰ νὰ δικαιωθῇς»[12]. Ἔπεσε μὲ πολλὴν ὁρμὴν αὐτὸ τὸ κακόν, ὅλα ἔχουν ἀνατραπῆ καὶ ἀφανισθῆ. Ἐγίναμεν δοῦλοι τῆς τιμῆς καὶ ἐγκατελείψαμεν τὸν Θεόν. Οὔτε καὶ τοὺς ἀρχομένους ἀκόμη ἠμποροῦμεν νὰ ἐπιπλήξωμεν, διότι καὶ αὐτοὶ εἶναι κυριευμένοι ἀπὸ τὸν ἴδιον πυρετόν· καὶ ἐμεῖς οἱ ἴδιοι ἔχομεν ἀνάγκην θεραπείας ἐμεῖς οἱ ὁποῖοι ἐτάχθημεν ἀπὸ τὸν Θεὸν εἰς τὸ νὰ θεραπεύωμεν τοὺς ἄλλους. Ποία λοιπὸν ἐλπὶς σωτηρίας μένει, ὅταν καὶ οἱ ἰατρεύοντες ἔχουν καὶ αὐτοὶ ἀνάγκην ἰατρείας ἀπὸ ἄλλους;

3. Αὐτὰ δὲν τὰ εἶπα τυχαῖα, οὔτε ματαίως πενθῶ καὶ θρηνῶ, ἀλλὰ τὰ εἶπα μὲ σκοπόν, ὥστε, ἀφοῦ περιβάλωμεν τοὺς ἑαυτούς μας μὲ στάκτην καὶ φορέσωμεν σάκκον, ὅλοι ἀπὸ κοινοῦ μαζὶ μὲ τὰς γυναῖκας καὶ τὰ τέκνα νὰ ἐντείνωμεν τὴν νηστείαν καὶ νὰ παρακαλέσωμεν τὸν Θεὸν νὰ μᾶς βοηθήσῃ καὶ νὰ ἐξαλείψῃ τὸ κακόν. Διότι πράγματι εἶναι ἀνάγκη ἐκεῖνος ν' ἁπλώσῃ τὰ χέρια του, τὸ μεγάλο καὶ θαυμαστόν. Μεγαλύτερα ἀπ' ὅσα ἔγιναν εἰς τοὺς Νινευΐτας πρέπει νὰ γίνουν εἰς ἐμᾶς. «Ἀκόμη τρεῖς ἡμέραι», λέγει, «καὶ ἡ Νινευῒ θὰ καταστραφῇ»[13]. Φοβερὸν ἦτο τὸ κήρυγμα καὶ γεμᾶτον ἀπὸ πολλὴν ἀπειλήν· ἀλλὰ πῶς ὄχι; καθ' ὅσον ἐπερίμεναν μετὰ ἀπὸ τρεῖς ἡμέρας νὰ γίνῃ ἡ πόλις των τάφος, καὶ μὲ τὴν ἀπόφασιν μιᾶς τιμωρίας νὰ καταστραφοῦν ὅλοι. Διότι ἐάν, ὅταν συμβῇ κατὰ τὴν αὐτὴν χρονικὴν περίοδον εἰς μίαν οἰκίαν νὰ χαθοῦν δύο παιδιά, γίνεται ἀφόρητος ἡ συμφορά, καὶ ἐὰν καὶ εἰς τὸν Ἰὼβ αὐτὸ ἐφάνη περισσότερον ἀπὸ ὅλα ἀφόρητον, τὸ ὅτι ἔπεσεν ἐπάνω εἰς ὅλα τὰ παιδιά του ἡ ὀροφὴ καὶ ἔτσι ἐθανατώθησαν, τί θὰ ἦτο νὰ ἴδῃ κανείς, ὄχι μίαν οἰκίαν, οὔτε δύο παιδιά, ἀλλ' ἔθνος δώδεκα μυριάδων νὰ καταπλακώνεται κάτω ἀπὸ τὰς ὀροφάς; Γνωρίζετε πόσον μεγάλη ἦτο ἡ συμφορά.

Ἀλλὰ καὶ εἰς ἐμᾶς αὐτὴ ἡ ἀπειλὴ προηγήθη, χωρὶς νὰ

του τινὸς φωνὴν ἀφιέντος - οὐ γὰρ ἄξιοι ἦμεν τοιαύτης ἀκοῦσαι φωνῆς - ἀλλὰ πάσης σάλπιγγος εὐσημότερον τῆς ἄνωθεν ἀπειλῆς ἀνακραζούσης. Ἀλλ', ὅπερ ἔφη, «Ἔτι τρεῖς ἡμέραι, φησί, καὶ Νινευΐ καταστραφήσεται». Φοβερὰ ὄντως ἡ ἀπειλή, ἀλλ' οὐδὲν τοιοῦτόν ἐστι νῦν. Οὐ γὰρ ἔτι τρεῖς ἡμέραι, οὐδὲ Νινευΐ καταστραφήσεται, ἀλλὰ πολλαὶ ἡμέραι ἐξ οὗ τῆς οἰκουμένης ἡ Ἐκκλησία κατέστραπται καὶ εἰς ἔδαφος κεῖται, πάντων ἐξ ἴσης τῷ κακῷ κατεχομένων, μᾶλλον δὲ τῶν ἐν ἀρχαῖς ὄντων, ὅσῳ καὶ πλείων αὐτοῖς ἡ ἀνάγκη. Μὴ τοίνυν θαυμάσητε εἰ μείζονα παρήνεσα ποιεῖν τῶν Νινευϊτῶν· διὰ τί; μᾶλλον δὲ οὐ νηστείαν κηρύττω νῦν μόνον, ἀλλὰ τὸ φάρμακον ἐκεῖνο ὑποδείκνυμι, ὃ καὶ τὴν πόλιν ἐκείνην πίπτουσαν ἀνέστησε. Ποῖον δὴ τοῦτο; «Εἶδε Κύριος», φησίν, «ὅτι ἀπέστη ἕκαστος ἀπὸ τῶν ὁδῶν αὐτοῦ τῶν πονηρῶν, καὶ μετενόησεν ἐπὶ τῇ κακίᾳ, ᾗ ἐλάλησε ποιῆσαι αὐτοῖς».

Τοῦτο πράττωμεν καὶ ἡμεῖς καὶ ὑμεῖς· ἀποστῶμεν τοῦ τῶν χρημάτων ἔρωτος, τοῦ τῆς δόξης, παρακαλοῦντες τὸν Θεὸν χεῖρα ὀρέξαι καὶ διαναστῆσαι τὰ πεπτωκότα μέλη. Οὐδὲ γὰρ ὑπὲρ τῶν αὐτῶν ὁ φόβος. Τότε μὲν γὰρ λίθοι καὶ ξύλα καταπίπτειν ἔμελλον, καὶ σώματα ἀναιρεῖσθαι· νῦν δὲ τούτων οὐδέν, ἀλλὰ ψυχαὶ τῷ τῆς γεέννης μέλλουσι παραδίδοσθαι πυρί. Παρακαλέσωμεν, ἐξομολογησώμεθα, ὑπὲρ τῶν προτέρων αὐτῷ χάριν ὁμολογήσωμεν, ὑπὲρ τῶν μελλόντων αἰτῶμεν, ἵνα καταξιωθῶμεν, τοῦ θηρίου τούτου τοῦ χαλεποῦ καὶ δεινοτάτου ἀπαλλαγέντες, χάριν ἀναπέμψαι τῷ φιλανθρώπῳ Θεῷ καὶ Πατρί, μεθ' οὗ τῷ Υἱῷ ἅμα τῷ ἁγίῳ Πνεύματι δόξα, κράτος, τιμή, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

14. Ἰωνᾶς 3, 8.

ἀκουσθῇ ἡ φωνὴ κάποιου προφήτου — διότι δὲν ἤμεθα ἄξιοι νὰ ἀκούσωμεν τέτοιαν φωνὴν — ἀλλ' ἐπισημότερον ἀπὸ κάθε σάλπιγγα ἀνέκραζεν ἡ ἐξ οὐρανοῦ ἀπειλή. Ἀλλ' ὅπως προανέφερα, λέγει· «ἀκόμη τρεῖς ἡμέραι καὶ ἡ Νινευῒ θὰ καταστραφῇ». Πράγματι εἶναι φοβερὰ ἡ ἀπειλή, ἀλλὰ τίποτε τέτοιο δὲν συμβαίνει τώρα. Διότι ὄχι ἀκόμη τρεῖς ἡμέραι, οὔτε ἡ Νινευῒ θὰ καταστραφῇ, ἀλλ' ἐπέρασαν πολλαὶ ἡμέραι ἀπὸ τότε ποὺ ἡ Ἐκκλησία τῆς οἰκουμένης ἔχει καταστραφῆ καὶ κεῖται εἰς τὸ ἔδαφος καὶ ἐκυριεύθησαν ὅλοι ἐξ ἴσου ἀπὸ τὸ κακόν, μᾶλλον δὲ πολὺ περισσότερον αὐτοὶ οἱ ὁποῖοι εὑρίσκονται εἰς τὴν ἐξουσίαν, τόσον, ὅσον καὶ μεγαλυτέρα εἶναι εἰς αὐτοὺς ἡ ἀνάγκη. Μὴ λοιπὸν ἀπορήσετε ἐὰν περισσότερον ἀπὸ ὅσον μετενόησαν οἱ Νινευῖται σᾶς παρώτρυνα νὰ μετανοήσητε. Διατί; Μᾶλλον δὲ ὄχι μόνον νηστείαν κηρύττω τώρα, ἀλλ' ὑποδεικνύω ἐκεῖνο τὸ φάρμακον, τὸ ὁποῖον ἀκόμη καὶ πίπτουσαν ἐκείνην τὴν πόλιν ἀνέστησε. Ποῖον λοιπὸν εἶναι αὐτό; «Καὶ εἶδεν ὁ Κύριος», λέγει, «ὅτι ἐπέστρεψεν ὁ καθένας ἀπ' αὐτοὺς ἀπὸ τὸν κακὸν δρόμον καὶ μετενόησεν ὁ Θεὸς διὰ τὸ κακόν, τὸ ὁποῖον εἶπεν ὅτι θὰ κάνῃ εἰς αὐτούς»[14].

Αὐτὸ ἂς κάμνωμεν καὶ ἐμεῖς καὶ σεῖς· ἂς ἀπομακρυνθῶμεν ἀπὸ τὸν ἔρωτα τῶν χρημάτων καὶ τῆς δόξης, παρακαλοῦντες τὸν Θεὸν ν' ἁπλώσῃ τὸ χέρι του καὶ νὰ ἀνορθώσῃ τὰ μέλη τὰ ὁποῖα ἐξέπεσαν. Διότι τότε μὲν ἐπρόκειτο νὰ καταπέσουν λίθοι καὶ ξύλα καὶ νὰ θανατωθοῦν σώματα, τώρα ὅμως τίποτε ἀπὸ αὐτά, ἀλλὰ πρόκειται ψυχαὶ νὰ παραδοθοῦν εἰς τὸ πῦρ τῆς γεέννης. Ἂς παρακαλέσωμεν, ἂς ἐξομολογηθῶμεν, δι' ὅσα μὲν μᾶς ἐδώρησεν ἂς τὸν εὐχαριστήσωμεν, διὰ δὲ τὰ μέλλοντα ἂς τὸν παρακαλοῦμεν, διὰ νὰ καταξιωθῶμεν, ἀφοῦ ἀπαλλαγῶμεν ἀπὸ αὐτὸ τὸ ἐπικίνδυνον καὶ φοβερώτατον θηρίον, νὰ ἀναπέμψωμεν εὐχαριστίαν εἰς τὸν φιλάνθρωπον Θεὸν καὶ Πατέρα, μαζὶ μὲ τὸν ὁποῖον εἰς τὸν Υἱὸν καὶ εἰς τὸ ἅγιον Πνεῦμα ἀνήκει δόξα, δύναμις, τιμή, τώρα καὶ πάντοτε καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΛΟΓΟΣ ΙΑ´
Ἐφ. 4, 4 - 16

«Ἓν σῶμα καὶ ἓν Πνεῦμα, καθὼς καὶ ἐκλήθητε ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν· εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα· εἷς Θεὸς Πατὴρ πάντων, ὁ ἐπὶ πάντων, καὶ διὰ πάντων, καὶ ἐν πᾶσιν ἡμῖν. Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ».

1. Ἀγάπην ζητεῖ παρ' ἡμῶν ὁ Παῦλος οὐ τὴν τυχοῦσαν, ἀλλὰ τὴν συγκολλῶσαν ἡμᾶς καὶ ἀδιασπάστως πρὸς ἀλλήλους ἔχειν ποιοῦσαν, καὶ τοσαύτην ἕνωσιν καὶ οὕτως ἀκριβῆ παρεχομένην, ὡσανεὶ μέλη πρὸς μέλη. Αὕτη γάρ ἐστιν ἡ τὰ μεγάλα ἐργαζομένη καλά. Διὰ τοῦτό φησιν, «ἓν σῶμα», καὶ τὴν συμπάθειαν καὶ τὸ μὴ βάλλεσθαι τοῖς ἑτέρων ἀγαθοῖς καὶ τὸ συγχαίρειν καὶ πάντα ὁμοῦ διὰ τούτου δείξας. Καὶ «ἓν πνεῦμα» καλῶς εἶπε, δεικνὺς ὅτι ἀπὸ τοῦ ἑνὸς σώματος ἓν πνεῦμα ἔσται, ἢ ὅτι ἔστι μὲν σῶμα εἶναι ἕν, οὐχ ἓν δὲ πνεῦμα· ὡς ἂν εἴ τις καὶ αἱρετικῶν φίλος εἴη· ἢ ὅτι ἀπ' ἐκείνου δυσωπεῖ, τουτέστιν, οἱ ἓν πνεῦμα λαβόντες, καὶ ἐκ μιᾶς ποτισθέντες πηγῆς, οὐκ ὀφείλετε διχονοεῖν· ἢ πνεῦμα ἐνταῦθα τὴν προθυμίαν φησίν.

Εἶτα, «Καθὼς ἐκλήθητε», φησίν, «ἐν μιᾷ ἐλπίδι τῆς κλήσεως ὑμῶν». Ὁ Θεὸς ὑμᾶς, φησίν, ἐπὶ τοῖς αὐτοῖς ἐκάλεσεν· οὐδὲν ἑτέρῳ πλέον ἀπένειμε τοῦ ἑτέρου· πᾶσιν ἀθανασίαν, πᾶσι ζωὴν αἰώνιον, πᾶσι δόξαν ἀθάνατον, πᾶσιν ἀδελφότητα, πᾶσι κληρονομίαν ἐχαρίσατο· κοινὴ πάντων ἐγένετο κεφαλή· πάντας συνήγειρε καὶ συνεκάθισεν. Οἱ τοί-

1. Ἐφεσ. 4, 4-7.

ΛΟΓΟΣ ΙΑ΄
Ἐφ. 4, 4 - 16

«Ἕνα σῶμα ὑπάρχει καὶ ἕνα Πνεῦμα, καθὼς καὶ μία εἶναι ἡ ἐλπὶς τῆς κλήσεώς σας, τὴν ὁποίαν ἐλάβετε. Ἕνας Κύριος, μία πίστις, ἕνα βάπτισμα, ἕνας Θεὸς καὶ Πατὴρ ὅλων, ὁ ὁποῖος εἶναι ὑπεράνω ὅλων καὶ διὰ μέσου ὅλων ἐκδηλώνει τὴν παρουσίαν του καὶ ὑπάρχει εἰς ὅλους ἐμᾶς. Καὶ εἰς τὸν καθένα δὲ ἀπὸ ἐμᾶς ἐδόθη ἡ χάρις του συμφώνως πρὸς τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ»[1].

1. Ἀγάπην ζητεῖ ἀπὸ ἐμᾶς ὁ Παῦλος, ὄχι ὁποιανδήποτε, ἀλλ' αὐτὴν ἡ ὁποία μᾶς συνενώνει μεταξύ μας ἀδιασπάστως, καὶ μᾶς συνενώνει κατὰ τέτοιον τρόπον καὶ τόσον τέλεια, ὡσὰν νὰ εἴμεθα μέλη πρὸς μέλη. Αὐτὴ λοιπὸν εἶναι ἐκείνη ἡ ὁποία κατορθώνει τὰ μεγάλα καλά. Διὰ τοῦτο λέγει, «ἕνα σῶμα», διὰ νὰ δείξῃ καὶ τὴν σύμπάθειαν καὶ τὸ νὰ μὴ ἐπιδιώκωμεν ν' ἁρπάσωμεν τὰ ἀγαθὰ τῶν ἄλλων καὶ τὸ νὰ χαιρώμεθα μαζὶ μὲ αὐτούς, καὶ ὅλα γενικῶς νὰ εἶναι κοινά. Καὶ καλῶς εἶπε, «ἕνα πνεῦμα» διὰ νὰ δείξῃ ὅτι εἰς τὸ ἕνα σῶμα, ἕνα πνεῦμα θὰ ὑπάρχῃ, ἢ ὅτι εἶναι μὲν δυνατὸν νὰ ὑπάρχῃ ἕνα σῶμα, ὄχι ὅμως ἕνα πνεῦμα, ὅπως ἐὰν κάποιος γίνῃ φίλος αἱρετικῶν· ἢ ἐννοεῖ ὅτι ἀπὸ ἐκεῖνο προτρέπει, δηλαδὴ σεῖς οἱ ὁποῖοι ἐλάβετε ἕνα Πνεῦμα καὶ ἐποτίσθητε ἀπὸ μίαν πηγήν, ὀφείλετε νὰ μὴ ἔχετε διχόνοιαν· ἢ πνεῦμα ἐδῶ ὀνομάζει τὴν προθυμίαν.

Ὕστερον, «Καθὼς καὶ μία εἶναι», λέγει, «ἡ ἐλπὶς τῆς κλήσεώς σας». Ὁ Θεός, λέγει, εἰς τὰ ἴδια σᾶς ἐκάλεσε· τίποτε περισσότερον δὲν ἐμοίρασεν εἰς τὸν ἕνα ἀπὸ τὸν ἄλλον· εἰς ὅλους ἐχάρισεν ἀθανασίαν, εἰς ὅλους ζωὴν αἰώνιον, εἰς ὅλους δόξαν ἀθάνατον, εἰς ὅλους ἀδελφότητα, εἰς ὅλους κληρονομίαν· κοινὴ κεφαλὴ ἔγινεν εἰς ὅλους· ὅλους συνανέ-

νυν ἐν τοῖς πνευματικοῖς τοσαύτην ἔχοντες ἰσοτιμίαν, πόθεν μέγα φρονεῖτε; ὅτι ὁ δεῖνα πλούσιος, καὶ ὁ δεῖνα ἰσχυρός; καὶ πῶς οὐκ ἂν εἴη τοῦτο γέλως· Εἰπὲ γάρ μοι, εἰ ὁ βασιλεύς ποτε λαβὼν ὀνόματα δέκα, πάντας ἁλουργίδα ἐνέδυσε καὶ ἐπὶ τοῦ θρόνου ἐκάθισε τοῦ βασιλικοῦ καὶ πᾶσιν ἔδωκε τὴν αὐτὴν τιμήν, ἄρα ἂν τούτων ἐτόλμησέ τις ὀνειδίσαι τὸν ἕτερον, ὡς πλουσιώτερος ὤν, ἢ ὡς λαμπρότερος; Οὐδαμῶς. Καὶ οὔτω τὸ πᾶν εἴρηκα· οὐ γὰρ τοσοῦτον τὸ μέσον ἐν τοῖς οὐρανοῖς, ὅσον καὶ κάτω διεστήκαμεν.

«Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα». Ἰδοὺ ἡ ἐλπὶς τῆς κλήσεως. «Εἷς Θεὸς καὶ Πατὴρ πάντων, ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν ἡμῖν». Μὴ γὰρ σοὶ μὲν ὁ μείζων, ἐκείνῳ δὲ ὁ ἐλάττων ἐπεκλήθη; μὴ γὰρ σὺ μὲν ἀπὸ πίστεως, ἐκεῖνος δὲ ἀπὸ ἔργων ἐσώθη; μὴ γὰρ σοὶ μὲν ἀφείθη διὰ τοῦ βαπτίσματος, ἐκείνῳ δὲ οὐδέν;

«Εἷς Θεὸς καὶ Πατὴρ πάντων , ὁ ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσιν ἡμῖν». «Ἐπὶ πάντων», τουτέστιν ὁ Κύριος καὶ ἐπάνω πάντων· «καὶ διὰ πάντων», τουτέστιν, ὁ προνοῶν καὶ διοικῶν· «καὶ ἐν πᾶσιν ἡμῖν», τουτέστιν, ὁ οἰκῶν. Καίτοι τοῦ Υἱοῦ τοῦτο εἶναί φησιν· ὥστε εἰ ἐλαττώσεως ἦν, οὐκ ἂν περὶ τοῦ Πατρὸς ἐρρήθη. «Ἑνὶ δὲ ἑκάστῳ ἡμῶν ἐδόθη ἡ χάρις». Τί οὖν, φησί; πόθεν τὰ χαρίσματα διάφορα; Τοῦτο γὰρ ἀεὶ καὶ αὐτοὺς καὶ Κορινθίους καὶ πολλοὺς ἑτέρους, τοὺς μὲν εἰς ἀπόνοιαν, τοὺς δὲ εἰς ἀθυμίαν καὶ φθόνον ἐνῆγε. Διὰ τοῦτο πανταχοῦ τὸ τοῦ σώματος ὑπόδειγμα

στησε καὶ ἐκάθισε μαζί του. Σεῖς λοιπὸν οἱ ὁποῖοι εἰς τὰ πνευματικὰ ἔχετε τόσην ἰσοτιμίαν, ἀπὸ ποῦ ὁρμώμενοι μεγαλοφρονεῖτε; ἀπὸ τὸ ὅτι ὁ τάδε εἶναι πλούσιος καὶ ὁ τάδε ἰσχυρός; καὶ πῶς δὲν θὰ ἦτο αὐτὸ ἀξιογέλαστον; Διότι εἰπέ μου· ἐὰν κάποτε ὁ βασιλεύς, ἀφοῦ ἐλάμβανε δέκα ἀνθρώπους καὶ τοὺς ἐνέδυεν ὅλους μὲ προφύραν καὶ τοὺς ἐκάθιζεν εἰς τὸν βασιλικὸν θρόνον καὶ ἔδιδεν εἰς ὅλους τὴν αὐτὴν τιμήν, ἆρά γε θὰ εἶχε τὴν τόλμην κάποιος ἐξ αὐτῶν νὰ κατηγορήσῃ τὸν ἄλλον ὅτι εἶναι πλουσιώτερος ἢ λαμπρότερος; Καθόλου. Καὶ ἀκόμη δὲν τὰ εἶπα ὅλα· διότι δὲν εἶναι τόση ἡ διαφορὰ εἰς τοὺς οὐρανούς, ὅσον κάτω εἰς τὴν γῆν.

«Ἕνας Κύριος, μία πίστις, ἕνα βάπτισμα». Ἰδοὺ ἡ ἐλπὶς τῆς κλήσεως. «Ἕνας Θεὸς καὶ Πατὴρ ὅλων ὁ ὁποῖος εἶναι ὑπεράνω ὅλων καὶ διὰ μέσου ὅλων ἐκδηλώνει τὴν παρουσίαν του, καὶ ὑπάρχει εἰς ὅλους ἐμᾶς». Μήπως λοιπὸν προσεκλήθη εἰς ἐσένα μὲν ὁ μεγαλύτερος, ἐνῷ εἰς ἐκεῖνον ὁ μικρότερος; μήπως δὲ σὺ μὲν ἐσώθης ἀπὸ τὴν πίστιν, ἐνῷ ἐκεῖνος ἀπὸ τὰ ἔργα; ἢ μήπως εἰς ἐσένα μὲν ἀφέθησαν αἱ ἁμαρτίαι διὰ τοῦ βαπτίσματος, ἐνῷ εἰς ἐκεῖνον δὲν συνέβη τίποτε παρόμοιον;

«Ἕνας Θεὸς καὶ Πατὴρ ὅλων, ὁ ὁποῖος εἶναι ὑπεράνω ὅλων καὶ διὰ μέσου ὅλων ἐκδηλώνει τὴν παρουσίαν καὶ ὑπάρχει εἰς ὅλους ἐμᾶς». «Ὑπεράνω ὅλων», δηλαδὴ εἶναι ὁ Κύριος καὶ ὁ ὁποῖος εὑρίσκεται ὑπεράνω ὅλων· «καὶ δι' ὅλων», δηλαδὴ ἐκεῖνος ὁ ὁποῖος προνοεῖ καὶ διοικεῖ· «καὶ εἰς ὅλους ἐμᾶς», δηλαδὴ ὁ κατοικῶν εἰς ἐμᾶς. Ἂν καὶ αὐτὸ βέβαια εἶναι γνώρισμα τοῦ Υἱοῦ, λέγει· ὥστε καὶ ἂν ἀκόμη ὑπῆρχεν ἐλάττωσις, δὲν θὰ ἦτο δυνατὸν νὰ λεχθῇ διὰ τὸν Πατέρα. «Ἀλλ' εἰς τὸν καθένα ἀπὸ ἐμᾶς ἐδόθη ἡ χάρις». Τί λοιπόν; θὰ εἴπῃ κάποιος· ἀπὸ ποῦ εἶναι τότε διάφορα τὰ χαρίσματα; Διότι αὐτὸ ὡδήγησε πάντοτε καὶ αὐτοὺς καὶ τοὺς Κορινθίους καὶ πολλοὺς ἄλλους, τοὺς μὲν εἰς ἀνόητον τόλμην, τοὺς δὲ εἰς μικροψυχίαν καὶ φθόνον. Διὰ τοῦτο παντοῦ παίρνει τὸ παράδειγμα ἀπὸ τὸ σῶμα· διὰ τοῦτο καὶ

παραλαμβάνει· διὰ τοῦτο καὶ νῦν τοῦτο τέθεικεν, ἐπειδὴ ἔμελλε διαφόρων χαρισμάτων μνημονεύειν.

Ἀκριβέστερον μὲν οὖν αὐτὸ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ ἐπεξέρχεται, ἐπειδὴ καὶ ἐκεῖ μάλιστα τὸ νόσημα τοῦτο ἐτυράννει· νῦν δὲ ἐνταῦθα μόνον ᾐνίξατο. Καὶ ὅρα τί φησιν. Οὐκ εἶπε, 'κατὰ τὴν ἑκάστου πίστιν', ἵνα μὴ εἰς ἀθυμίαν ἐμβάλῃ ἐκείνους, τοὺς μεγάλων μὴ τετυχηκότας· ἀλλὰ τί; «Κατὰ τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ». Τὰ πάντων κεφαλαιωδέστερα, φησί, κοινὰ πάντων ἐστί, τὸ βάπτισμα, τὸ διὰ πίστεως σωθῆναι, τὸ τὸν Θεὸν ἔχειν Πατέρα, τὸ τοῦ αὐτοῦ Πνεύματος ἅπαντας μετέχειν. Εἰ δέ τι πλέον ὁ δεῖνα ἔχει ἐν τῷ χαρίσματι, μὴ ἄλγει, ἐπεὶ καὶ ὁ πόνος αὐτῷ πλείων ἐστί· καὶ ὁ τὰ πέντε τάλαντα λαβών, πέντε ἀπῃτεῖτο· ὁ δὲ τὰ δύο, δύο μόνον προσήνεγκε, καὶ οὐδὲν ἔλαττον ἔσχεν ἐκείνου. Διὰ τοῦτο ἐνταῦθα ἀπὸ τῆς αὐτῆς αἰτίας παραμυθεῖται τὸν ἀκούοντα. «Πρὸς καταρτισμὸν τῶν ἁγίων», φησίν, «εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ». Διὰ τοῦτο καὶ αὐτὸς ἔλεγεν, «Οὐαί μοι, ἐὰν μὴ εὐαγγελίζωμαι». Οἷον, ἀποστολῆς ἔλαβε χάρισμα. Ἀλλὰ διὰ τοῦτο αὐτῷ οὐαί, ἐπειδὴ ἔλαβε· σὺ δὲ τοῦ κινδύνου ἀπήλλαξαι.

«Κατὰ τὸν μέτρον». Τί ἐστι, «κατὰ τὸ μέτρον»; Τουτέστιν, οὐ πρὸς τὴν ἡμετέραν ἀξίαν· ἐπεὶ οὐδ' ἂν ἔλαβεν οὐδεὶς ἃ ἔλαβεν· ἀλλὰ πάντες ἀπὸ τῆς δωρεᾶς ἐλάβομεν. Διὰ τί ὁ μὲν πλέον, ὁ δὲ ἔλαττον; Οὐδὲν τοῦτο ποιεῖ, φησίν, ἀλλ' ἀδιάφορον τὸ πρᾶγμά ἐστιν· ἕκαστος γὰρ πρὸς τὴν οἰκοδομὴν συντελεῖ. Καὶ διὰ τούτου δείκνυσιν ὅτι οὐκ ἀπὸ τῆς οἰ-

2. Ἐφεσ. 4, 12-13.
3. Α' Κορ. 9, 16.

τώρα αὐτὸ ἀνέφερεν, ἐπειδὴ ἐπρόκειτο νὰ μνημονεύσῃ διάφορα χαρίσματα.

Λεπτομερέστερον λοιπὸν ἐξετάζει καὶ ἐλέγχει αὐτὸ εἰς τὴν πρὸς Κορινθίους ἐπιστολήν, ἐπειδὴ ἐκεῖ κατ' ἐξοχὴν ἐβασάνισεν αὐτοὺς κατὰ τρόπον τυραννικὸν αὐτὸ τὸ νόσημα· τώρα ὅμως ἐδῶ ἁπλῶς τὸ ἔθιξε. Καὶ πρόσεχε, τί λέγει. Δὲν εἶπε, 'Συμφώνως πρὸς τὴν πίστιν τοῦ καθενός', διὰ νὰ μὴ ὁδηγήσῃ εἰς μικροψυχίαν ἐκείνους, οἱ ὁποῖοι δὲν ἠξιώθησαν τὰ μεγάλα χαρίσματα. Ἀλλὰ τί λέγει; «Συμφώνως πρὸς τὸ μέτρον τῆς δωρεᾶς τοῦ Χριστοῦ». Τὰ κυριώτερα ἀπὸ ὅλα, λέγει, εἶναι κοινὰ εἰς ὅλους, δηλαδὴ τὸ βάπτισμα, ἡ διὰ τῆς πίστεως σωτηρία, τὸ νὰ ἔχωμεν τὸν Θεὸν Πατέρα, τὸ νὰ μετέχωμεν ὅλοι εἰς τὸ αὐτὸ Πνεῦμα. Ἐὰν πάλιν ὁ τάδε ἔχει κάποιο χάρισμα περισσότερον, μὴ στενοχωρῆσαι, διότι καὶ ὁ κόπος εἶναι εἰς αὐτὸν περισσότερος· καὶ ἀπὸ ἐκεῖνον ὁ ὁποῖος ἔλαβε τὰ πέντε τάλαντα, πέντε τοῦ ἐζητήθησαν· ἐκεῖνος δὲ ὁ ὁποῖος ἔλαβε τὰ δύο, δύο μόνον προσέφερε, καὶ τίποτε ὀλιγώτερον δὲν ἔλαβεν ἀπὸ ἐκεῖνον. Διὰ τοῦτο ἐδῶ ἀπὸ τὴν ἰδίαν αἰτίαν παρηγορεῖ τὸν ἀκροατήν. «Πρὸς τὸν σκοπὸν νὰ καταρτίσουν τοὺς ἁγίους», λέγει, «διὰ τὸ ἔργον τῆς διακονίας, διὰ τὴν οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ»[2]. Διὰ τοῦτο καὶ ὁ ἴδιος ὁ Παῦλος ἔλεγεν ἀλλοῦ· «Ἀλλοίμονόν μου, ἐὰν δὲν κηρύττω τὸ εὐαγγέλιον»[3]. Δηλαδή, ἔλαβεν χάρισμα ἀποστολῆς. Ἀλλὰ διὰ τοῦτο ἀκριβῶς, διὰ τὸ ὅτι ἔλαβε, ἀλλοίμονον· ἐνῷ ἐσὺ ἔχεις ἀπαλλαγὴ ἀπὸ τὸν κίνδυνον.

«Συμφώνως πρὸς τὸ μέτρον». Τί σημαίνει «συμφώνως πρὸς τὸ μέτρον»; Δηλαδὴ ὄχι συμφώνως πρὸς τὴν ἰδικήν μας ἀξίαν· διότι δὲν θὰ ἐλάμβανε κανεὶς ἐκεῖνα τὰ ὁποῖα ἔλαβεν, ἀλλ' ὅλοι ἀπὸ τὴν δωρεάν του ἐλάβομεν. Καὶ διατί ὁ μὲν ἔλαβε περισσότερον, ὁ δὲ ὀλιγώτερον; Δὲν ἔχει καμμίαν σημασίαν αὐτό, λέγει, ἀλλ' εἶναι ἀδιάφορον πρᾶγμα· διότι εἰς τὴν οἰκοδομὴν ὁ καθένας συντελεῖ. Καὶ μὲ αὐτὸ δεικνύει ὅτι δὲν ἔλαβεν ἀπὸ τὴν ἰδικήν του ἀξίαν ὁ μὲν

κείας ἀξίας ὁ μὲν πλέον, ὁ δὲ ἔλαττον ἔλαβεν, ἀλλὰ δι' ἑτέρου, ὡς αὐτὸς ἐμέτρησεν· ἐπεὶ καὶ ἀλλαχοῦ λέγει· «Τὰ δὲ μέλη ἔθετο ἓν ἕκαστον αὐτῶν, καθὼς αὐτὸς ἠθέλησε»· καὶ οὐ λέγει τὸν λόγον, ἵνα μὴ καταβάλῃ τὰ φρονήματα τῶν ἀκουόντων.

2. «Διὸ λέγει, ἀναβὰς εἰς ὕψος ᾐχμαλώτευσεν αἰχμαλωσίαν, καὶ ἔδωκε δόγματα τοῖς ἀνθρώποις». Τουτέστι, τί μέγα φρονεῖς; τοῦ Θεοῦ τὸ πᾶν γέγονεν. Ὁ μὲν προφήτης φησὶν ἐν τῷ ψαλμῷ. «Ἔλαβε δόματα ἐν ἀνθρώποις»· αὐτὸς δέ φησιν, «Ἔδωκε δόγματα ἐν ἀνθρώποις». Ταὐτόν ἐστι. «Τὸ δὲ ἀνέβη τί ἐστιν, εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον εἰς τὰ κατώτερα μέρη τῆς γῆς; Ὁ καταβάς, αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα». Ταῦτα ἀκούων, μὴ μετάβασιν νόμιζε. Ὅπερ γὰρ ἐν τῇ πρὸς Φιλιππησίους ἐπιστολῇ κατασκευάζει, τοῦτο καὶ ἐνταῦθα. Καθάπερ ἐκεῖ περὶ ταπεινοφροσύνης παραινῶν παράγει τὸν Χριστόν, οὕτω δὴ καὶ ἐνταῦθα, ἐπειδὴ εἰς τὰ κατώτερα μέρη κατέβη τῆς γῆς. Εἰ γὰρ μὴ τοῦτο ἦν, περιττὸς οὗτος ὁ λόγος ὅνπερ λέγει, «Ὑπήκοος γενόμενος μέχρι θανάτου». Ἀπὸ δὲ τοῦ ἀναβῆναι τὴν κατάβασιν αἰνίττεται. Τὰ δὲ κάτω μέρη τῆς γῆς τὸν θάνατόν φησιν, ἀπὸ τῆς τῶν ἀνθρώπων ὑπονοίας, καθάπερ καὶ ὁ Ἰακὼβ ἔλεγε· «Κατάξετε τὸ γῆράς μου μετ' ὀδύνης εἰς ᾅδου»· καὶ πάλιν ἐν τῷ ψαλμῷ, «Καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον»· τουτέστι, τοῖς ἀποθανοῦσι. Διὰ τί τοῦτο τὸ χωρίον ἐπεξεργάζεται ἐνταῦθα; ποίαν αἰχμαλωσίαν φησί; Τὴν τοῦ διαβόλου. Αἰχμάλωτον τὸν τύραννον ἔλαβε, τὸν διάβολον καὶ τὸν θάνατον καὶ τὴν ἀρὰν καὶ τὴν ἁμαρτίαν. Ὁρᾷς σκῦλα καὶ λάφυρα;

«Τὸ δὲ ἀνέβη τί ἐστιν, εἰ μὴ ὅτι καὶ κατέβη;». Τοῦτο πρὸς τοὺς Παύλου τοῦ Σαμοσατέως. «Ὁ καταβάς, αὐτός ἐ-

---

4. Α' Κορ. 12, 18.
5. Ἐφεσ. 4, 8.
6. Ἐφεσ. 4, 9-10.
7. Φιλιπ. 2, 8.
8. Γεν. 44, 29.
9. Ψαλμ. 142, 7.

περισσότερον, ὁ δὲ ὀλιγώτερον, ἀλλὰ δι' ἄλλους λόγους, ὅπως ἀκριβῶς ἔκρινεν ὁ Θεός· ἐπειδὴ καὶ ἀλλοῦ λέγει· «Ὁ Θεὸς ἐτοποθέτησε τὸ καθένα ἀπὸ τὰ μέλη εἰς τὸ σῶμα, ὅπως ἀκριβῶς ἠθέλησεν αὐτός»[4]· καὶ δὲν λέγει τὸν λόγον, διὰ νὰ μὴ μειώσῃ τὸ φρόνημα τῶν ἀκροατῶν.

2. «Διὰ τοῦτο λέγει· Ὅταν ἀνέβη εἰς τὰ ὕψη ἔλαβεν αἰχμαλώτους καὶ ἔδωκε δῶρα εἰς τοὺς ἀνθρώπους»[5]. Δηλαδή, τί μεγαλοφρονεῖς; ὅλα ἀπὸ τὸν Θεὸν ἔγιναν. Ὁ μὲν προφήτης λέγει εἰς τὸν ψαλμόν, «Ἔλαβεν ὅσα ἔδωσεν εἰς τοὺς ἀνθρώπους»· ὁ ἴδιος δὲ λέγει, «Ἔδωσε δῶρα εἰς τοὺς ἀνθρώπους». Τὸ ἴδιον εἶναι. «Τὸ δέ, Ἀνέβη, τί ἄλλο σημαίνει, παρὰ ὅτι καὶ κατέβη πρῶτον εἰς τὰ κατώτερα μέρη τῆς γῆς; Ἐκεῖνος ποὺ κατέβη, εἶναι αὐτὸς ποὺ καὶ ἀνέβη ὑπεράνω ὅλων τῶν οὐρανῶν, διὰ νὰ γεμίσῃ τὰ πάντα»[6]. Ὅταν ἀκούῃς αὐτά, μὴ τὰ θεωρῇς ὡσὰν μετάβασιν. Διότι αὐτὸ τὸ ὁποῖον λέγει εἰς τὴν πρὸς Φιλιππησίους ἐπιστολήν, αὐτὸ λέγει καὶ ἐδῶ. Ὅπως ἐκεῖ προτρέπων εἰς ταπεινοφροσύνην παρουσιάζει τὸν Χριστόν, ἔτσι λοιπὸν καὶ ἐδῶ, ὅταν λέγῃ ὅτι κατέβη εἰς τὰ κατώτατα τῆς γῆς. Διότι, ἐὰν δὲν ἦτο αὐτό, θὰ ἦτο περιττὸς ὁ λόγος, «ἐταπείνωσε τὸν ἑαυτόν του γενόμενος ὑπήκοος μέχρι θανάτου»[7]. Ἀπὸ δὲ τὴν ἀνάβασιν ὑπαινίσσεται τὴν κατάβασιν. Μὲ τὰ κάτω δὲ μέρη τῆς γῆς ἐννοεῖ τὸν θάνατον, ἀπὸ τὰ βάθη δηλαδὴ τῆς διανοίας τῶν ἀνθρώπων, ὅπως ἔλεγε καὶ ὁ Ἰακώβ· «θὰ ὁδηγήσετε τὸ γεροντικὸν σῶμα μου μετὰ λύπης εἰς τὸν Ἅδην»[8]· καὶ πάλιν εἰς τὸν ψαλμόν, «διότι ἔτσι θὰ γίνω ὅμοιος μὲ ἐκείνους οἱ ὁποῖοι ὁδηγοῦνται εἰς τὸν τάφον»[9], δηλαδὴ μὲ τοὺς νεκρούς. Καὶ διατί ἐπεξεργάζεται αὐτὸ τὸ χωρίον ἐδῶ; Ποίαν αἰχμαλωσίαν ἐννοεῖ; Τὴν αἰχμαλωσίαν τοῦ διαβόλου. Αἰχμάλωτον συνέλαβε τὸν τύραννον, τὸν διάβολον, τὸν θάνατον, τὴν κατάραν καὶ τὴν ἁμαρτίαν. Βλέπεις λάφυρα καὶ ὅπλα;

«Τὸ δὲ ἀνέβη, τί ἄλλο σημαίνει, παρὰ ὅτι καὶ κατέβη;». Αὐτὸ ταιριάζει διὰ τοὺς ὀπαδοὺς τοῦ Παύλου Σαμοσατέως. «Ἐκεῖνος ὁ ὁποῖος κατέβη εἶναι αὐτὸς ὁ ὁποῖος καὶ ἀνέβη

στι καὶ ὁ ἀναβὰς ὑπεράνω πάντων τῶν οὐρανῶν, ἵνα πληρώσῃ τὰ πάντα». Εἰς τὰ κατώτερα μέρη, φησί, κατέβη τῆς γῆς, μεθ' ἃ οὐκ ἔστιν ἕτερα· καὶ ἀνέβη ὑπεράνω πάντων, μεθ' ὃ οὐκ ἔστιν ἕτερόν τι. Τουτέστι, τῆς δεσποτείας αὐτοῦ καὶ τῆς ἐνεργείας· καὶ γὰρ καὶ πάλαι πάντα πεπλήρωτο.

«Καὶ αὐτὸς ἔδωκε τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας, τοὺς δὲ εὐαγγελιστάς, τοὺς δὲ ποιμένας καὶ διδασκάλους, πρὸς τὸν καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ». Ὅπερ λέγει ἀλλαχοῦ, «Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε», τοῦτο καὶ ἐνταῦθα λέγει· «Ὁ καταβάς, αὐτός ἐστι καὶ ὁ ἀναβάς». Οὐδὲν αὐτὸν ἔβλαψε τὸ εἰς τὰ κατώτερα μέρη τῆς γῆς κατελθεῖν, οὐδὲ ἐνεπόδισε πρὸς τὸ ἀνωτέρω γενέσθαι τῶν οὐρανῶν. Ὥστε ὅσῳ ἄν τις ταπεινωθῇ, τοσούτῳ μᾶλλον ὑψοῦται. Καθάπερ γὰρ ἐπὶ τοῦ ὕδατος ὅσῳ ἄν τις τοῦτο εἰς τὸ κάτω κατενέγκῃ, τοσούτῳ μᾶλλον αὐτὸ πρὸς ὕψος ἀνάγει, καὶ ὅσῳ ἄν τις διαστήματος ἀκοντίσῃ, τοσούτῳ ἐπιτυγχάνει· οὕτω καὶ ἐπὶ τῆς ταπεινοφροσύνης. Ἀλλ' ὅταν περὶ Θεοῦ λέγῃ τὰς ἀναβάσεις, ἀνάγκη πρῶτον κατάβασιν ἐννοεῖν· ὅταν δὲ περὶ ἀνθρώπου οὐκέτι.

Εἶτα καὶ τὴν πρόνοιαν αὐτοῦ δείκνυσι καὶ τὴν σοφίαν, ὅτι ὁ τοσαῦτα ἐργασάμενος, καὶ τοσαῦτα ἰσχύσας, καὶ μέχρι τῶν κατωτέρων μερῶν μὴ παραιτησάμενος κατελθεῖν δι' ἡμᾶς, οὐκ ἂν ἁπλῶς τὰς διανομὰς τῶν χαρισμάτων ἐποίησεν. Ἀλλαχοῦ δέ φησιν, ὅτι τὸ Πνεῦμα τοῦτο εἰργάσατο, οὕτω λέγων· «Ἐν ᾧ ἔθετο ὑμᾶς τὸ Πνεῦμα τὸ ἅγιον ἐπισκόπους, ποιμαίνειν τὴν Ἐκκλησίαν τοῦ Κυρίου». Ἐνταῦθά φησιν, ὅτι ὁ Υἱός· ἀλλαχοῦ, ὅτι ὁ Θεός· «Καὶ αὐτὸς αὐτοὺς ἔδωκε τῇ Ἐκκλησίᾳ, τοὺς μὲν ἀποστόλους, τοὺς δὲ προφήτας». Ἐν

10. Ἐφεσ. 4, 11-12.
11. Φιλιπ. 2, 9.
12. Πράξ. 20, 28.

ὑπεράνω ὅλων τῶν οὐρανῶν, διὰ νὰ γεμίσῃ τὰ πάντα». Εἰς τὰ κατώτερα, λέγει, μέρη τῆς γῆς κατέβη, μετὰ ἀπὸ τὰ ὁποῖα δὲν ὑπάρχουν ἄλλα· καὶ ἀνέβη ὑπεράνω ὅλων, μετὰ ἀπὸ τὸ ὁποῖον δὲν ὑπάρχει τίποτε ἄλλο. Δηλαδὴ ἐγέμισαν ὅλα ἀπὸ τὴν κυριαρχίαν καὶ τὰς ἐνεργείας του· ἐξ ἄλλου καὶ πρὶν συμβῇ αὐτὸ τὰ πάντα ἦσαν γεμᾶτα.

«Καὶ τὰ δῶρά του ἦσαν· ἄλλοι νὰ εἶναι ἀπόστολοι, ἄλλοι προφῆται, ἄλλοι εὐαγγελισταί, ἄλλοι ποιμένες καὶ διδάσκαλοι, πρὸς τὸν σκοπὸν νὰ καταρτίσουν τοὺς ἁγίους, διὰ τὸ ἔργον ὑπηρεσίας, διὰ τὴν οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ»[10]. Αὐτὸ δηλαδὴ τὸ ὁποῖον λέγει ἀλλοῦ, «Διὰ τοῦτο καὶ ὁ Θεὸς τὸν ὑπερύψωσεν»[11], αὐτὸ λέγει καὶ ἐδῶ· «Ἐκεῖνος ποὺ κατέβη εἶναι αὐτὸς ποὺ καὶ ἀνέβη». Εἰς τίποτε δὲν τὸν ἔβλαψε τὸ ὅτι κατῆλθεν εἰς τὰ κατώτερα μέρη τῆς γῆς, οὔτε τὸν ἠμπόδισε νὰ ἀνέλθῃ ὑψηλότερα ἀπὸ τοὺς οὐρανούς. Ὥστε ὅσον περισσότερον ταπεινωθῇ κανείς, τόσον περισσότερον ὑψώνεται. Διότι ὅπως ἀκριβῶς καὶ εἰς τὸ ὕδωρ, ὅσον περισσότερον κανεὶς προσπαθεῖ νὰ τὸ κατεβάσῃ, τόσον περισσότερον τὸ ἀνυψώνει, καὶ ὅσον τὸ ἐκσφενδονίζει ἀπὸ ἀπόστασιν, τόσον περισσότερον ἐπιτυγχάνει, ἔτσι καὶ εἰς τὴν περίπτωσιν τῆς ταπεινοφροσύνης. Ἀλλ' ὅταν ὁμιλῇ διὰ τὰς ἀναβάσεις τοῦ Θεοῦ, ὁπωσδήποτε ἐννοεῖ ὅτι προηγήθη ἡ κατάβασις· ὅταν ὅμως ἀναφέρεται εἰς τὸν ἄνθρωπον, ἀσφαλῶς ὄχι.

Ὕστερον δεικνύει καὶ τὴν πρόνοιαν καὶ τὴν σοφίαν τοῦ Θεοῦ, διότι ἐκεῖνος ὁ ὁποῖος ἔκανε τόσα, καὶ ἠδυνήθη τόσα πρὸς χάριν μας, καὶ δὲν ἐδίστασε νὰ κατέλθῃ δι' ἐμᾶς καὶ μέχρι τὰ κατώτερα μέρη, δὲν θὰ ἦτο δυνατὸν νὰ ἐμοίραζε τυχαίως τὰ πνευματικὰ χαρίσματα. Ἀλλοῦ ὅμως λέγει ὅτι τὸ ἅγιον Πνεῦμα ἔκανεν αὐτά, λέγων τὰ ἑξῆς· «Εἰς τὸ ὁποῖον ποίμνιον τὸ ἅγιον Πνεῦμα σᾶς ἐτοποθέτησεν ἐπισκόπους, διὰ νὰ ποιμάνετε τὴν Ἐκκλησίαν τοῦ Θεοῦ»[12]. Ἐδῶ λέγει ὅτι ὁ Υἱὸς ἔκανεν αὐτά· ἀλλοῦ, ὅτι ὁ Θεὸς Πατήρ· «Καὶ ὁ Θεὸς ἐτοποθέτησεν εἰς τὴν ἐκκλησίαν πρῶτον ἀποστόλους, δεύτερον

δὲ τῇ πρὸς Κορινθίους φησίν· «Ἐγὼ ἐφύτευσα, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ Θεὸς ηὔξανε»· καὶ πάλιν, «Ὁ φυτεύων δὲ καὶ ὁ ποτίζων ἕν εἰσιν· ἕκαστος δὲ τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον».

Οὕτω καὶ ἐνταῦθα. Τί γάρ, εἰ ἔλαττον εἰσφέρεις; τοσοῦτον ἔλαβες. «Πρῶτον ἀποστόλους»· πάντα γὰρ εἶχον οὗτοι. «Δεύτερον προφῆται»· ἦσαν γάρ τινες, οἳ ἀπόστολοι μὲν οὐκ ἦσαν, προφῆται δέ, ὥσπερ Ἄγαβος. «Τρίτον εὐαγγελιστάς»· οἱ μὴ περιϊόντες πανταχοῦ, ἀλλ' εὐαγγελιζόμενοι μόνον, ὡς Πρίσκιλλα καὶ Ἀκύλας. «Ποιμένας καὶ διδασκάλους», τοὺς ὁλόκληρον ἐμπεπιστευμένους ἔθνος». Τί οὖν; οἱ ποιμένες καὶ οἱ διδάσκαλοι ἐλάττους; Καὶ πάνυ, τῶν περιϊόντων καὶ εὐαγγελιζομένων οἱ καθήμενοι καὶ περὶ ἕνα τόπον ἠσχολημένοι, οἷον Τιμόθεος, Τίτος. Ἄλλως δέ, οὐ δυνατὸν ἐντεῦθεν ποιήσασθαι τὴν ὑποταγὴν καὶ τὴν προτίμησιν, ἀλλ' ἀπὸ ἑτέρας ἐπιστολῆς. «Αὐτὸς ἔδωκε», φησί· μηδὲν ἀντείπῃς. Ἢ εὐαγγελιστάς φησι, τοὺς τὸ εὐαγγέλιον γράψαντας.

3. «Πρὸς καταρτισμὸν τῶν ἁγίων, εἰς ἔργον διακονίας, εἰς οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ». Ὁρᾷς τὸ ἀξίωμα; Ἕκαστος οἰκοδομεῖ, ἕκαστος καταρτίζει, ἕκαστος διακονεῖ. «Μέχρις οὗ καταντήσομεν», φησίν, «οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, καὶ μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ». Ἡλικίαν ἐνταῦθά φησι τὴν τελείαν ἐπίγνωσιν. Καθάπερ γὰρ ὁ ἀνὴρ ἕστηκε βεβαίως, οἱ δὲ παῖδες τὰς φρένας περιφέρονται, οὕτω καὶ ἐπὶ τῶν πιστῶν. «Εἰς τὴν ἑνότητα», φησί, «τῆς πίστεως»· τουτέστιν, ἕως ἂν δειχθῶμεν

---

13. Α΄ Κορ. 12, 28.
14. Α΄ Κορ. 3, 6.
15. Α΄ Κορ. 3, 8.
16. Ἐφεσ. 4, 13.

προφήτας»[13]. Εἰς δὲ τὴν πρὸς Κορινθίους λέγει· «Ἐγὼ ἐφύτευσα, ὁ Ἀπολλῶς ἐπότισεν, ὁ Θεὸς ὅμως ἔδινε τὴν αὔξησιν»[14]· καὶ πάλιν· «Ἐκεῖνος ποὺ φυτεύει καὶ ἐκεῖνος ποὺ ποτίζει εἶναι τὸ ἴδιο, ἀλλ' ὁ καθεὶς θὰ λάβῃ τὸν ἰδικόν του μισθὸν συμφώνως μὲ τὸν ἰδικόν του κόπον»[15].

Ἔτσι καὶ ἐδῶ. Τί σημασία λοιπὸν ἔχει ἐὰν ὀλιγώτερον συνεισφέρῃς; Τόσον ἔλαβες. «Πρῶτον ἀποστόλους»· διότι τὰ πάντα εἶχον αὐτοί. «Δεύτερον προφήτας»· διότι ὑπῆρχον μερικοὶ οἱ ὁποῖοι δὲν ἦσαν μὲν ἀπόστολοι, ἦσαν ὅμως προφῆται, ὅπως ὁ Ἄγαβος. «Τρίτον διδασκάλους διὰ τὴν κήρυξιν τοῦ εὐαγγελίου»· αὐτοὶ οἱ ὁποῖοι δὲν περιήρχοντο ὅλους τοὺς τόπους, ἀλλὰ μόνον ἐκήρυττον τὸ εὐαγγέλιον, ὅπως ἡ Πρίσκιλλα καὶ ὁ Ἀκύλας. «Ποιμένας καὶ διδασκάλους», ἐκείνους εἰς τοὺς ὁποίους ἐνεπιστεύθη ὁλόκληρον τὸ ἔθνος. Τί λοιπόν; Οἱ ποιμένες καὶ οἱ διδάσκαλοι εἶναι κατώτεροι; Καὶ μάλιστα πολὺ κατώτεροι εἶναι ἐκεῖνοι οἱ ὁποῖοι ἀκάθηντο καὶ ἠσχολοῦντο μὲ ἕνα τόπον ἀπὸ ἐκείνους οἱ ὁποῖοι περιήρχοντο καὶ εὐηγγελίζοντο, ὅπως, δηλαδὴ ἦσαν ὁ Τιμόθεος καὶ ὁ Τίτος. Ἄλλως τε δὲν εἶναι δυνατὸν ἐδῶ νὰ κάνωμεν τὴν διάκρισιν τοῦ κατωτέρου καὶ ἀνωτέρου, ἀλλ' ἀπὸ ἄλλην ἐπιστολήν. «Αὐτὸς ἔδωσε», λέγει· μὴ προβάλῃς καμμίαν ἀντίρρησιν. Ἢ ἴσως ὀνομάζει εὐαγγελιστὰς ἐκείνους οἱ ὁποῖοι ἔγραψαν τὸ εὐαγγέλιον.

3. «Πρὸς τὸν σκοπὸν νὰ καταρτίσουν τοὺς ἁγίους, διὰ τὸ ἔργον τῆς διακονίας, διὰ τὴν οἰκοδομὴν τοῦ σώματος τοῦ Χριστοῦ». Βλέπεις τὸ ἀξίωμα; Ὁ καθένας οἰκοδομεῖ, ὁ καθένας καταρτίζει, ὁ καθένας ὑπηρετεῖ. «Μέχρις ὅτου φθάσωμεν», λέγει, «ὅλοι εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς πλήρους γνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς τὸ μέτρον τοῦ τελείου ἀναστήματος τοῦ Χριστοῦ»[16]. Τέλειον ἀνάστημα ὀνομάζει ἐδῶ τὴν τελείαν ἐπίγνωσιν. Διότι ὅπως ἀκριβῶς ὁ ἀνὴρ ἵσταται μὲ σταθερότητα, ἐνῷ οἱ νεαροὶ περιπλανῶνται κατὰ τὸν νοῦν, ἔτσι συμβαίνει καὶ εἰς τοὺς πιστούς. «Εἰς τὴν ἑνότητα», λέγει, «τῆς πίστεως»· δηλαδή, μέ-

πάντες μίαν πίστιν ἔχοντες. Τοῦτο γάρ ἐστιν ἑνότης πίστεως, ὅταν πάντες ἓν ὦμεν, ὅταν πάντες ὁμοίως τὸν σύνδεσμον ἐπιγινώσκωμεν· μέχρι τότε ἐργάζεσθαι χρή.

Εἰ διὰ τοῦτο χάρισμα ἔλαβες, ἵνα ἄλλους οἰκοδομῇς, βλέπε μὴ σαυτὸν καταστρέψῃς, ἑτέρῳ φθονῶν. Ἐτίμησέ σε ὁ Θεός, καὶ ἔταξεν, ὥστε καταρτίζειν ἕτερον. Καὶ γὰρ καὶ ὁ ἀπόστολος πρὸς τοῦτο ἦν, καὶ ὁ προφήτης πρὸς τοῦτο ἦν προφητεύων καὶ πείθων, καὶ ὁ εὐαγγελιστὴς εὐαγγελιζόμενος, καὶ ὁ ποιμὴν καὶ ὁ διδάσκαλος· πάντες ἓν ἔργον ἦσαν ἀναδεδεγμένοι. Μὴ γάρ μοι τὴν διαφορὰν τῶν χαρισμάτων εἴπῃς, ἀλλ' ὅτι πάντες ἓν ἔργον εἶχον. Ὅταν γὰρ πάντες ὁμοίως πιστεύωμεν, τότε ἑνότης ἐστίν. Ὅτι γὰρ τοῦτο λέγει ἄνδρα τέλειον, δῆλον. Καὶ μὴν ἀλλαχοῦ νηπίους ἡμᾶς φησι, καὶ ὅταν τέλειοι ὦμεν, ἀλλὰ πρὸς ἕτερον ὁρῶν. Ἐκεῖ μὲν γὰρ πρὸς τὴν μέλλουσαν γνῶσιν νηπίους ἐκάλεσεν· εἰπὼν γάρ, «Ἐκ μέρους γινώσκομεν», ἐπήγαγε καὶ τὸ δι' αἰνιγμάτων, καὶ ὅσα τοιαῦτα· ἐνταῦθα δὲ πρὸς ἕτερον εἶπε, πρὸς τὸ εὐμετάπιωτον· ὥσπερ καὶ ἀλλαχοῦ φησι· «Τελείων δὲ ἡ στερεὰ τροφή». Ὁρᾷς κἀκεῖ τελείους πῶς φησιν;

Ὅρα γὰρ πῶς ἐκάλεσε τελείους ἐνταῦθα διὰ τῶν ἐπαγομένων, «Ἵνα μηκέτι ὦμεν νήπιοι». Αὐτό, φησι, τὸ μέτρον τὸ ὀλίγον ὅπερ ἐλάβομεν, ἵνα κατέχωμεν μετὰ πάσης σπουδῆς, μετὰ στερρότητος καὶ βεβαιώσεως. «Ἵνα μηκέτι». Τό, «μηκέτι», δείκνυσι πάλαι τοῦτο παθόντας. Καὶ τίθησι καὶ ἑαυτόν, καὶ ἐν τάξει διηγήσεως διορθοῦται. Διὰ τοῦτο, φησί, τέκτονες τοσοῦτοι γεγόνασιν, ἵνα ἡ οἰκοδομὴ μὴ σαλεύηται, ἵνα μὴ περιφέρηται, ἵνα πεπηγότες ὦσιν οἱ λίθοι. Ἐκείνων γὰρ τοῦτό ἐστι τὸ κλυδωνίζεσθαι, τὸ περιφέρεσθαι, τὸ σαλεύεσθαι. «Ἵνα μηκέτι ὦμεν», φησί, «νήπιοι, κλυ-

---

17. Α' Κορ. 13, 9.
18. Ἑβρ. 5, 14.
19. Ἐφεσ. 4, 14.

χρις ὅτου ἀποκτήσωμεν ὅλοι μίαν πίστιν. Διότι αὐτὸ εἶναι ἑνότης πίστεως, ὅταν ὅλοι εἴμεθα ἕνα, ὅταν ὅλοι ἀντιλαμβανώμεθα μὲ τὸν ἴδιον τρόπον τὸν σύνδεσμον· μέχρι τότε πρέπει νὰ ἐργαζώμεθα.

Ἐὰν ἔλαβες χάρισμα διὰ τοῦτο, διὰ νὰ οἰκοδομῇς ἄλλους, πρόσεχε μήπως καταστρέψῃς τὸν ἑαυτόν σου φθονῶν ἄλλον. Σὲ ἐτίμησεν ὁ Θεὸς καὶ σὲ ἔταξε νὰ οἰκοδομῇς καὶ νὰ καταρτίζῃς ἄλλον. Καὶ ὁ ἀπόστολος βεβαίως διὰ τοῦτο ἦτο ἀπόστολος, καὶ ὁ προφήτης διὰ τοῦτο προεφήτευε καὶ ἔπειθε, καὶ ὁ εὐαγγελιστὶς διὰ τοῦτο εὐηγγελίζετο, καὶ ὁ ποιμὴν καὶ ὁ διδάσκαλος· εἰς ὅλους ἓν ἔργον ἀνετέθη. Μὴ μοῦ εἴπῃς λοιπὸν διὰ τὴν διαφορὰν τῶν χαρισμάτων, ἀλλὰ διὰ τὸ ὅτι ὅλοι εἶχον ἕνα ἔργον. Ὅταν λοιπὸν ὅλοι πιστεύωμεν ὁμοίως, τότε ὑπάρχει ἑνότης. Διότι εἶναι φανερὸν ὅτι αὐτὸ ὀνομάζει ἄνδρα τέλειον. Ἀλλοῦ βεβαίως μᾶς ὀνομάζει νηπίους καὶ ὅταν εἴμεθα τέλειοι, ἀλλ' ἄλλος εἶναι ἐκεῖ ὁ σκοπός του· διότι ἀφοῦ εἶπεν, «ἔχομεν μερικὴν γνῶσιν»[17], προσέθεσε καὶ ὅτι ὡς δι' αἰνίγματος γνωρίζομεν καθὼς καὶ ὅλα τὰ παρόμοια· ἐδῶ ὅμως δι' ἄλλον λόγον τὸ εἶπεν αὐτό, διὰ νὰ δηλώσῃ ὅτι εὐκόλως μεταπίπτομεν, ὅπως καὶ ἀλλοῦ λέγει: «Ἀλλ' ἡ στερεὰ τροφὴ εἶναι διὰ τοὺς ὡρίμους»[18]. Βλέπεις πῶς καὶ ἐκεῖ μᾶς ὀνομάζει τελείους;

Πρόσεχε λοιπὸν πῶς μᾶς ὠνόμασε τελείους ἐδῶ διὰ τῶν ὅσων προσθέτει· «Ὥστε νὰ μὴ εἴμεθα πλέον νήπιοι»[19]. Αὐτό, λέγει, τὸ ὀλίγον τὸ ὁποῖον ἐλάβομεν διὰ νὰ τὸ κρατῶμεν μὲ κάθε ἐπιμέλειαν, μὲ στερεότητα καὶ ἀσφάλειαν. «Ἵνα μηκέτι». Τὸ «μηκέτι» δείχνει ὅτι παλαιότερον αὐτὸ ἐπάθαμεν. Καὶ συμπεριλαμβάνει καὶ τὸν ἑαυτόν του καὶ εἰς τὴν συνέχειαν τῆς διηγήσεως τὸ διορθώνει. Διὰ τοῦτο λέγει, τόσον πολλοὶ ἔγιναν οἱ κτίσται, διὰ νὰ μὴ κλονίζεται ἡ οἰκοδομή, διὰ νὰ μὴ ταλαντεύεται, διὰ νὰ εἶναι στερεωμένοι οἱ λίθοι. Διότι εἰς ἐκείνους παρατηρεῖται ὁ κλυδωνισμός, ἡ ταλάντευσις, ὁ κλονισμός. «Ὥστε νὰ μὴ εἴμεθα πλέον», λέγει, «νήπιοι, κλονιζόμενοι καὶ παρασυρόμενοι ἀπὸ

δωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης». «Καὶ περιφερόμενοι», φησί, «παντὶ ἀνέμῳ». Ἐπεξῆλθε τῇ τροπῇ, δεικνὺς τὰς δισταζούσας ψυχὰς ἐν οἵῳ κινδύνῳ εἰσί.

«Παντὶ ἀνέμῳ», φησίν, «ἐν τῇ κυβείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς τὴν μεθοδείαν τῆς πλάνης». Κυβευταὶ λέγονται οἱ τοῖς πεττοῖς κεχρημένοι. Τοιοῦτοί εἰσιν οἱ πανοῦργοι, ἐπειδὰν ἀφελεστέρους τινὰς λάβωσι· καὶ γὰρ ἐκεῖνοι μετατιθέασι καὶ μεταφέρουσιν ἅπαντα. Ἐνταῦθα καὶ βίον ἥψατο. «Ἀληθεύοντες δέ», φησίν, «ἐν ἀγάπῃ, αὐξήσωμεν εἰς αὐτὸν τὰ πάντα, ὅς ἐστιν ἡ κεφαλὴ ὁ Χριστός, ἐξ οὗ πᾶν τὸ σῶμα», ἀπὸ τοῦ Χριστοῦ, φησί, «συναρμολογούμενον καὶ συμβιβαζόμενον διὰ πάσης ἁφῆς τῆς ἐπιχορηγίας, κατ᾽ ἐνέργειαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέλους, τὴν αὔξησιν τοῦ σώματος ποιεῖται εἰς οἰκοδομὴν ἑαυτοῦ ἐν ἀγάπῃ».

Σφόδρα ἀσαφῶς ἡρμήνευσε, τῷ πάντα ὁμοῦ θελῆσαι εἰπεῖν. Ὃ δέ φησι, τοῦτό ἐστι· καθάπερ τὸ πνεῦμα τὸ ἀπὸ τοῦ ἐγκεφάλου καταβαῖνον, τὸ διὰ τῶν νεύρων, τὸ αἰσθητικὸν οὐχ ἁπλῶς δίδωσι πᾶσιν, ἀλλὰ κατὰ ἀναλογίαν ἑκάστου μέλους, τῷ μὲν δυναμένῳ πλέον δέξασθαι, πλέον τῷ δὲ ἐλάττω, ἔλαττον - τοῦτο γάρ ἐστιν ἡ ῥίζα, τὸ πνεῦμα - οὕτω καὶ ὁ Χριστὸς καθάπερ μελῶν τῶν ψυχῶν εἰς αὐτὸν ἀνηρτημένων, ἡ πρόνοια αὐτοῦ καὶ ἡ χορηγία τῶν χαρισμάτων κατὰ ἀναλογίαν ἐν μέτρῳ ἑνὸς ἑκάστου μέλους τὴν αὔξησιν ποιεῖται. Τί δέ ἐστι, «διὰ τῆς ἁφῆς τῆς ἐπιχορηγίας»; Τουτέστι, διὰ τῆς αἰσθήσεως. Τὸ γὰρ πνεῦμα ἐκεῖνο τὸ ἐπιχορηγούμενον τοῖς μέλεσιν ἀπὸ τῆς κεφαλῆς, ἑκάστου μέλους

---

20. Ἐφεσ. 4, 15-16.

κάθε ἄνεμον τῆς διδασκαλίας, μέσα εἰς τὴν δολιότητα τῶν ἀνθρώπων, μέσα εἰς τὴν πανουργίαν των πρὸς τὸν σκοπὸν τῆς ὁμαδικῆς παραπλανήσεως». «Καὶ παρασυρόμενοι», λέγει, «ἀπὸ κάθε ἄνεμον». Ὡμίλησεν ἐναντίον τῆς μεταβολῆς, διὰ νὰ δείξῃ εἰς ποῖον κίνδυνον εὑρίσκονται αἱ ψυχαὶ αἱ ὁποῖαι διστάζουν.

«Ἀπὸ κάθε ἄνεμον τῆς διδασκαλίας», λέγει, «μέσα εἰς τὴν δολιότητα τῶν ἀνθρώπων, μέσα εἰς τὴν πανουργίαν των πρὸς τὸν σκοπὸν τῆς μεθοδικῆς παραπλανήσεως». Κυβευταὶ λέγονται αὐτοὶ οἱ ὁποῖοι παίζουν τοὺς πεσσούς. Αὐτοὶ εἶναι οἱ πανοῦργοι, ὅταν εὕρουν ὡρισμένους ἀφελεῖς· καθ' ὅσον ἐκεῖνοι μεταχειρίζονται τὰ πάντα καὶ τὰ κάνουν ἄνω κάτω. Ἐδῶ καταπιάνεται καὶ μὲ τὸν βίον. «Ἀλλά, ὁμολογοῦντες τὴν ἀλήθειαν ἐν ἀγάπῃ, ἂς αὐξήσωμεν τὰ πάντα εἰς αὐτόν, ὁ ὁποῖος εἶναι ἡ κεφαλή, δηλαδὴ τὸν Χριστόν, ἐκ τοῦ ὁποίου ἐξαρτᾶται τὸ ὅλον σῶμα», ἀπὸ τὸν Χριστόν, λέγει, «ἀπὸ τὸ ὁποῖον συναρμολογεῖται καὶ συγκρατεῖται μὲ τὴν βοήθειαν κάθε ἀρθρώσεως μὲ τὴν ὁποίαν εἶναι ἐφωδιασμένον, διὰ τῆς καταλλήλου δὲ ἐνεργείας κάθε μέρους γίνεται ἡ αὔξησις τοῦ σώματος μὲ σκοπὸν τὴν ἰδίαν του οἰκοδομὴν ἐν ἀγάπῃ»[20].

Μὲ πολλὴν ἀσάφειαν τὸ ἡρμήνευσε μὲ τὸ ὅτι ἠθέλησε νὰ τὰ συμπεριλάβῃ ὅλα μαζί. Αὐτὸ δὲ τὸ ὁποῖον λέγει σημαίνει τὸ ἑξῆς· Ὅπως ἀκριβῶς τὸ πνεῦμα τὸ ὁποῖον καταβαίνει ἀπὸ τὸν ἐγκέφαλον διὰ τῶν νεύρων, δὲν δίδει τὴν αἴσθησιν ὅπως τύχῃ εἰς ὅλα τὰ μέλη, ἀλλ' εἰς τὸ καθένα κατ' ἀναλογίαν, εἰς ἐκεῖνο μὲν ποὺ ἠμπορεῖ νὰ δεχθῇ περισσότερον, περισσότερον, εἰς ἐκεῖνο δὲ ποὺ ἠμπορεῖ νὰ δεχθῇ ὀλιγώτερον, ὀλιγώτερον — διότι αὐτὸ εἶναι ἡ ρίζα, τὸ πνεῦμα —, ἔτσι καὶ ὁ Χριστός· αἱ ψυχαὶ εἶναι ἡνωμέναι μαζί του ὡσὰν μέλη, καὶ ἡ πρόνοιά του καὶ ἡ χορήγησις τῶν χαρισμάτων γίνεται κατ' ἀναλογίαν καὶ δίδει τὴν αὔξησιν συμφώνως πρὸς τὴν δυνατότητα κάθε μέλους. Τί σημαίνει τὸ «διὰ τῆς ἀφῆς τῆς ἐπιχορηγίας»; Δηλαδή, διὰ τῆς αἰσθήσεως. Διότι τὸ πνεῦμα ἐκεῖνο τὸ ὁποῖον ἐπιχορηγεῖται εἰς τὰ μέλη ἀπὸ

ἁπτόμενον οὕτως ἐνεργεῖ. Ὡς ἄν τις εἴποι τὸ σῶμα ἀντιλαμβανόμενον τῆς ἐπιχορηγίας, κατὰ ἀναλογίαν τῶν ἐν αὐτῷ μελῶν, οὕτω ποιεῖται τὴν αὔξησιν· ἢ ἑτέρως· τὰ μέλη κατὰ τὴν ἀναλογίαν τοῦ οἰκείου μέτρου δεχόμενα τὴν ἐπιχορηγίαν, οὕτως αὔξεται· ἢ καὶ ἑτέρως· τὸ πνεῦμα ἄνωθεν ἐπιρρεόμενον ἀφθόνως, καὶ πάντων ἁπτόμενον τῶν μελῶν, καὶ χορηγούμενον ὡς ἕκαστον δύναται δέξασθαι, οὕτως αὔξεται.

Τίνος δὲ ἕνεκεν προσέθηκεν «ἐν ἀγάπῃ»; Οὐ γάρ ἔνι ἄλλως κατελθεῖν ἐκεῖνο τὸ Πνεῦμα. Καθάπερ γάρ, εἰ τύχοι χεὶρ ἀποσπασθεῖσα τοῦ σώματος, τὸ πνεῦμα τὸ ἀπὸ τοῦ ἐγκεφάλου τὴν συνέχειαν ἐπιζητοῦν καὶ μὴ εὑρόν, οὐκ ἐξάλλεται τοῦ σώματος, καὶ διατρῆσαν πρὸς τὴν χεῖρα ἐξέρχεται, ἀλλ' ἂν μὴ εὕρῃ κείμενον, οὐχ ἅπτεται· οὕτω καὶ ἐνταῦθα, ἐὰν μὴ ὦμεν τῇ ἀγάπῃ συνδεδεμένοι.

Ταῦτα δὴ πάντα πρὸς ταπεινοφροσύνην αὐτῷ εἴρηται. Τί γάρ, φησίν, εἰ πλέον λαμβάνει ὁ δεῖνα; τὸ αὐτὸ πνεῦμα ἔλαβεν, ἀπὸ τῆς αὐτῆς κεφαλῆς ἐκπεμπόμενον, ὁμοίως ἐνεργοῦν, ὁμοίως ἁπτόμενον. «Συναρμολογούμενον καὶ συμβιβαζόμενον», τουτέστι, πολλῆς ἀπολαῦον τῆς ἐπιμελείας. Οὐ γὰρ ἁπλῶς ἀλλὰ σφόδρα τεχνικῶς δεῖ κεῖσθαι τὸ σῶμα, ὡς, ἐὰν τὸν τόπον ἐκβῇ, οὐκέτι κεῖται. Ὥστε οὐχ ἡνῶσθαι τῷ σώματι δεῖ, ἀλλὰ καὶ τὸν οἰκεῖον τόπον ἐπέχειν, ὡς ἐὰν ὑπερβῇς, οὐχ ἥνωσαι, οὐδὲ δέχῃ τὸ πνεῦμα. Ἢ οὐχ ὁρᾷς ἐν ταῖς τῶν ὀστῶν μεταθέσεσι ταῖς κατά τινα περίστασιν συμβαινούσαις ὅταν τὸν οἰκεῖον τόπον ὑπερβάν, τὸν ἑτέρου κατέχῃ, πῶς τῷ παντὶ σώματι λυμαίνεται, καὶ θάνατον πολ-

τὴν κεφαλήν, ὅταν ἔλθῃ εἰς ἐπαφὴν μὲ τὸ κάθε μέλος ἔτσι ἐνεργεῖ. Ὡσὰν νὰ ἔλεγε κάποιος ὅτι τὸ σῶμα λαμβάνον τὴν ἐπιχορήγησιν ἀπὸ τὴν κεφαλήν, κατ' ἀναλογίαν τῶν μελῶν του, προχωρεῖ εἰς τὴν αὔξησιν· ἢ μὲ ἄλλον τρόπον· τὰ μέλη κατὰ τὴν ἀναλογίαν τοῦ μέτρου των δεχόμεθα τὴν ἐπιχορήγησιν, προχωροῦν εἰς τὴν αὔξουσαν· ἢ καὶ μὲ ἄλλον τρόπον· ἐπιχεόμενον ἀφθόνως ἄνωθεν τὸ πνεῦμα καὶ ἐρχόμενον εἰς ἐπαφὴν μὲ ὅλα τὰ μέλη, καὶ χορηγούμενον τόσον, ὅσον ἠμπορεῖ τὸ καθένα νὰ δεχθῇ, ἔτσι προχωρεῖ εἰς τὴν αὔξησιν τὸ σῶμα.

Διατί δὲ προσέθεσεν τό, «ἐν ἀγάπῃ»; Διότι δὲν ὑπάρχει ἄλλος τρόπος διὰ νὰ κατέλθῃ τὸ ἅγιον Πνεῦμα. Διότι, ὅπως ἀκριβῶς, ἐὰν τύχῃ κάποιο χέρι ν' ἀποσπασθῇ ἀπὸ τὸ σῶμα, τότε τὸ πνεῦμα τὸ ὁποῖον ἔρχεται ἀπὸ τὸν ἐγκέφαλον, ἐπιζητοῦν νὰ συνεχίσῃ τὴν πορείαν του, ἐὰν δὲν τὸ εὕρῃ, δὲν πηδᾷ ἔξω ἀπὸ τὸ σῶμα καὶ δὲν ἐξέρχεται ἀπὸ αὐτὸ ἀφοῦ διαπεράσῃ τό χέρι, ἀλλ' ἐὰν δὲν τὸ εὕρῃ εἰς τὴν θέσιν του δὲν τὸ πλησιάζει, τὸ ἴδιο συμβαίνει καὶ ἐδῶ, ἐὰν δὲν εἴμεθα συνδεδεμένοι μὲ τὴν ἀγάπην.

Αὐτὰ ὅλα λοιπὸν ἐλέχθησαν διὰ νὰ ὁδηγήσουν εἰς ταπεινοφροσύνην. Διότι τί σημασίαν ἔχει, λέγει, ἐὰν περισσότερα λαμβάνῃ ὁ τάδε; Τὸ ἴδιον πνεῦμα ἔλαβεν, ἀποστελλόμενον ἀπὸ τὴν ἰδίαν κεφαλήν, τὸ ὁποῖον ἐνεργεῖ καὶ ἔρχεται εἰς ἐπαφὴν μὲ ὅλους ὁμοίως. «Συναρμολογεῖται καὶ συγκρατεῖται», δηλαδή, δέχεται μεγάλην φροντίδα. Ὄχι δηλαδὴ προχείρως, ἀλλὰ πολὺ συστηματικὰ πρέπει νὰ εἶναι συναρμολογημένον τὸ σῶμα, διότι, ὅταν φύγῃ ἀπὸ τὴν θέσιν του, τότε πλέον δὲν ὑπάρχει. Ὥστε πρέπει, ὄχι μόνον νὰ εἶναι ἡνωμένον τὸ σῶμα, ἀλλὰ καὶ νὰ διατηρῇ τὴν θέσιν του, διότι ἐὰν ὑπερβῇς αὐτὴν δὲν εἶσαι ἡνωμένος πρὸς τὸ σῶμα, οὔτε δέχεσαι τὸ Πνεῦμα. Ἢ δὲν βλέπεις τὰς κινήσεις τῶν ὀστῶν αἱ ὁποῖαι συμβαίνουν εἰς κάθε περίστασιν, ὅταν κάποιο φύγῃ ἀπὸ τὴν θέσιν του καὶ καταλάβῃ τὴν θέσιν ἄλλου, πῶς βλάπτει ὁλόκληρον τὸ σῶμα καὶ πολλὰς

λάκις εἰργάσατο, ἔστι δὲ ὅπου καὶ ἀνάξιον εὑρέθη λοιπὸν τοῦ κατέχεσθαι; πολλοὶ γὰρ πολλάκις αὐτὸ ἐκκόψαντες, διάκενον τὸν τόπον εἴασαν.

Πανταχοῦ γὰρ ἡ πλεονεξία κακόν. Καὶ ἐπὶ τῶν στοιχείων, ὅταν τὴν οἰκείαν ἀφέντα συμμετρίαν πλεονάσῃ, τὸ πᾶν λυμαίνεται. Τουτέστι «συναρμολογούμενον καὶ συμβιβαζόμενον». Ὥστε ἕκαστον ἐπὶ τῆς οἰκείας μένειν χώρας, καὶ μὴ τῆς ἑτέρας καὶ μηδὲν αὐτῷ προσηκούσης ἐπιβαίνειν, ἐννόησον ὅσον ἐστί. Σὺ τὰ μέλη συντιθεῖς, ἐκεῖνος ἄνωθεν ἐπιχορηγεῖ. Καθάπερ γὰρ ἐπὶ τοῦ σώματος ἔστιν ὄργανα τοιαῦτα δεκτικά, οὕτως ἐστὶ καὶ ἐπὶ τοῦ πνεύματος, τῆς ῥίζης ἄνωθεν οὔσης πάσης· οἷον ἡ καρδία, τοῦ πνεύματος· τὸ ἧπαρ τοῦ αἵματος· ὁ σπλήν, τῆς χολῆς, καὶ ἄλλα ἄλλου· πάντα δὲ ταῦτα ἀπὸ τοῦ ἐγκεφάλου τὴν αἰτίαν ἔχει· οὕτω καὶ ὁ Θεὸς ἐποίησε, τὸν ἄνθρωπον σφόδρα τιμῶν, καὶ οὐ βουλόμενος αὐτοῦ ἀπέχειν, τὴν μὲν αἰτίαν αὐτὸς ἀναρτησάμενος, συνεργοὺς δὲ ἑαυτῷ καταστήσας· καὶ τὸν μὲν ἔθηκεν εἰς τοῦτο, τὸν δὲ εἰς ἐκεῖνο. Οἷον ἀπόστολος ἀγγεῖον τοῦ σώματός ἐστι τὸ καιριώτερον, δεχόμενος παρ᾽ αὐτοῦ τὰ πάντα· ὥστε, ὥσπερ διὰ φλεβῶν καὶ ἀρτηριῶν, τοῦ λόγου λέγω, εἰς πάντας διατρέχειν ποιεῖ τὴν ζωὴν τὴν αἰώνιον. Ὁ προφήτης προλέγει τὰ μέλλοντα, καὶ αὐτὸς τὰ αὐτὰ κατασκευάζει. Συντιθεῖς τὰ μέλη, αὐτὸς αὐτοῖς ζωὴν χορηγεῖ. «Πρὸς καταρτισμὸν τῶν ἁγίων εἰς ἔργον διακονίας». Ἡ ἀγάπη ἀνοικοδομεῖ, καὶ τὸ συγκολλᾶσθαι ἀλλήλοις καὶ συμπήγνυσθαι καὶ ἁρμόζεσθαι, τοῦτο ποιεῖ.

4. Εἰ τοίνυν βουλόμεθα τοῦ πνεύματος ἀπολαύειν τοῦ ἀπὸ τῆς κεφαλῆς, ἀλλήλων ἐχώμεθα. Δύο γάρ εἰσι διαιρέσεις

φορὰς ἐπέφερε καὶ θάνατον, καὶ μάλιστα ὅταν συμβῇ νὰ ἔχῃ καταλάβει θέσιν ποὺ δὲν τοῦ ἀξίζει; Πολλοὶ δὲ ἀφοῦ ἔκοψαν αὐτό, ἄφησαν τὴν θέσιν του κενήν.

Παντοῦ λοιπὸν εἶναι κακὸν πρᾶγμα ἡ πλεονεξία. Καὶ εἰς τὰ στοιχεῖα τὰ ὁποῖα συνθέτουν ἕνα σῶμα, ὅταν κάποιο ὑπερβῇ τὸ μέτρον του καὶ πλεονάσῃ, καταστρέφει τὸ πᾶν. Αὐτὸ σημαίνει «συναρμολογεῖται καὶ συγκρατεῖται». Ὥστε σκέψου πόσον μεγάλο πρᾶγμα εἶναι τὸ νὰ μένῃ κάθε πρᾶγμα εἰς τὴν θέσιν του καὶ νὰ μὴ ἐπιβαίνῃ εἰς ἄλλην ἡ ὁποία δὲν τοῦ ἀνήκει. Σὺ τὰ μέλη συνθέτεις, ἐκεῖνος ἐπιχορηγεῖ ἄνωθεν. Διότι ὅπως ἀκριβῶς εἰς τὸ σῶμα ὑπάρχουν ὄργανα κατάλληλα δι' αὐτό, ἔτσι καὶ εἰς τὴν περίπτωσιν τοῦ πνεύματος, διότι ἡ ρίζα εὑρίσκεται ἐπάνω· ὅπως ἡ καρδιὰ εἶναι ρίζα τοῦ πνεύματος· τὸ ἧπαρ, τοῦ αἵματος· ὁ σπλήν, τῆς χολῆς, καὶ ἄλλα ἄλλου· ὅλα δὲ αὐτὰ ἔχουν τὴν αἰτίαν των εἰς τὸν ἐγκέφαλον. Ἔτσι ἔκανε καὶ ὁ Θεός· τιμῶν πάρα πολὺ τὸν ἄνθρωπον καὶ μὴ θέλων νὰ εὑρίσκεται μακρυὰ ἀπὸ αὐτόν, ὁ ἴδιος μὲν ἐξήρτησε τὴν αἰτίαν των ἀπὸ τὸν ἑαυτόν του, αὐτοὺς δὲ τοὺς ἔκανε συγχρόνως συνεργούς του· καὶ τὸν μὲν ἕνα τὸν ἐτοποθέτησεν εἰς αὐτὸ τὸ ἔργον, τὸν δὲ ἄλλον εἰς ἄλλο. Ἐπὶ παραδείγματι, ὁ ἀπόστολος εἶναι τὸ σπουδαιότερον ἀγγεῖον τοῦ σώματος, καὶ δέχεται ἀπὸ τὸν Θεὸν τὰ πάντα· ὥστε λοιπὸν ὁ λόγος, διερχόμενος, κατὰ κάποιον τρόπον, διὰ μέσου φλεβῶν καὶ ἀρτηριῶν, κάνει νὰ κυκλοφορῇ μέσα εἰς ὅλους ἡ αἰώνιος ζωή. Ὁ προφήτης προλέγει τὰ μέλλοντα, ὁ ἴδιος δὲ ὁ Λόγος τοῦ Θεοῦ πραγματοποιεῖ αὐτά. Αὐτὸς ἐτοποθέτησε τὰ μέλη, αὐτὸς χορηγεῖ ζωὴν εἰς αὐτά. «Πρὸς τὸν σκοπὸν νὰ καταρτίσουν τοὺς ἁγίους, διὰ τὸ ἔργον τῆς διακονίας». Ἡ ἀγάπη ἀνοικοδομεῖ, καὶ συντελεῖ εἰς τὸ νὰ εἴμεθα ἡνωμένοι μεταξύ μας καὶ συνδεδεμένοι καὶ συναρμολογημένοι.

4. Ἐὰν λοιπὸν θέλωμεν νὰ ἀπολαμβάνωμεν τὸ Πνεῦμα τὸ ὁποῖον ἔρχεται ἀπὸ τὴν κεφαλήν, ἂς εἴμεθα στενὰ συνδεδεμένοι μεταξύ μας. Διότι δύο τρόποι ἀποκοπῆς ἀπὸ τὸ σῶ-

ἀπὸ τοῦ σώματος τοῦ ἐκκλησιαστικοῦ· μία μέν, ὅταν ψέξωμεν τὴν ἀγάπην, δευτέρα δὲ ὅταν ἀνάξια τοῦ τελεῖν εἰς ἐκεῖνο τὸ σῶμα τολμήσωμεν· ἑκατέρως γὰρ χωρίζομεν ἑαυτοὺς τοῦ πληρώματος. Εἰ δὲ καὶ ἄλλους εἰς τοῦτο οἰκοδομεῖν τετάγμεθα, οἱ πρότερον σχίζοντες, τί οὐκ ἂν πάθοιεν; Οὐδὲν οὕτως Ἐκκλησίαν δυνήσεται διαιρεῖν, ὡς φιλαρχία· οὐδὲν οὕτω παροξύνει τὸν Θεόν, ὡς τὸ Ἐκκλησίαν διαιρεθῆναι. Κἂν μυρία ὦμεν ἐργασάμενοι καλά, τῶν τὸ σῶμα αὐτοῦ διατεμόντων οὐκ ἐλάττονα δώσομεν δίκην, οἱ τὸ πλήρωμα κατατέμνοντες τὸν ἐκκλησιαστικόν. Ἐκεῖνο μὲν γὰρ ἐπὶ κέρδει τῆς οἰκουμένης ἐγένετο, εἰ καὶ μὴ ἀπὸ διανοίας τοιαύτης· τοῦτο δὲ οὐδὲν οὐδαμοῦ τὸ χρήσιμον ἔχει, ἀλλὰ πολλὴ ἡ βλάβη.

Ταῦτά μοι οὐχὶ πρὸς τοὺς ἄρχοντας εἴρηται μόνον, ἀλλὰ καὶ πρὸς τοὺς ἀρχομένους. Ἀνὴρ δέ τις ἅγιος εἶπέ τι δοκοῦν εἶναι τολμηρόν, πλὴν ἀλλ' ὅμως ἐφθέγξατο. Τί δὲ τοῦτό ἐστιν; Οὐδὲ μαρτυρίου αἷμα ταύτην ἔφησε δύνασθαι τὴν ἁμαρτίαν ἐξαλείφειν. Εἰπὲ γάρ μοι, τίνος ἕνεκεν μαρτυρεῖς; οὐ διὰ τὴν δόξαν τοῦ Χριστοῦ; Ὁ τοίνυν τὴν ψυχὴν προϊέμενος ὑπὲρ τοῦ Χριστοῦ, πῶς τὴν Ἐκκλησίαν πορθεῖς, ὑπὲρ ἧς τὴν ψυχὴν προήκατο ὁ Χριστός; Ἄκουε τοῦ Παύλου λέγοντος, ὅτι «Οὐκ εἰμὶ ἄξιος καλεῖσθαι ἀπόστολος, ὅτι ἐδίωξα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ, καὶ ἐπόρθουν αὐτήν». Οὐκ ἔστιν αὕτη ἐλάττων ἡ βλάβη τῆς παρὰ ἐχθρῶν, ἀλλὰ πολὺ μείζων. Ἐκείνη μὲν γὰρ καὶ λαμπροτέραν αὐτὴν ἐργάζεται, αὕτη δὲ αὐτὴν καὶ παρὰ τοῖς ἐχθροῖς καταισχύνει, ὅταν ὑπὸ τῶν ἰδίων τέκνων πολεμῆται. Μέγα γὰρ δεῖγμα ἀπάτης εἶναι δοκεῖ παρ' αὐτοῖς, τὸ τοὺς γεννηθέντας ἐν αὐτῇ καὶ τραφέντας καὶ τὰ ἀπόρρητα αὐτῆς μεμαθηκότας ἀκριβῶς, τούτους μεταβαλλομένους ἐξαίφνης τὰ τῶν ἐχθρῶν αὐτὴν δια-

---

21. Α' Κορ. 15, 9.

μα τῆς Ἐκκλησίας ὑπάρχουν· ὁ ἕνας, ὅταν ψυχράνωμεν τὴν ἀγάπην, ὁ δεύτερος δέ, ὅταν τολμήσωμεν πράγματα ποὺ εἶναι ἀνάξια νὰ γίνωνται εἰς ἐκεῖνο τὸ σῶμα· διότι καὶ μὲ τοὺς δύο αὐτοὺς τρόπους χωρίζομεν τοὺς ἑαυτούς μας ἀπὸ τὸ πλήρωμα τῆς Ἐκκλησίας. Ἐὰν δὲ ἐμεῖς, ποὺ ἔχομεν ταχθῆ νὰ οἰκοδομῶμεν καὶ ἄλλους εἰς αὐτό, πρῶτοι γινώμεθα ἐμεῖς αἴτιοι διὰ ν' ἀποσχίζωνται ἀπὸ αὐτήν, τί δὲν θὰ πάθωμεν; Τίποτε δὲν θὰ ἠμπορέσῃ νὰ διαιρέσῃ τόσον εὔκολα τὴν Ἐκκλησίαν, ὅσον ἡ φιλαρχία· τίποτε δὲν παροξύνει τόσον τὸν Θεόν, ὅσον τὸ νὰ διαιρεθῇ ἡ Ἐκκλησία. Καὶ ἂν ἀκόμη ἔχωμεν πράξει ἄπειρα καλά, δὲν θὰ καταδικασθῶμεν ὀλιγώτερον ἀπὸ αὐτοὺς οἱ ὁποῖοι διεμέλισαν τὸ σῶμά του, ἐμεῖς οἱ ὁποῖοι διαιροῦμεν τὸ ἐκκλησιαστικὸν πλήρωμα. Διότι ἐκεῖνο μὲν ἔγινε πρὸς ὄφελος τῆς οἰκουμένης, ἂν καὶ δὲν τὸ ἔκαναν ἀπὸ αὐτὸν τὸν σκοπόν· αὐτὸ ὅμως εἰς τίποτε πουθενὰ δὲν χρησιμεύει, ἀλλ' εἶναι μεγάλη ἡ βλάβη.

Αὐτὰ δὲν λέγονται μόνον πρὸς τοὺς ἄρχοντας, ἀλλὰ καὶ πρὸς τοὺς ἀρχομένους. Κάποιος δὲ ἅγιος ἄνδρας εἶπε κάτι τὸ ὁποῖον φαίνεται ὅτι εἶναι τολμηρόν, πλὴν ὅμως τὸ εἶπε. Ποῖο εἶναι δὲ αὐτό; Οὔτε τὸ αἷμα τοῦ μαρτυρίου ἠμπορεῖ νὰ ἐξαλείψῃ αὐτὴν τὴν ἁμαρτίαν. Διότι, εἰπέ μου, διατί μαρτυρεῖς; δὲν τὸ κάνεις αὐτὸ διὰ τὴν δόξαν τοῦ Χριστοῦ; Σὺ λοιπὸν ὁ ὁποῖος θυσιάζεις τὴν ζωήν σου ὑπὲρ τοῦ Χριστοῦ, πῶς ἐξολοθρεύεις τὴν Ἐκκλησίαν, ὑπὲρ τῆς ὁποίας πρῶτος ἐθυσιάσθη ὁ Χριστός; Ἄκουσε τὸν Παῦλον ὁ ὁποῖος λέγει· «Δὲν εἶμαι ἄξιος νὰ ὀνομάζωμαι ἀπόστολος, διότι κατεδίωξα τὴν Ἐκκλησίαν τοῦ Θεοῦ»[21]. Δὲν εἶναι μικρὰ αὐτὴ ἡ βλάβη ἀπὸ τοὺς ἐχθρούς, ἀλλὰ πολὺ μεγάλη. Διότι ἐκείνη μὲν ἀναδεικνύει αὐτὴν καὶ λαμπροτέραν, ἐνῷ αὐτὴ καταισχύνει αὐτὴν καὶ ἐνώπιον τῶν ἐχθρῶν της, ὅταν δηλαδὴ πολεμῆται ὑπὸ τὰ ἴδια τὰ τέκνα της. Διότι εἶναι μεγάλη ἀπόδειξις ἀπάτης τὸ νὰ μεταβάλλωνται ἔξαφνα καὶ νὰ διάκεινται ὡς ἐχθροὶ αὐτοὶ οἱ ὁποῖοι ἐγεννήθησαν καὶ ἀνετράφησαν μέσα εἰς τὴν ἐκκλησίαν καὶ ἔχουν γνωρίσει μὲ ἀκρί-

τίθεσθαι. Ταῦτά μοι πρὸς τοὺς ἀδιαφόρως διδόντας ἑαυτοὺς τοῖς σχίζουσι τὴν Ἐκκλησίαν. Εἰ μὲν γὰρ καὶ δόγματα ἔχουσιν ἐναντία, καὶ διὰ τοῦτο οὐ προσῆκεν ἐκείνοις ἀναμίγνυσθαι· εἰ δὲ τὰ αὐτὰ φρονοῦσι, πολλῷ μᾶλλον. Τί δήποτε; Ὅτι φιλαρχίας ἐστὶν ἡ νόσος.

Οὐκ ἴστε τί πεπόνθασιν οἱ περὶ Κορὲ καὶ Δαθὰν καὶ Ἀβειρών; ἆρα αὐτοὶ μόνοι, οὐχὶ δὲ οἱ μετ' αὐτῶν; Τί λέγεις; ἡ αὐτὴ πίστις ἐστίν, ὀρθόδοξοί εἰσι κἀκεῖνοι. Τίνος οὖν ἕνεκεν, οὐκ εἰσὶ μεθ' ἡμῶν; «Εἷς Κύριος, μία πίστις, ἓν βάπτισμα». Εἰ τὰ ἐκείνων καλῶς γίνεται, τὰ ἡμέτερα κακῶς. «Νήπιοι», φησί, «κλυδωνιζόμενοι καὶ περιφερόμενοι παντὶ ἀνέμῳ». Ἀρκεῖν τοῦτο ἡγεῖσθε, εἰπέ μοι, τὸ λέγειν, ὅτι ὀρθόδοξοί εἰσι; τὰ δὲ τῆς χειροτονίας οἴχεται καὶ ἀπόλωλε; Καὶ τί τὸ ὄφελος, ταύτης οὐκ ἠκριβωμένης; Ὥσπερ γὰρ ὑπὲρ τῆς πίστεως, οὕτω καὶ ὑπὲρ ταύτης μάχεσθαι χρή. Ἐπεί, εἰ παντὶ ἔξεστι πληροῦν τὰς χεῖρας αὐτοῦ κατὰ τοὺς παλαιούς, καὶ ἱερεῖς γίνεσθαι, παρίτωσαν πάντες, εἰκῇ τὸ θυσιαστήριον ᾠκοδόμηται τοῦτο, εἰκῇ τὸ πλήρωμα τῆς Ἐκκλησίας, εἰκῇ τῶν ἱερέων ὁ ἀριθμός· ἀνέλωμεν αὐτά, καὶ διαφθείρωμεν.

Μὴ γένοιτο, φησίν. Ὑμεῖς αὐτὰ ποιεῖτε, καί φατε μὴ γένοιτο; πῶς λέγεις, μὴ γένοιτο, γενομένων αὐτῶν; Ἐγὼ λέγω καὶ μαρτύρομαι, οὐ τὸ ἐμαυτοῦ σκοπῶν, ἀλλὰ τὴν ὑμετέραν σωτηρίαν· εἰ δέ τις ἀδιαφοροίη, αὐτὸς ἂν εἰδείη· εἰ δέ τινι τούτων οὐ μέλει, ἀλλ' ἡμῖν μέλει. «Ἐγὼ ἐφύτευσα», φησίν, Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ Θεὸς ηὔξανε». Πῶς οἴ-

---

22. Α' Κορ. 3, 6.

θειαν τὰ ἀπόρρητα τῆς πίστεως. Αὐτὰ δι' ἐκείνους οἱ ὁποῖοι μὲ ἀδιαφορίαν ἀκολουθοῦν ἐκείνους οἱ ὁποῖοι διαιροῦν τὴν Ἐκκλησίαν. Διότι καὶ ἂν ἀκόμη ἔχουν ἀντίθετον πρὸς τὴν Ἐκκλησίαν πίστιν, καὶ δι' αὐτὸν τὸν λόγον δὲν ἁρμόζει εἰς ἐκείνους ν' ἀναμιγνύωνται· ἐὰν ὅμως ἔχουν τὴν ἰδίαν πίστιν, τότε πολὺ περισσότερον δὲν πρέπει νὰ ἀναμιγνύωνται. Διατί ἆρά γε; Διότι ἡ νόσος προέρχεται ἀπὸ φιλαρχίαν.

Δὲν γνωρίζετε τί ἔπαθον οἱ περὶ τοὺς Κορὲ καὶ Δαθὰν καὶ Ἀβειρών; καὶ μήπως μόνον αὐτοὶ καὶ ὄχι καὶ οἱ μετὰ ἀπὸ αὐτούς; Τί λέγεις; Ἡ ἰδία πίστις εἶναι, ὀρθόδοξοι εἶναι καὶ ἐκεῖνοι. Διατί λοιπὸν δὲν εἶναι μαζὶ μὲ ἐμᾶς; «Ἕνας Κύριος, μία πίστις, ἕνα βάπτισμα». Ἐὰν δὲ αὐτὰ ποὺ κάνουν αὐτοὶ εἶναι ὀρθά, τότε τὰ ἰδικά μας εἶναι λανθασμένα· ἐὰν δὲ τὰ ἰδικά μας εἶναι ὀρθά, τότε τὰ ἰδικά των εἶναι λανθασμένα. «Ὥστε νὰ μὴ εἴμεθα πλέον νήπιοι, κλονιζόμενοι καὶ παρασυρόμενοι ἀπὸ κάθε ἄνεμον διδασκαλίας». Εἰπέ μου, νομίζεις ὅτι ἀρκεῖ αὐτό, τὸ νὰ λέγῃς δηλαδὴ ὅτι εἶναι ὀρθόδοξοι; τὰ δὲ τῆς χειροτονίας ἔφυγαν καὶ ἐχάθησαν; Καὶ ποῖον τὸ ὄφελος ἐὰν αὐτὴ δὲν ἔγινε κατὰ τρόπον κανονικόν; Ὅπως ἀκριβῶς λοιπὸν διὰ τὴν πίστιν, ἔτσι πρέπει νὰ ἀγωνιζώμεθα καὶ δι' αὐτήν. Διότι, ἐὰν εἰς τὸν καθένα εἶναι δυνατὸν νὰ χειροτονῇ, ὅπως οἱ παλαιοί, καὶ ἔτσι νὰ γίνωνται ἱερεῖς, ἂς γνωρίζουν ὅλοι, ὅτι εἰς μάτην ἔχει οἰκοδομηθῆ αὐτὸ τὸ θυσιαστήριον, εἰς μάτην τὸ πλήρωμα τῆς Ἐκκλησίας καὶ τὸ πλῆθος τῶν ἱερέων· ἂς τὰ καταργήσωμεν αὐτὰ καὶ ἂς τὰ καταστρέψωμεν.

Μὴ γένοιτο, λέγει. Σεῖς τὰ κάνετε αὐτὰ καὶ λέγετε μὴ γένοιτα; Πῶς λέγεις, μὴ γένοιτο, τὴν στιγμὴν ποὺ ἔχουν γίνει ἤδη; Ἐγὼ τὸ λέγω καὶ τὸ ἐπιβεβαιώνω ἀποσκοπῶν ὄχι εἰς ἰδικόν μου συμφέρον, ἀλλ' εἰς τὴν ἰδικήν σας σωτηρίαν· ἐὰν δὲ κάποιος ἀδιαφορῇ, αὐτὸς θὰ κριθῇ· ἐὰν δὲ αὐτὰ δὲν ἐνδιαφέρουν εἰς κάποιον, ἐμᾶς ὅμως μᾶς ἐνδιαφέρουν. «Ἐγὼ ἐφύτευσα», λέγει, «ὁ Ἀπολλὼς ἐπότισεν, ἀλλ' ὁ Θεὸς ἔδιδε τὴν αὔξησιν»[**]. Πῶς θὰ ὑποφέρωμεν τὴν εἰρω-

σομεν τὸν παρὰ τῶν Ἑλλήνων γέλωτα; Εἰ γὰρ ὑπὲρ τῶν αἱρέσεων ἐγκαλοῦσιν ἡμῖν ὑπὲρ τούτων τί ἐροῦσιν; Εἰ τὰ αὐτὰ δόγματα, εἰ τὰ αὐτὰ μυστήρια, τίνος ἕνεκεν ἕτερος ἄρχων ἑτέρᾳ ἐκκλησίᾳ ἐπιπηδᾷ; Ὁρᾶτε, φησίν, ὅτι πάντα κενοδοξίας πεπλήρωται τὰ Χριστιανῶν; καὶ φιλαρχία παρ' αὐτοῖς, καὶ ἀπάτη; Γύμνωσον αὐτοὺς τοῦ πλήθους, φησί, καὶ οὐδέν εἰσι. Τὴν νόσον ἔκκοψον, τοῦ ὄχλου τὴν διαφθοράν.

5. Βούλεσθε εἴπω ἃ περὶ τῆς πόλεως λέγουσι τῆς ἡμετέρας; πῶς ἡμᾶς εἰς εὐκολίαν διαβάλλουσιν; Ἔξεστι, φησί, παντὶ τῷ βουλομένῳ εὑρεῖν τοὺς πειθομένους, καὶ οὐκ ἄν ποτε ἀπορήσειε τούτων. Ὢ τοῦ γέλωτος· ταῦτα πόσης αἰσχύνης; Ἀλλὰ καὶ ὁ ἕτερος γέλως, ἡ ἑτέρα αἰσχύνη. Ἄν τινες ἁλόντες παρ' ἡμῖν ἐπὶ τοῖς αἰσχίστοις, μέλλωσιν ἐπιτιμίου τυγχάνειν τινός, πολὺς ὁ τρόμος, πολὺς ὁ φόβος πάντοθεν, μὴ ἀποπηδήσῃ, φησί, μὴ μετ' ἐκείνων στῇ. Ἀποπηδήσῃ μὲν γὰρ μυριάκις ὁ τοιοῦτος, καὶ ἔστω μετ' ἐκείνων· οὐχὶ τῶν ἡμαρτηκότων λέγω, ἀλλ' εἴ τις ἀναμάρτητος ὢν τυγχάνοι, καὶ βούλεται μεταθέσθαι, μεταθέσθω. Ἀλγῶ μὲν γὰρ καὶ κόπτομαι καὶ ὀδύρομαι καὶ διαπρίομαι τὰ σπλάγχνα, ὡς οἰκείου μέλους ἀποστερούμενος· πλὴν ἀλλ' οὐχ οὕτως ἀλγῶ, ὡς ἀναγκάζεσθαί τι διὰ τὸν φόβον τοῦτον τῶν μὴ προσηκόντων ποιεῖν.

Οὐ κυριεύομεν ὑμῶν τῆς πίστεως, ἀγαπητοί, οὐδὲ δεσποτικῶς ταῦτα ἐπιτάττομεν· εἰς διδασκαλίαν λόγου προεχειρίσθημεν, οὐκ εἰς ἀρχὴν οὐδὲ εἰς αὐθεντίαν· συμβούλων τάξιν ἐπέχομεν, παραινούντων. Ὁ συμβουλεύων λέγει τὰ παρ' ἑαυτοῦ, οὐκ ἀναγκάζων τὸν ἀκροατήν, ἀλλ' αὐτὸν ἀφίησι τῆς τῶν λεγομένων αἱρέσεως κύριον· ἐν τούτοις ἐστὶν ὑπεύθυ-

νείαν καὶ τὸν γέλωτα τῶν εἰδωλολατρῶν; Διότι ἐὰν μᾶς κατηγοροῦν διὰ τὰς αἱρέσεις, τί θὰ εἴπουν δι' αὐτά; Ἐὰν ἡ αὐτὴ πίστις ὑπάρχῃ παντοῦ, ἐὰν τὰ ἴδια μυστήρια, διατί νὰ ἐπιπηδᾷ εἰς ἄλλην Ἐκκλησίαν κάποιος ἄλλος ἐπίσκοπος; Βλέπετε, λέγει, ὅτι ὅλα τὰ τῶν Χριστιανῶν ἔχουν γεμίσει ἀπὸ κενοδοξίαν; Καὶ ὅτι ὑπάρχει εἰς αὐτοὺς φιλαρχία καὶ ἀπάτη; Ἀπογύμνωσέ τους ἀπὸ τὸ πλῆθος, λέγει, καὶ δὲν θὰ εἶναι τίποτε. Κτύπησε καὶ ἐξολόθρευσε τὴν νόσον, ἡ ὁποία διαφθείρει τὸν ὄχλον.

5. Θέλετε νὰ εἴπω αὐτὰ τὰ ὁποῖα λέγουν διὰ τὴν πόλιν μας; μὲ πόσην εὐκολίαν ἠμποροῦν νὰ μᾶς κατηγοροῦν; Εἶναι δυνατόν, λέγει, εἰς ὅποιον θέλει νὰ εὕρῃ ὀπαδοὺς καὶ δὲν θὰ λείψουν ποτὲ αὐτοί. Ὤ, πόσον ἀξιογέλαστον πρᾶγμα! πόσης ἐντροπῆς ἄξια εἶναι αὐτά; Ἀλλὰ καὶ τὸ ἄλλο εἶναι ἀξιογέλαστον καὶ τὸ ἄλλο εἶναι ἐντροπή. Ἂν μερικοὶ ἀπὸ ἐμᾶς κυριευθέντες ἀπὸ τὰ πιὸ φοβερὰ πράγματα, πρόκειται νὰ ὑποστοῦν κάποιο ἐπιτίμιον, εἶναι πολὺς ὁ τρόμος καὶ ὁ φόβος παντοῦ μήπως κανεὶς ἀποσκιρτήσῃ, λέγει, μήπως ἀποστατήσῃ εἰς ἐκείνους. Χιλιάδες φορὲς εἶναι προτιμώτερον ν' ἀποσκιρτήσῃ αὐτὸς ὁ ὁποῖος εἶναι τέτοιος, καὶ νὰ εἶναι μαζὶ μὲ ἐκείνους· δὲν λέγω δι' ὅσους ἔχουν πλανηθῆ, ἀλλ' ἐὰν κάποιος χωρὶς νὰ παρασυρθῇ εὑρίσκεται εἰς αὐτὴν τὴν κατάστασιν καὶ θέλει νὰ προσχωρήσῃ εἰς τοὺς αἱρετικούς, ἂς τὸ κάνῃ. Διότι πονῶ βέβαια καὶ θρηνῶ καὶ ὀδύρομαι καὶ καίγονται τὰ σπλάχνα μου, ὡσὰν νὰ στεροῦμαι ἰδικόν μου μέλος, ὅμως δὲν πονῶ τόσον, ὅσον φοβοῦμαι μήπως ἀναγκασθῶ ἀπὸ αὐτὸ νὰ κάνω τίποτε ποὺ δὲν πρέπει.

Δὲν εἴμεθα κυρίαρχοι τῆς πίστεώς μας, ἀγαπητοί, οὔτε παραγγέλλομεν αὐτὰ κατὰ τρόπον δεσποτικόν· ἔχομεν ὁρισθῆ διὰ τὴν διδασκαλίαν τοῦ λόγου καὶ ὄχι διὰ ἐξουσίαν οὔτε διὰ δεσποτισμόν· ἔχομεν θέσιν συμβούλων, οἱ ὁποῖοι συμβουλεύουν. Ἐκεῖνος ὁ ὁποῖος συμβουλεύει λέγει τὴν γνώμην του, χωρὶς νὰ ἐξαναγκάζῃ τὸν ἀκροατήν, ἀλλ' ἀφήνει αὐτὸν ἐλεύθερον νὰ προτιμήσῃ τὰ λεγόμενα· εἰς τοῦτο

νος μόνον, ἂν τὰ παραστάντα μὴ εἴπῃ. Διὰ τοῦτο καὶ ἡμεῖς ταῦτά φαμεν, ταῦτα λέγομεν, ἵνα ὑμῖν μὴ ἐξῇ κατ' ἐκείνην τὴν ἡμέραν λέγειν, 'Οὐδεὶς ἡμῖν εἶπεν, οὐδεὶς διεστείλατο, ἠγνοήσαμεν, οὐδὲν ἡγούμεθα, τὸ ἁμάρτημα εἶναι'.

Διὰ τοῦτο λέγω καὶ διαμαρτύρομαι, ὅτι τοῦ εἰς αἵρεσιν ἐμπεσεῖν τὸ τὴν 'Εκκλησίαν σχίσαι οὐκ ἔλαττόν ἐστι κακόν. Εἰπέ μοι, εἴ τις ὑπὸ βασιλεῖ τινι τυγχάνων, ἑτέρῳ μὲν μὴ πρόσθοιτο, μηδὲ δῷ ἑαυτὸν βασιλεῖ ἑτέρῳ, αὐτοῦ δὲ ἐκείνου τὴν ἁλουργίδα λαβὼν καὶ κατασχών, ἀπὸ τῆς περόνης κατήνεγκεν ἅπασαν, καὶ διέρρηξεν εἰς πολλὰ ῥήγματα, ἆρα ἧττον ἂν τῶν ἑτέρῳ προσθεμένων ἐκολάσθη; Τί δέ, εἰ μετὰ τούτου αὐτὸν τὸν βασιλέα ἀπὸ τοῦ λαιμοῦ κατασχὼν ἔσφαττε, κατὰ μέλος διαξαίνων αὐτοῦ τὸ σῶμα, ποίαν ἂν δίκην δούς, τὴν ἀξίαν ἔδωκεν; Εἰ δὲ εἰς βασιλέα τὸν ὁμόδουλον τοῦτο ἐργασάμενος, πάσης ἂν μείζονα δίκης εἰργάσατο, ὁ τὸν Χριστὸν σφάττων καὶ διαξαίνων κατὰ μέλος, ποίας γεέννης οὐκ ἔσται ἄξιος; ἆρα ταύτης τῆς ἀπειλουμένης; Οὐκ ἔγωγε οἶμαι, ἀλλ' ἑτέρας πολλῷ χαλεπωτέρας.

Εἴπατε ὅσαι πάρεστε - ὡς γὰρ τὸ πολὺ γυναικῶν τοῦτο τὸ ἐλάττωμα - ταῖς ἀπούσαις διηγήσασθε τοῦτο τὸ ὑπόδειγμα, φοβήσατε. Εἴ τινες ἡμᾶς λυπεῖν καὶ ἀμύνασθαι τούτῳ εὖ εἰδέτωσαν, ὅτι ταῦτα μάτην ποιοῦσιν. Εἰ γὰρ ἡμᾶς ἀμύνασθαι βούλει, ἐγώ σοι δίδωμι τρόπον, καθ' ὃν χωρὶς τῆς σῆς βλάβης ἀμύνασθαι δυνήσῃ· μᾶλλον δὲ οὐκ ἔστι χωρὶς βλάβης ἀμύνασθαι, πλὴν ἀλλὰ μετὰ ἐλάττονος βλάβης· ῥάπισον, ἔμπτυσον, ἐντυχοῦσα δημοσίᾳ, καὶ πληγὰς ἔντεινον. Φρίττεις ταῦτα ἀκούουσα; Ἄν, ἐμέ, εἴπω, ῥάπισον, φρίτ-

μόνον εἶναι ὑπεύθυνος, ἂν δὲν εἴπῃ αὐτὰ τὰ ὁποῖα πρέπει νὰ διδάξῃ. Διὰ τοῦτο καὶ ἐμεῖς τὰ λέγομεν αὐτὰ καὶ τὰ διδάσκομεν, διὰ νὰ μὴ εἶναι δυνατὸν εἰς κανένα ἀπὸ σᾶς τὴν ἡμέραν τῆς κρίσεως νὰ εἴπῃ, 'Κανεὶς δὲν μᾶς εἶπεν τίποτε, κανεὶς δὲν μᾶς ἐσυμβούλευσε, δὲν τὰ ἐγνωρίζαμεν, ἐνομίζαμεν ὅτι εἶναι μηδαμινὸν τὸ ἁμάρτημα'.

Διὰ τοῦτο τὰ λέγω καὶ σᾶς παρακαλῶ μὲ ἐπιμονήν, ὅτι τὸ νὰ δημιουργήσῃ κανεὶς σχίσμα εἰς τὴν Ἐκκλησίαν δὲν εἶναι μικρότερον κακὸν ἀπὸ τὸ νὰ πέσῃ εἰς αἵρεσιν. Εἰπέ μου, ἐὰν κάποιος ὑπηρέτει ὑπὸ τὰς διαταγὰς κάποιου βασιλέως, καὶ δὲν ἐπήγαινε μὲν μὲ τὸ μέρος ἄλλου, οὔτε προσεχώρει εἰς ἄλλον βασιλέα, ἀλλ' ἔπαιρνε τὸ πορφυροῦν ἔνδυμά του καὶ τὸ ἐξήπλωνε καταγῆς, καὶ ὁλόκληρον διὰ περόνης τὸ ἐξέσχιζεν εἰς πολλὰ τεμάχια, ἆρά γε θὰ ἐτιμωρεῖτο ὀλιγώτερον ἀπὸ ἐκείνους οἱ ὁποῖοι προσεχώρησαν εἰς ἄλλον; Τί δέ, ἐὰν μαζὶ μὲ αὐτό, τὸν ἴδιον τὸν βασιλέα, κρατῶν ἀπὸ τὸν λαιμόν, τὸν ἔσφαζε καὶ ἐξέσχιζεν εἰς κάθε μέλος τὸ σῶμά του, ποία καταδίκη θὰ ἦτο ἀξία τῶν ἔργων του; Ἐὰν δὲ κάμνων αὐτὰ εἰς τὸν βασιλέα ὁ ὁποῖος εἶναι σύνδουλος, θὰ ἐτιμωρεῖσο μὲ τὴν πιὸ μεγάλην τιμωρίαν, ἐκεῖνος ὁ ὁποῖος σφάζει καὶ διαμελίζει τὸν Χριστόν, ποίας κολάσεως δὲν θὰ εἶναι ἄξιος; Ἆρά γε αὐτῆς μὲ τὴν ὁποίαν ἀπειλεῖται; Δὲν νομίζω, ἀλλὰ ἄλλης πολὺ πιὸ φοβερᾶς.

Νὰ τὸ εἰπῆτε αὐτὸ ὅσαι παρευρίσκεσθε — διότι κυρίως αἱ γυναῖκες ἔχουν αὐτὸ τὸ ἐλάττωμα — νὰ διηγηθῆτε εἰς ὅσας ἀπουσιάζουν αὐτὸ τὸ παράδειγμα, νὰ τὰς φοβήσετε. Ἐὰν μερικοὶ νομίζουν ὅτι μᾶς θλίβουν καὶ μᾶς ἐκδικοῦνται μὲ αὐτό, ἂς γνωρίζουν καλῶς, ὅτι ἄσκοπα τὰ κάνουν αὐτά. Διότι ἐὰν θέλῃς νὰ μᾶς ἐκδικηθῇς, ἐγὼ σοῦ δίδω τρόπον, μὲ τὸν ὁποῖον θὰ ἠμπορέσῃς νὰ ἐκδικηθῇς χωρὶς νὰ ζημιωθῇς· μᾶλλον δὲ δὲν εἶναι δυνατὸν νὰ ἐκδηκηθῇς χωρὶς νὰ βλαβῇς, ἀλλὰ μὲ μικροτέραν βλάβην· κτύπησέ με, πτύσε με δημοσίως ὅταν μὲ συναντήσῃς, πλήγωσέ με. Φρίττεις εἰς τὴν ἀκοὴν αὐτῶν τῶν πραγμάτων; Ἐὰν φρίττῃς ποὺ σοῦ

τεις, τὸν Δεσπότην σου σπαράττεις, καὶ οὐ φρίττεις; τὰ μέλη τὰ δεσποτικὰ διαξαίνεις καὶ οὐ τρέμεις; Οἶκός ἐστιν ἡ Ἐκκλησία πατρικός· ἓν σῶμα καὶ ἓν πνεῦμα. Ἀλλὰ βούλει με ἀμύνασθαι; Μέχρις ἐμοῦ στῆθι. Τί ἀντ' ἐμοῦ τὸν Χριστὸν ἀμύνῃ; μᾶλλον δὲ τί κατὰ τῶν ἥλων λακτίζεις; Οὐδαμοῦ μὲν οὖν τὸ ἀμύνασθαι καλόν· τὸ δὲ ἑτέρου ἀδικοῦντος ἕτρον ὑβρίζειν, πολλῷ χαλεπώτερον.

Παρ' ἡμῶν ἠδίκησαι; τί τὸν οὐκ ἠδικηκότα λυπεῖς; τοῦτο μανίας ἐσχάτης. Οὐκ εἰρωνευόμενος ὃ μέλλω λέγειν, φημί, οὐδὲ ἁπλῶς, ἀλλ' ὡς ἔχω καὶ ὡς διάκειμαι. Ἕκαστον τῶν σὺν ὑμῖν λυπουμένων πρὸς ἡμᾶς καὶ διὰ ταύτην τὴν λύπην βλαπτόντων ἑαυτοὺς καὶ ἀλλαχοῦ πορευομένων, ἐβουλόμην πληγὰς ἐντείνειν ἡμῖν εἰς τὴν ὄψιν αὐτήν, ἢ καὶ γυμνοὺς ἀποδύσαντα αἰκίζεσθαι μάστιξιν, εἴτε δικαίως εἴτε ἀδίκως ἐγκαλοίη, καὶ εἰς ἡμᾶς ἀφιέναι τὴν ὀργήν, ἢ ταῦτα τολμᾶν, ἃ νῦν τολμῶσιν. Εἰ τοῦτο γέγονεν, οὐδὲν ἂν ἦν, οὐδαμινὸν ἄνθρωπον καὶ οὐδενὸς ἄξιον λόγου τοιαῦτα πάσχειν. Ἄλλως δὲ ἂν καὶ παρεκάλεσε ὁ ἠδικημένος καὶ ὑβρισμένος ἐγὼ τὸν Θεόν, καὶ ἀφῆκεν ὑμῖν τὰ ἁμαρτήματα· οὐκ ἐπειδὴ παρρησίαν ἔχω τοσαύτην, ἀλλ' ἐπειδὴ ὁ ἠδικημένος, ὅταν ὑπὲρ τοῦ ἠδικηκότος παρακαλῇ, πολλὴν κέκτηται τὴν παρρησίαν. «Ἂν εἰς ἄνθρωπόν τις ἁμάρτῃ», φησί, «προσεύξονται περὶ αὐτοῦ». Εἰ δὲ μὴ ἠδυνάμην ἐγώ, ἑτέρους ἂν ἁγίους ἐζήτησα καὶ παρεκάλεσα, καὶ τοῦτο ἂν εἰργάσαντο. Νῦν δὲ τίνα καὶ παρακαλέσομεν, τοῦ Θεοῦ παρ' ἡμῶν ὑβριζομένου;

Ὅρα ἀνωμαλίαν. Τῶν γὰρ εἰς τὴν Ἐκκλησίαν ταύτην τελούντων οἱ μὲν οὐδέποτε προσίασιν, ἢ τοῦ ἐνιαυτοῦ ἅπαξ, καὶ τότε εἰκῇ καὶ ὡς ἔτυχεν· οἱ δὲ συνεχέστερον μέν, καὶ

---

23. Α' Βασ. 2, 25.

λέγω νὰ κτυπήσῃς ἐμένα, δὲν φρίττεις ὅταν κατασπαράσσῃς τὸν Κύριόν σου; τὰ μέλη τοῦ Κυρίου ξεσχίζεις καὶ δὲν τρέμεις; Οἰκία πατρικὴ εἶναι ἡ Ἐκκλησία· ἕνα σῶμα καὶ ἕνα Πνεῦμα. Ἀλλὰ θέλεις νὰ μὲ πολεμήσῃς. Μέχρι ἐμένα σταμάτησε. Διατί ἀντὶ δι' ἐμένα πολεμεῖς τὸν Χριστόν; μᾶλλον δὲ διατί κτυπᾷς ἐπάνω εἰς τὰς πληγάς του; Βέβαια εἰς καμμίαν περίπτωσιν δὲν εἶναι καλὴ ἡ ἐκδίκησις· ἀλλὰ τὸ νὰ ὑβρίζῃς ἄλλον ἀπὸ ἐκεῖνον ὁ ὁποῖος σὲ ἀδικεῖ εἶναι πολὺ χειρότερον.

Ἀπὸ ἐμᾶς ἠδικήθης; Διατί λυπεῖς ἐκεῖνον ὁ ὁποῖος δὲν σὲ ἠδίκησεν; αὐτὸ εἶναι δεῖγμα μεγίστης παραφροσύνης. Δὲν θὰ τὸ εἰπῶ εἰρωνευόμενος αὐτὸ τὸ ὁποῖον πρόκειται νὰ εἴπω, οὔτε τυχαίως, ἀλλ' ὅπως τὸ σκέπτομαι καὶ ὅπως τὸ αἰσθάνομαι. Διὰ τὸν καθένα ἀπὸ σᾶς οἱ ὁποῖοι θλίβεσθε ἀπὸ ἐμένα καὶ ἐξ αἰτίας αὐτῆς τῆς λύπης βλάπτετε τοὺς ἑαυτούς σας καὶ πορεύεσθε ἀλλοῦ, θὰ ἤθελον νὰ πληγώσω τὸ πρόσωπόν μου ἢ καὶ νὰ ἀπογυμνώσω τὸ σῶμα μου διὰ νὰ βασανισθῇ διὰ ράβδου, εἴτε δικαίως εἴτε ἀδίκως μὲ κατηγορεῖτε, καὶ εἰς ἐμένα ἂς ἐπιτρέψῃ τὴν ὀργὴν νὰ πέσῃ, παρὰ νὰ τολμοῦν αὐτὰ τὰ ὁποῖα τολμοῦν. Ἐὰν ἠμποροῦσε νὰ γίνῃ αὐτό, τίποτε δὲν θὰ ἦτο, τὸ νὰ πάσχῃ τέτοια ἕνας μηδαμινὸς καὶ ἀνάξιος λόγου ἄνθρωπος. Ἄλλωστε θὰ ἠμποροῦσα νὰ παρακαλέσω ἐγώ, ὁ ὁποῖος ἠδικήθην καὶ ἐξυβρίσθην, τὸν Θεόν, καὶ θὰ συνεχώρει τὰς ἁμαρτίας σας· ὄχι διότι εἰσακούομαι τόσον πολὺ ὡς νὰ εἶμαι ἅγιος, ἀλλ' ἐπειδὴ ὁ ἠδικημένος, ὅταν παρακαλῇ ὑπὲρ ἐκείνου ὁ ὁποῖος τὸν ἠδίκησεν, εἰσακούεται πολύ. «Ἂν ἁμαρτήσῃ ἄνθρωπος ἐναντίον ἀνθρώπου», λέγει, «ὁ Θεὸς θὰ δεχθῇ μεσιτείαν δι' αὐτόν»[23]. Ἐὰν δὲ δὲν ἠμποροῦσα νὰ τὸ κάνω ἐγώ, θὰ ἠμποροῦσα νὰ ζητήσω καὶ νὰ παρακαλέσω ἁγίους ἀνθρώπους καὶ θὰ τὸ ἔκαμνον. Τώρα ὅμως ποῖον νὰ παρακαλέσωμεν, ἀφοῦ ὑβρίζομεν τὸν Θεόν;

Πρόσεχε ἀνωμαλίαν. Διότι ἀπὸ ὅσους ἀνήκουν εἰς αὐτὴν τὴν ἐκκλησίαν, ἄλλοι μὲν οὐδέποτε προσέρχονται ἢ μίαν φορὰν κατ' ἔτος, καὶ τότε ὅπως τύχῃ· ἄλλοι δὲ τακτικώτε-

αὐτοὶ δὲ εἰκῇ καὶ ἁπλῶς, διαλεγόμενοι καὶ ἐρεσχελοῦντες ὑπὲρ τοῦ μηδενός· οἱ δὲ δῆθεν σπουδάζειν δοκοῦντες, οὗτοι δέ εἰσιν οἱ τὴν συμφορὰν ταύτην ἐργαζόμενοι. Εἰ γοῦν τούτων ἕνεκεν σπουδάζετε, βέλτιον καὶ ὑμᾶς μετὰ τῶν ἀμελούντων τετάχθαι· μᾶλλον δὲ τὸ βέλτιον ἦν, μήτε ἐκείνους εἶναι ἀμελεῖς, μήτε τοιούτους ὑμᾶς· οὐχ ὑμᾶς λέγω τοὺς παρόντας, ἀλλ' ἐκείνους τοὺς ἀποπηδῶντας. Μοιχεία τὸ πρᾶγμά ἐστιν. Εἰ δὲ οὐ δέχῃ περὶ ἐκίνων ταῦτα ἀκούειν, οὐκοῦν οὐδὲ περὶ ἡμῶν· τῶν γὰρ δύο τὸ ἕτερον παρανόμως γεγενῆσθαι δεῖ. Εἰ μὲν οὖν περὶ ἡμῶν ταῦτα ὑποπτεύετε, ἕτοιμοι παραχωρῆσαι τῆς ἀρχῆς ὅτῳπερ ἂν βούλησθε· μόνον ἐκκλησία ἔστω μία· εἰ δὲ ἡμεῖς ἐννόμως γεγενήμεθα, πείσατε καταθέσθαι τοὺς παρανόμως ἐπὶ τὸν θρόνον ἀναβεβηκότας.

Ταῦτα εἶπον, οὐχ ὡς ἐπιτάττων, ἀλλ' ὑμᾶς ἀσφαλιζόμενος καὶ φρουρῶν. Ἐπειδὴ ἕκαστος ἡλικίαν ἔχει, καὶ τῶν αὐτῷ πεπραγμένων δώσει τὰς εὐθύνας, παρακαλῶ μὴ τὸ πᾶν ἐφ' ἡμᾶς ῥίψαντας, νομίζειν ἀνευθύνους εἶναι ὑμᾶς αὐτούς, ἵνα μὴ μάτην ἀπατῶντες ἑαυτοὺς κόπτητε. Λόγον μὲν γὰρ δώσομεν ὑπὲρ τῶν ψυχῶν ὑμῶν, ἀλλ' ὅταν τὰ παρ' ἡμῶν ἐλλείπῃ, ὅταν μὴ παρακαλέσωμεν, ὅταν μὴ νουθετήσωμεν, ὅταν μὴ διαμαρτυρώμεθα. Μετὰ δὲ ταῦτα, δότε καὶ ἐμοὶ εἰπεῖν, «Καθαρὸς ἐγὼ ἀπὸ τοῦ αἵματος πάντων», καὶ ὅτι «Τὴν ψυχήν μου ῥύσεται ὁ Θεός». Εἴπατε ὃ βούλεσθε, καὶ αἰτίαν δικαίαν δι' ἣν ἄπιτε, καὶ ἀπολογήσομαι. Ἀλλ' οὐκ ἐρεῖτε. Διὸ παρακαλῶ καὶ ὑμᾶς ἤδη ἐνστῆναι γενναίως, καὶ τοὺς μετατεθέντας ἐπαναγαγεῖν, ἵνα ὁμοθυμαδὸν ἀναπέμψωμεν εὐχαριστίαν τῷ Θεῷ, ὅτι αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

---

24. Πράξ. 20, 26.
25. Ἰεζεκ. 3, 19.

ρον μέν, ἀλλὰ καὶ αὐτοὶ ὅπως τύχῃ, ὁμιλοῦντες καὶ ἀστειευόμενοι διὰ τὸ τίποτε· ἄλλοι δέ, οἱ ὁποῖοι φαίνονται ὅτι δῆθεν ἐνδιαφέρονται, αὐτοὶ εἶναι ἐκεῖνοι οἱ ὁποῖοι προκαλοῦν αὐτὴν τὴν συμφοράν. Ἐὰν λοιπὸν ἐνδιαφέρεσθε καὶ φροντίζετε δι' αὐτά, καλύτερον νὰ ταχθῆτε καὶ σεῖς μαζὶ μὲ τοὺς ἀδιαφόρους· μᾶλλον δὲ τὸ καλύτερον εἶναι οὔτε ἐκεῖνοι νὰ εἶναι ἀμελεῖς, οὔτε σεῖς τέτοιοι· δὲν λέγω δι' ἐσᾶς ποὺ παρευρίσκεσθε ἐδῶ, ἀλλὰ δι' ἐκείνους οἱ ὁποῖοι ἀποσκιρτοῦν. Μοιχεία εἶναι αὐτὸ τὸ πρᾶγμα. Ἐὰν δὲ δὲν ἀνέχεσαι νὰ ἀκοῦς αὐτὰ δι' ἐκείνους, λοιπὸν νὰ μὴ ἀνέχεσαι οὔτε δι' ἐμᾶς· διότι τὸ ἕνα ἀπὸ τὰ δύο κατ' ἀνάγκην γίνεται παρανόμως. Ἂν μὲν λοιπὸν ὑποπτεύεσθε αὐτὰ δι' ἐμέ, εἶμαι ἕτοιμος νὰ παραχωρήσω τὸ ἀξίωμα εἰς ὅποιον θέλετε· μόνον ἡ ἐκκλησία νὰ εἶναι μία· ἐὰν δὲ ἐγὼ ἔγινα νομίμως, πείσετε ἐκείνους οἱ ὁποῖοι ἔχουν ἀναβῆ παρανόμως εἰς τὸν θρόνον νὰ ἀποθέσουν ὅ,τι δὲν τοὺς ἀνήκει.

Αὐτὰ τὰ εἶπον, ὄχι ὡς προστάσσων, ἀλλὰ διὰ νὰ στερεώσω καὶ νὰ διαφυλάξω ἐσᾶς. Ἐπειδὴ ὁ καθένας ἔχει ἡλικίαν καὶ εὐθύνεται διὰ τὰς πράξεις του, παρακαλῶ νὰ μὴ νομίζετε ἀνευθύνους τοὺς ἑαυτούς σας, ρίπτονες τὸ πᾶν εἰς ἐμᾶς, διὰ νὰ μὴ καταστρέφετε τοὺς ἑαυτούς σας αὐταπατώμενοι εἰς μάτην. Διότι θὰ δώσωμεν λόγον διὰ τὰς ψυχάς σας, ἀλλ' ὅταν ἐμεῖς δὲν τὰς ἐπιμελούμεθα πλήρως, ὅταν δὲν παρακαλέσωμεν, ὅταν δὲν νουθετήσωμεν, ὅταν δὲν ἱκετεύσωμεν. Μετὰ δὲ ἀπὸ αὐτά, ἐπιτρέψατε καὶ εἰς ἐμὲ νὰ εἴπω, «εἶμαι ἀθῷος ἀπὸ τὸ αἷμα ὅλων σας»[24], καί· «ὁ Θεὸς θὰ σώσῃ τὴν ψυχήν μου»[25]. Εἴπατε ὅ,τι θέλετε καὶ ἀναφέρατε δικαιολογημένην αἰτίαν διὰ τὴν ὁποίαν ἔχετε ἀποχωρήσει, καὶ θὰ ἀπολογηθῶ. Ἀλλὰ δὲν ἔχετε τίποτε νὰ εἰπῆτε. Διὰ τοῦτο καὶ παρακαλῶ ἔστω καὶ σᾶς νὰ σταθῆτε μὲ γενναιότητα καὶ νὰ ἐπαναφέρετε ὅσους ἐπλανήθησαν καὶ ἀπεχώρησαν, διὰ νὰ ἀναπέμψωμεν μαζὶ εὐχαριστίαν εἰς τὸν Θεόν, διότι εἰς αὐτὸν ἀνήκει ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΕΥΡΕΤΗΡΙΑ

— Διὰ τὰ χωρία καὶ τὰ ὀνόματα τοῦ κειμένου οἱ ἀριθμοὶ παραπέμπουν εἰς σελίδας.
— Διὰ τὰ χωρία καὶ τὰ ὀνόματα τῆς εἰσαγωγῆς καὶ τῶν σχολίων οἱ ἀριθμοὶ παραπέμπουν εἰς σελίδας· εὑρίσκονται δὲ ἐντὸς παρενθέσεων

1. Εὑρετήριον χωρίων τῆς Γραφῆς

Πράξεις

Ρωμαίους

Α΄ Κορινθίους

Ἐφεσίους

2. Εὑρετήριον ὀνομάτων καὶ πραγμάτων

Β

Γ

Δ

Ε

Ζ

Η

Θ

Ι

Λ

Μ

Ν

Ο

Π

Ρ

Σ

Τ

Υ

Φ

Χ

Στοιχειοθεσία, Ἐκτύπωσις:

TYPO EXPRESS

Βελισσαρίου 35 ☎ 841-623

Βιβλιοδεσία:
Ἀφοὶ ΒΑΡΟΥΣΙΑΔΗ

Κεντρικὴ πώλησις:
Βιβλιοπωλεῖον «ΒΥΖΑΝΤΙΟΝ»
ΕΛΕΥΘΕΡΙΟΥ ΜΕΡΕΤΑΚΗ
Ἀρμενοπούλου 19 — Θεσσαλονίκη — Τηλ. 205-965